**Paulus Aegineta / edidit I.L. Heiberg.**

**Contributors**

Paulus, Aegineta, 625-690.
Heiberg, J. L. 1854-1928.

**Publication/Creation**

Lipsiae ; Berolini : In aedibus B.G. Teubneri, 1921-1924.

**Persistent URL**

https://wellcomecollection.org/works/vaudk6fw

**License and attribution**

This work has been identified as being free of known restrictions under copyright law, including all related and neighbouring rights and is being made available under the Creative Commons, Public Domain Mark.

You can copy, modify, distribute and perform the work, even for commercial purposes, without asking permission.

wellcome collection

Wellcome Collection
183 Euston Road
London NW1 2BE UK
T +44 (0)20 7611 8722
E library@wellcomecollection.org
https://wellcomecollection.org

A ~~xix.n~~

BJK
IPAU

22101088639

Digitized by the Internet Archive
in 2019 with funding from
Wellcome Library

https://archive.org/details/b31359292_0001

# CORPVS
# MEDICORVM GRAECORVM

AVSPICIIS ACADEMIARVM ASSOCIATARVM

EDIDERVNT

ACADEMIAE BEROLINENSIS HAVNIENSIS LIPSIENSIS

IX 1

## PAVLVS AEGINETA

EDIDIT

I. L. HEIBERG

PARS PRIOR · LIBRI I—IV

LIPSIAE ET BEROLINI IN AEDIBVS B. G. TEVBNERI MCMXXI

49141

# PAVLVS AEGINETA

EDIDIT

I. L. HEIBERG

PARS PRIOR

LIBRI I—IV

LIPSIAE ET BEROLINI IN AEDIBVS B. G. TEVBNERI MCMXXI

TEXTS

WELLCOME HISTORICAL MEDICAL LIBRARY

BJK
/PAU

LIPSIAE: TYPIS B. G. TEVBNERI

# PRAEFATIO

Ex codicibus plus quam sexaginta (praeter excerpta paucorum vel singulorum capitum), quibus traditum est opus Pauli Aeginetae vel totum vel partes maiores, hi ad verba eius constituenda et facere et sufficere mihi visi sunt:

A — cod. Paris. Gr. 2205 membran. saec. XI; u. Omont, Inventaire II p. 214. fol. 9—12 (I p. 16, 18—29, 8) manu recentiore saec. XIV—XV suppleta sunt; inter foll. 24 et 25 excidit unum folium (I p. 48, 10 -μνάcια — p. 49, 24 δὲ). pauca correxerunt manus posteriores $A^2A^3$. contuli Parisiis et Hauniae.

B — cod. Paris. Gr. 2206 membran. saec. XI; u. Omont, Inv. II p. 214. foll. 246—252 alia sed satis antiqua manu suppleta sunt, quae exemplari codicis C adfini usa est. in fine unum minimum folium deest (fol. 314 *des.* τὸν τοῦ ἐ-). fol. 302 transpositum est; collocari debuit post fol. 308. librarius ipse totum codicem ad aliud exemplar correxit, et alio atramento similes correctiones factae sunt ($B^2$), ipsae quoque a manu prima. praeterea manus recens ($B^3$) nonnulla mutavit vel addidit, quae plerumque neglexi. contuli Parisiis et Hauniae.

C — cod. Paris. Gr. 2207 bombyc., scr. Michael Lulludes a. 1299. foll. 1—23 (I p. 3—54, 9 δριμέα καὶ μα-) supplevit manus recens saec. XV. nonnulla correxerunt Lulludes et manus recens ($C^2$) et recentissima ($C^3$). inde ab I p. 54, 9 e G descriptus est. contuli Parisiis et Hauniae.

D — cod. Paris. Gr. 2208 bombyc. saec. XIV, fol. 1—383$^r$; u. Omont, Inv. II p. 214. sequuntur fol. 383$^v$—390 alia metrologica et medica; foll. 384—385, chartacea, manu recenti habent repetitionem libri VII cap. 26 et folii 383$^v$ iam tum detriti. manus posterior ($D^2$) pauca in mg. addidit, recentissima ($D^3$) nonnulla mutavit et, quae evanuerant, renovavit. contuli Parisiis et Hauniae.

E — codd. Pariss. Gr. 2216 + 2217 membran. saec. XI; u. Omont, Inv. II p. 215. idem codex in duos divisus, in fine et initio mutilus; 2216 foll. 1—37 (I p. 3—102, 17 πυρέττουcι) et 2217 fol. 237—285 supplevit manus saeculi XVI e cod. Paris. 2047, qui e cod. D descriptus est. manus posterior ($E^2$) nonnulla correxit. contuli Parisiis.

F — cod. Paris. Gr. 2292 bombyc. saec. XIV; u. Omont, Inv. II p. 231. incipit I p. 8, in fine mutilus, folia nonnulla, initio maxime, laesa, quorum lacunas manus recens ($F^3$) in schedulis chartaceis adglutinatis explevit. contuli Parisiis et Hauniae.

G — cod. monasterii S. Johannis Patmi 208 membran. saec. XI. in fine et initio mutilus (inc. I p. 33, 1 τὸ, des. p. 388, 10 ὕδωρ κα-). nonnulla correxit manus posterior ($G^2$). contuli Hauniae lucis ope expressum (I p. 56, 6—59, 16 et folia ultima legi vix possunt).

H — cod. Laurent. Gr. LXXIV 29 + Magliab. XV 160 membran. saec. XI; u. Bandini III p. 131 et Olivieri Stud. Ital. di filol. class. V p. 409. Laurentianus continet foll. 1—216$^r$ libros I p. 4, 14—IV, foll. 216$^v$—217 fragmenta libri V ordine perverso; Magliabecchianus duo folia avulsa continet, quae inter foll. 191—192 et foll. 195—196 pertinent. codicem scripserunt atramento diverso duo librarii eiusdem temporis et loci. correctus est manu posteriore ($H^2$) et recentissima ($H^3$), quae litteras detritas renovavit. contuli Florentiae.

J — cod. Laurentianus Gr. LXXIV 2 membran. saec. XI; u. Bandini III p. 46 sqq. foll. 1—379$^v$ Paulum continent; foll. 35, 153, 207—208 folia proxime praecedentia repetunt, fol. 188 initium libri V. sequuntur foll. 379$^v$—383 alia metrologica et medica. liber VII interpolatione prorsus deformatus est. et librarius et complures manus recentiores ($J^2J^3$) multa correxerunt. descriptus est ex E nondum mutilato. contuli Florentiae.

K — cod. Athous Vatopedi 535 membran. saec. X. fol. 263 (ultimum) detritum. nonnulla correxit manus posterior ($K^2$). contuli Hauniae lucis ope expressum.

L — fragmenta Mosquensia, quinque folia eiusdem codicis Athoi membran. saec. IX in tribus codicibus Bibliothecae Synodalis Mosquensis inserta (125 fol. 314 I p. 239, 8—244, 5; 379 fol. 1 I p. 283, 30—288, 30; fol. 3 I p. 307, 13—312, 5; 387 fol. 1—2 fragmentum libri VI). contulit A. Bäckström Journal des Ministeriums für Volksaufklärung 1898, klass. Abt. Sept.—Okt. p. 66 sqq.

M — cod. Athous Laurae 330 Γ 90 membran. saec. XI. in fine et initio mutilus (inc. I p. 102, 27 δεῖται). nonnulla correxerunt duae manus posteriores ($M^2M^3$). contuli Hauniae lucis ope expressum.

N — cod. Matritensis Bibl. Nation. 4581 (ol. N 45) membran. saec. XI—XII; u. Iriarte I p. 159. in fine et initio mutilus (inc. I p. 385, 11 καὶ κηρωτὴν δὲ). prima folia contuli Hauniae lucis ope expressa; nonnulla descripsit Maximilianus Wellmann.

O — cod. Marcianus Gr. 292 chartac.; scripsit Michael Lulludes a. 1306 Cretae (cf. C). charta, nunc humiditate laesa, iam cum scriberetur codex haud integra fuit. folii 34 pars inferior abscissa. Paulus incipit fol. 5 ab I p. 6 (cum titulo, u. I p. 3, 1), desinit fol. 319$^r$; sequuntur fol. 319$^v$—327 botanica (manu recentiore) et theologica. ex exemplari lacunoso descriptus est. contuli I p. 41, 18—182, 4 et partem libri VI Venetiis, alia descripsit M. Wellmann.

P — cod. Laurent. Gr. LXXIV 17 membran. saec. XII; u. Bandini III p. 118 sq. habet fol. 105$^r$ excerpta ex libro VII Pauli, fol. 106$^r$—111$^r$ I p. 4, 20—5, 17; 8, 1—22, 14 et praeterea in libro VI Synopseos

Oribasii inserta Pauli II capp. 1—10, 12, 25, 27, 32, 36—37. descripsit Johannes Raeder.

Q — cod. Coislin. Gr. 8 membran. saec. X; u. Omont, Inv. III p. 140, Montfaucon, Bibl. Coislin. p. 199. Athous est Laurae S. Athanasii et foll. 2—282 vetus Testamentum continet, sed foll. 1 et 283 e codice Pauli saec. IX, eodem fortasse, unde L, avulsa continent I p. 150, 3 -λιν — 153, 31 κω- et p. 137, 20 -δρόταται — 142, 6 ἡμικρανικῶν. contuli Parisiis.

X — cod. Laurent. LXXIV 7 membran. saec. IX; u. Bandini III p. 53 sqq., H. Schöne, Apollonius von Kitium p. V sqq. habet foll. 240ᵛ—263ʳ Pauli libri VI capp. 89—122, 42, 76 et post VI 92 insertum I p. 192, 6—15. contuli Florentiae.

*a* — interpretatio Latina libri III saeculo fere X in Italia inferiore facta, quam edidi Lipsiae 1912.

raro adhibui *ed*(itionem) *Basil*(eensem) a. 1538 fol., quae a codice B derivata est.

Scripturas codicum ABEGHKLMQX omnes adtuli, nisi quod monstra orthographica, quibus scatent, imprimis HLQ, et errores manifestos in uno tantum codice obvios plerumque omisi. interpolationes codicis F saepe neglexi et idem, initio maxime, in codice D feci, id quod siglis eorum parenthesi inclusis significavi; ne codicum OP quidem omnes scripturas recepi. in *a* quoque neglexi, quae ignorantiae auctoris debentur male intellecta. codicem C inde ab I p. 258, 20 abieci, codicem J a p. 102, 17, nisi quod hic illic $J^2J^3$ respexi. ubicunque codex aliquis adhiberi desiit aut novus adcessit, in capite adparatus critici sigla codicum adhibitorum repetivi.

In littera ν mobili vel ponenda vel omittenda plerumque codices antiquissimos tacite secutus sum, sed initio speciminis causa ceterorum quoque codicum scripturas notavi; similiter egi in formis οὕτως — οὕτω, γιγν — γιν, in elisione, in numeris vocabulisque metrologicis vel notis vel omnibus litteris exprimendis. de orthographia omnino difficilis est quaestio, quia in plerisque codicibus corruptissima est et eo magis, quo antiquiores sunt. ubi de erroribus agitur propter itacismum ortis vel in consonantibus geminandis aut non geminandis, non dubitavi veram formam etiam contra auctoritatem codicum omnium vel plerorumque restituere. in nominibus medicamentorum aliquantum auxilii ex ordine alphabetico, quem servavit libri VII cap. 3, peti potest. sed in opere ex multis fontibus hausto constantia requirenda non est, neque formas verborum plebeias, velut ἀφόνιτρον, contra codices fide dignos eliminare ausus sum. quin etiam periculum est, ne constantia diligentiaque nimis severe exactis vestigia originis diversae deleantur.

De codicum cognatione auctoritateque et de codicibus non adhibitis uberius agam altero volumine absoluto. nunc summam tantum

eius disputationis dabo. codices nostri in duas classes discedunt: ABEHM*a* — CFG; D magis ad alteram adcedit sed sui generis est, K medium locum obtinet priori tamen propior. prior classis rursus in duas divisa est: AE*a* — BHM. sed inde ab extrema parte libri IV haec ratio sensim mutatur; A et E inter se discedunt, KM inter se adpropinquant, F melior fit. in libro VI maxime DF soli contra ABCEKM stant. sed de ea re et de codicibus, qui in posteriore parte adcedunt, in praefatione voluminis II agendum erit.

totum scribendi genus, quale fragmenta antiquissima LQ repraesentant compendiis suspensionibusque repleta et quod ad orthographiam pertinet incredibiliter corrupta errores codicum saecc. X—XII satis explicat, qui a librariis mercenariis scribendi peritissimis sed rerum imperitis confecti sunt. et magna copia codicum vetustorum et scholiorum farrago, quam editione ipsa finita editurus sum, testimonio est, Pauli opus a medicis Byzantinis in arte exercenda studiose adhibitum esse, quae causa fuit interpolationum in compluribus codicibus obviarum. etiam Constantinopoli possessoribus legitimis restituta saeculo XIII Paulus in manibus medicorum eruditiorum mansit nec prorsus prae compendiis exilibus neglegebatur. sed genus codicum saec. XIV, quos bombycinos vocare solemus, h. e. in charta orientali sine filigrano scriptorum, aliud est. plerique ab hominibus artis rerumque peritis nec a litteris humanioribus alienis suum in usum scribebantur sicut minus eleganter ita orthographia emendatiore et maiore sententiae cura. verum ipsa rerum peritia eos invitabat non modo ad orthographiam emendandam, quod sane necessarium erat, sed etiam ad verba scriptoris suo arbitrio mutanda et interpolanda, sive oratio humilis sensui politiori displicebat sive sententiam magis perspicuam reddere sibi videbantur, et id eo minus facere dubitabant, quod de opere ad usum vitae, non ad delectationem destinato agebatur. quin etiam hic illic ad auctores Pauli redierunt et inde emendationes additamentaque petiverunt vel etiam ad complura exemplaria verba eius recensuerunt. eius generis ex nostris codicibus sunt DFO, qui quam caute utendi sint, satis adparet. rursus autem abiici minime possunt; nam librarii, quales significavi, pro peritia sua dedita opera exemplaria bona et antiqua conquirebant, ita ut codices ab iis confecti saepe scripturas genuinas servaverint. unde summa recensendi difficultas oritur, nec semper pro certo diiudicari potest, utrum veram scripturam an emendationem speciosam praebeant. equidem in iis admittendis cautior esse malui quam credulus. omnino semper memini, me non auctores Pauli edere, sed Paulum ipsum, qui in excerpendo interdum neglegentior esse et errare potuerit. quamquam in universum eos codices sequendos esse duxi, qui cum auctoribus Pauli consentiunt.

Auctores Pauli, quos quidem indagare potuerim, in singulis capitibus infra indicavi. citantur in Galeno editio Kühniana aut cum titulo

operis numeroque capitis aut, ubi titulus non additur, cum numero voluminis et paginae, in Oribasio eodem modo editio Bussemakeri et Darembergii, in quo tamen memoria tenendum est, me editionem ab Johanne Raeder praeparatam et ex parte perpolitam adhibere potuisse, id quod ob numeros capitum mutatos, maxime in libris ad Eunapium sive Euporistorum, moneo. in Dioscoride et Philumeno editionibus Maximiliani Wellmann usus sum, in Alexandro Tralliano Theodori Puschmann, in Aëtii libris I—VIII editione Aldina, Venet. 1534 (in libro VII veros numeros capitum tacite restitui), in libris IX—XVI interpretatione Cornarii, Basil. 1542.

In auctoribus Pauli conquirendis auxilio Iohannis Raeder et Maximiliani Wellmann plurimum debeo; hic vero, qua est peritia medicinae antiquae, aliis quoque in rebus magno opere huic editioni profuit.

Scr. Hauniae mense Martio MDCCCCXXI.

**I. L. Heiberg.**

# CORRIGENDA ET ADDENDA

p. 2 in conspectu codicum addendum:
X — cod. Laurent. Gr. LXXIV 7, membr. saec. X—XI.
p. 10, 21 pro προcαιονήcαντας scribendum προαιονήcαντας
— 22, 20 — ἄργα — ἀργὰ
— 60, 17 — ἀλεκτροριδων — ἀλεκτορίδων

In apparatu critico:

ad p. 3, 1 addendum: 1 προοίμιον *om.* B
pro $C^2$ reponendum $B^2$ et deinde ter B pro C
— — 6, 4 scribendum: κατὰ] AJO: καὶ BCHK:
— — 8, 7 addendum: περιccαίνειν B
— — 10, 21 addendum: προαιονήcαντας] *Or.*: προcαιο (vel -εω-) νήcαντας ABC FHJK: προαιωνίcαντα O: προκαταιονήcαντας D
— — 13 pro 18 scribendum 19, pro DF reponendum DJ
— — 16, 8 pro ABH scribendum: AB
— — 23, 18 pro $DJB^3$ scribendum: DJ: καὶ τὰ B: καὶ κατὰ $B^3$
— — 23, 18 pro εἶναι F scribendum: ἔχειν F
— — 30, 18 addendum: χρῖε] ἔγχριε D
— — 34, 9 pro DG scribendum: DF
— — 35, 15 addendum: κατὰ . . . μετρίωc] *mg.* D
— — 36, 22 pro *alt.* scribendum: *tert.*
— — 37, 13 pro ἠθιcμὸν ABH: ἰcθμὸν F scribendum: τὸν ἠθιcμὸν ABH: τὸν ἰcθμὸν F
— — 38, 6 pro *om.* $F^3$ scribendum: *om.* $DF^3$
— — 38, 11 pro FG scribendum: CFG
— — 40, 26 addendum: ψιλὸν] ψιλῶν A: καὶ ψιλὸν τριχῶν *mg.* $A^2$
τριχῶν — 27 ταῖc] *mg.* A (γρ.)
— — 41, 20 scribendum: ἀγαθῆc $OA^2$ *Or*
— — 44, 12 addendum: ἄμετρον . . . δὲ] ἄμετρος ἡ (*ras. 4—5 litt.*) θερμαcία ὅθεν τὰ εὔπεπτα διαφθείρουcιν οἷον ἰχθύας ἁπαλοcάρκουc καὶ τὰ τοιαῦτα, τὰ δὲ βόεια ῥᾷον πέττουcιν (-ιν *comp.* in *ras.*). ἐπὶ δὲ τῶν *ins. in ras. minore* D
δὲ] δὲ τῶν O
— — 45, 1 pro καὶ] scribendum: καὶ *(pr.)*]
— — 48, 10—49, 24 A ubique delendum
— — 54, 6 pro τὰ] scribendum: τὰ *(pr.)*]
— — 68, 10 pro οἶδε δὲ C scribendum: οἶδε C
— — 78, 28 pro κρίcεcι scribendum: κρίcεcιν
— — 104 pro 3 scribendum: 2
— — 110 pro 23 scribendum: 33
— — 111, 4 pro χρὴ D scribendum: χρὴ DO *Or*
— — 112, 5 pro πονοίη . . . CF scribendum: ὅτε καὶ πονοίη ADEGHKMO: ὅτε καὶ πονοίει B: ὅτε καὶ πονείη CF
— — 127, 38 pro D scribendum: C
— — 244, 10 pro DEM: *om.* ABCFGHK*a* scribendum: DM: *om.* ABCEFGHK*a*
— — 252, 5 pro τε A scribendum: τε AE
— — 256, 2 addendum: φθάcειεν ABE: φθάcοιεν F
— — 286, 12 addendum: μετὰ cυγκριτικοῦ E

# PAVLVS AEGINETA

EDIDIT

I. L. HEIBERG

LIBB. I—IV

## CONSPECTVS CODICVM

A = *cod. Paris. Gr. 2205, membr. s. XI*
B = *cod. Paris. Gr. 2206, membr. s. XI*
B² *eiusdem manus secunda*
B³ *eiusdem manus recens*
*et similiter in ceteris*
C = *cod. Paris. Gr. 2207, bombyc., scr. a. 1299 Michael Lulludes*
D = *cod. Paris. Gr. 2208, bombyc. s. XIV*
E = *codd. Pariss. Gr. 2216 + 2217 membr. s. XI*
F = *cod. Paris. Gr. 2292, bombyc. s. XIV*
G = *cod. Patmiacus 208, membr. s. XI*
H = *codd. Laurent. Gr. LXXIV 29 + Florent. Bibl. national. 44 (Magliab. XV 160), membr. s. XI*
J = *cod. Laurent. Gr. LXXIV 2, membr. s. XI*
K = *cod. Athous Vatop. 535, membr. s. X*
L = *Fragmenta Mosquensia codd. Biblioth. S. Synodi 125, 379, 387, membr. s. IX*
M = *cod. Athous Lawr.* Γ *90, membr. s. XI*
N = *cod. Matrit. Bibl. nat. 4581 (*N *45), membr. s. XII*
O = *cod. Marcianus Gr. 292, bombyc., scr. a. 1306 Michael Lulludes*
P = *cod. Laurent. Gr. LXXIV 17, membr. s. XII*
Q = *cod. Coislinianus Gr. 8, membr. s. X*

*a* = *Pauli Aeginetae libri tertii interpretatio Latina antiqua, ed. Heiberg, Lipsiae 1912*
*Or.* = *Oribasius. Diosc.* = *Dioscurides*

*Codicum, quorum potiores tantum scripturas adtuli, sigla uncis ( ) inclusa sunt. orthographica omnino neglexi.*

# ΠΡΟΟΙΜΙΟΝ

Οὐχ ὡς τῶν παλαιοτέρων ἐν τοῖς κατὰ τὴν τέχνην τι παραλελοιπότων τήνδε τὴν πραγματείαν ἐποιηcάμην, ἀλλὰ cυντόμου χάριν διδαcκαλίας· τοὐναντίον γὰρ ἐκείνοις μὲν ὀρθῶς τε καὶ ἀνελλιπῶς ἅπαντα πεφιλοπόνηται, οἱ δὲ νεώτεροι πρὸς τῷ μηδὲ τὴν ἀρχὴν ἐπιχειρεῖν ἐντυγχάνειν αὐτοῖς ἔτι μὴν καὶ ἀδολεcχίαν αὐτῶν κατηγοροῦcιν. ὅθεν ἐπὶ τὸ παρὸν ἥκω cύνταγμα τοῖς μέν, ὡς εἰκός, ἔχειν αὐτὸ βουλομένοις ὑπόμνημα γενηcόμενον, ἐμοὶ δὲ γυμνάcιον. ἄτοπον γὰρ τοὺς μὲν ῥήτορας τοῖς cυντόμοις τε καὶ cυνεκδήμοις ὑπ᾽ αὐτῶν ὀνομαζομένοις χρῆcθαι δικανικοῖς cυντάγμαcιν, ἐν οἷς ἁπάντων ἐμφέρεται τῶν νόμων τὰ κεφάλαια πρὸς τὸ τῆς χρείας ἕτοιμον, ἡμᾶς δὲ τούτων καταμελεῖν, καίπερ ἐκείνων μὲν οὐ πρὸς ὀλίγον μόνον ἀλλ᾽ ἤδη καὶ cυχνὸν ὑπερτίθεcθαι χρόνον πρὸς ἐπίcκεψιν δυναμένων, ἡμῶν δὲ μηδαμῶς ἢ πάνυ γε cπανίως τὴν τοιαύτην ἐχόντων ἐξουcίαν· τὰ γάρ τοι τῆς χρείας ἐπί τινων νοcημάτων ἀπαραίτητον πολλάκις ἔχει τὴν ἀγωνίαν· διόπερ ὀρθῶς Ἱπποκράτης ὀξὺν ἀπεφήνατο τὸν καιρόν. ἐκείνους μὲν γὰρ ἐν μόναις cχεδὸν ταῖς πόλεcι κατεπείγει τῶν πραγμάτων τὸ χρήcιμον, ἔνθα καὶ τῶν βιβλίων ἄφθονός ἐcτιν εὐπορία, τοῖς δὲ ἰατροῖς οὐκ ἐν πόλεcι μόνον ἢ ἀγροῖς ἢ καί τιcιν ἐρήμοις χωρίοις ἀλλ᾽ ἤδη καὶ κατὰ θάλατταν πολλάκις ἐν αὐταῖς ταῖς ναυcὶν ἐξαιφνίδιος νοcημάτων ἀνάγκη προcπίπτει, ἐφ᾽ ὧν ἡ ἀναβολὴ θάνατον ἢ πάντως γε κίνδυνον ἔcχατον ἀπεργάζεται. πάcας δὲ τὰς ἰατρικὰς μεθόδους ἢ τὴν κατὰ μέρος πᾶcαν ὕλην διὰ μνήμης ἔχειν τῶν χαλεπωτάτων ἢ καὶ παντάπαcιν ἀδυνάτων ἐcτίν· διόπερ τήνδε τὴν ἐπίτομον ἐκ τῶν ἀρχαίων ἐνεcτηcάμην cυναγωγήν. οὔτε γὰρ ἐμὰ παρεθέμην ἐν αὐτῇ γεν-

16 *Hippocrates, Aphorism. I 1*

ABCDJK(O).

1 Παύλου Αἰγινήτου περιοδευτοῦ K: Παύλου Αἰγιν$^{η}$ίτου περιοδευτοῦ προοίμιον C: Παύλου Αἰγινίτου A: Παύλου πόνον με γνῶθι τοῦ γῆς τὸ πλέον διαδραμόντος (ἀνα *supra add.* $C^2$) φύντος ἐκ τῆς (γῆς C) Αἰγίνης (αἰγένης C) CJ: Παῦλος ἰητρὸς ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων ἀνδράcιν ἠδὲ γυναιξὶ νούcων εὕρετο παῦλαν ⟨Αἴγινα⟩ δ᾽ αὐτὸν ἔνεικε βαβαὶ πόcον ἄνδρα τοcήδε D (*evan.*): οὔνομά μοι Παῦλος πατρὶς Αἴγινα πολλὰ μογήcας πᾶcαν ἀκεcτορίην βίβλον ἔτευξα μίην O    8 γινόμενον C    10 ἐκφέρεται J    11 τὸ *om.* J    11. 12 ἀμελεῖν D, *corr.* $D^3$    14 τὰ] τὸ J *et e corr.* A    16 ἐκείνοις C    17 μὲν] cχεδὸν μὲν AJ    ἐν *om.* J, *postea ins.* C    cχεδὸν *om.* AJ    17. 18 τὸ χρήcιμον τῶν πραγμάτων J    19 καὶ] ἄλλοις A    ἐρήμοις] ἀγρίοις C, *mrg. abscis.*    20 ταῖς *om.* C    αἰφνίδιος C    21 περιπίπτει C    23 πᾶcαν] ἅπαcαν D    25 cυνεcτηcάμην D    ἀγωγήν D, *corr.* $D^3$

νήματα πλὴν ὀλίγων δή τινων, ὅςαπερ ἐν τοῖς τῆς τέχνης ἔργοις εἶδόν τε καὶ ἐπείραςα· πλείοςι δὲ τῶν ἐνδόξων ἐντετυχηκὼς καὶ μᾶλλον Ὀριβαςίῳ καὶ αὐτῷ πᾶςαν ἀπανθίςαντι βίβλον, ἐν ᾧ πᾶςαν τὴν ὑγιεινὴν διήλθομεν ὑποτύπωςιν (τῶν γὰρ μετὰ Γαληνὸν καὶ ἔτι νεωτέρων ἐγένετο), τὰ κάλλιςτα τούτων ἐπελεξάμην μηδὲν ὡς οἷόν τε νόςημα παραδραμών. ἡ μὲν γὰρ ἑβδομηκοντάβιβλος αὐτοῦ τοῦ Ὀριβαςίου πᾶςαν ἐν ἑαυτῇ περιέχει τῆς τέχνης ὑπόθεςιν, ἀλλ' οὐκ εὐπόριςτος ἅπαςιν ἡ πραγματεία πολύςτιχος ὑπάρχουςα· ἡ δὲ ταύτης ἐπιτομὴ πρὸς Εὐςτάθιον τὸν υἱὸν αὐτοῦ γραφεῖςα πολλῶν εἰς τὸ παντελὲς λειπομένη νοςημάτων ἀτελῆ τὴν τῶν λοιπῶν περιέχει θεωρίαν πῇ μὲν αἰτιῶν πῇ δὲ διαγνώςεων ἐνίοτε δὲ καὶ τῆς αὐτάρκους ἐςτερημένη θεραπείας, ὥςπερ οὖν ἑτέρων εἰς μνήμην μόνον ἐληλυθότων. τὸ δὲ παρὸν ςύγγραμμα διαγνώςεις τε καὶ αἰτίας καὶ θεραπείας ἁπάντων περιέχει τῶν νοςημάτων, ὁμοιομερῶν, ὀργανικῶν, ἐν λύςει ςυνεχείας θεωρουμένων, οὐ κεφαλαιωδῶς μόνον ἀλλὰ κατὰ τὸ ἐγχωροῦν πλάτος. πρὸ δέ γε τούτων τὴν ὑγιεινὴν ἅπαςαν ἐξεθέμεθα δίαιταν, ἔςχατον δὲ τὸν περὶ τῶν ἁπλῶν τε καὶ ςυνθέτων φαρμάκων ἐποιηςάμεθα λόγον.

Τίνες οἱ ςκοποὶ τῶν ἑπτὰ τῆς ὅλης πραγματείας βιβλίων τῆς ςυμπάςης πραγματείας εἰς ἑπτὰ διῃρημένης βιβλία.

Ἐν τῷ πρώτῳ τὴν ὑγιεινὴν ἅπαςαν εὑρήςεις ὑπόθεςιν καὶ τὴν τῶν οἰκείων ταῖς ἡλικίαις τε καὶ ὥραις καὶ κράςεςι καὶ ἑτέροις τιςὶ παθημάτων προφυλακήν τε καὶ διόρθωςιν καὶ τὰς ἐν ταῖς τροφαῖς ἁπάςαις δυνάμεις τε καὶ χρήςεις, ὡς ἐν τοῖς κεφαλαίοις ἐξεθέμεθα.

Ἐν τῷ δευτέρῳ τῶν πυρετῶν ἁπάντων ἐςτὶν ἡ διδαςκαλία προτεταγμένων μὲν αὐτῆς τῶν ςυντελούντων εἰς αὐτήν, οἷον τῆς τε ἐκ περιττωμάτων καὶ τῶν κριςίμων ἡμερῶν τε καὶ τῶν ἄλλων ςημείων ἐπιςκέψεως, ὑποτεταγμένων δὲ τῶν ἑπομένων τοῖς πυρετοῖς ςυμπτωμάτων.

Ἐν τῷ τρίτῳ περὶ τῶν κατὰ τόπους ςυνιςταμένων παθῶν ἀπ' ἄκρας κεφαλῆς ἀρξαμένων ἡμῶν, εἰς ἄκρους δὲ καταντηςάντων τοὺς πόδας ἄχρις ὀνύχων.

Ἐν τῷ τετάρτῳ περὶ τῶν ἐκτὸς τοῦ ςώματος καὶ οἷον ἐν φανερῷ ςυνιςταμένων παθῶν οὐκ ἐν ὡριςμένοις ἀλλ' ἐν πλείοςι μορίοις ὁ λόγος ἐςτίν, ἐν ᾧ καὶ περὶ ἑλμίνθων καὶ δρακοντίων λέγεται.

14 ὁμοιομερῶν *inc.* H

1 τῆς *om.* J: *postea ins.* C εἶδον] ἐφεῦρον J 3 ἐν] ὑφ' D 4 διῆλθεν J τῶν] ἃ C 5 νοςημάτων J 7 ἐν] μὲν ἐν D τῆς] τὴν τῆς J εὔπορος C, *corr. mrg.* ἅπαςιν] τε ἅπαςιν C 9 λειπομένην J 11 ἐςτερημένην K: ἐςτερημένη *mut. in* ἐςτερημένης *m. rec.* D θεραπείας] θεωρίας A 12 ὥςπερ οὖν] ὡς D ἑτέροις D εἰς μνήμην ἑτέρων A εἰς] οὐδὲ εἰς J μόνον] K: *om.* ABCDJ 15 κατὰ] K: καὶ κατὰ ABCDHJ γε *om.* J 16 τὸν *om.* D: τῶν K 18 βιβλίων . . . πραγματείας *(19) om.* AD τῆς *(alt.)* . . . βιβλία *(19) om.* J 19 ἁπάςης K 22 προφυλακτικὴν H, *sed corr.* 24 ἐςτιν ἁπάντων D 25 μὲν *om.* D αὐτῆς] αὐτοῖς K *(e corr.)* τῆς] τῶν C τε *om.* J 26 τῶν *(alt.) om.* J ςημειώςεων D 27 ἐπιςκέψεως] K: διαγνώςεως J: *om.* ABCDH δὲ] τε AH ἐςομένων A 30 εἰς] καὶ εἰς C 34 λέγεται *om.* D

Ἐν τῷ πέμπτῳ περὶ τῶν ἰοβόλων πληγῶν τε καὶ δηγμάτων, ἐν ᾧ καὶ περὶ λυσσοδήκτων καὶ τοῦ ὑδροφοβικοῦ πάθους λέγεται τῶν τε ὑπὸ μὴ λυττῶντος κυνὸς δηχθέντων καὶ περὶ ἀνθρωποδήκτων· ἐφ᾽ οἷς περὶ δηλητηρίων τε καὶ ἀλεξιφαρμάκων.

Ἐν τῷ ἕκτῳ τὰ κατὰ χειρουργίαν ἅπαντα λέγεται τήν τε κατὰ σάρκα, ἔνθα καὶ βελουργικά, καὶ τὴν τῶν ὀστῶν, ἐν οἷς ὁ περὶ καταγμάτων τε καὶ ἐξαρθρημάτων περιέχεται λόγος.

Ἐν τῷ ἑβδόμῳ πάντων τῶν φαρμάκων αἱ δυνάμεις περιέχονται, πρῶτον μὲν τῶν ἁπλῶν, ἐπ᾽ αὐτοῖς δὲ καὶ τῶν συνθέτων, καὶ μᾶλλον ὁπόσων ἐν τῇ τῶν ἄλλων ἐξ βιβλίων ἐμνήσθημεν διεξόδῳ, μάλιστα τῶν μειζόνων τε καὶ οἱονεὶ κατωνομασμένων σκευασιῶν· οὐ γὰρ συνείδομεν ἐκεῖσε τάττειν ἁπάσας σποράδην διά τε τὸ τῆς διδασκαλίας ἀνενόχλητον, καὶ ἵνα ζητῶν τις μίαν τινὰ ἢ καὶ πλείονας τῶν γνωρίμων σκευασιῶν ῥᾳδίως εὑρίσκοι. πρὸς δὲ τῷ τέλει καί τινα συμβαλλόμενα πρὸς τὰς συνθέσεις τῶν φαρμάκων καὶ περὶ τῶν ἀντεμβαλλομένων εἰδῶν λέγεται, ὥστε τὸν ὅλον ἀπαρτίζειν λόγον εἰς τὴν περὶ σταθμῶν τε καὶ μέτρων διδασκαλίαν.

ἀρξώμεθα οὖν ἤδη τοῦ πρώτου γράμματος.

6 βελουργικά] ABCHK, *mrg.* D: βελουλκικά DJA² ὀστέων K ὁ *om.* C 9 ἐπ᾽ αὐτοῖς] ἑαυτοῖς *corr. ex* αἰαυτοῖς H: *corr. ex* ἐπ᾽ αὐτοὺς C 10 ἄλλων] ἁπλῶν D: *mrg.* γρ. ἐν τῇ τῶν ἄλλων ἐξ D² 12 ἁπάσας *corr. ex* ἁπάσαις C τε] K: *om.* ABCDHJ 13 ἀνενόχλητον] K: ἀόχλητον ABCDHJ ζητῶ^ν K τινὰ *om.* C ἢ καὶ] CDK: *corr. ex* ἢ B: ἢ AHJ 14 ῥάδιον D εὑρίσκει K 18 γοῦν J συγγράμματος D

# Α΄

Πρῶτον τῆς ὅλης πραγματείας ὑπάρχει τὸ παρὸν βιβλίον, ἐν ᾧ πᾶσαν τὴν ὑγιεινὴν διήλθομεν ὑποτύπωσιν, ὡς ἤδη τε λέλεκται κατὰ τὸ προοίμιον καὶ αὖθις ῥηθήσεται κατὰ τὰ κεφάλαια, τοσοῦτον μόνον προειπόντων ἡμῶν, ὡς ἔν τε τῷ πρώτῳ καὶ δευτέρῳ γράμματι τὰ πλεῖστα ἐκ τῶν Ὀριβασίου μετηγάγομεν· οὐ γὰρ οἰκείαν βουλόμεθα πραγματεύσασθαι δόξαν ἀλλ' ἐξ ἁπάντων ἔχειν τὸ χρήσιμον· ἐν δὲ τοῖς λοιποῖς πέντε βιβλίοις ἐλάχιστα μόνον ἐκ τῶν ἐκείνου τέτακται.

## Κεφάλαια τοῦ πρώτου βιβλίου.


α΄. Περὶ τῶν συμβαινόντων ταῖς κυούσαις, καὶ πῶς αὐτὰς διαιτητέον.
β΄. Περὶ τιτθῆς.
γ΄. Περὶ τοῦ τῆς τροφοῦ γάλακτος.
δ΄. Πῶς διορθωτέον τὰς κακίας τοῦ γάλακτος.
ε΄. Κομιδὴ παιδίου.
ϛ΄. Περὶ τῶν γινομένων ἐξανθημάτων τῷ παιδίῳ.
ζ΄. Περὶ βηχὸς παιδίου καὶ κορύζης.
η΄. Περὶ ὀδαξησμοῦ.
θ΄. Περὶ ὀδοντοφυίας.
ι΄. Πρὸς ἄφθας.
ια΄. Πρὸς τὰ τῶν μηρῶν παρατρίμματα.
ιβ΄. Πρὸς τὰς τῶν ὤτων ὑγρότητας.
ιγ΄. Περὶ σειριάσεως.
ιδ΄. Δίαιτα νηπίων καὶ τῶν ἐφεξῆς ἡλικιῶν ἄχρι τῶν παρακμαζόντων.
ιε΄. Περὶ τρίψεως παρασκευαστικῆς.
ιϛ΄. Περὶ γυμνασίων.
ιζ΄. Περὶ τῶν εἰδῶν τοῦ γυμνασίου.
ιη΄. Περὶ τῆς ἰδίως τρίψεως.
ιθ΄. Περὶ ἀναφωνήσεως.
κ΄. Περὶ κόπων τῶν ἐπὶ γυμνασίοις.
κα΄. Περὶ στεγνώσεως δέρματος.
κβ΄. Περὶ τῶν αὐτομάτων κόπων.
κγ΄. Δίαιτα γερόντων.
κδ΄. Πρὸς ἐρρυτιδωμένον σῶμα.
κε΄. Ὥστε ἡδὺ πνεῖν σῶμα.
κϛ΄. Ὥστε ἀναθερμαίνειν τὴν ἕξιν.
κζ΄. Πρὸς ἄχροιαν.
κη΄. Πρὸς τὰ πελιώματα.
κθ΄. Ὀδόντων προφυλακτικά.
λ΄. Ὥστε μὴ βαρυηκοεῖν.
λα΄. Πρὸς τὴν ἀχλὺν τῶν ὀμμάτων.
λβ΄. Περὶ πλησμονῆς.
λγ΄. Περὶ μέθης.
λδ΄. Περὶ τῶν διαφθειρόντων τὰ σιτία.
λε΄. Περὶ ἀφροδισίων.
λϛ΄. Πρὸς τοὺς μὴ δυναμένους συνουσιάζειν.
λζ΄. Περὶ τῶν ἀμέτρως ἀφροδισιασάντων.
λη΄. Περὶ πλεονασμοῦ σπέρματος.


3 λέλεκται] *p. 4, 20 sqq.; cf. p. 4, 3*

1 Α΄] *om.* ABCK: κεφάλαια τοῦ πρώτου βιβλίου DH: ἀρχὴ τοῦ πρώτου βιβλίου J  2 τὸ βιβλίον τὸ παρὸν J  3 διήλθομεν] *e corr.* J[2]: ἐξεθέμεθα D  4 κατὰ] BJO: καὶ ACHK: *om.* D  τὰ κεφάλαια *om.* D  5 συγγράμματι D  7 ἔχειν] συναγαγεῖν D  9 Κεφάλαια . . . βιβλίου] DJ: *om.* CHK: α̅ B: πίναξ σὺν θῶ̅ τοῦ πρώτου βιβλίου A  14. 15 *mrg. inf.* C (περὶ τοῦ πῶς κτλ.)  16 περὶ κομιδῆς (-ῆς *e corr.*) νηπίου J  18 τοῖς παιδίοις J  19 *om.* H  20 *postea ins.* J  22 Πρὸς] περὶ J  30. 31 *permut.* CH  31 τῆς ἰδίως] AK: τῆς ἰδίας BCHJ: τῶν εἰδῶν τῆς D  33 ἐπὶ] ἐν BH: ἐπὶ *mrg.* B[2]  γυμνασίοις] CDK: τοῖς γυμνασίοις ABHJ  35 Περὶ τῶν] BCDH: περὶ AJK  36 δίαιται B  38 πνέειν D  42 προφυλακτικαί A  43 βαρυηκοεῖν] ADHK: -η- *del.* AC: βαρυκοεῖν J  44 ὀμμάτων] ὀφθαλμῶν D

λθ΄. Περὶ τῶν κατεψυγμένων.
μ΄. Περὶ τῶν ἐγκεκαυμένων.
μα΄. Περὶ φλέγματος ἐν τῇ ἄνω γαστρὶ πλεονάcαντος.
μβ΄. Πῶς ἄν τις εὐκόλως ἐμοίη.
μγ΄. Περὶ ὑπακτικῶν γαστρὸς καὶ διουρητικῶν τοῖς ὑγιαίνουσιν.
μδ΄. Περὶ κλυσμοῦ.
με΄. Περὶ βαλάνων.
μϛ΄. Περὶ τῶν κενωτικῶν τῆς κεφαλῆς ἀποφλεγματισμῶν τε καὶ ἐρρίνων καὶ διαχρισμῶν.
μζ΄. Ὅσα ἐμμήνων ἀγωγά.
μη΄. Ἱδρωτικά.
μθ΄. Περὶ ἀέρων.
ν΄. Περὶ ὑδάτων.
να΄. Περὶ λουτρῶν.
νβ΄. Περὶ τῶν αὐτοφυῶν λουτρῶν.
νγ΄. Περὶ τῆς ταῖς ὥραις ἁρμοττούσης διαίτης.
νδ΄. Δίαιτα τοῖς ἐν ἀσχόλῳ βίῳ τυγχάνουσιν.
νε΄. Ὁδοιποροῦσι δίαιτα.
νϛ΄. Πλοϊζομένοις δίαιτα.
νζ΄. Περὶ σαρκῶν καθαιρέσεως.
νη΄. Πῶς ἀνατρέφειν δεῖ τοὺς κατισχνωθέντας.
νθ΄. Πῶς ἄν τις ἰάσαιτο κατισχνωθέντα μόρια.
ξ΄. Διάγνωσις ἀρίστης κράσεως.
ξα΄. Διάγνωσις τῶν δυσκράτων σωμάτων.
ξβ΄. Περὶ διαπλάσεως τῆς κεφαλῆς.
ξγ΄. Ἐγκεφάλου κράσεως γνωρίσματα.
ξδ΄. Γαστρὸς κράσεως γνωρίσματα.
ξε΄. Πνεύμονος διάγνωσις.
ξϛ΄. Καρδίας γνωρίσματα.
ξζ΄. Ἥπατος κράσεως διάγνωσις.
ξη΄. Τῆς τῶν ὄρχεων κράσεως διάγνωσις.
ξθ΄. Περὶ τῶν παραλειφθέντων.
ο΄. Διόρθωσις τῶν θερμῶν δυσκρασιῶν τοῦ σώματος.
οα΄. Διόρθωσις τῶν ψυχρῶν δυσκρασιῶν.
οβ΄. Διόρθωσις τῶν ξηρῶν δυσκρασιῶν ἐπὶ γαστρὸς ὡς ἐπὶ παραδείγματος, εὐθὺς δὲ καὶ τῶν λοιπῶν κράσεων.
ογ΄. Περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων.
οδ΄. Περὶ λαχάνων.
οε΄. Περὶ ἀσπαράγων.
οϛ΄. Περὶ τῶν ἐχόντων ἐδωδίμους τὰς ῥίζας.
οζ΄. Περὶ ὕδνων καὶ μυκήτων.
οη΄. Περὶ [τῶν] σιτωδῶν.
οθ΄. Περὶ ὀσπρίων.
π΄. Περὶ ὡραίων.
πα΄. Περὶ τῶν ἀπὸ τῶν δένδρων καρπῶν.
πβ΄. Περὶ ζῴων, καὶ πρῶτον περὶ τῶν πτηνῶν.
πγ΄. Περὶ ᾠῶν.
πδ΄. Περὶ πεζῶν ζῴων.
πε΄. Περὶ τῶν ἐν τοῖς ζῴοις μορίων.
πϛ΄. Περὶ γάλακτος [καὶ τοῦ τῶν πεζῶν αἵματος].
πζ΄. Περὶ γαλακτοποσίας.
πη΄. Περὶ τοῦ σχιστοῦ γάλακτος.
πθ΄. Περὶ τυροῦ.
ϙ΄. Περὶ ἰχθύων.
ϙα΄. Περὶ ὀστρακοδέρμων.
ϙβ΄. Περὶ μαλακίων.
ϙγ΄. Περὶ σελαχίων.
ϙδ΄. Περὶ τῶν κητωδῶν.
ϙε΄. Περὶ οἴνου δυνάμεως.
ϙϛ΄. Περὶ μέλιτος καὶ μελικράτου.
ϙζ΄. Περὶ ὕπνου.
ϙη΄. Περὶ ἀγρυπνίας.
ϙθ΄. Περὶ καταφορᾶς.
ρ΄. Διοκλέους ἐπιστολὴ προφυλακτική.

2 ἐκκεκαυμένων CH, *corr. ex* ἐγκ. B: ἐκκεκομμένων D 5 εὐκόλως] -ως *e corr.* H: εὔκολα J 6 ὑπατικῶν J *et cum lac. post* α D: ὑποτακτικῶν C οὐρητικῶν K 8 κλύσεων AJ 11 τε *om.* A ἐρίνων H: ῥινῶν K 12 διαχρισμάτων CD 18 τῶν] ABCDHJ: *om.* K 19 τὰς ὥρας H 21 τυγχάνουσιν] διάγουσιν K 24. 25 *permut.* D 26 δεῖ] H, *corr. ex* δὴ C: χρὴ ABDJK 28 ἰάσαιτο] ἰάσαιτο τὰ B 31 τῶν *om.* AJ 33 Περὶ *om.* J 34 Ἐγκεφάλου] Περὶ ἐγκεφάλου A 38 ἥπατος] Περὶ ἥπατος D διάγνωσις] AJ: *om.* BCDHK 39 Τῆς τῶν] BCHK: *om.* J: περὶ τῆς τῶν AD διάγνωσις *om.* D 41 δυσκρασιῶν] οα΄ (*corr. in* ο΄) περὶ δυσκρασιῶν A 43 ψυχρῶν] ξηρῶν C 46 εὐθὺς] ἔνθα D τῶν] περὶ τῶν D 47 τῶν] τῆς D ταῖς *supra scr.* B δυνάμεως D 53 τῶν *om.* C 56 τῶν *(alt.) om.* AJ 57 τῶν *om.* CD 62. 63 καὶ . . . αἵματος *om.* D 68 Περὶ] JK: περὶ τῶν ABCDH 70 *om.* K 71 ϙδ΄] ϙγ΄ K, *deinde* ϙδ΄ περὶ μαλακίων 73 καὶ μελικράτου *om.* H 74 ὕπνων H 77 Διοκλέως J

## α΄. Περὶ τῶν συμβαινόντων ταῖς κυούσαις, καὶ πῶς αὐτὰς διαιτητέον.

Τῶν συμπιπτόντων ταῖς κυούσαις ἐπειδὴ ταῦτα μάλιστα ἐνοχλεῖ, τὸ περισαίνειν καὶ συνεχῶς ἐμεῖν καὶ πτυελίζειν καὶ καρδιώσσειν καὶ ἀσιτεῖν, οὐ χεῖρον πρὸς αὐτὰς ὑποθήκας γράψαι. περίπατοι, σιτία μὴ ἄγαν γλυκέα καὶ οἶνοι κιρροὶ καὶ εὔοσμοι, πενταετεῖς μάλιστα, ἁρμόττουσι καὶ τὸ μέτριον ποτόν. ταῦτα πάντα τοῦ περισαίνειν καὶ τοῦ ἐμεῖν ἰάματά ἐστιν· ὡς δὲ φάρμακον πολυγόνου μὲν τὴν πόαν ὕδατι ἑφθὴν πίνειν καὶ ἄνηθον ὡσαύτως καὶ τῆς Ποντικῆς ῥίζης· καλεῖται δὲ ἐπιχωρίως ῥᾶ· τοῦτο καὶ ἐπὶ τῷ σίτῳ καὶ πρὸ τοῦ σίτου λαμβάνειν. ἔξωθεν δὲ οἰνάνθην καὶ βαλαύστιον καὶ κυτίσου καὶ σμυρνίου κόμην καὶ μαράθρου σπέρμα, κοινῇ τε καὶ ὡς ἂν μίσγειν ἐθέλῃ, μετὰ φοινίκων καὶ οἴνου παλαιοῦ καταπλάσσειν τὸ προκάρδιον. τοὺς δὲ καρδιωγμοὺς ἐπικουφίζειν θερμοῦ ὕδατος πόσει καὶ τῷ ἡσυχῇ περιπατῆσαι καὶ τῷ σκεπάζειν τὸ ὑποχόνδριον ἐρίῳ μαλακῷ. τὰς δὲ ἀποσίτους προτρέποι ἂν ἐσθίειν τά τε ποικίλα σιτία καὶ τὰ πρὸς ἡδονὴν καὶ ἄμυλον ξηρόν· μᾶλλον δ' ἂν τοῦτο συνενέγκαι ταῖς ἐπιθυμούσαις γῆν ἐσθίειν, ὡς ἐν τῇ καλουμένῃ κίττῃ, ἥτις περὶ τὸν τρίτον μῆνα τῆς κυήσεως μάλιστα γίνεται διὰ τὸ μὴ δύνασθαι τέως τὸ κύημα πᾶν τὸ φερόμενον ἐν τῇ μήτρᾳ λόγῳ τροφῆς δαπανᾶν ὡς ἀσθενέστερον πλεοναζόντων ἐξ αὐτοῦ ποικίλων περιττωμάτων ἐν τῷ στομάχῳ· ὅθεν καὶ ποικίλων τε καὶ ἀλλοκότων ὀρέγονται, οἷον ἀνθράκων ἐσβεσμένων καὶ Κιμωλίας καὶ ἑτέρων πλειόνων. τούτου γὰρ ἕνεκα καὶ τὴν ὀνομασίαν ταύτην τὸ πάθος ἐκτήσατο διὰ τὸ ποικίλον τοῦ ζῴου τῆς κίττης ἢ

α΄ *Oribasius, Synops. V 1* 18—p. 9, 3 *cf. Aëtius XVI 10*

*Hinc* ABHJK(CDFO).

1. 2 *om.* J 1 αὐταῖς B, *sed corr.* 3 συμβαινόντων H: *mrg. add.* τῶ συμβαίν` D 4 περισσεύειν O περισαίνειν καὶ *om.* D καρδιώττειν D 5 πρὸς] πρὸς τὰς K αὐτὰς] *fort.* αὐτὰ 6 κιρροὶ] D *Or.*, *mrg.* B: λευκοὶ AB *et supra add.* κιρροὶ H: λεπτοὶ F: λευκοὶ κιρροὶ (κ- *corr. ex comp.* καὶ *in scr.*) K: κιρροὶ λευκοὶ CJ 7 ταῦτα] ταῦτα δὲ C περισσεύειν O περισαίνειν καὶ τοῦ *om.* D 8 τὴν *om.* D 9 πίνειν] DF *Or.*: πιεῖν AK *et corr. ex* πίνειν BJ, *ex* πειην H: ποιεῖν C 10 ῥᾶ] ῥᾱ ABDFH, *e corr.* J: ῥά C: καὶ ῥέον ποντικὸν K τοῦτο] F *Or.*: τούτῳ O: ταῦτα ABCDHJK 11 καὶ κυτίσου *om.* K 12 μίσγειν] *corr. ex* σμίγειν B, *mrg.* μίσγειν: σμίγειν F ἐθέλοις D *et e corr.* J: ἐθέλεις F 13 καταπλάσσειν] DF: *corr. ex* καταπλάσειν J: καταπλάσσεις A: καταπλάσεις BHK: πλάσσεις C περικάρδιον J δὲ *supra scr.* B$^2$ 14 θερμοῦ . . . σκεπάζειν *(15) mrg.* J$^3$ ὕδατος θερμοῦ D τῷ] τὸ CJ$^3$K 15 τῷ] τὸ CFJ$^3$K 16 προτρέποι] προτρέποις BJ$^2$: προτρέπειν F 21 καὶ *om.* K 22 τε *om.* CF ὀρέγεται C 24 τῆς κίττης *mrg.* J$^3$

ὅτι κἀκεῖνο τῷ πάθει τούτῳ πολλάκις ἁλίσκεται. εὔσιτοι δὲ καὶ οἱ πόνοι καὶ αἱ μακρότεραι ἀποδημίαι· ἥτις δὲ εἴθισεν ἀταλαιπώρως διαιτᾶσθαι, κύουσα αὔτη οὐ χρηστῶς ἤνεγκεν τὰς ἐξαπιναίους κινήσεις. καὶ τὸ δριμέων δέ ποτε γεύεσθαι, καὶ μάλιστα νάπυος, ἐπιτήδειον τῇ ἀποσίτῳ. πρὸς δὲ τὰ οἰδήματα τῶν ποδῶν ἐξαίρετα ἀνθήλην ἐν ὄξει βεβρεγμένην ἐπιδεῖν καὶ φύλλα κράμβης πλατέως ἐπιτιθέναι καὶ τὴν Κιμωλίαν μετ᾽ ὄξους ἐπιχρίειν καὶ στυπτηρίαν ὡσαύτως μετ᾽ ὄξους. ἀγαθὸν δὲ καὶ τῶν Μηδικῶν καλουμένων μήλων, ἃ δὴ καὶ κιτρία καλοῦσιν, ἑψήσαςαν ἐν ὕδατι κατανίζειν τοὺς πόδας.

## β΄. Περὶ τιτθῆς.

Αἱρεῖσθαι οὖν χρὴ τιτθὴν μηδ᾽ ὁτιοῦν νόσημα ἔχουσαν καὶ μήτε ἄγαν πρεσβυτέραν μήτε νεωτέραν, ἔστω δὲ ἡ μὲν νεωτάτη ἐτῶν κε, ἡ δὲ πρεσβυτάτη ἐτῶν λε· καὶ στῆθος μέγα ἐχέτω καὶ τιτθοὺς μεγάλους καὶ θηλὰς μήτε μεμυκυίας μήτε ἀπεστραμμένας, ἔστω δὲ τὸ ἄλλο σῶμα μήτε πῖον ἰσχυρῶς μήτε ὑπέρλεπτον. μέγα δέ ἐστι τῷ παιδίῳ καὶ τὸ τὴν τιτθὴν μὴ πάλαι τετοκυῖαν εἶναι, καὶ ἄρρεν μᾶλλον. φυλάσσεσθαι δὲ καὶ τὰ πάνυ ξηραίνοντα καὶ τὰ ἁλυκὰ καὶ δριμέα καὶ στρυφνὰ καὶ ὀξέα καὶ πικρὰ καὶ ἰσχυρῶς θερμαίνοντα καὶ τὰ πάνυ δύσοσμα καὶ τὰς ἐπισήμους εὐωδίας τε καὶ ἀρτύσεις καὶ τὰ ἄλλα τὰ δριμέα. ἀπεχέσθω δὲ ἡ τιτθὴ καὶ λαγνειῶν καὶ πονείτω διὰ τῶν χειρῶν καὶ τῶν ὤμων καὶ ἀλείτω καὶ ὑφαινέτω καὶ ἐπὶ τῆς ἀγκάλης ἔχουσα τὸ παιδίον περιαγέτω· φέρειν δὲ ἐπ᾽ ἀγκάλης τρίμηνα καὶ τετράμηνα.

## γ΄. Περὶ τοῦ τῆς τροφοῦ γάλακτος.

Γάλα δὲ βέλτιστόν ἐστιν τὸ σύμμετρον πάχει καὶ πλήθει, χρόᾳ, ὀσμῇ, γεύσει. χρήσιμον δέ ἐστι καὶ τὸ ἐπὶ τοῦ ὄνυχος ἐπισταζόμενον τοῦ μεγάλου δακτύλου ὑπὸ τὴν αὐγὴν θεωρούμενον, ὅταν ἐν τῷ κάμπτειν τὸν ὄνυχα μήτε ταχέως μήτε βραδέως ἀπορρέῃ, χρήσιμον. δοκιμάζειν δὲ καὶ οὕτως· ἐγχέοντα τοῦ γάλακτος εἰς ἀγγεῖον ὑέλινον ἐμ-

β΄ *Oribasius, Synops. V 2; cf. Aëtius IV 4. 6*
γ΄ *Oribasius, Synops. V 3; cf. Aëtius IV 5*

1 κἀκείνῳ F   τοῦτο FK   καὶ *om.* F: *eras.* K   2 ἥτις] *mut. in* εἴ τις H²: εἴ τις K   εἴθισεν] ACFJK: ἤθισεν BH: εἴθισται D   4 δὲ] τε K   ποτε] πότων DF   6 πλατέως] DJ, *supra add.* -ειας D²: πλατέως τε ABCFHK: πλατέα *Or.*   9 ἑψήσαςαν] K, *sed* -αν *evan.*: ἑψήσας ABCHJ: ἑψηθέντων DF   κατανίζειν] BCHJ *Or.*: καταννίζειν A: καταιονᾶν D: κατεονίζειν F: κατεωνίζειν K   11 μήτε] DF³K: μὴ ABCHJ   12 μήτε νεωτέραν] FK²: μήτε πάνυ νεωτέραν D: *om.* ABCHJ   κς J   14 μεμηκυίας DK   ἔστω C *et corr. ex* ἔστι B: *mrg.* ἐστιν B²   17 τὰ *(alt.) om.* K   δριμέα] τὰ δριμέα DK   στρυφνὰ] τὰ στρυφνὰ D   18 ἡδύοσμα DF   19 τὰ *(alt.) om.* D   21 καὶ ἀλείτω *om.* D   ἔχουσα τὸ παιδίον *om.* D   22 ἐπ᾽] ἐπὶ D: ἐν J   ἀγκάλης] DK: ἀγκάλαις ABCFHJ   24 καὶ] K *Or.*: *om.* ABCDFHJ   26 ἐν] D: δὲ ἐν ABCFHJK   27 χρήσιμον] ABCFHJK *Or.*: *om.* D   28 ἐγχέαντας D   ἐμβαλεῖν DF

βάλλειν ταμίσου τὸ σύμμετρον καὶ διαθλῖψαι τοῖς δακτύλοις, εἶτα ἐάσαντας, ἕως οὗ παγῇ, θεωρεῖν, εἰ ἔλαττον τὸ τυρῶδες τοῦ ὀρώδους· τὸ γὰρ τοιοῦτον γάλα ἄχρηστον, τὸ δὲ ἐναντίον δύσπεπτον, ἄριστον δὲ τὸ σύμμετρα ἔχον ἀμφότερα.

### δʹ. Πῶς διορθωτέον τὰς κακίας τοῦ γάλακτος.

Τὰς δὲ τοῦ γάλακτος κακίας διορθοῦν χρὴ ὧδε. εἰ μὲν τύχοι παχύτερον, ἐμέτοις ἐξελεῖν δεῖ τοῦ φλέγματος· ἄριστοι δὲ οἱ ἐπὶ τῷ ὀξυμέλιτι. δεῖ δὲ καὶ τοῖς πόνοις λεπτῦναι τοῖς πρὸ τῶν σιτίων· ἐνταῦθα δήπου καὶ ὀρίγανον καὶ ὕσσωπον καὶ ἡ θύμβρα καὶ ὁ σκάνδιξ καὶ ὁ θύμος ἐπιτήδεια καὶ ῥαφανὶς ὀλίγη καὶ τάριχος παλαιὸν μετ' ὀξυμέλιτος. εἰ δέ που γένοιτο δριμύτερόν τε καὶ λεπτότερον, ἐνταῦθα τῶν μὲν πόνων κουφίζειν τῶν πολλῶν, εὐωχεῖν δὲ τὴν τιτθὴν ῥοφήμασί τε καὶ κρέασι χοίρων καὶ σίραιον διδόναι πίνειν καὶ οἶνον γλυκύν. εἰ δὲ ἧσσον γένηται, τῶν τε ῥοφημάτων προσφέρειν καὶ δαψιλέστερον διαιτᾶν καὶ οἶνον διδόναι πίνειν γλυκὺν καὶ ἀνατρίβειν στῆθος καὶ τιτθούς, ταῖς δ' ἂν καὶ σικύα προσβαλλομένη παράσχοι τὰ δέοντα. φάρμακα δὲ πρὸς γάλακτος γένεσιν ὅτι μὲν ἀνύει τι, οἶδα, οὐ μὴν συνεχῶς χρῆσθαι αὐτοῖς κελεύω· συντήκει γὰρ βιαιότερον. ἔστι δὲ μαράθρου τε ῥίζα καὶ ὁ καρπὸς ἡψημένα πτισάνῃ κυτίσου τε φύλλα ἐν οἴνῳ μέλανι ἢ πτισάνῃ καὶ μελάνθιον γλυκὺ καὶ ἄνηθον καὶ σταφυλίνου ῥίζα καὶ ὁ καρπός· χρὴ δὲ θερμῷ προσαιονήσαντας οὕτω προσφέρειν. πᾶν μέντοι τὸ πονηρὸν γάλα, καὶ εἰ παχὺ εἴη ἢ δριμὺ καὶ δυσῶδες, προαμέλξασαν οὕτω προστίθεσθαι τὸ παιδίον τό τε δριμὺ μηδέποτε ἀσίτῳ διδόναι. τὰς δὲ δυσωδίας κἂν οἶνος εὐώδης καὶ σιτίον ἡδὺ διορθοῦν δύναιτο. περὶ τοῦ τετυρωμένου γάλακτος ἐν τῷ περὶ μασθῶν κατὰ τὸ τρίτον βιβλίον λεχθήσεται.

### εʹ. Κομιδὴ παιδίου.

Πρώτην τροφὴν εἰσφέρειν δεῖ τῷ νεογενεῖ παιδίῳ τοῦ μέλιτος, μετὰ δὲ τοῦ γάλακτος διδόναι δὶς τῆς ἡμέρας ἢ τρὶς τὸ πλεῖστον.

δʹ *Oribasius, Synops. V 4; cf. Aëtius IV 6* 26 τρίτον βιβλίον] *cap. 35*
εʹ *Oribasius, Synops. V 5*

1 ταμίσου τὸ] *om.* D: *mrg.* γρ. πυτίας K² διαθλίψας F: διαθλῖψε K ἐάσαντας] DFK: ἐάσαντα C: ἐάσαντες ABHJ 4 σύμμετρον K: συμμέτρως D: συμμετρίαν C ἔχειν C 5 Πῶς] περὶ τοῦ πῶς C 6 κακίας τοῦ γάλακτος K 9 ὕσωπον FH θρύμβα CK, *corr. in* θύμβρα B: θρύβα (μ *supra*) F 12 τὴν] *om.* B: καὶ C: *add.* τὴν C² 13 κρέας K χοίρων] K: χοιρείων ABFHJ: χοιρίοις C: χοιρείοις D 14 εἰ . . . γλυκὺν *(15) om.* DHF² *(Or. cod.* P) 16 ταῖς] τισὶ C: ταύταις *mrg.* B³ προβαλλομένη BC, *sed corr.* 19 τε *(pr.)*] FK: *om.* ABCHJ: ἡ D ἡψημένα . . . καρπός *(21) om.* D κυτίσου] ἢ κυτίσου F τε] *om.* C: τὰ F 23 προστίθεσθαι] DKO: προστιθέναι ABCFHJ τε] δὲ J³ 24 κἂν] K: καὶ κἂν A: καὶ BCDFHJ 25 δύναιτ' ἂν D: δύναται F περὶ] περὶ δὲ F: δὲ *supra add.* J 26 μαστῶν D, *mrg.* C: παθῶν C λέγεται DK 28 προσφέρειν D τοῦ μέλιτος] τὴν τοῦ μέλιτος D: μέλι K 29 μετὰ δὲ τοῦ] *mut. in* τοῦ δὲ C: μετὰ δὲ τὴν τοῦ D: μετὰ K δὶς] δὲ δὶς DK

ὅταν δὲ αὐτό τε πρόθυμον ᾖ λαμβάνειν καὶ ἐλπίδας παρέχῃ ἐκπέψειν, τηνικαῦτα ἤδη καὶ σιτίον διδόναι μὴ ἐμπιπλᾶσαν. εἰ δέ που λαθόντα πληρωθείη, ὑπνωδέστερά τε εὐθὺς γίνεται καὶ νωθρότερα, καὶ ὄγκος ἐν γαστρὶ ἔνεστι καὶ φῦσα, καὶ οὐρεῖ ὑδατωδέστερα· οἷς χρὴ τεκμαιρομένην μηδὲν διδόναι, ἔστ' ἂν καταναλωθῇ. ἀρκεῖ δὲ ἔτη δύο τρέφειν τῷ γάλακτι, τὸ δὲ ἐντεῦθεν μεταβάλλειν πρὸς σιτία.

### ϛʹ. Περὶ τῶν γινομένων ἐξανθημάτων τῷ παιδίῳ.

Ὅσα δὲ τῷ παιδίῳ ἐξανθεῖ κατὰ τὸ δέρμα, χρὴ τὸ μὲν αὐτίκα ἀσμένην δέχεσθαι, ὅταν δὲ ἀπανθήσῃ καλῶς, τηνικαῦτα ἤδη θεραπεύειν τοῖς μὲν λουτροῖς προσεμβάλλουσαν μυρσίνης ἢ σχίνου ἢ ῥόδων, εἶτα ῥοδίνῳ ἢ σχινίνῳ χρωμένην καὶ κηρωτῇ σὺν ψιμυθίῳ, καὶ ῥύπτειν δέ που τοῖς νίτροις μαλακώτερον· οὐ γὰρ οἴσει τὰ ἰσχυρότερα. κάλλιστον δὲ καὶ τὴν τιτθὴν διαιτᾶσθαι τῷ γλυκυτέρῳ τρόπῳ, κάλλιστον δὲ καὶ τὸ παιδίον αὐτὸ διαιτῆσαι μήτε ἐμπιπλάντας μήτε αὖ σφόδρα ἐνδεῶς. ἐὰν δὲ ἐφιστῆται ἡ κοιλία τοῦ παιδίου, τότε μέλιτος ἐγχέοντας συνέψειν τῇ τροφῇ. ἐὰν δὲ μηδὲ οὕτως ὑπακούῃ, τῆς τερεβινθίνης παρεμβάλλειν ὅσον ἐρέβινθον. παρυγραινομένης δὲ τῆς κοιλίας κέγχρον μάλιστα προσφέρειν.

### ζʹ. Περὶ βηχὸς παιδίου καὶ κορύζης.

Εἰ δέ ποτε βὴξ ἢ κόρυζα συμβαίη τῷ παιδίῳ, τοὺς μελιτισμοὺς καλουμένους παραληπτέον. χρὴ τοίνυν λούσασαν αὐτὸ πολλῷ θερμῷ καὶ κατὰ κεφαλῆς χρῖσαι μέλιτι πολλῷ, κἄπειτα τῷ δακτύλῳ τὴν γλῶτταν πράως πιέσαι· ἐμεῖ γὰρ φλέγμα πολύ.

### ηʹ. Περὶ ὀδαξησμοῦ.

Εἰ δέ τις ὀδαξησμὸς παρείη τῷ παιδίῳ, πυρίᾳ χρηστέον καὶ ἀφθόνῳ ἀλείμματι δι' ἐλαίου ἀπέφθου συντακέντος ὀλίγου [τοῦ] κηροῦ.

### θʹ. Περὶ ὀδοντοφυίας.

Ὀδοντοφυίαι γίνονται μὲν περὶ ἕβδομον μῆνα, συμβαίνουσι δὲ τότε φλεγμοναὶ τῶν οὔλων καὶ σιαγόνων καὶ τενόντων καί ποτε

*ϛʹ Oribasius, Synops. V 6; cf. Aëtius IV 21   ζʹ Oribasius, Synops. V 7; cf. Aëtius IV 18   ηʹ Oribasius, Synops. V 8   θʹ Oribasius, Synops. V 9; Aëtius IV 9*

1 ᾖ] DO: *om.* ABCFHJK   ἐλπίδα DF   ἐκπέμψειν ABCJ: *corr.* BCJ   ἐκπέψειν παρέχειν F   2 σιτίων DFJK: *corr.* K   ἐμπιμπλᾶσαν A   3 τε] D: δὲ HK (*Or. cod.* P): *del.* BC: *om.* AFJ   4 φυσᾷ ABK   5 ἀναλωθῇ J, *sed corr.*: ἀναλωθείη F   10 σχοίνου CFK   εἶτα] ἢ DF: ἢ τῷ C   11 δὴ DF   13 τῷ] D *Or.*: *om.* ABCFHJK   14 ἐμπιμπλάντας A: ἐμπιπλᾶσαν *e corr.* J   μήτε αὖ] AK: *mut. in* μήτε H: μήτε DF: μήτ' αὖ BCJ   15 ἐγχέαντας D: ἐκχέοντας H   16 μηδὲ] JK: μήδ' ABCDH: μὴ F   17. 18 προσφέρειν μάλιστα K   20 συμβαίνει *corr. ex* συμβαίνῃ H: συμβένει F   21 θερμῷ πολλῷ K   22 καὶ *om.* D: *supra scr.* J   26 τοῦ] καὶ D: *om. Or.*   28 μὲν γίνονται K   29 ποτε] ποτε καὶ DF

σπασμοί. χρὴ οὖν τηνικαῦτα μηδὲν διδόναι τῷ παιδίῳ μασήσεως δεόμενον, τῷ δακτύλῳ δὲ συνεχῶς παρὰ τὸ λουτρὸν τὰ οὖλα ψηλαφᾶν καὶ μαλάσσειν ὀρνιθείῳ στέατι ἢ ἐγκεφάλῳ λαγωοῦ· τῶν δὲ ὀδόντων ἤδη παρακυψάντων χρῆσθαι τρυφερῶν ἐρίων καθαρῶν ἐπιβολῇ τραχήλου καὶ κεφαλῆς καὶ σιαγόνων ἐμβροχῇ τε τῶν αὐτῶν δι' ἐλαίου γλυκέος καὶ θερμοῦ παρασταζομένου καὶ τοῖς ἀκουστικοῖς πόροις. χρὴ δὲ τηνικαῦτα τὸ παιδίον εὐθαλέστερον διαιτᾶν καὶ λούειν θερμῷ. καὶ εἰ μὲν διαρροίας ἔχοι, πειρᾶσθαι συνάγειν τὴν γαστέρα τοῖς ἐπιθέμασιν, ὅσα μάλιστα ἵστησι, τὸ κύμινον ἐμπάσσοντας ἐρίῳ ἢ τὸ ἄνηθον ἢ τὸ σέλινον· ἀγαθὸν δὲ καὶ σπέρμα ῥόδων προσμίσγειν καὶ τὸ ὅλως θερμὸν ξηραίνειν. εἰ δὲ μηδὲν ὑπίοι κάτω, ἐρεθίζειν πράως τῷ μέλιτι πλάσσοντας ὡς βαλάνιον ἢ καλαμίνθῃ τετριμμένῃ μετὰ μέλιτος χρίειν. δοκεῖ δὲ κάλλιστα βοηθεῖν τοῖς σπασμοῖς τῶν παιδίων ἡλιοτρόπιον ἑψόμενον ὕδατι, εἰ λούοιτο ἐν τούτῳ τὸ παιδίον. ὠφελεῖ δὲ καὶ ἰρίνῳ χρῖσαι ἢ κυπρίνῳ καὶ τῷ Σικυωνίῳ καὶ τὸ σύμπαν θερμαίνειν. ἐπεὶ δὲ ἀνατελλόντων τῶν ὀδόντων δάκνει τοὺς δακτύλους καὶ τιτρώσκει, καλῶς ἂν ἔχοι κατέχειν ἴρεως ῥίζαν ἐξεσμένην καὶ μὴ πάνυ ξηράν. τοῦτο καὶ τοῖς ἕλκεσι προσβοηθεῖ, καὶ τὸ βούτυρον μετὰ μέλιτος διαχριόμενον ὀνίνησιν. τοὺς δὲ ὀδαξησμοὺς τῶν οὔλων σὰρξ ταρίχου παλαιοῦ ὀνίνησιν.

## ι'. Πρὸς ἄφθας.

Γίγνεται δὲ τῷ παιδίῳ καὶ ἕλκος τὸ καλούμενον ἄφθα, τὸ μὲν ὑπόλευκον, τὸ δὲ ὑπέρυθρον, τὸ δ' αὖ μέλαν οἷον ἐσχάρα· κάκιστον δὲ τὸ μέλαν καὶ θανατωδέστατον. βοηθεῖ δὲ ἶρις μετὰ μέλιτος, καὶ εἰ ξηρὰν ἐμφυσᾶν ἐθέλοις, καὶ ῥόδων φύλλα κεκομμένα καὶ τὸ ἄνθος τῶν ῥόδων καὶ κρόκος καὶ ὀλίγον σμύρνης καὶ ἡ κηκὶς καὶ ὁ λιβανωτὸς καὶ ὁ φλοιὸς τοῦ λιβάνου, ὁμοῦ τε καὶ ἰδίᾳ ἕκαστον, μέλιτι δευόμενα, ἐπὶ τούτοις μελίκρατόν τε καὶ ῥοιᾶς γλυκείας ὁ χυλός.

## ια'. Πρὸς τὰ τῶν μηρῶν παρατρίμματα.

Τὰ δὲ κατὰ τοὺς μηροὺς παρατρίμματα μυρσίνῃ ξηρᾷ διαπάσσειν καὶ κυπέρῳ καὶ ῥόδοις.

ι' *Oribasius, Synops. V 10* 19 *Oribasius vol. III 193*
ια' *Oribasius, Synops. V 11; Aëtius IV 24*

4 τραχήλων K: κατὰ τραχήλου D 6 δὲ *om.* C 7 διαιτᾶν] D: καὶ διαιτᾶν ABCFHJK: καὶ *eras.* K 8 ἔχει DFJK 9 ἐμπάσσοντας] DJ: ἐμπά(σ)σοντα ABCFK: ἐμπά^σσαντα H ἢ *(prius) om.* FK 10 τὸ *om.* DF: *del.* C θερμὸν] CH: θερμοῖς C²: θερμῷ F: θερμῶς ABJK: θερμαίνειν καὶ D 11 ὑπίει A 12 πλάσσοντας] F *Or.*: πλάσσοντα ACK: πλάσοντα J: πλάσαντα BH: πλάττονται D ὡς] εἰς C 14 ὕδατι] F: ἐν ὕδατι ABCDHJK, ἐν *in ras.* D 16 ὀδόντων] DH: ὀδόντων καὶ τιτρώντων ABFJK: ὀδόντων καὶ τιτρωσκόντων C καὶ τιτρώσκει] DF³K: *om.* ABCHJ 19 τοὺς . . . ὀνίνησιν *mrg.* C² ταρίχους C²D 21 γίνεται DFJ 24 ἐθέλεις K 26 μελιτοδευόμενα K 29 τοὺς] CD: *om.* ABFHJK

### ιβʹ. Πρὸς τὰς τῶν ὤτων ὑγρότητας.

Τὰς δὲ τῶν ὤτων ὑγρότητας ξηραίνειν ἔριον ἀπὸ στυπτηρίας ἐντιθεῖσαν ἢ οἰνόμελι ἢ οἶνον παλαιὸν ἐνστάζουσαν ἢ κρόκον μετὰ οἴνου τρίψασαν.

### ιγʹ. Περὶ σειριάσεως.

Σειρίασίς ἐστι φλεγμονὴ τῶν περὶ τὸν ἐγκέφαλον καὶ μήνιγγας μερῶν· παρακολουθεῖ δὲ τοῦ βρέγματος κοιλότης καὶ τῶν ὀφθαλμῶν μετ᾿ ὠχριάσεως καὶ ξηρότητος τοῦ σώματος. βοηθεῖ δὲ αὐτοῖς ᾠοῦ τὸ ἐρυθρὸν μετὰ ῥοδίνου τιθέμενον ἐπὶ τοῦ βρέγματος ἐν τρόπῳ πτύγματος συνεχῶς ἀλλασσόμενον.

Ἄλλο πρὸς σειριάσεις. κατὰ τοῦ βρέγματος ἐπιτιθέναι χρὴ ἡλιοτροπίου τοῦ σκορπιούρου καλουμένου φύλλα, κολοκύνθης ξέσματα, σικύου πέπονος τὸ περικείμενον τῇ σαρκὶ δέρμα ἢ στρύχνου κηπαίου τὸν χυλὸν μετὰ ῥοδίνου.

### ιδʹ. Δίαιτα νηπίων καὶ τῶν ἐφεξῆς ἡλικιῶν ἄχρι τῶν παρακμαζόντων.

Τοὺς νηπίους καὶ ἀπὸ τοῦ γάλακτος γεγονότας ἐν ἀνέσει τε ἐᾶν καὶ ἱλαρότητι, γυμνάσια δὲ καὶ τροφὰς αὐτοῖς προσφέρειν ἐλαφρῶς. ἀπὸ δὲ τῶν ἓξ καὶ ἑπτὰ ἐτῶν τούς τε παῖδας καὶ τὰς κόρας γραμματισταῖς παραδιδόναι πραέσι καὶ φιλανθρώποις· οὗτοι γὰρ μετὰ ἀνέσεως καὶ χαρᾶς διδάσκουσιν, ἡ δὲ ἄνεσις τῆς ψυχῆς πρὸς εὐτροφίαν σώματος μεγάλα συμβάλλεται. τοὺς δὲ δωδεκαετεῖς τῶν παίδων πρός τε γραμματικοὺς φοιτᾶν ἤδη καὶ γεωμέτρας καὶ τὸ σῶμα γυμνάζειν ἀναγκαῖον. ἀπὸ δὲ τῶν τεσσαρακαίδεκα ἐτῶν μέχρι τριῶν ἑβδομάδων ἁρμόσει μαθημάτων ἄσκησις καὶ φιλοσόφων λόγων κατήχησις καὶ γυμνάσια πλείονα παραλαμβάνειν διὰ τὴν ἰσχὺν τοῦ σώματος, ὅπως καὶ ψυχῇ καὶ σώματι πονοῦντες ταῖς ὁρμαῖς κωλύωνται χρῆσθαι ταῖς εἰς ἀφροδίσια· συναιρετέον δὲ καὶ τὸν οἶνον ἐπὶ τούτων. τοῖς δὲ ἀκμάζουσιν ἁρμόζει δίαιτα τελεία καὶ ψυχῆς καὶ σώματος· διὸ γυμνασίοις χρηστέον πᾶσι, μάλιστα δέ, οἷς ἕκαστος εἴθισται, καὶ τροφαῖς ἱκαναῖς τε καὶ εὐτρόφοις. τοῖς δὲ παρακμάζουσιν ἁρμόζει δίαιτα ὑφισταμένη καὶ

ιβʹ *Oribasius, Synops. V 12; cf. Aëtius IV 12* ιγʹ *Oribasius, Synops. V 13; Aëtius IV 13* 11—14 *Oribasius, Synops. VIII 22* ιδʹ *Oribasius, Synops. V 14; Aëtius IV 29*

3 οἰνόμελι] D *et e corr.* J: οἰνομέλιτι ABCFHJK 6 τῶν *supra scr.* BC$^2$ τὸν] τῶν AJ, *corr.* A 7 μορίων BDK 11 πρὸς σειριάσεις] πρὸς σιριάσεις CK: περὶ σιριάσεως D: *om.* FJ: πρὸς τὰς σιριάσεις ABH 12 τοῦ σκορπιούρου] O *Or.*: τοῦ καὶ ῥοῦ D: ῥοῦ K: τοῦ ABCFHJ ξύσμα F 13 κηπαίου] *Or.*: κηπέου K: κηπευτοῦ ABCDFHJ 18 δὲ] *supra scr.* A: τε DF 20 παραδιδόναι] DF: παραδοῦναι ABCHJK 24 τεσσαρισκαίδεκα BDFHK: ῑδ C τριῶν] τῶν τριῶν KO 28 δὲ *(prius)*] τε K 31 ἁρμόζει δίαιτα] DKO: δίαιτα ἁρμόζει ABCFHJ

ψυχῆς καὶ σώματος· τά τε γὰρ γυμνάσια, ὁποῖά ποτ᾽ ἂν ᾖ, κατὰ λόγον τούτων ὑφαιρετέον καὶ τὰς τροφὰς ἐκ προσαγωγῆς συσταλτέον τῆς ἕξεως αὐτῶν ἀρχὴν ψύξεως λαμβανούσης.

## ιε΄. Περὶ τρίψεως παρασκευαστικῆς.

Πρὸ τῶν γυμνασίων θερμαίνειν τὸ σῶμα μετρίως χρὴ τρίψει χρωμένους τῇ διὰ σινδόνων, κἄπειτα δι᾽ ἐλαίου τρίβειν γυμναῖς ταῖς χερσίν, ἄχρις ἂν θερμανθῇ καλῶς καὶ μαλαχθῇ τὸ σῶμα, ἐπανθήσῃ τε ἔρευθος εὐανθές, καὶ εἰς ὄγκον ἀχθῇ.

## ιϛ΄. Περὶ γυμνασίων.

Κίνησίς ἐστι σφοδρὰ τὸ γυμνάσιον, ὅρος δὲ τῆς σφοδρότητος ἡ τῆς ἀναπνοῆς ἐπὶ τὸ δασύτερον ἀλλοίωσις. τὰ δὲ γυμνάσια δυσπαθῆ τε παρασκευάζει τὰ ὀργανικὰ μόρια καὶ εὔτονα πρὸς τὰς ἐνεργείας τήν τε ὁλκὴν ἰσχυροτέραν τῆς τροφῆς καὶ τὴν ἀλλοίωσιν ἑτοιμοτέραν καὶ τὴν θρέψιν βελτίονα ἐργάζεται διὰ τὴν γινομένην θερμότητα. ἐκκαθαίρει δὲ καὶ τοὺς πόρους καὶ κενοῖ τὰ περιττώματα διὰ τὴν τοῦ πνεύματος ἰσχυρὰν κίνησιν. ἐπειδὴ οὖν τῇ ἀναδόσει συνεργεῖ, [τὸ] μήτε πλῆθος ὠμῶν καὶ ἀπέπτων μήτε σιτίων μήτε χυμῶν ἢ κατὰ τὴν κοιλίαν ἢ ἐν τοῖς ἐντέροις περιέχεσθαι· κίνδυνος γὰρ αὐτοῖς ἑλχθῆναι πρὸς ἅπαντα τὰ τοῦ ζῴου μόρια, πρὶν χρηστοῖς γενέσθαι πεφθεῖσιν. δῆλον οὖν, ὡς [καὶ] πρὸ τῶν σιτίων αὐτὰ παραλαμβάνεσθαι χρή. γνωρίσματα δὲ τῆς εὐκαιρίας τῶν οὔρων ἡ χρόα· τὸ μὲν γὰρ ὑδατῶδες ἄπεπτον ἔτι σημαίνει τὸν ἐκ τῆς γαστρὸς ἀναδοθέντα χυμόν, τὸ δὲ πυρρὸν καὶ χολῶδες ἐκ πολλοῦ κατειργάσθαι, τὸ δὲ μετρίως ὠχρὸν ἄρτι πέψεως γεγενημένης σημεῖόν ἐστιν· τηνικαῦτα οὖν ἄγειν ἐπὶ τὰ γυμνάσια προαποθέμενον τά τε ἐν τῇ κύστει καὶ ἐν τῇ γαστρὶ περιττώματα.

## ιζ΄. Περὶ τῶν εἰδῶν τοῦ γυμνασίου.

Τὸ μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων ἐστὶ θερμότητος αὔξησιν ἐξ ἑαυτῶν τοῖς ζῴοις ἐργάσασθαι· τὸ δὲ διὰ τῶν καθ᾽ ἕκαστα τὸ μὲν εὔτονον γυμνάσιον, τουτέστι τὸ βίαιον, πρὸς εὐτονίαν παρασκευάζει

ιε΄ *Oribasius, Synops. I 1; cf. Coll. VI 13. Aëtius III 1* ιϛ΄ *Oribasius, Synops. I 2; cf. Coll. VI 11—12. Aëtius III 2* ιζ΄ *Oribasius, Synops. I 3; cf. Coll. VI 14—15. Aëtius III 3*

1 κατ᾽ ὀλίγον O 2 τοῦτον C: τούτοις J² 5 μετρίως χρὴ τὸ σῶμα θερμαίνειν F χρὴ μετρίως CJ, *corr.* C 7 θερμανθείη ABCDFHJK μαλαχθῇ] K: μαλαχθείη ABCDFHJ ἐπανθήσῃ] AJ, *e corr.* H: ἐπανθήσει BCFK: ἐπανθήσοι D 8 ἀχθείη ABCDFHJK 14 βελτίονα] KJ³: βελτίον (α suprascr.) D: βελτίω C: βέλτιον ABFHJ 15 καὶ *(prius) om.* C 16 τὸ] *eras.* K: δεῖ B³ μήτε] μὴ DF 17 ὠμῶν] ὠμῶν τε A: ὠμῶν περιττωμάτων F *post* ἀπέπτων *ins.* σιτίων *mrg.* D σιτίων] περιττωμάτων DF 20 οὖν *om.* D καὶ *om.* D 21 χροιά DFK 22 ἔτι] εἶναι K 23 κατείργασται K 29 τὸ] τῶν B: *mrg.* ἐν ἄλλῳ τὸ δὲ ἴδιον τῶν B³

τούς τε μῦς καὶ τὰ νεῦρα· τοιαῦτα δέ ἐστι τό τε σκάπτειν καὶ τὸ φορτίον ἀράμενον μέγιστον ἢ μένειν κατὰ χώραν ἢ προβαίνειν μικρά· καὶ οἱ ἀνάντεις δὲ περίπατοι τούτου τοῦ γένους εἰσὶν καὶ τὸ ἀναρριχᾶσθαι διὰ σχοινίου καὶ πλεῖστα ἄλλα ὁμοιότροπα. τὰ δὲ ταχέα χωρὶς εὐτονίας καὶ βίας ἐστί· δρόμοι δέ εἰσι ταῦτα καὶ σκιαμαχίαι καὶ ἀκροχειρισμοὶ καὶ τὸ διὰ τοῦ κωρύκου τε καὶ τῆς μικρᾶς σφαίρας γυμνάσιον. σύνθετον δὲ ἔστιν ἐξ εὐτόνου καὶ ταχέος· ὅσα γὰρ εὔτονα τῶν γυμνασίων ἐστί, τούτοις ὡς σφοδροῖς ἄν τις χρῷτο κινήσεις ταχείας προστιθείς. ἔτι τῶν γυμνασίων τὰ μὲν ὀσφὺν μᾶλλον ἢ χεῖρας ἢ σκέλη διαπονεῖ, τὰ δὲ τὴν ῥάχιν ἢ τὸν θώρακα μόνον ἢ τὸν πνεύμονα. γυμνάζεσθαι δὲ χρή, μέχρις ἂν εἰς ὄγκον αἴρηται τὸ σῶμα καὶ εὐανθὲς ὑπάρχῃ, καὶ αἱ κινήσεις εὔτονοί τε καὶ ὁμαλεῖς καὶ ῥᾴθυμοι γίνωνται. ἐν τούτῳ δὲ καὶ ἱδρῶτα θεάσῃ θερμὸν ἀτμῷ συμμιγῆ. παύεσθαι δὲ τηνικαῦτα πρῶτον, ἐπειδὰν ἕν τι τῶν εἰρημένων ἀλλοιωθῇ· οἷον εἰ φανείη συστελλόμενος ὁ τοῦ σώματος ὄγκος, αὐτίκα παύειν, ὡσαύτως δὲ καί, εἰ τὸ τῆς χρόας εὐανθὲς μαραίνοιτο, παύεσθαι· καὶ μὲν δὴ καὶ τὸ τῶν κινήσεων ἐπειδὰν ἐνδιδόναι που φαίνηται, καταπαύειν αὐτίκα, καὶ εἰ περὶ τὸν ἱδρῶτα γίγνοιτό τις ἢ κατὰ τὸ πλῆθος ἢ κατὰ τὴν ποιότητα μεταβολή· ἐὰν γὰρ ἐλάττων ἢ ψυχρότερος γίγνηται, καταπαύειν περιχέαντα τὸ ἔλαιον, ἀποθεραπεύειν δὲ τοὐντεῦθεν, εἶθ' ἑξῆς τῇ ἀποθεραπευτικῇ τρίψει χρῆσθαι, ὡς εἰώθασιν οἱ παιδοτρίβαι ποιεῖν.

## ιη'. Περὶ τῆς ἰδίως τρίψεως.

Τῶν τρίψεων ἡ μὲν σκληρὰ δύναται δεῖν, ἡ μαλακὴ δὲ λύειν. ὥστε, ὅσα μὲν ἐκλέλυται πέρα τοῦ μετρίου σώματα, σκληρῶς ἀνατριπτέον, ὅσα δὲ ἔσφιγκται, μαλακῶς, εἰ δέ τι συμμέτρως ἔχει, τοῦτο εὔδηλον ὡς οὔτε μαλακῶς οὔτε σκληρῶς, ἀλλ' ὅσον οἷόν τε τὰς ὑπερβολὰς ἑκατέρας φυλαττόμενον. ἡ μὲν γὰρ πολλὴ τρῖψις καὶ σκληρὰ τὸν ὄγκον καταστέλλει τοῦ σώματος, ἡ δὲ ὀλίγη καὶ μαλθακὴ τὸ ἀνάπαλιν εἰς ὄγκον ἐπαίρει. αἱ δὲ τρεῖς διαφοραὶ τῶν κατὰ ποσότητα

ιη' *Oribasius, Synops. I 4; cf. Coll. VI 17. Aëtius III 4*

2 μικρά] DF: ἢ μικρά ABCHJK 3 οἱ ἀνάντεις δὲ] *Or.*: οἷα ἄν τις δύναιτο D *et e corr.* B: οἷον ἄν τις δύναιτο ABCFHJK περίπατοι] ABH: περιπατεῖν CDFJK εἰσὶν] ABH: εἰσὶ CJK *et e corr.* B: ἐστι DF 6 τοῦ *om.* F *Or.* 7 ἐξ] τὸ ἐξ D ταχείας H *et e corr.* J 8 ὡς] ὡ H: *om.* D σφοδροῖς] F, *e corr.* K: σφοδρῶς ABCDHJ 9 διαπονεῖν HK, -ν *eras.* K 12 εὔτονοι] CH: ἄτονοί ABDFJK ὁμαλεῖς] ADH, *mrg.* B²: ὁμαλοὶ *e corr.* JK, ἀν- *supra add.* K: ὁμαλαὶ C: ἀμελεῖς *e corr.* B: *mrg.* ἐν ἄλλῳ εὔτονοι καὶ ὁμαλεῖς B²: ἀμβλεῖς F γένωνται D 15 δὲ *om.* C 16 τὸ] D: ἀπὸ C: εἰ τὸ JK *et e corr.* AB: εἰς τὸ FH ἐπειδὰν] DFO: ἐπίπαν ABCHJ *et mut. in* ἐπὶ τὸν K 19 ψυχρότερος] DB²: ψυχροτέρα ACFHJK γένηται D περιχέοντα C: περιχέοντας F: τε καὶ περιχέοντας D τὸ *om.* DF 20 δὲ] C: *om.* DF: τε ABHJK τῇ *om.* D 22 τῆς ἰδίως] AFHJK: τῶν εἰδῶν τῆς CD, τῆς *mut. in* τῶν C: τῆς ἰδίας *e corr.* B: ἐν ἄλλῳ περὶ τῶν εἰδῶν τῆς τρίψεως *mrg.* B³ τρίψεων *in ras.* C 24 σώματος CKF³: τοῦ σώματος D 25 τι] *corr. ex* τις H: τις DF τοῦτο] FKO: τούτων D: τούτου ABCHJ 28 μαλθακὴ καὶ ὀλίγη D μαλακὴ JK

τρίψεων ταῖς τρισὶ διαφοραῖς ταῖς κατὰ ποιότητα ἐπιπλεκόμεναι συζυγίας ἀποτελοῦσιν ἐννέα, ὡς ὑποτέτακται· ἡ μὲν γὰρ μία κατὰ ποσότητα, οἷον ἡ πολλή, ταῖς τρισὶ ταῖς κατὰ ποιότητα συμπλεκομένη, τῇ σκληρᾷ λέγω καὶ τῇ μαλακῇ καὶ τῇ συμμέτρῳ κατὰ σκληρότητα, ποιεῖ τρεῖς διαφοράς, ἡ δὲ ὀλίγη πάλιν ταῖς αὐταῖς τρισὶν ἑτέρας τρεῖς, ἡ δὲ σύμμετρος κατὰ ποιότητα ταῖς αὐταῖς τρισὶ συμπλεκομένη τρεῖς ἄλλας, ὡς ὑποτέτακται·

| ποσότης | | ποιότης |
|---|---|---|
| πολλὴ | καὶ | σκληρά |
| πολλὴ | καὶ | μαλακή |
| πολλὴ | καὶ | σύμμετρος |
| ὀλίγη | καὶ | σκληρά |
| ὀλίγη | καὶ | μαλακή |
| ὀλίγη | καὶ | σύμμετρος |
| σύμμετρος | καὶ | σκληρά |
| σύμμετρος | καὶ | μαλακή |
| σύμμετρος | καὶ | σύμμετρος. |

## ιθʹ. Περὶ ἀναφωνήσεως.

Ἐν ταῖς ἀναφωνήσεσιν ἡ μὲν εὐμέλεια καὶ χρηστοφωνία οὐδὲν ἂν συμβάλλοιτο πρὸς ὑγίειαν, ὁ δὲ τῶν βαρυτέρων φθόγγων ἦχος χρήσιμος· ὥστε τοῦτον ἀσκητέον. οὕτω γὰρ πλεῖστος ἀὴρ εἰς τὸ σῶμα κατ' ἀναπνοὴν ἑλκόμενος διαστέλλει τόν τε θώρακα καὶ τὴν κοιλίαν καὶ τοὺς καθ' ὅλον τὸ σῶμα πόρους ἀνευρύνει καὶ διίστησι· διόπερ ἐν αὐταῖς ταῖς ἀναγνώσεσι τῶν πλεοναζόντων ὑγρῶν ποιεῖται τὰς ἐκκρίσεις, τοῖς μὲν συντονώτερον ἀναγινώσκουσι μᾶλλον καὶ δι' ἱδρώτων, τοῖς δὲ ἐπιεικέστερον ἐντεινομένοις διὰ τῆς ἀδήλου γινομένης ἀποφορᾶς καθ' ὅλον τὸν ὄγκον. συμβαίνει γὰρ διὰ τὸν λεπτυσμὸν πολλῶν περιττωμάτων ἀναχρεμπτομένων καὶ πτυέλων καὶ μύξης καὶ φλέγματος ἔκκρισιν γίνεσθαι καὶ ἀπανάλωσιν. τοῖς γε μὴν ἀναθερμασίας δεομένοις διὰ ψυχρότητα τίς ἂν ἄλλη προσφορωτέρα γένοιτο βοήθεια τῆς κατὰ τὴν ἀναπνοὴν ἐνεργείας; δεῖ τοίνυν ἀναγινώσκειν πολλάκις ἀνιέντας τὸ σῶμα πᾶν καὶ κεχυμένης τῆς σαρκὸς εἰς ἀραίωσιν διιστάντας ἐπίτηδες τήν τε ἀρτηρίαν καὶ τὰς ἄλλας διεξόδους τοῦ πνεύματος κατὰ τὰς βαρυτάτας φθέγγεσθαι τῆς φωνῆς ἐνεργείας οὔτε εἰκῇ οὔτε ἀπερι-

ιθʹ *Oribasius, Synops. I 5; cf. Coll. VI 10. Aëtius III 5*

7 ὑποτέτακται] ABHJK: ὑπογέγραπται CD, *mrg.* B[2]: ὑπογέγραπται ποιεῖ F 8 *In schemate ordinando secutus sum* ABH: *ceteri varie disponunt* 19 εὐμελία K: εὐμελὴς AO: ἐμμέλεια D καὶ] DF: *supra add.* JK: *om.* ABCHO οὐδὲν] DK, *e corr.* B: οὐδενὶ ACFHJ 20 συμβάλοιτο A φθόγγων ἦχος] KO: φθόγγος ἤχων D: ἤχων φθόγγος ABCFHJ 21 ἀὴρ] ὁ ἀὴρ K εἰς τὸ σῶμα *om.* A 22 κατ' ἀναπνοὴν] κατὰ ἀναπνοὴν CF: κατὰ πνοὴν K 25 συντονώτερον] K: συντομώτερον D: συντεμότερον F[3]: οὖν τονώτερον ABCHJ 31 ἀνιέντας] ADFJ: ἀνιέντα BCHK 32 κεχαυνωμένης K 34 βαρυτάτας] ABFHJK: βαρυτέρας C: ἄλλας βαρυτῆτας D τῆς *om.* K ἐνεργείας *om.* D οὔτε *(prius)*] μήτε D οὔτε *(alt.)*] μήτε DF

σκέπτως, ἀλλὰ μήτε φαύλων καὶ διεφθαρμένων μεστοὺς ὄντας ὑγρῶν μήτε ἐπὶ μεγάλαις τοῦ στομάχου καὶ φανεραῖς ἀπεψίαις πρὸς τὴν διὰ τῆς φωνῆς γυμνασίαν ἀφικνεῖσθαι, ὅπως ἂν μὴ πλείων ἀνάδοσις τῶν διεφθαρμένων ἀτμῶν εἰς τὸ σῶμα γένηται.

## κʹ. Περὶ κόπων τῶν ἐπὶ γυμνασίοις.

Ὁ ἑλκώδης κόπος ἐπὶ πλήθει γίνεται περιττωμάτων λεπτῶν τε ἅμα καὶ δριμέων. ὁ δὲ τονώδης περίττωμα μὲν οὐδὲν ὅτι καὶ ἄξιον λόγου ἐγκεῖσθαι τοῖς σώμασιν ἐνδείκνυται, κατὰ δὲ τοὺς μῦς καὶ τὰ νεῦρα διάθεσίς τις ἐγγίνεται, καθ' ἣν τείνεσθαι δοκοῦσιν. ὁ δὲ φλεγμονώδης, καθ' ὃν ὥσπερ τεθλασμένων ἢ φλεγμαινόντων αἰσθανόμεθα τῶν μορίων, τηνικαῦτα συμπίπτειν εἴωθεν, ὅταν ἐκθερμανθέντες ἱκανῶς ἐπισπάσωνταί τι τῶν περικεχυμένων ἑαυτοῖς περιττωμάτων. ἔστι δὲ καὶ ἄλλη διάθεσις τετάρτη, ἧς ἡ μὲν γένεσις ἐν τῷ ξηρανθῆναι τοὺς μῦς περαιτέρω τοῦ προσήκοντος, ὥστε ἀποδύντων αὐχμηρὸν καὶ προσεσταλμένον φαίνεσθαι τὸ σῶμα καὶ πρὸς τὰς κινήσεις ὀκνεῖν. τὴν δὲ ἴασιν ὁ μὲν ἑλκώδης κόπος ἔχει τὴν διαχώρησιν τῶν περιττωμάτων διὰ τρίψεώς τε πολλῆς καὶ μαλακῆς σὺν ἐλαίῳ πολλῷ μηδεμίαν ἔχοντι στῦψιν. ὁ δὲ ἕτερος ὁ τονώδης τὸν σκοπὸν τῆς ἰάσεως ἔχει τὴν χάλασιν· χαλᾶται δὲ τὸ συντεταμένον τρίψει μὲν ὀλίγῃ τε ἅμα καὶ μαλακῇ δι' ἐλαίου γλυκέος εἰληθεροῦς ἀναπαύσει τε πάσῃ καὶ ἡσυχίᾳ καὶ λουτροῖς εὐκράτοις καὶ διατριβῇ πλείονι κατὰ τὸ θερμὸν ὕδωρ· ὥστε, εἰ καὶ δὶς καὶ τρὶς αὐτὸν λούοις, ὀνήσεις μειζόνως. ὁ δὲ δὴ τρίτος τῶν κόπων ὁ φλεγμονώδης τῆς ἰάσεως τρεῖς ἔχει σκοπούς, κένωσιν τοῦ περιττοῦ καὶ ἄνεσιν τοῦ συντεταμένου καὶ ἀνάψυξιν τοῦ φλογώδους. ἔλαιόν τε οὖν πολὺ χλιαρὸν αἵ τε τρίψεις μαλακώταται καὶ ἐν τοῖς εὐκράτοις ὕδασι διατριβὴ πολυχρονιωτάτη τοὺς τοιούτους ἰᾶται κόπους, οὕτω δὲ καὶ ἡσυχία πολλὴ καὶ μάλιστα συνεχής. ἡ δὲ τετάρτη διάθεσις δεῖται κατὰ μὲν τὴν πρώτην ἡμέραν οὐδενὸς ἐξηλλαγμένου παρὰ τὸ πρόσθεν ὅτι μὴ θερμοτέρου τοῦ ὕδατος, ὡς συνάγειν ἀτρέμα, κατὰ δὲ τὴν δευτέραν ἀποθεραπευτικοῦ γυμνασίου· ἐκπηδάτωσαν εὐθέως ἐν τοῖς λουτροῖς [ὡς] ἐκ τῆς ψυχρᾶς δεξαμενῆς. εὐθὺς δὲ ἅπαντες οἱ κεκοπωμένοι δέονται τροφῆς.

κʹ *Oribasius, Synops. V 15; cfr. Aëtius IV 35—39*

2 διὰ *om.* A 8 καὶ] τε καὶ AB² 9 τείνεσθαι] ADC², *e corr.* BJ: τίνεσθαι FK: γίνεσθαι C: γίγνεσθαι H 11 ἱκανῶς οἱ μύες *Or.* 16 διαχώρησιν] CDFHKB²: διαφόρησιν AJC², *in ras.* B 18 τὸν *om.* ADF 19 συντεταμμένον FJ: συντεταγμένον HB³ μὲν] τε DH τε *om.* D 20 γλυκέος] DJKF³: τε ABCH εἰληθεροῦς] BCH: *om.* D: ἡλισεροῦς? A: ἡλιθεροῦς J: ἡλίου θέρους K: ῥοῦς F 21 εἰ *om.* C, *ins. ante* λούοις C² 22 λούοις] *corr. ex* λούσεις J: λούεις F δὴ] D: *om.* ABCHJK (F³ *pro* δὲ *hab.* δὴ) 25 τρίψεις] τρίψεις αἱ D τοῖς *om.* A 26 εὐκρατωτάτοις K 27 οὕτω] D: οὔτ^ω A: οὕτως BCFHJK μάλιστα καὶ D 30 εὐθέως] C *Or*: δὲ εὐθέως ABDFHK *et in ras.* J 31 ὡς *om. Or.* εὐθὺς] -ὐ- *e corr.* J: εὐθέως F ἅπαντες] ἐκβάντες D

## κα΄. Περὶ στεγνώσεως δέρματος.

Ἡ δὲ στέγνωσις γίνεται μὲν δι᾽ ἔμφραξιν ἢ πύκνωσιν τῶν πόρων, καὶ ἡ μὲν ἔμφραξις διὰ πλῆθος ἢ πάχος ὠμῶν καὶ ἀπέπτων χυμῶν, ἡ δὲ πύκνωσις ἢ διὰ τὰ ψύχοντα ἢ τὰ στύφοντα ἢ τὰ ξηραίνοντα. διαγινώσκεται δὲ εὐθὺς μὲν ἀποδύντων ἀχροίᾳ τε λευκῇ ἅμα καὶ σκληρότητι καὶ πυκνώσει τοῦ δέρματος, κατὰ δὲ τὸ γυμνάζεσθαι τῷ δυσεκθερμάντῳ. ἡ δὲ ἴασις τῆς τοιαύτης διαθέσεως θέρμανσίς ἐστι. συντονωτέροις οὖν γυμνασίοις χρηστέον καὶ βαλανείοις θερμοτέροις, ἡ δὲ ἐν τῇ ψυχρᾷ κολυμβήθρᾳ διατριβὴ μὴ πολυχρόνιος γινέσθω, μηδὲ αὐτὸ τὸ ὕδωρ ἄγαν ἔστω ψυχρόν· ἐνδύεσθαι δὲ μέλλοντες ἀλειφέσθωσάν τινι τῶν μετρίως θαλπόντων ἐλαίῳ τῷ γλυκεῖ καὶ λεπτομερεῖ. τὰς πυκνώσεις δὲ τοῦ δέρματος ἱκανῶς ἰᾶται καὶ τὸ ἀνήθινον ἔλαιον, καὶ μάλιστα, εἰ χλωρὸν εἴη τὸ ἄνηθον, καὶ τὸ αἰγείρινον ἔλαιον.

## κβ΄. Περὶ τῶν αὐτομάτων κόπων.

Ἐπεὶ διὰ κακοχυμίαν γίνεται δριμέων περιττωμάτων ὁ ἑλκώδης κόπος, εἰ μὲν ὀλίγη παντάπασιν ἡ κακοχυμία εἴη, γυμνάσιον ἀρκέσει τὸ ἀποθεραπευτικόν, εἰ δὲ μείζων καὶ διὰ βάθους, οὐκέτι τὸν τοιοῦτον οὔτε ἐπὶ γυμνάσιον ἄξομεν οὔτ᾽ ἐπὶ κίνησιν ὅλως οὐδεμίαν, ἡσυχάσαι δὲ καὶ ὑπνῶσαι κελεύσαντες ἐν ἀσιτίᾳ φυλάξομεν ὅλην τὴν ἡμέραν, εἶτα εἰς ἑσπέραν ἀλείψαντες λιπαρῶς καὶ λούσαντες εὐκράτῳ θερμῷ τροφὴν εὔχυμόν τε καὶ ῥοφηματώδη δώσομεν ὀλίγην, οὐκ ἀφέξομεν δὲ αὐτοὺς οὐδὲ οἴνου· πέττει γὰρ τοὺς ἡμιπέπτους χυμούς, εἴπερ τι ἄλλο, καὶ οἶνος. εἰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις κατασταίη τὸ σύμπτωμα, πρὸς τὰ συνήθη κατὰ λόγον ἐπανάγειν τὸν ἄνθρωπον· εἰ δὲ κατὰ τὴν ἑξῆς ἡμέραν ἔτι παραμένοι, σκεπτέον ἤδη περὶ βοηθήματος ἰσχυροτέρου· σὺν μὲν γὰρ ἰσχυρᾷ τῇ δυνάμει δυοῖν θάτερον ἢ φλεβοτομεῖν ἢ καθαίρειν προσήκει διορισάμενον, ὁποτέρου δεῖ μᾶλλον, σὺν ἀσθενεῖ δὲ φλεβοτομεῖν μὲν οὐδ᾽ ὅλως, ὑποκαθαίρειν δὲ μετρίως, εἰ δὲ ὠμοὶ χυμοὶ πάμπολλοι τύχοιεν ὄντες, μήτε φλεβοτομεῖν μήτε καθαίρειν μήτε γυμνάζειν, ἀλλὰ μηδὲ κινεῖν ὅλως μήτε λούειν· φυλακτέον δὲ αὐτοὺς ἐν ἡσυχίᾳ πάσῃ καὶ δοτέον ἐδέσματά τε καὶ πόματα καὶ φάρμακα λεπτύνοντά τε καὶ τέμνοντα ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. διαιτᾶν οὖν αὐτοὺς ἐπ᾽ ὀξυ-

κα΄ *Oribasius, Synops. V 16; cfr. Aëtius IV 46* κβ΄ *Oribasius, Synops. V 17; cfr. Aetius IV 41—44*

2 γίγνεται BCD 5 καὶ] CHK: *om.* ABDFJ 6 τῷ δυσεκθερμάντῳ] AD: τὸ δυσεκθέρμαντον BFHJK: τὸ δυσεκθέρματον C 7 συντομωτέροις CJK, *corr.* C: -νω- *in ras.* B 8 οὖν] BJ: τε οὖν ACDFHKB²J² καὶ] CDF: ἐστί(ν) καὶ ABHJK 9 γιγνέσθω D: γενέσθω C μηδὲ] DK: μηδ᾽ ABCFHJ
14 τῶν] CDFK: *om.* ABHJ 15 ἐπειδὴ F³ γίνεται] AFJK: γίγνεται BCDH ἑλκώδης] αὐτόματος A, *mrg.* C² 17 μεῖζον BK, *corr.* B 18 οὔτ᾽ ἐπὶ] D: οὔτε τὴν K: οὔτε ABCFHJ 22 τι] τι καὶ C, καὶ *supra scr.* B 23 καὶ] ὁ K 24 δὲ] ADF: δὲ καὶ BCHK, καὶ *supra add.* J 25 παραμένει AF 27 σὺν] σὺν δυνάμει γὰρ ἰσχυρᾷ φλεβοτομεῖν σὺν A 27. 28 οὐδ᾽ ὅλως μὲν φλεβοτομεῖν A 29 ἀλλὰ *om.* A 30 μηδὲ] μήτε K
32 ἐπ᾽] CFK: *om.* ABDHJ

μέλιτι βραχύ τι καὶ πτισάνης, ἐνίοτε δὲ καὶ μελικράτου, διδόντα. ἐπεὶ δὲ καὶ τὸ ὑποχόνδριον ἅπασι τοῖς τοιούτοις ἐπῆρταί τε καὶ ἐμπεφύσηται, καὶ ῥᾳδίως, ὅ, τι περ ἂν προσάρωνται, πνευματοῦνται, βέλτιον ἂν εἴη διδόναι τι σὺν τῇ τροφῇ πεπέρεως, ἄμεινον δὲ καὶ τῷ Διοσπολιτικῷ χρῆσθαι φαρμάκῳ καὶ τῷ διὰ τριῶν πεπέρεων τῷ ἁπλῷ· καὶ ὀξύμελι δὲ χρησιμώτατον αὐτοῖς ἐστι. ποτῷ δὲ χρήσθωσαν ἀπομέλιτος καὶ μάλιστα, ὅταν ἀποξυνθῇ, καὶ τῶν οἴνων τοῖς ὠξυσμένοις ἀτρέμα καὶ τῶν ἐδεσμάτων τοῖς λεπτύνουσιν ἄνευ τοῦ θερμαίνειν, οἷαπέρ ἐστι καὶ ἡ κάππαρις, εἰ δι᾽ ὀξυμέλιτος ἢ δι᾽ ὀξελαίου λαμβάνοιτο. ὁ δὲ τονώδης κόπος, ὅταν ἄνευ γυμνασίων συνιστῆται, πλῆθος ἐνδείκνυται διατεῖνον τὰ στερεὰ τοῦ ζῴου μόρια· δῆλον δέ, ὅταν αἵματος πλῆθος ᾖ, ἄριστον ἤτοι φλέβα τέμνειν ἢ ἀποσχάζειν τὰ σφυρά. ὁ δὲ φλεγμονώδης αὐτόματος κόπος οὐδὲ ὡρῶν ὀλίγων μήτι γε δυοῖν ἢ τριῶν ἡμερῶν ἀνέχεται βραδυτῆτος· αὐτίκα γὰρ πυρετὸν ἐπάγει σφοδρότατον, ἢν μή τις φθάσας ἀποχέῃ τοῦ αἵματος· κάλλιον δέ, εἰ ἐγχωροίη, δὶς ἀφαιρεῖν ἐν ἡμέρᾳ μιᾷ, τὸ μὲν πρότερον οὕτω κενοῦντας, ὡς μὴ λειποθυμῆσαι τὸν ἄνθρωπον, τὸ δὲ δεύτερον οὐδὲ τὴν λειποθυμίαν φοβεῖσθαι προσήκει· μὴ φλεβοτομηθέντες δὲ οἱ οὕτως διακείμενοι τύχης ἀγαθῆς εἰς τὸ σωθῆναι δέονται.

## κγ΄. Δίαιτα γερόντων.

Τὸ γῆρας ἐστι μὲν ξηρὸν καὶ ψυχρόν, ἐπανόρθωσις δὲ αὐτοῦ διὰ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων ἅμα τοῖς θερμαίνουσι· χρὴ δὲ καὶ ἀνατρίβεσθαι χωρὶς κόπου. τροφὴν δὲ διδόναι τοῖς ἀσθενεστέροις τρίτον, περὶ μὲν τρίτην ὥραν ἄρτου βραχὺ μετὰ μέλιτος Ἀττικοῦ καὶ μετὰ ταῦτα ἑβδόμην ὥραν τριψαμένοις καὶ γυμνασαμένοις τὰ πρέποντα γυμνάσια γέρουσι καὶ λουσαμένοις πρῶτα μέν, ὅσα λαπάττει γαστέρα, προσφέρειν, ἐφεξῆς δὲ ἰχθύων ἢ ὀρνίθων, κἄπειτα ἐπὶ τῷ δείπνῳ τῶν εὐχυμοτάτων καὶ δυσφθάρτων. οὐ κωλύω δὲ οὐδὲ τοῖς σκευαζομένοις

κγ΄ *Oribasius, Synops. V 18; cfr. Ad Eunap. I 11. Aëtius IV 30*

1 δὲ] D: *om.* ABCFHJK   διδόντας DJ   2 ἐπῆρταί τε] *in ras.* J: ἐπήρτηται CDK, -τη- *expunx.* C   4 τι *om.* D, *in ras.* B   τῇ] CDK: *om.* ABFHJ   5 κεχρῆσθαι K   τῷ ἁπλῷ *om.* D: καὶ τῷ ἁπλῷ K   καὶ ὀξύμελι δὲ] ὀξυμέλιτι K   6 ἀπομέλιτος] ἀπὸ μέλιτος DF: ἀπομέλιτι ABCHJK   9 εἰ] *in ras.* B: ἢ H: ἡ K   ἢ δι᾽] ἢ K   λαμβάνοντες KJ$^{3}$: λαμβάνοντι F$^{3}$   δὲ *supra scr.* K$^{2}$   10 ὅταν ἄνευ] DF: ὅτἂν᾽ εὐ B: ὅτ ἄνευ A: ὅστις ἄνευ CJ$^{3}$: ὅτ᾽ ἄνευ H: ὅταν K *supra add.* μὴ K$^{2}$   συνίσταται ACJ$^{3}$ (*non* J)   διατείνων DK, *corr.* D   11 δὲ] δὲ ὡς DF$^{3}$   ᾖ] ADFC$^{2}$: *om.* BHJK   14 *ante* αὐτίκα *supra add.* ἀλλ᾽ H   γὰρ] ADF, *supra scr.* C$^{2}$K$^{2}$: *om.* BHJ   ἢν] ἂν C: εἰ AF   15 ἀποχέῃ] *in ras.* B, *e corr.* K: ἀποχέει FK   16 ὡς μὴ] DB$^{3}$F$^{3}$: ὡς ABCHJ *Or*: ἢ K, *mrg.* πρὶν K$^{2}$   18 φλεβοτομηθέντας HK, *corr.* K$^{3}$: -τες *in ras.* B   οἱ] DO, *supra scr.* K: *om.* ABCFHJ   οὕτως διακείμενοι τύχης ἀγαθῆς] CDKF$^{3}$J$^{3}$: τύχης ἀγαθῆς οὕτως διακείμενοι ABHJ   21 ψυχρὸν καὶ ξηρὸν AFJ   22 τε *om.* AFK   ἅμα τοῖς θερμαίνουσι *om.* AD   24 ἄρτου] C: ἄρτου τι D: ἄρτου τε FK: ἄρτου τὸ ABHJ   25 τριψαμένους BCH   26 γαστέρα] πρὸς τὴν γαστέρα B, πρὸς *del.* B$^{3}$   27 κἄπειτ᾽ ABFK   ἐπὶ] ἐν A   28 καὶ] τε καὶ D

διὰ μέλιτος οἴνοις χρῆcθαι, καὶ μάλιστα, ὅcοις ὑποψία τις τῶν γερόντων ἐστὶν ἐν νεφροῖς λίθων γενέσεως ἢ καὶ ποδάγρας, ἐπεμβάλλειν δὲ αὐτῷ τηνικαῦτα πετροσελίνου. εἰ δέ ποτε φλέγματος ἐν γαστρὶ γεννηθέντος ἐξ ἀνάγκης ἑλοίμεθά τινα τῶν τεμνόντων αὐτό, μετιέναι χρὴ ταχέως ἐπὶ τὴν ὑγραίνουσαν δίαιταν· διδόναι δὲ αὐτοῖς καὶ πέπειρα σῦκα πρὸ τῆς ἄλλης τροφῆς, κατὰ δὲ τὸν χειμῶνα τὰς ἰσχάδας, μηδενὸς συμπτώματος αἰσθανομένοις κατὰ τὸ δεξιὸν ὑποχόνδριον. ἐπεὶ δὲ τὰ ὀρώδη καὶ φλεγματώδη περιττώματα κατὰ τὸ τῶν πρεσβυτέρων ἀθροίζεται σῶμα, τὴν οὔρησιν ἐφ' ἡμέραν προτρέπειν χρὴ ὑπάγειν τε τὴν γαστέρα μάλιστα δι' ἐλαίου καταρροφοῦντας αὐτὸ πρὸ τῶν σιτίων. εὔδηλον δέ, ὅτι τὰ λαχανώδη πάντα πρὸ τῶν σιτίων ἐσθίειν χρὴ δι' ἐλαίου τε καὶ γάρου καὶ τῶν ἁλμάδων ἐλαιῶν καὶ Δαμασκηνῶν. ἐπὶ πλέον δὲ ἐπισχεθείσης τῆς γαστρὸς καὶ λινόζωστις αὐτάρκης ἐστὶ καὶ κνῆκος· ποιεῖ δὲ καὶ τερεβινθίνη, λαμβάνειν δὲ αὐτῆς ἐνίοτε μὲν καρύου Ποντικοῦ τὸ μέγεθος, ἐνίοτε δὲ δυοῖν ἢ τριῶν. ἔστι δὲ καὶ ἔλαιον διὰ κλυσμοῦ τοῖς ἐπεχομένοις χρησιμώτατον.

## κδʹ. Πρὸς ἐρρυτιδωμένον σῶμα.

Ἀρυτίδωτον δὲ ποιεῖ σῶμα καὶ ἄλευρα ὀρόβων ἀμπέλῳ μιχθέντα τῇ λευκῇ.

Ἄλλο σμῆγμα συνεχῶς σμηχόμενον. σῦκα πίονα ἅμα βρυωνίᾳ κόπτεται καὶ ἄλευρα ὀρόβων κεκαυμένα καὶ σηπίας ὄστρακα μέλιτος ἐπισταζομένου βραχέος.

## κεʹ. Ὥστε ἡδὺ πνεῖν σῶμα.

Ὅπως δὲ πνέῃ τὸ σῶμα ἡδύ, τῇ αὐτῇ ἀλοιφῇ καταμίσγειν κόμην κυπαρίσσου ξηρὰν κόψαντας ἢ πίτυος φλοιόν· μεμνῆσθαι δέ, ὅπως τοῦ ὄρθρου μετὰ τὴν στολὴν μικρὸν ἀπογεύωνται κασσίας ἢ βράθυος.

## κϛʹ. Ὥστε ἀναθερμαίνειν τὴν ἕξιν.

Ἐπειδὴ δὲ δεῖ καὶ τῇ ἕξει ἀμῦναι, τρίμματι λουόμενος πυροῦντι χρήσθω, ἐχέτω δὲ καλαμίνθην καὶ σάμψυχον καὶ ὕσσωπον καὶ δαφνίδας

κδʹ *Oribasius, Synops. V 20*  20—22 *Oribasius, Synops. III 168; Aëtius VIII 6*  κεʹ *Oribasius, Synops. V 21*  κϛʹ *Oribasius, Synops. V 22*

1 μάλιστα] DK: μάλιστα θ' F: μάλισθ' ABCHJ  2 καὶ *om.* A  6 δὲ *om.* F  τὰς *om.* D  8 πρεσβυτέρων] DHJ[3]: πρεσβυτάτων F: πρεσβυτικῶν C: πρεσβυτῶν ABK  9 ἐφ'] καθ' D  τε] δὲ C  14 κνίκος ACJK  δὲ *om.* DF  καὶ] D: καὶ ἡ ABCFHJK  17 πρὸς] *in ras.* B: *corr. ex* περὶ J: περὶ F[3]  ἐρυτιδωμένον HJK: ἐριτιδωμένον F  18 ἀρυτίδωτον] CJK, *e corr.* BH: ἀρρυτίδωτον A  ἀμπελίνῳ K, *sed corr.*  21 καὶ *(alt.)*] DF[3]: *om.* ABCHJK  σηπίας] σηπίας τε A: σηπέας K: σηπυίας C  23 πνεῖν] πνεῖν τὸ C: πνέειν D: πνε″ F  24 πνέῃ] AF[3]: πνέοι D: ἡδὺ πνέῃ BCHJK  ἡδὺ] ADF: *om.* BCHJK  αὐτῇ *om.* D  ἀλοιφῇ] ADFJ: ἀλειφῇ BCK, *e corr.* H  25 κόψαντος FK  26 ἀπογεύονται FHK: ἀπογεύοιντο D  κασσίας] BCDK: κασίας AFHJ  28 δὲ δεῖ καὶ] D, *corr. ex* δὲ καὶ O: δέδεικται ABCFHJK

καὶ λιβανωτίδα καὶ λίθον πυρίτην καὶ ἅλας καὶ τρύγα τὴν κεκαυμένην καὶ νίτρον καὶ κίσηριν τὸ κατὰ λόγον ἑκάστου καὶ βραχὺ νάπυος καὶ ἀγρίας σταφίδος καὶ κόκκου Κνιδίου, ἀπὸ δὲ τοῦ λουτροῦ ἀκόπως χρήσθω θερμαίνοντι· καὶ πινέτω κιρρὸν οἶνον παλαιὸν καὶ πρόπομα δι' οἰνομέλιτος καὶ πεπέρεως καὶ πηγάνου καὶ τῶν παραπλησίων.

## κζ'. Πρὸς ἄχροιαν.

Τὴν δὲ τοῦ σώματος ἄχροιαν μειοῖ βίος εὐφρόσυνος καὶ ἡ προσηνὴς βρῶσις, καταμιγνύειν δὲ ῥαφανῖδας καὶ πράσα καὶ τὸν χλωρὸν ἐρέβινθον. εὔχροιαν δὲ ἐργάζεται καὶ τῆς γλυκείας ῥοιᾶς ὁ χυλὸς ῥοφούμενος. καλὸν δέ ἐστι καὶ ἔλαιον ἑψηθείσης ἐπὶ μακρὸν αὐτῷ βρυωνίας ῥίζης· τοῦτο καὶ τετανὸν ἐργάζεται τὸ σῶμα. τοῖς δὲ ῥύμμασι μιγνύειν κόλλικας γεγονότας ἔκ τινος τῶν ῥυπτόντων, ἀλεύρου καὶ βολβοῦ τῆς ναρκίσσου καὶ βρυωνίας ῥίζης. εὖ δὲ χρώζει, ὅτῳ ἐστὶν εὐπορία, ῥίζα τε τῆς πικρᾶς ἀμυγδαλῆς καὶ ὁ καρπὸς ἐν ὕδατι ἑψηθέντα, ᾧ χρῆται λουτρῷ.

## κη'. Πρὸς τὰ πελιώματα.

Κωλύειν μὲν συνίστασθαι πελιώματα τοῖς γέρουσι παχεῖαν ἐργαζομένους τὴν δορὰν καὶ δυσπαθῆ καὶ τὴν ἕξιν εὖ μάλα θερμήν. ὅπως δέ θᾶττον ἀπογένηται, ἁλσὶ μὲν χρῆσθαι ἐν τοῖς βαλανείοις κατὰ τὸ μελανθέν, καὶ ταῦτα δὲ πυριᾶν σπόγγοις δευθεῖσιν εἰς ἀφέψημα τῆς ῥαφάνου ἢ τοῦ ἀψινθίου.

## κθ'. Ὀδόντων προφυλακτικά.

Οἱ ὀδόντες οὐκ ἀπογενήσονται, ἤν τις ταῦτα ποιῇ· φυλάσσεσθαι πρῶτον διαφθορὰς σιτίων, φυλάσσεσθαι δὲ καὶ συνεχῶς ἐμεῖν, ὑφορᾶσθαι δὲ καὶ ἐδωδάς, ὅσαι μὴ σύμφοροι ὀδοῦσι, σῦκα ξηρὰ καὶ μέλι ἑφθὸν τῷ σκληρὸν ἄγαν εἶναι καὶ φοίνικας, ὅσοι δύσθρυπτοι, καὶ πάντα, ὅσα

4—5 ? κζ' *Oribasius, Synops.* V 23 κη' *Oribasius, Synops.* V 24 κθ' *Oribasius, Synops.* V 25

1 πυρῖτιν D τὴν *om.* D 2 κίσηριν] K: κίσσηριν ABCDFHJ 3 ἀκόπως] BCK: ἀκόπῳ ADFH, *e corr.* J 7 δὲ *om.* C 8 τῶν χλωρῶν ἐρεβίνθων DFH 10 ἔλαιον] ἔλαιον ἐπιβάλλειν D αὐτῷ ἐπὶ μακρὸν A ἐπὶ μακρὸν] *corr. ex* ἐπιβάλλων C: ἐν D: μετὰ μακρῷ F 11 καὶ] γὰρ καὶ D ῥύμμασι] D: ῥύμμασιν BJ[3], γρ. ῥυφήμασι *mrg.* B[2]: ῥοφήμασι AC: ῥοφήμασιν FHK 12 ἀλεύρου] οἷον ἀλεύρου D καὶ βολβοῦ . . . ῥίζης *(13) mrg.* C[2] βολβοῦ *om.* D 16 τὰ *om.* A πελιώματα] πελιώματα καὶ ἀμαυρώματα D, *mrg.* B[2] 17 κωλύει A 19. 20 τὸ μελανθέν] *mut. in* τῶν μελανθέντων D: τῶ^ν μελανθέντων F 20 τῆς *om.* DF[3] 21 ῥαφάνου] ACD, *e corr.* H: ῥεφάνου BFJK τοῦ *om.* D: τῆς J 22 φυλακτικά K 23 ποιῇ] ADK, *e corr.* H: ποιεῖ BCJF[3] φυλάττεσθαι CDF[3] 24 πρῶτον] δεῖ πρῶτον D φυλάττεσθαι D: *om.* F δὲ *om.* F ὑποφορᾶσθαι K 25 δὲ *eras.* K συμφέρουσιν DF: συμφέρει K 26 τῷ] BO: τὸ ACFHJKB[3]: *om.* D σκληρὸν *om.* D ἄγαν εἶναι] KO: *om.* AD: ἄγαν B[2]: ἀγαγεῖν BCFHJ[3], *del.* C δύσθρυπτοι] A: δύστρυπτοι *mrg.* B[2]: δύστριπτοι BCDHJKF[3]

τῆς κόλλης ἔχει, καὶ τὰ καταγνύμενα μόλις, ὥστε κινεῖν ὀδόντας, καὶ τὰ αἱμωδίαν ἐμποιοῦντα καὶ τὰ κατάψυχρα καὶ τὰ σαπρὰ πάντα. δεῖ δὲ καὶ μετὰ δεῖπνα διακαθαίρειν τοὺς ὀδόντας.

### λ΄. Ὥστε μὴ βαρυηκοεῖν.

Πρὸς δὲ τὸ μὴ ἀκούειν βαρὺ πρῶτον ἐκκαθαίρειν τὰ ῥύπη τὰ ἐν τῷ πόρῳ, παρὰ χρόνον δὲ καθιέναι λίνον εἰς αὐτὸν καταβαφὲς δρώπακι καὶ προσπιεσθὲν ἐξέλκειν· ἄκρα γὰρ τοῦ πόρου ἐκκάθαρσις γίνεται καὶ ἅμα τῆς ἀκοῆς πρόκλησις. μετὰ δὲ ταῦτα οἷον ὀρόβου μέγεθος περισχεθὲν βῦσαι τὸν πόρον ἐφ᾽ ἡμέραν κἄπειτα ἐξελόμενον χρίειν ἐφ᾽ ἡμέρας ε̅ ἐλαίῳ ἀμυγδαλίνῳ ἢ ναρδίνῳ ἢ χαμαιμηλίνῳ ἢ λίπους χηνῶν καὶ ὀλίγης χολῆς βοείας, πάλιν δὲ μετὰ χρόνον νᾶπυ καὶ σῦκα τρίψας πεποιημένον ἐκ τούτου κολλούριον ἐντιθέναι ἐπὶ ὥρας δύο κἄπειτα ἐξελέσθαι μὲν τοῦτο, ἐγχέαι δὲ ἔλαιον ἀπεζεσμένον ἐν κοιλώματι ἀσφοδέλου ῥίζης.

### λα΄. Πρὸς τὴν ἀχλὺν τῶν ὀμμάτων.

Ὅπως δὲ μὴ σχῇ ἀχλὺν τὰ ὄμματα, ὅτε δύνουσι καθ᾽ ὕδατος τοῦ ψυχροῦ, μικρὸν ἀναβλέπειν· προσδίδοται γὰρ ἔνθεν ἰσχὺς τῇ ὁράσει· μὴ λείπεσθαι δὲ μηδὲ ἀναγνώσεως τόνδε. φυλασσέσθωσαν δὲ οἶνον τὸν παχὺν καὶ γλυκὺν καὶ τροφάς, ὅσαι ἄνω πολὺ μένουσι καὶ ὅσαι δύσπεπτοι καὶ ὑγρὰ γεννῶσιν ἄργα καὶ παχέα, καὶ τὰ εὔζωμα καὶ τὰ πράσα καὶ πάντα, ὧν ἡ δριμύτης ἄνω αἴρεται. φυλάσσεσθαι δὲ καὶ κατάκλισιν ὑπτίαν ἐπὶ μακρὸν καὶ κρύος καὶ ἀνέμους τοὺς ἐναντίους καὶ καπνὸν καὶ κόνιν, ἐγχεῖν δὲ τοῖς ὀφθαλμοῖς ἑκάστης ἡμέρας πεποιημένον ὕδωρ ἐπὶ μῆνα καὶ ἡμέραν· μάραθρα βάλλειν χλωρὰ εἰς ἄγγος κεραμεοῦν ἔξωθεν πίσσῃ κεχρισμένον καὶ ὕδωρ ὄμβριον, ἔπειτα ἀποκείμενον ἔχειν ἐξελόμενον τὰ μάραθρα.

λ΄ *Oribasius, Synops.* V 26 λα΄ *Oribasius, Synops.* V 27

3 δεῖπνα] AH: τὰ δεῖπνα BCJK: τὸ δεῖπνον D: δεῖπνον F ἀνακαθαίρειν F 4 βαρυηκοεῖν] ADK: βαρυκοεῖν BCFHJ 6 παρὰ χρόνον] περιχρόνιον C, *mrg.* J[3]: χρονίζοντος D καθιέναι] CDOF[3]: κατιέναι ABHJK κατάβαφον F: καταβαφέντα J 7 προσπιεσθέν] AHJK: προπιεσθὲν CDF, *e corr.* B 9 βῦσαι] ABDHJKC[2]: μῦσαι CFJ[3] ἡμέρας J 10 ε̅] πέντε *Or, om.* ABCDFHJK νάρδῳ K λίπει DJ 11 καὶ *(prius)*] μετὰ J[3] ὀλίγῃ χολῇ βοείᾳ D βοείας χολῆς C 12 ἐπὶ] F: ἐφ' ABCDHJK 13 ἐπεζεσμένον F ἐν] DFK: *om.* ABCHJ 16 τοῦ *om.* DF 17 μικρὸν] ADFC[2]: μακρὸν BCHJK τῇ ὁράσει] τοῖς ὄμμασι J 18 μηδὲ] FK: αὐτοὺς μηδὲ D: μὴ ABH: *om.* CJ τόνδε *om.* O: τὸν δὲ ἔμπειρον *Or* δὲ] τε D 19 πολὺ] ἐπὶ πολὺ D 21 πάντα] CDFHJ: πάντα τὰ K: πάντων AB φέρεται D δὲ] DKO: δεῖ AF: δὲ δεῖ BCHJ 23 ἐγχέειν DF: ἔχειν H ἑκάστης ἡμέρας *om.* D: ἑκάστης C 24 καὶ] BJO, *mrg.* καθημέραν B[3]: καθ' ACDFHK, γρ. ἐπὶ μῆνα καὶ ἡμέραν *mrg.* K ἡμέραν] ἡμέραν, οὕτω δὲ χρὴ ποιεῖν D: ἡμέραν τόδε F βάλλειν] βαλεῖν D: λαβὼν F[3]: βαλόντα J: βάλλε K 26 ἐξελόμενον ἔχειν K

## λβ΄. Περὶ πληςμονῆς.

Μέγιςτον ἐν ςιτίοις ἁμαρτάνεται περὶ πληςμονήν· εἰ γάρ τινι καὶ πέψοι χρηςτῶς ἡ κοιλία, ἀλλ᾽ αἱ φλέβες ὑπερεμπιπλάμεναι πονοῦςί τε καὶ διατείνονται καὶ ῥήγνυνται καὶ ἀποφράττονται καὶ πνεύματος μεςταὶ γίνονται· καὶ πάνυ πείθου τὰ κάκιςτα τῶν νοςημάτων πληςμονὴν εἶναι. τὸ δὲ τῆς γαςτρὸς πλήρωμα ἔςτιν ὅτε καὶ ἐκένωςεν ἄνω τὸ ὑπερβάλλον καὶ κάτω διαχωρῆςαν· ὅλως τε ἀςθενέςτερον τοῦ κατὰ τὰς φλέβας ἐςτίν. οὐ μὴν οὐδὲ τοῦτο αἱρετέον, ἀλλ᾽ ἤν τις πλείω προςενέγκηται, αὐτίκα χρὴ ἐμέςαι· κίνδυνος γὰρ πέψαντι ἐμπλῆςαι τὰς φλέβας, καὶ μᾶλλον, εἰ ςυνεχῶς τις περὶ τὴν προςφορὰν ἀκολαςταίνων μηδεμίαν κένωςιν ἐξευρίςκοι. ἐμεῖν μὲν οὖν δεῖ, πρὶν διαφθαρῆναι τὰ ςιτία· εἰ δέ τινα κωλύματα εἴη πρὸς τὸν ἔμετον, εἰ μὲν ῥυῇ ἡ γαςτήρ, πολλάκις ὠφέληςεν, εἰ δὲ μή, ἀλλὰ κοιμηθῆναί γε ἐπὶ πλεῖον καὶ ποτὸν ὕδωρ θερμὸν πιεῖν πυκνά, πέψαντα δὲ ἱκανῶς, μάλιςτα εἰ καὶ διαχωρήςαι, λούεςθαι καὶ πυριᾶςθαι καὶ τάριχον ἐςθίειν ὀλίγον καὶ πόμα ὑδαρὲς πίνειν· εἰ δὲ μήτε διαχωρήςαι τι μήτε πέψαι ταχύ, πρὸς δὲ καὶ τὸ ἄλλο ςῶμα βαρὺ καὶ δυςκίνητον καὶ ὑπνῶδες εἴη, καί τινες παράλογοι ὄκνοι τὴν γνώμην ἔχοιεν, ταῦτα ςημαίνει καὶ τὰς φλέβας πληςμονεῖν. ὅςοι δὲ κοπώδεις ἐπὶ τούτοις γίνονται, μέχρι μὲν τὰ ἐν τῇ γαςτρὶ ἐκπέψωςιν, ἀτρεμεῖν ςυμφέρει, μετὰ δὲ πόνοις κενοῦν.

## λγ΄. Περὶ μέθης.

Τοῖς μέθῃ κατεςχημένοις ἔμετος ἁρμόςει παραχρῆμα γινόμενος· δεῖ δὲ καὶ δαψιλὲς ὕδωρ ἐπιπίνοντας καὶ μελίκρατον ἐμεῖν, ὡς πλεῖςτά τε ἀπορρίψωςι καὶ τὰς δήξεις ἀμβλύνωςι, μετὰ δὲ τοὺς ἐμέτους ἐμβάςει τε χρήςαςθαι καὶ ςὺν ἀλείμματι δαψιλεῖ, τὸν δὲ λοιπὸν χρόνον ἡςυχάζειν ἐν ςκέπῃ κοιμωμένους ἐπὶ πλεῖςτον χρόνον, ἕως ἂν ἐξοινήςωςιν.

## λδ΄. Περὶ τῶν διαφθειρόντων τὰ ςιτία.

Διαφθορᾶς τῶν ςιτίων ἐν τῇ γαςτρὶ γενομένης, οἷς μὲν ὑπέρχεται τὰ διεφθαρμένα, μέγιςτον ἐφόδιον εἰς ὑγείαν ἔχουςιν, οἷς δὲ οὐχ

λβ΄ *Oribasius, Synops. V 28* λγ΄ *Oribasius, Synops. V 34*
λδ΄ *Oribasius, Synops. V 30*

2 περὶ πληςμονήν] -ν *eras.* K: *corr. ex* περὶ πληςμονῆς C²: τὸ τῆς πληςμονῆς D: ἡ πληςμονή F 3 πέψει DF 5 γίγνονται BDFH πληςμονὴν] BCFHJK: ἐκ πληςμονῆς ADC² 6 τὸ] DF: τε ABCHJK καὶ] ἢ καὶ D 7 τὰς] DF: *om.* ABCHJK 8 αἱρετέον] F: αἱρετόν ABCDHJK 11 ἐξευρίςκει F πρὶν] ADFJ: πρὶν ἢ BCHK, ἢ *supra add.* A 12 ῥύει FH 13 πλεῖον] DK: πλέον ABCFHJ 14 μάλιςτα] καὶ μάλιςτα FK καὶ *om.* FK λούεςθαι] τι λούεςθαί τε D 15 τάριχον] AH: τάριχος D: εἰ τάριχον CJK *et e corr.* B: ἢ τάριχον F 16 ἄλλο] ὅλον D 18 ςημαίνει] DJK, *comp.* A: ςημαίνοι BCH: ςημαίνειν F καὶ] κατὰ DJB³ πληςμονεῖν] AC: πληςμονήν BDHJK: γρ. καὶ τὰς φλέβας πληςμονεῖν *mrg.* B³: πληςμονὴν εἶναι F 20 πόνοις] ταῦτα A: πόνους *e corr.* H: *ante* πόνοις *ins.* ταῦτα C² 22 γενόμενος K 24 ἀπορρύψωςι D 25 τε *om.* F χρῆςθαι K καὶ *om.* AF, *del.* B³ δαψιλές K 26 ἕως] DF: ὡς ABCHJK 28 γινομένης BD, *corr.* B³ 29 ὑγίαν C: ὑγίειαν ABDK

ὑπέρχεται, διὰ τῶν ἀλύπως ὑπαγόντων ἐρεθιστέον. τοῖς δὲ οὕτω διακειμένοις συμφέρουσι καὶ πρὸ τροφῆς ἔμετοι δι' οἴνου πόσεως καὶ γλυκέος γινόμενοι· συμβουλεύειν δὲ αὐτοῖς χρὴ μηδὲν κνισῶδες ἢ βρωμῶδες ἢ ὅλως εὔφθαρτον σιτίον προσφέρεσθαι, τὰ εὔχυμα δὲ ἐκλέγεσθαι. τοῖς δὲ οὕτως ἔχουσιν ἐκ διαλειμμάτων χρόνου συμμέτρου τῆς γαστρὸς ὑπαγωγαὶ συμφέρουσι διὰ τῶν μετρίως καθαιρόντων.

## λε΄. Περὶ ἀφροδισίων.

Ἐξ ἀφροδισίων ὠφέλειαί εἰσιν αἵδε· πλησμονὴν κενῶσαι καὶ ἐλαφρὸν παρασχεῖν τὸ σῶμα καὶ εἰς αὔξησιν προτρέψασθαι καὶ ἀνδρωδέστερον ἀποφῆναι, κατὰ δὲ τὴν ψυχὴν συνεστηκότα τε λογισμὸν διαλύει καὶ ὀργῆς ἀκρατοῦς ἐπανίησι· διὸ καὶ τῷ μελαγχολικῷ ὥς τι καὶ ἕτερον ἴαμα ἐπιτηδειότατον μίσγεσθαι. καθίστησι δὲ εἰς τὸ ἐμφρονέστερον καὶ τοὺς τὸν ἄλλον τρόπον ἐκμανέντας καὶ τοῖς ἀπὸ φλέγματος νοσήμασι κράτιστόν ἐστιν· οἱ δὲ καὶ εὐσιτότεροι ἀντὶ ἀσίτων ἐγένοντο, οἱ δὲ καὶ ὀνειρωγμῶν συνεχῶν ἀπηλλάγησαν. φύσεις δὲ ἐπιτήδειοι πρὸς ἀφροδίσια αἱ θερμότεραι καὶ ὑγρότεραι καὶ πλέον τῶν ἄλλων εἰς λαγνείαν εὔφοροι, ἥκιστα δὲ δίαιτα μὲν ἡ ξηραίνουσα καὶ ψύχουσα, ἡλικία δὲ ἡ τοῦ γέροντος, ὥρα δὲ ἡ τοῦ φθινοπώρου. χρὴ τοίνυν τὴν δίαιταν ὑγρὰν καὶ θερμὴν παρέχειν· εἴη δ' ἂν πόνων τε μετριότης καὶ σιτίων. ὥσπερ δὲ οἱ μέτριοι πόνοι ἁρμόζουσιν, οὕτω καὶ οἱ αὐτῶν τῶν ἀφροδισίων· προτρέπουσί τε γὰρ εἰς τὸ ἔργον καί τινα ῥᾳστώνην τῷ ἐθισμῷ παρέχουσι. δεῖ δὲ εἴπερ τινὸς ἄλλου καὶ τροφῆς περιουσίας· ὥστε τὰ πολύτροφα τῶν ἐδεσμάτων εἴη ἂν ἐπιτήδεια, ἰχθύων δὲ οἱ πολύποδες (καὶ γὰρ καὶ ἄλλως πεπίστευνται ἐρεθίζειν), καὶ ὅσα μαλάκια, λαχάνων δὲ τὸ ὅρμινον καὶ τὸ ἐρύσιμον καὶ τὸ εὔζωμον καὶ ἡ γογγυλίς (καὶ ταῦτα δὲ ὡς φάρμακα), ὀσπρίων δὲ κύαμοί τε καὶ ἐρέβινθοι καὶ ὦχροι καὶ δολιχοὶ καὶ πίσοι πνεύματος ὑποπιμπλάντες καὶ τῷ ἀφθόνῳ τῆς τροφῆς. καὶ τὸ πήγανον τοίνυν, ὅτι πνεῦμα συμπέσσει καὶ ἀφανίζει, διὰ τοῦτο καὶ τὰς μίξεις ἀμβλύνει. μεγάλως δὲ ἐπαινῶ τοὺς βότρυς· ὑγραίνουσί τε γὰρ καὶ πνεύματος ἐμπιπλᾶσι τὸ αἷμα, ὃ δὴ ἐξορμᾷ πρὸς ἀφροδίσια. μέλλοντι δὲ ἀφροδισιάζειν πλησμονάς τε φυλακτέον καὶ

λε΄ *Oribasius, Synops. I 6; cf. Coll. VI 38; Ad Eunap. I 13. Aëtius III 8*

4 δ' εὔχυμα A δὲ] DFK, *supra scr.* B: *om.* CHJ 5 ἔχουσιν] ἔχουσι F: ἔχουσιν καὶ HK *et* -ν *eras.* B: ἔχουσι καὶ ACDJ σύμμετροι D 9 προτρέψασθαι] D: προτρέπεσθαι ABCFHJK 10 τὴν] F: *om.* ABCDHJK τε] τὸν F λογισμόν τε F 11 ὥς τι] ACD: ὥστε BFHJK καὶ *om.* D 12 σωφρονέστερον D 13 νοσήσασιν H: δὲ νοσήμασι D 15 δὲ] ACD: δὲ δὴ BJK: δὲ δεῖ *e corr.* H 20 οὕτω] D *et e corr.* B: οὕτ^ω A: οὕτως CFHJK αὐτοὶ K 21 γὰρ] καὶ F τινα *om.* K: τὴν F 24 καὶ ἄλλως] ἄλλως J: καλῶς τὸ ζῷον D πεπίστευνται] BHJ: πεπίστευται ACDFK 26 τε *om.* A 27 πίστοι DF ὑποπιπλάντες DF καὶ . . . τροφῆς *om.* D 28 πνεῦμα] AF: πνεύματα BCDHK, *comp.* J συμπέσσει] AD: συμπέττει KJ[3]: συμπέσει BCH: πέττει F 29 μίξεις] *corr. ex* μείξεις K 30 τε *om.* CJ γὰρ *om.* F αἷμα] σῶμα DF[3] 31 μέλλοντι] D: μέλλοντα ABJ: μέλοντα FH: μέλλοντας C: μέλλοντο *seq. 3 litt. del.* K

ἀπεψίας· καὶ κόπους δὲ φυλακτέον καὶ ἐμέτους γεγενημένους καὶ καθάρσεις ὡσαύτως καὶ διάρροιαν ἐξαπιναίαν· τὴν γὰρ κεχρονισμένην ἐπιξηραίνουσι. καὶ τὰς σφοδρὰς ἐπιθυμίας οὐκ ἐπαινῶ, ἀλλὰ κελεύω τότε δὴ πλέον ἀντέχειν, καὶ μάλιστα, οἷς νόσημά τί ἐστιν. κάλλιστον οὖν ἐπὶ γυμνασίοις τε καὶ λουτροῖς καὶ μετρίῳ σίτῳ μίσγεσθαι· καὶ γὰρ καὶ πρὸς τὴν ἰσχὺν συμφέρει, καὶ ψύξεις αἱ ἐπιγιγνόμεναι ἧσσον γίνονται. καιρὸς δὲ ἐπιτήδειος μίξεως μετὰ τροφήν, ὡς ἔφην, πρὸ τῶν ὕπνων· καθυπνοῦντι γὰρ εὐθὺς καθίσταται ὁ κόπος. οὗτος δὲ καιρὸς καὶ εἰς παιδοποιίας διά τε τἆλλα, καὶ ὅτι ἡ γυνὴ κατακοιμηθεῖσα μᾶλλον κατέχει τὴν γονήν.

## λϛʹ. Πρὸς τοὺς μὴ δυναμένους συνουσιάζειν.

Χρίειν δεῖ λίπει συνεχῶς τὰ αἰδοῖα μῖγμα ἔχοντι τῆς τοῦ ναρκίσσου ῥίζης μέρος βραχὺ ἢ κόκκου τοῦ Κνιδίου ἢ πυρέθρου ἢ σταφίδος ἀγρίας ἢ σπέρματος τῆς κνίδης ἢ τῆς ἄγνου, προποτίζειν δὲ πέπερι ἢ σατύριον ἢ εὔζωμον ἢ κνήκου ἢ πάντων ἅμα, κατεσθίειν δὲ πρὸ τῆς τροφῆς ὠπτημένους βολβοὺς τοὺς ἐρυθροὺς τοὺς μικροὺς σὺν ἁλσὶ καὶ ἐλαίῳ ἢ σκίλλης βραχὺ μεμαρασμένης. καὶ τοῖς πρὸς ταῦτα δὲ συνθέτοις βοηθήμασιν ἀναγεγραμμένοις χρηστέον· καὶ ἀκόλαστα δὲ πολλάκις ἀναγινωσκέτωσαν.

## λζʹ. Περὶ τῶν ἀμέτρως ἀφροδισιασάντων.

Ἐπεὶ δὲ ἐξ ἀφροδισίων πλειόνων ἀραιότερον καὶ ψυχρότερον καὶ ξηρότερον καὶ ἀσθενέστερον γίνεται τὸ σῶμα, τὰ πυκνοῦντα δηλονότι καὶ θερμαίνοντα καὶ ὑγραίνοντα καὶ ῥωννύντα δεῖ προσάγεσθαι. τοῖς οὖν ἀμέτρως πεπλησιακόσιν ἁρμόσει σκέπη, ἀλέα, ἡσυχία, ὕπνοι ἱκανοί, ἕως ἂν ἐκ μὲν τῆς συντονίας ἄνεσιν λάβῃ τὸ σῶμα, ἐκ δὲ τῆς ἀτονίας ἀνακτήσωνται ἑαυτούς.

λϛʹ *Oribasius, Synops. V 19; cf. Aëtius XI 35* λζʹ *Oribasius, Ad Eunap. I 13; Synops. V 35. Aëtius IV 40*

4 πλέον] μᾶλλον A 5 οὖν] *seq. spat. 4 litt.* H: μὲν οὖν DK τε *om.* F σιτίῳ DH 5. 6 γὰρ καὶ] DK: γὰρ ABCFHJ 6 τὴν *om.* K ψύξεις] DK, *e corr.* J: ψῦξις ABCF, *e corr.* H αἱ] D, *in ras.* J: καὶ ABCHK: *om.* F ἐπιγιγνόμεναι] BCDHJ[3]: ἐπιγινόμεναι AK: ἐπιγιγνομένη F γίνονται] AK: γίγνονται BCFHJ: γίγνοιντ᾽ ἂν D 7 μετὰ] ὁ μετὰ *Or* 8 οὕτως K καιρός] καιρὸς καλὸς F 9 εἰς *om.* D τὰ ἄλλα CD κοιμηθεῖσα D 12 λίπει *om.* CF μῖγμα] λίπει μῖγμα C: λίπει σμῖγμα F: σμῆγμα D τῆς *om.* F 14 σπέρματος τῆς] σπέρμα τῆς K: σπέρματος ABCDFHJ ἀγόνου F δὲ] τε CK: δὲ καὶ D: δὲ *seq. ras.* B 15 εὔζωμον] εὐζώμου μέρος D κνήκου] BD: κνίκου ACHK: κνίκον FJ δὲ] τε CD 17 συνθέτοις *om.* A βοηθήμασιν] βοηθήμασι τοῖς D 18 καὶ *om.* F: καὶ τὰ J δὲ] δὴ C: *om.* J 20 ἀφροδισιασάντων] CDJ: ἀφροδισιαζόντων F: συνουσιασάντων ABHK 21 ἐπεὶ δὲ] AHJKB[3]: ἐπὶ δὲ D, *mrg.* γρ. ὑπὸ δέ: ἐπειδὴ BF: ἐπειδὴ δὲ C ἐξ *om.* D 22 τὰ] DF, *postea ins.* J: *om.* ABCHK δηλονότι] οὖν δηλονότι D 23 προσάγειν F 24 ὕπνος ἱκανός F: καὶ ὕπνος ἱκανός D

## λη'. Περὶ πλεονασμοῦ σπέρματος.

Τινὲς δὲ σπέρμα πολὺ θερμὸν ἀθροίζοντες, εἶτα ἐπιγινόμενοι πρὸς ἀφροδίσια καὶ ἀποκρίνοντες αὐτὸ τό τε σῶμα ἀσθενὲς ἔχουσι καὶ τὸν στόμαχον ἔκλυτον καὶ λεπτύνονταί τε καὶ ξηραίνονται, ἀποσχόμενοι δὲ αὖθις διὰ ταῦτα ἀφροδισίων κεφαλήν τε βαροῦνται καὶ ἀσώδεις γίνονται, κἄπειτα εὐθὺς ὀνειρώξαντες πάσχουσι τὰ αὐτά. δεῖ τοίνυν τῶν μὲν πολυσπέρμων μηδὲν προσφέρεσθαι, τῶν δὲ φθειρόντων αὐτὸ καὶ τροφῶν καὶ φαρμάκων λαμβάνειν, καὶ μετὰ λουτρὸν ἀλείφεσθαι τὴν ὀσφὺν ῥοδίνῳ τε ἐλαίῳ καὶ μηλίνῳ καὶ ὀμφακίνῳ· βέλτιον δὲ αὐτὰ παχύτερα ποιοῦντας χρίειν κηροῦ μιγνύντας καὶ χυλοῦ τινος τῶν ψυχόντων, ἀειζώου φημὶ καὶ στρύχνου καὶ κοτυληδόνος καὶ ψυλλίου. κατὰ μὲν τὸ θέρος τούτων, κατὰ δὲ τὰς ἄλλας ὥρας ἄλλων τε καὶ τοῦ τῆς θριδακίνης χυλοῦ καὶ τοῦ λινοσπέρμου ἑψηθέντος ὕδατι· ψύχοντα γὰρ καὶ τοῦτο ποιεῖ χυλόν. καὶ λεπὶς δὲ μολυβδίνη ταῖς ψόαις ὑποτιθεμένη κωλύει τοὺς ὀνειρωγμούς· καὶ βοτάναι δὲ ὑποστρωννύμεναι τῶν ψυχουσῶν μετὰ πηγάνου καὶ τῶν ἄκρων τοῦ ἄγνου τῶν ἁπαλῶν τὸ αὐτὸ ποιοῦσι καὶ σπέρμα τοῦ λίνου καὶ πηγάνου ἐσθιόμενα. φυλάττεσθαι δὲ δεῖ σφοδρῶς ψύχειν τὰς ψόας, ὅπως ἂν μὴ βλαβεῖεν οἱ νεφροί.

## λθ'. Περὶ τῶν κατεψυγμένων.

Καταψύξεως δὲ ἱκανῆς γενομένης κατακλίνειν ἐν τόποις θερμοῖς αὐτοὺς συναλείφοντας κυπρίνῳ ἢ ἰρίνῳ, μετὰ δὲ ταῦτα μικρὸν ἀναθερμανθέντων διδόναι πέπερι καὶ σμύρναν μετὰ οἴνου γλυκέος εὐώδους παλαιοῦ ἢ ὀπὸν Κυρηναϊκὸν μετὰ οἴνου ἢ ὄξους ἢ πύρεθρον ἢ καστόριον μετὰ ὄξους, τροφὴν δὲ προσφέρειν θερμοτέραν.

## μ'. Περὶ τῶν ἐγκεκαυμένων.

Ἐγκαύσεως δὲ γενομένης κατακλίνεσθαι μὲν ἐν τόποις εὐπνόοις, προσκλύζεσθαι δὲ τό τε πρόσωπον καὶ τὰς χεῖρας καὶ τὰ σκέλη ψυχροῖς ὕδασι. προσδίψους δὲ γεγονότας πίνειν ψυχρὸν ὕδωρ, οἷς σύνηθες·

λη' *Oribasius, Ad Eunap. I 13* λθ' *Oribasius, Synops. V 36; cf. Aëtius IV 45* μ' *Oribasius, Synops. V 37; cf. Aëtius IV 47*

2 ἐπιγινόμενοι] D: ἐπιγενόμενοι ABCFHJK 3 ἔχουσι] D: ἴσχουσι ABCF³JK: ἴσχουσιν H 4 τε *om.* DK ἀπεχόμενοι DF³ 5 βαρύνονται HJ νοσώδεις *e corr.* H: ναυτιώδεις DF³ 8 μετὰ] μετὰ τὸ CH 9 δὲ] τε K 11 φημὶ] τε φημὶ D 12 ἄλλων] DF: ἁλῶν ABCHJK 13 ἑψηθέντος] D: δ' ἑψηθέντος K: δὲ ἑψηθέντος ABCFHJ 14 ψοίαις FK, *corr.* K 15 ἐπιτιθεμένη A, *e corr.* J, *supra scr.* ὑπο H 17 τοῦ *om.* D ἐσθιόμεναι K 18 δὲ *om.* FH, *supra scr.* C² δεῖ *om.* D: δεῖ τὸ A: δεῖ ἀεὶ F ψοίας K: θόας *corr. ex* θώας F ὅπως] ὡς A βλαβεῖεν] *corr. ex* λάβοιεν C²: λάβοσιν F 22 συναλείφοντας] συναλείφειν τε A: ἀλείφοντας F ἢ] *supra scr.* J, *corr. ex* ι BH 24 πυρέθρου F καστορίου F 26 ἐκκεκαυμένων CDF 27 ἐκκαύσεως CD ἐν] DFK, *supra scr.* J: *om.* ABCH 29 οἷς] ὡς D: οἷον F

ταῦτα δὲ ποιεῖν ἐκ τοῦ κατ᾽ ὀλίγον καὶ μὴ ἀθρόως. τροφὴν δὲ λαμβάνειν ὀλίγην, εὐδιοίκητον, ὑγροτέραν μᾶλλον ἢ ϲιτωδεϲτέραν.

## μα΄. Περὶ φλέγματοϲ ἐν τῇ ἄνω γαϲτρὶ πλεονάϲαντοϲ.

Εἴ τινι περιτετύχηκάϲ ποτε τὰϲ μὲν τῶν τροφίμων ϲιτίων προϲφορὰϲ ἀποϲτρεφομένῳ καὶ δεινῶϲ ἀποϲίτῳ καί, εἰ βιάζοιτο προϲφέρεϲθαι, ναυτιώδει γινομένῳ, μόνα δέ, εἴπερ ἄρα, τὰ δριμύτερα προϲιεμένῳ, χαίροντι δὲ μηδὲ ἐπὶ τούτοιϲ, ἀλλ᾽ ἐμφυϲωμένῳ καὶ διατεινομένῳ τὴν γαϲτέρα καὶ ναυτιῶντι καὶ βραχὺ ταῖϲ ἐρυγαῖϲ μόναιϲ ἐπικουφιζομένῳ, διαφθείροντι δὲ ἔϲτιν ὅτε καὶ αὐτὰ τὰ λαμβανόμενα ϲιτία, καὶ μάλιϲτα τὴν εἰϲ ὀξύτητα διαφθοράν, πάντωϲ γίνωϲκε τὰ βοηθήματα κεφάλαιον ἔχοντα τῆϲ ἰάϲεωϲ ἀπορρύψαι τῆϲ γαϲτρὸϲ τὸ φλέγμα. ἐγὼ γοῦν οἶδά ποτε τῶν οὕτω διακειμένων ἐπὶ ταῖϲ δι᾽ ὀξυμέλιτοϲ ῥαφανῖϲι πλῆθοϲ μὲν ἄπιϲτόν τι παχυτάτου φλέγματοϲ ἐμέϲαντα, παραχρῆμα δὲ ὑγιάναντα τελέωϲ.

## μβ΄. Πῶϲ ἄν τιϲ εὐκόλωϲ ἐμοίη.

Ἐπειδὴ δὲ τοῖϲ ϲυντόνωϲ ἐμοῦϲι πολλὰ ἄτοπα παρακολουθεῖν εἴωθε, καλῶϲ ἔχει τρόπουϲ εἰπεῖν, καθ᾽ οὓϲ ἔνεϲτιν εὐπετῶϲ ἐμεῖν· καὶ γὰρ φλέγμα κενοῖ καὶ κεφαλὴν ἐπικουφίζει, καί ποτε καὶ προθυμότερον φαγόντα ἀπεπτῆϲαι καὶ οἴνου πλείονοϲ λαβόντα βλαβῆναι κωλύει. ἔϲτω δὴ τὰ προϲφερόμενα μὴ ϲτρυφνὰ καὶ ξηρά, ἀλλὰ τὰ μὲν τοῦ γλυκυτέρου τρόπου καὶ ὑγροτέρου, τὰ δὲ τοῦ δριμυτέρου· δοκεῖ δὲ ἐν τούτοιϲ ῥάφανοϲ εὐδοκιμεῖν καὶ εὔζωμον καὶ τάριχοϲ παλαιὸν καὶ ὀρίγανοϲ χλωρὰ καὶ κρομύου ὀλίγον καὶ πράϲου. ϲυνεργεῖ δὲ τοῖϲ ἐμέτοιϲ καὶ τῶν ὀϲπρίων αἵ τε πτιϲάναι μέλιτοϲ ἔχουϲαι καὶ τὰ ἀπὸ τῶν κυάμων ἔτνη καὶ τὰ πίονα τῶν κρεῶν. ἀλλ᾽ ὅπωϲ μὴ μόνον τοὺϲ χυλοὺϲ αὐτῶν λαμβάνοιϲ, ἀλλ᾽ ὅλουϲ τοὺϲ ὄγκουϲ καταπίνειν· μὴ τοί-

μα΄ *Oribasius, Synops. V 38* μβ΄ *Oribasius, Synops. I 18; Coll. VIII 21. Aëtius III 119*

1 κατὰ λόγον BK 2 ϲιτωδεϲτέραν] ϲκληροτέραν D 3 πλεονάϲαντοϲ] ABCHJ: πλεονάζοντοϲ DFK 5 ἀποϲτρεφομένῳ] ὑγρὰ ϲτρεφομένῳ *mut. in* ὑγρὰϲ ἀποϲτρεφομένῳ K² καὶ δεινῶϲ] A, *mrg.* C²: *om.* BCDFHJK, καὶ *supra add.* K² καὶ *(alt.)*] δὲ μένοντι καὶ D βιάζοιτο] A, βιάζοιο BCDFHJK 6 δριμέα A 7 δὲ] D: *om.* ABCFHJK καὶ διατεινομένῳ] DK: *om.* ABCFHJ 8 τὴν] τε τὴν A 11 ἀπορρύψαι] AD: ἀπορύψαι BCHJK: ἀπορίψαι F 12 τῶν] BCDFHJK: τινα τῶν AB³C² ἐπὶ] τινα ἐπὶ D 13 ῥαφανῖϲιν FH: ῥεφανῖϲι *seq. ras. 1 litt.* B, *mut. in* ῥεφανῖϲῖ K² τι] *supra scr.* J: τὴν F παχυτάτου] DJK: παχυτάτου τοῦ ABCH, τοῦ *del.* H: παχύτητα F 14 τελείωϲ AF 16 δὲ *om.* F ϲυντόνωϲ] *in ras.* J³: μὴ ϲυντόμωϲ F: ϲυντόμωϲ K, *supra add.* μὴ K² 18 γὰρ] γὰρ καὶ DK κενοῦν D ἐπικουφίζειν DH, -ν *eras.* H 19 ἐμφαγόντα F: φαγόντα μὴ D βλαβῆναι] μὴ βλαβῆναι D 20 κωλύει *om.* D δὴ] ADJK, *e corr.* H: δὲ BCF 21 καὶ ὑγροτέρου τρόπου F καὶ ὑγροτέρου] *supra scr.* C² 22 παλαιὸν] AD: παλαιὸϲ BCFHJK 23 κρομμύου BC ὀλίγου DFH 24 *post* μέλιτοϲ *ins.* τι B³ 25 καὶ . . . κρεῶν *om.* F τῶν κρεῶν τὰ πίονα C ἀλλ᾽] ἀλλὰ καὶ F 26 καταπίνοιϲ D

νυν μηδὲ περὶ τὴν μάσησιν ἱκανῶς διάτριβε μέλλων ἐμεῖν, τῇ δὲ ἑψήσει μαλακὰ πάντα ἔστω. δῆλον δέ που, ὅτι καὶ τῶν οἴνων ὡς ὅτι τοὺς γλυκυτέρους αἱρετέον (οὗτοι γὰρ ἐπιπολαστικώτεροι), καὶ χλιαρωτέρῳ χρῆσθαι τῷ ποτῷ. χρὴ δὲ καὶ ἀμύγδαλα εἰς μέλι βάπτοντα ἐσθίειν καὶ πλακοῦντος γεύεσθαι τηνικαῦτα καὶ πέπονος καὶ σικύου τὸ σπέρμα βρέξαντα καὶ λεάναντα μετὰ μέλιτος προσφέρεσθαι· ποιεῖ δὲ καὶ ἡ ῥίζα τοῦ σικύου τετριμμένη μετὰ μέλιτος. οἱ δὲ ἰσχυροτέροις βουλόμενοι χρῆσθαι ναρκίσσου βολβὸν ἑψήσαντες ἐν ὕδατι τούτῳ κεραννύουσι τὸν οἶνον. προτρέπει δὲ ἐμεῖν καὶ ἴρινον μύρον, εἴ τις διαχρίσας τοὺς δακτύλους ἐρεθίζοι. ἐμετικὸν δὲ καὶ τὸ μὴ ἀνιέναι καὶ διαλείπειν. ἐπὶ τοῖς ἐμέτοις τό τε στόμα διακλύζειν καὶ τὴν ὄψιν ἀπονίπτειν ὀξυκράτῳ ἢ ὕδατι· καὶ γὰρ τοῖς ὀδοῦσι συμφέρει καὶ διακουφίζει τὴν κεφαλήν.

## μγ΄. Περὶ ὑπακτικῶν γαστρὸς καὶ διουρητικῶν τοῖς ὑγιαίνουσιν.

Τῶν παλαιῶν ἐξαρκεῖν ἐδόκει τισὶ πρὸς ὑγίειαν ἐφήμερα κενοῦσθαι διὰ γαστρὸς καὶ οὔρων ἀμέμπτως καὶ ἱκανῶς πρὸς τὸ πλῆθος τῶν ἐσθιομένων καὶ πινομένων, καὶ γινομένων μὲν τῶν κενώσεων κατὰ λόγον ἐπῄνουν, μὴ γινομένων δὲ συνήργουν τῇ μὲν οὐρήσει διὰ σκάνδικος καὶ σελίνου καὶ ἀσπαράγου πετροσελίνου τε καὶ ἀνίσου καὶ καλαμίνθης καὶ ὀριγάνου καὶ ἀψινθίου ἀγρώστεώς τε καὶ σκολύμου ῥίζης καὶ κυτίσου καὶ ἀδιάντου ἐν ὕδατι ἑψηθέντων, ὥστε πίνειν μετ᾽ οἴνου τὸ ἀφέψημα· καθαίρει γὰρ δι᾽ οὔρων ταῦτα τὸ αἷμα καὶ ἔστιν οὐ σμικρὸν ὄφελος. τῇ δὲ κοιλίᾳ συνεργητέον τερεβινθίνης διδόντας ἐλαίας μέγεθος καταπίνειν εἰς ὕπνον τρεπομένοις· μᾶλλον δὲ ὑπάγειν βουλόμενοι νίτρον βραχὺ καταμίξομεν. ἐπιτήδεια δὲ πρὸς ὑπαγωγὴν γαστρὸς καὶ ᾠὰ ῥοφητὰ καὶ λαχάνων τεῦτλα καὶ μαλάχαι καὶ τῶν κοχλίων ὁ ζωμός. καὶ ἴσως ἐξαρκέσει ταῦτα· μείζονα δὲ δύναται λινόζωστις ἐν ὕδατι μετὰ ἁλῶν ἑψηθεῖσα καὶ ἐσθιομένη καὶ τὸ ἀφέψημα αὐτῆς πινό-

μγ΄ *Oribasius, Ad Eunap. I 9*

1 ἱκανῶς] ἀκριβῶς A   2 που] που ὡς A   ὡς ὅτι *om.* AF: ὡς ὅτι καὶ K   3 γλυκυτάτους F   4 καὶ *om.* F   βάπτοντας DKF[3]   5 τὸ *om.* J   6 βρέξαντας DF[3]   λεάναντα] AF: λεάναντας D: λειάναντα JH[3]: λιάναντα BCK   ποιεῖ δὲ] D: *om.* ABCFHJK   ἡ] *mut. in* τὴν *in scrib.* A   7 ῥίζαν A   τετριμμένην A   ἰσχυροτέρως D   9 προτρέπειν F: προτρέπει *seq. ras. 1 litt.* K   10 ἐπὶ] ἐν F   11 τε] D: δὲ ABCFHJK   ἀπονίπτειν] D: ἀπονίζειν ABCFHJK   12 γὰρ] γὰρ καὶ D   14 περὶ] *comp.* K: *om.* FJ   ὑπακτικῶν] *pr.* κ *in ras.* K[2]: ὑπατικὰ F: ὑπακτικὰ *corr. ex* ὑπακτικῶν J   διουρητικὰ F, *e corr.* J   16 τῶν παλαιῶν] *mut. in* τοῖς παλαιοῖς K[2]   ἐξαρκεῖν *om.* H   τισιν ἐδόκει F   τισὶ] τις K   πρὸς ὑγίειάν τισι A   18. 19 κατὰ λόγον τῶν κενώσεων F   19 μὲν *om.* D: μὲν οὖν F   20 τε] DK: *om.* ABCFHJ   ἀνίσου] ἀννίσου B, *supra add.* η B[2]: ἀνήσου J: ἀσπαράγου K   23 δι᾽] καὶ δι᾽ F   ταῦτα δι᾽ οὔρων K   26 νίτρον] F: ῥοῦ ABCHJK: καὶ ῥοῦ πρὸς D   27 καὶ *(prius)*] AHC[2]: *om.* BCDFJK   28 μείζων K   29 ἑψηθεῖσα μετὰ ἁλῶν τε καὶ F

μενον καὶ τῆς ἀκτῆς τὰ φύλλα παραπλησίως· καὶ τοῦ πολυποδίου τῆς ῥίζης ὅσον < β̄ ἐπιπάσσειν ταρίχει ἢ καὶ ἐν πτισάνῃ ῥοφεῖν· καὶ ὀρὸς δὲ γάλακτος σὺν ἁλσὶν ἢ μέλι πλῆθος κοτυλῶν γ̄ ἢ δ̄ καὶ τοῦ παλαιοῦ ἀλεκτρυόνος ὁ ζωμὸς καθ' αὑτόν τε καὶ σὺν κνήκου δραχμαῖς δυοῖν· καί ποτε καὶ ἀλόης ἐπὶ τῷ δείπνῳ λαμβάνειν ὅσον ἐρεβίνθων γ̄ τὸ μέγεθος. κάλλιστον δὲ καὶ ἐπίθυμος ἐν οἴνῳ πινόμενος μετὰ τὸ συμμέτρως δειπνῆσαι· ὁ δὲ σφοδρότερον κενοῦσθαι δεόμενος ἕωθεν ἐπιθύμου πινέτω δραχμὴν ἐν ὀξυμέλιτι ἦρος ὥρᾳ.

## μδʹ. Περὶ κλυσμῶν.

Ἐπὶ δὲ τῶν φύσει δυσκοιλίων, ἐφ' ὧν ἀσθενὴς ὢν ὁ στόμαχος οὐκ ἐπιδέχεται τὰ διὰ στόματος ὑπακτικά, τοῖς κλύσμασι χρηστέον, φλέγματος μὲν ἐγκειμένου τῷ ἐντέρῳ τοῖς δι' ἀφεψήματος ἰσχάδων καὶ τεύτλων καὶ νίτρου καὶ ἀγρίου σικύου ῥίζης καὶ μέλιτος καὶ ἐλαίου χαμαιμηλίνου ἢ ἀνηθίνου, ξηρότητος δὲ μᾶλλον ἐνούσης τοῖς δι' ἀλθαίας τε καὶ τήλεως καὶ χαμαιμήλων καὶ ἐλαίου καὶ μέλιτος βραχέος· καί ποτε καὶ ἔλαιον καθ' αὑτὸ πλῆθος ἡμικοτυλίου ἐνιέμενον τὸ δέον ἐξανύει· μηδὲ τοῦτο δὲ συνεχῶς, ἵνα μὴ τούτοις ἡ φύσις ἐθιζομένη τῆς αὐτομάτου ἐκκρίσεως ἐκλάθηται.

## μεʹ. Περὶ βαλάνων.

Χρώμεθα καὶ βαλάνοις πολλάκις σκυβάλων χάριν ἐκκρίσεως, καὶ ἐφ' ὧν τὸ ἐνεθὲν διὰ κλυστῆρος οὐκ ἐκκρίνεται. πλάσσεται δὲ βαλάνια ἐξ ἁλὸς ὀπτοῦ καὶ μέλιτος καὶ νίτρου· καὶ θύμος δὲ τῷ ἀπέφθῳ μέλιτι μίσγεται. πλάσσεται δὲ καὶ ἐκ ῥητίνης τερεβινθίνης καὶ νίτρου καί ποτε καὶ κόκκου Κνιδίου συμμέτρου· δήξεις δὲ ἐγείρει, διὸ χριστέον τὰ μέρη ἐλαίῳ. ἔτι δὲ καὶ πύρεθρον ἢ πέπερι παραπλέκεται· καὶ ἁρμόζει παραλυτικοῖς καὶ ταῖς ὑπὸ ψύξεως ἐμπνευματώσεσι. κενταύριον δὲ παραπλέκεται πίσσῃ καὶ κηρωτῇ· καί ἐστιν ἐπιτήδειον παρέσεσιν αἰδοίου. ἐπὶ δὲ τῶν νηπίων καὶ χόνδρος ἁλὸς ἐντίθεται. ἀναπλάσσεται δὲ καὶ σῦκον μετὰ νίτρου.

μδʹ *cf. Oribasius, Synops. I 19* μεʹ *Oribasius, Synops. I 20; cf. Aëtius III 160*

3 δὲ *om.* F πλῆθος] DK: *om.* ABCFHJ 4 αὐτὸ BH: ἑαυτὸν C δραγμαῖς ABH, *comp.* D δυεῖν HJ 5 καί ποτε] ποιεῖ ποτὲ δὲ D λαμβάνειν ἐπὶ τῷ δείπνῳ F 6 κάλλιστος K ἐπίθυμον CF πινόμενον CF 7 κενῶσαι D: κενοῦν F 8 δραγμὴν AH: δραγμὴ K: ∟ ᾱ D 9 κλυσμῶν] BDFK$H^3$: κλυσμοῦ C: κλύσεων AHJ 10 ἐφ'] CDK$B^3$, *e corr.* J: ἀφ' B: ὑφ' AFH 11 ὑπακτικά] *corr. ex* ὑπατικά $B^2D^2J^2$ 12 ἰσχάδων ἀφεψήματος F 13 σεύτλων C: σεύτλου F καὶ μέλιτος *om.* A 13. 14 χαμαιμηλίνου ἐλαίου F 14 ἢ] καὶ D ἀλθαίας] CDK: ἀλθέας ABFHJ 15 τε *om.* D 16 ἑαυτὸ D ἐνιέμενον] J$B^2C^2$: ἐνούμενον ABCDFHK 17 δὲ] BDHK, *supra scr.* J: *om.* ACF ἐρεθιζομένη D 20 καὶ] δὲ καὶ CK 25 καὶ *(prius)*] D: καὶ τῷ F: τὸ ABCHJK πυρέθρῳ F περιπλέκεται DFK 26 ἀπὸ F 27 δὲ] CK: τε D: *om.* ABFHJ περιπλέκεται C παραίσεσιν BK 28 ἀναπλάσσεται . . . νίτρου *(29) om.* F 29 μετὰ] CDK$B^3$: καὶ μετὰ ABHJ

## μϛʹ. Περὶ τῶν κενωτικῶν τῆϲ κεφαλῆϲ ἀποφλεγματιϲμῶν τε καὶ ἐρρίνων καὶ διαχριϲμῶν.

Τοὺϲ ἐν τῇ κεφαλῇ χυμοὺϲ διὰ τῶν πτυϲμάτων κενοῦμεν, εἰ μὲν ἐπὶ βραχὺ τοῦτο πρᾶξαι βουληθείημεν, ἀναμιγνύντεϲ μαϲτίχῃ πέπερι, πλέον δὲ κενῶϲαι βουλόμενοι πύρεθρον ἢ ϲταφίδα τὴν ἀγρίαν μαϲᾶϲθαι κελεύοντεϲ. καὶ ἀνεμώνηϲ δὲ πάϲηϲ ῥίζα διαμαϲωμένη φλέγμα προκαλεῖται καὶ καππάρεωϲ τῆϲ ῥίζηϲ ὁ φλοιόϲ. τὸ μὲν οὖν ὀρῶδεϲ περίττωμα διὰ τῶν τοιούτων κενοῦται, τὸ δὲ παχὺ καὶ φλεγματῶδεϲ ἀνακογχυλιζόμενον νᾶπυ μετʼ ὀξυμέλιτοϲ ἢ ϲίραιον ὀρίγανον ἢ ὕϲϲωπον ἀφηψημένον ἔχον· ἐγὼ δὲ μίγνυμι τοῦτο τῷ μετʼ ὀξυμέλιτοϲ νάπυι. εἰ δὲ καὶ ἀπὸ μύξηϲ ἐκκαθαίρεϲθαι δέοι τὸν ἐγκέφαλον, προτρέψομεν αὐτὴν ἐρεθίζοντεϲ φαρμάκοιϲ δριμέϲιν, ὧν ἔνια καὶ πταρμὸν κινεῖ. καθαίρει μὲν οὖν διὰ ῥινὸϲ ἀναγαλλίδοϲ ἑκατέραϲ ὁ χυλόϲ, ἀνεμώνηϲ τε πάϲηϲ καὶ τεύτλου καὶ ϲικύου ἀγρίου φύλλων ὁ χυλὸϲ ἐγχεῖται ταῖϲ ῥιϲὶν αὐτόϲ τε καθʼ ἑαυτὸν καὶ μετὰ τεύτλων ἀφεψήματοϲ ἢ χυλοῦ. πταρμὸϲ δὲ ἐπὶ τοῖϲ ὠμοῖϲ χυμοῖϲ τοῖϲ κατὰ θώρακα καὶ πνεύμονα καὶ κεφαλὴν μέρεϲι περιεχομένοιϲ οὐ ϲυμφέρει. διάχριϲτον δὲ ϲτόματόϲ ἐϲτι τοιόνδε· ϲάπωνα διεὶϲ τεύτλου χυλῷ χρῖε τὰ κατὰ τὸν οὐρανίϲκον καὶ τὸν κίονα· καλῶϲ ποιεῖ. τὸ δὲ αὐτὸ καὶ ἔρρινόν ἐϲτιν. εὐπορίϲτῳ δὲ πολλάκιϲ ἐχρηϲάμην ἐγχριομένῳ τῇ ῥινὶ μελανθίῳ ποτὲ μὲν ὄξει δριμεῖ διαβρέχων πρὸ μιᾶϲ ἡμέραϲ, εἶτα τῇ ὑϲτεραίᾳ ϲὺν ὄξει πάλιν λειῶν καὶ ἐγχέων εἰϲ τὴν ῥῖνα, ἐνίοτε δὲ ἐλαίῳ παλαιῷ τὸ αὐτὸ μελάνθιον λειῶ καὶ ὁμοίωϲ χρῶμαι. οὕτω μὲν οὖν αὐτῷ χρῆται καὶ Ἀρχιγένηϲ ἐπὶ ἐμφράξει μυκτήρων, τῷ δὲ προτέρῳ τῷ διὰ τοῦ ὄξουϲ ὁ Κρίτων ἐπὶ τῶν ἰκτερικῶν.

μϛʹ *Oribasius, Synops. I 21* 11 *sqq. cf. Aëtius III 140*

1 τε καὶ] ABHK: καὶ CDFJ 2 καὶ *om.* F διαχριϲμῶν] HJK, *e corr.* B: διαχριϲτῶν ADFJ$^3$, *corr. ex* διαχριϲμάτων C 4 τοῦτο πρᾶξαι] D: πρᾶξαι AC, τοῦτο *add. mrg.* A: πρᾶξαι τοῦτο BFHJK μαϲτίχῃ πέπερι] K: τῇ μαϲτίχῃ $\overset{\epsilon\,\epsilon}{\pi\pi}$ D: πέπερι τῇ μαϲτίχῃ ABCFHJ 6 δὲ *om.* K διαμαϲωμένη] FK: μαϲωμένη ABCDHJ 7 τῆϲ *om.* K οὖν *om.* K 8 καὶ] D: *om.* ABCFHJK φλέγμα F ἀνακογχυλιαζόμενον K 9 ϲίραιον] ABH, *mut. in* ϲιραίου K: ϲίρεον CJ: ϲίραιον ἢ D: ϲίρεον ἢ καὶ F 10 ἀφηψημένον] D: ἀφεψημένον ABCHJK: ἀφέψημα F$^3$ τούτῳ DF τῷ] τὸ D: *om.* FH νᾶπυ DF 11 ἀπὸ] J$^2$: ὑπὸ ABCDFHJK προτρέψομεν] DK: προτρέπομεν ABCFHJ 13 ἑκατέραϲ *om.* D: ἑκάτεροϲ F ὁ *om.* D 14 ϲεύτλου D ϲυκίου FJ 15 ϲεύτλου D, -ου *e corr.* 16 χυμοῖϲ *om.* F 17 περιεχομένοιϲ μέρεϲι C, *e corr.* B 18 ϲάπωνα] ϲάπονα B: ϲινήπυ J διεὶϲ] DF, *corr. ex* διὴϲ K: εἰϲ ABCH: μετὰ J χυλῷ] DFK: χυλοῦ ABCHJ 19 καλῶϲ] καλῶϲ γὰρ D 20 ποτὲ . . . μελάνθιον *(22) om.* D 21 διαβραχὲν H: διὰ βραχέων K 22 δὲ] δὲ πάλιν F: καὶ C$^2$: *om.* ABCHJK 23 ὁμοίωϲ] ὁμοίωϲ ἔτι D 24 τῷ *(alt.)*] τοῦ AB 25 ὁ Κρίτων] ὁ κρείττον F, -εί- *corr. ex* ί: ἄκριτον K

## μζ΄. Ὅcα ἐμμήνων ἀγωγά.

Τὰ διουρητικὰ πάντα, κράμβηc ῥίζηc τὸ ἀφέψημα πινόμενον, περcέαc ῥίζα καὶ πήγανον καὶ χρυcάνθεμον καὶ δίκταμνον καὶ εὐζώμου cπέρμα. κινεῖ δὲ καὶ προcθετὰ τῷ cτόματι τῆc ὑcτέραc προcαγόμενα, ὥcπερ πήγανον λεῖον μετὰ μέλιτοc ἢ πράcου χυλὸc ἢ cκόροδον λεῖον προcτιθέμενον ἢ cμύρνα λεία ἐν οἴνῳ ἢ λαγωοῦ πυτία.

## μη΄. Ἱδρωτικά.

Τῶν ἱδρωτικῶν ἐcτι χαμαίμηλον ξηρὸν λεῖον ἐπιπαccόμενον ἐλαίῳ τῆc ἐπιφανείαc εὐτόνωc ἀνατριβομένηc, cέcελι, πύρεθρον, κάχρυ, ἄνιcον ὁμοίωc ἐμπαccόμενα ἐλαίῳ, νίτρον ὀπτὸν [καὶ] μὴ πάνυ λεπτὸν cὺν τῷ ἐλαίῳ, ἁλὸc ἄνθοc cυγκιρνώμενον ἐλαίῳ, ὀπὸc Κυρηναϊκὸc ὕδατι διειμένοc εἰc ἀνάτριψιν τοῦ cώματοc παραλαμβανόμενοc καὶ πινόμενοc μέγεθοc ὅcον ἐρεβίνθου· ὁμοίωc καὶ καλαμίνθη πινομένη τε μετὰ μελικράτου καὶ ἔξωθεν cὺν ἐλαίῳ τριβομένη.

## μθ΄. Περὶ ἀέρων.

Ἄριcτοc ἀὴρ ἐcτιν ὁ ἀκριβῶc καθαρόc· εἴη δ' ἂν οὗτοc ὁ μὴ ἐκ λιμνῶν ἢ ἑλῶν ἀναθυμιάcεωc ἐπιθολούμενοc μήτε ἔκ τινοc βαράθρου δηλητήριον αὔραν ἀναπέμποντοc. οὕτω δὲ καί, ὅcτιc ἔκ τινοc ὀχετοῦ τῶν ἐκκαθαιρόντων μεγάλην πόλιν ἐπιθολοῦται, μοχθηρόc ἐcτι, καὶ μὴν καί, ὅcτιc ὁμιχλώδηc ἐcτίν, οὐκ ἀγαθόc, ὥcπερ γε καὶ ὅcτιc ἂν ἐν κοίλῳ χωρίῳ πανταχόθεν ὄρεcιν ὑψηλοῖc περιεχόμενοc μηδεμίαν αὔραν δέχηται. οἱ μὲν οὖν οὕτωc μοχθηροὶ πᾶcαν ἡλικίαν ὁμοίωc βλάπτουcι καὶ πᾶcαν κρᾶcιν, ὥcπερ οἱ ἄριcτοι ὠφελοῦcιν· ἡ δὲ κατὰ ποιότητα, θερμότητα λέγω καὶ ψυχρότητα καὶ ξηρότητα καὶ ὑγρότητα, διαφορὰ τῶν ἀέρων οὐχ ὁμοίωc ἔχει πρὸc ἅπανταc· τοῖc μὲν γὰρ εὐκράτοιc cώμαcιν ὁ εὔκρατοc ἀὴρ ὠφέλιμοc, τοῖc δὲ δυcκράτοιc ὁ τὴν ἐναντίαν ἔχων κρᾶcιν.

μζ΄ *Oribasius, Synops. I 22; Coll. VIII 16. cf. Aëtius III 154*
μη΄ *Oribasius, Synops. I 23; Coll. VIII 17. cf. Aëtius III 157* μθ΄ *Oribasius, Synops. I 24; Ad Eunap. I 15; Coll. IX 1. cf. Aëtius III 162*

2 πάντα] πάντα καὶ ἐμμήνων ἀγωγά ἐcτιν οἷον D: καταμηνίων ἀγωγὰ οἷον *add. mrg.* B³ 3 πηγάνου FK δίκταμνον] ACDK: δίκταμον BFHJC² 5 πήγανον] J: τὸ πήγανον ABCDFHK, τὸ *supra add.* J cκόροδον λεῖον] DF: cκόρδου λείου ABCHJK 6 προcτιθέμενον] DF: προcτιθεμένου ABCHJK 9 κέγχροc C 10 ἐμπαccόμενα] D, *post* π *ras. 1 litt.*: ἐμπλαccόμενα ABCFHJK: ἐπιπαccόμενα *Or* ἐλαίῳ *om.* D καὶ *om.* F³ καὶ . . . τῷ *(11)*] cὺν D μὴ *om.* K, *supra scr.* B 11 cυγκιρνόμενον BC: cυγκρινόμενον H 13 μέγεθοc *om.* FH ἐρεβίνθου] ἐρεβίνθου μέγεθοc F καὶ] καὶ ἡ F τε] *ras. 2 litt.* B 16 ἀκριβὴc FK, *corr.* K καθαρῶc AD, *corr.* D: ὁ καθαρόc F 17 ἑλωδῶν DF³ ἀναθυμιάcεων DF³ μήτε] μὴ δὲ D 19 τῶν] K²: καὶ ABCDFHJK, *del.* B ἐκκαθαίροντοc D, *e corr.* B 20 ἐcτίν *om.* D 21 ὑψηλῶν K περιεχομένῳ C 22 οὕτω BF 23 ἡ] *corr. ex* οἱ K: οἱ *in ras.* J 24 καὶ ψυχρότητα *om.* F 26 ὁ *(prius) om.* D

## ν΄. Περὶ ὑδάτων.

Δεῖ δὲ καὶ τῆς τῶν ὑδάτων ἀρετῆς τε καὶ κακίας ἐμπείρους εἶναι· πολύχρηστα γὰρ τὰ ὕδατα σχεδὸν ἁπάντων μᾶλλόν ἐστιν εἰς ἅπασαν τὴν δίαιταν. εἰδέναι χρὴ τοίνυν τὸ ἄριστον ὕδωρ ἀποιότατον εἶναι καὶ κατὰ γεῦσιν καὶ κατ' ὀσμήν· εὐθὺς δὲ τοῦτο καὶ ἥδιστον ὑπάρχει τοῖς πίνουσι καὶ ὀφθῆναι καθαρόν. ὅταν δὲ καὶ ὑποχωρῇ τῶν ὑποχονδρίων ταχέως, μηδὲ ζητεῖν ἕτερον ἄμεινον· τὰ γὰρ ἐν τοῖς ὑποχονδρίοις χρονίζοντα καὶ τὴν γαστέρα πλήττοντα καὶ ἐμφυσῶντα καὶ βαρύνοντα μοχθηρὰ νομιστέον. οὔτε δὲ θερμαίνεται ταχέως οὔτε ψύχεται τὰ τοιαῦτα τῶν ὑδάτων, ἀλλὰ καὶ τὰ ἐν αὐτοῖς ἑψόμενα βραδύτατα καὶ κάκιον ἕψεται. βέλτιον μὲν οὖν τῇ πείρᾳ κρίνειν τὸ τοιοῦτον ὕδωρ· ὁ βουλόμενος δὲ καὶ διὰ γνωρισμάτων διαγινώσκειν τοῖς ῥηθησομένοις κρινέτω. τὰ μὲν γὰρ πρὸς ἄρκτους ἐστραμμένα καὶ τὸν ἥλιον ἀποστραφέντα βραδύπορά τέ ἐστι καὶ ἀτέραμνα καὶ θερμαίνεται καὶ ψύχεται βραδέως· τὰ δὲ πρὸς ἀνατολὰς διὰ πώρου τινὸς ἢ γῆς ἠθούμενα τάχιστα θερμαίνεται καὶ τάχιστα ψύχεται. ταῦτα ἐλπίζειν εἶναι κάλλιστα· καλὰ δὲ καί, ὅσα θέρους μὲν ψυχρότερα, χειμῶνος δὲ θερμότερα. τινὲς δὲ καὶ τῷ σταθμῷ δοκιμάζουσι τὰ κοῦφα νομίζοντες εἶναι κρείττω· τοῦτο δέ, εἰ μὲν πρὸς τοῖς ἄλλοις ὑπάρχει τοῖς εἰρημένοις, ἐπαινεῖται, μόνον δὲ οὐκ ἐξαρκεῖ τεκμήριον εἶναι τῶν ἀγαθῶν. κουφότατα δέ, ὥς φησιν Ἱπποκράτης, τὰ ὄμβρια καὶ γλυκύτατα καὶ λαμπρότατα καὶ λεπτότατα, διότι ὑπὸ τοῦ ἡλίου τὸ κουφότατον ἕλκεται καὶ λεπτότατον· ἀνάγει δὲ οὐκ ἐκ μόνων τῶν ἄλλων ὑδάτων ἀλλὰ καὶ ἀπὸ τῆς θαλάττης κἀκ τῶν σωμάτων αὐτῶν· διὸ καὶ εὐσηπτότατά εἰσι πάντων ὡς ἂν ἀπὸ διαφόρων ποιοτήτων συνιστάμενα. μή τις δὲ ὑπολάβῃ κάκιστον εἶναι τὸ εὔσηπτον ὕδωρ· τὸ γὰρ εὐαλλοίωτον πρὸς ἀρετῆς μᾶλλόν ἐστιν ἢ κακίας, ὥστε, ὅταν ἔχον τὰ γνωρίσματα τῶν ἀρίστων ὑδάτων εὔσηπτον ὑπάρχῃ, κάλλιστον ὑπολη πτέον αὐτό· τρέπεσθαι μὴν ἀρχόμενον τοῖς πιοῦσιν αἴτιον βράγχων τε καὶ βηχῶν καὶ βαρυφωνίας καθίσταται. αὐτῶν δὲ τῶν ὀμβρίων ὑδάτων τὸ θερινὸν

ν΄ *Oribasius, Synops. IV 41; Ad Eunap. I 14; cf. Coll. V 1. Aëtius III 165*
21 Ἱπποκράτης] Περὶ ἀέρων ὑδάτων τόπων 8

2 ἀρετῆς τε] καὶ ἀρετῆς F  4 τὴν *om.* D  5 καὶ *(pr.) om.* F  7 μηδὲ] *mut. in* μηδὲν J: μὴ D  ἐν] DFK: ἐπὶ ABCHJ  9 δὲ *om.* B  11 μὲν *om.* A  κρίνειν *om.* A  12 ὁ *om.* K  γινώσκειν F: γιγνώσκειν ABH  τοῖς] καὶ τοῖς F  14 ἀποστρεφόμενα D  ἀτέρεμνα CH, *corr.* C[2]  15 πρὸς] πρὸς τὰς KO  πόρου CHJK  ἠθούμενα] BCFHK, *e corr.* J: ὠθούμενα ADF[3]J  16 τάχιστα *(pr.)*] JK: τάχιστά τε ABCDFH  ταῦτα] H: ταῦτα οὖν D: ταῦτ' ABCFJK  17 κάλλιστα] τὰ κάλλιστα D  19 δέ] DFHK: μέν ABCJ  ὑπάρχοι ABH  23 ἀνάγει . . . μόνων] οὐ μόνον ἐκ D  24 κἀκ] καὶ ἐκ D: καὶ ἀπὸ F  αὐτῶν] DK: *om.* ABCFHJ  25 μή τις] FKO: μηδεὶς ABCDHJ  ὑπολάβῃ] *Or*: ὑπολάβοι CF *et seq. ras. 1 litt.* BJ: ὑπολάβοι καὶ ADHK  27 ἀρετὴν DF  ἐστιν μᾶλλον H  κακίαν DF  ὥστε] F: ὥσθ' ABCDHJK  28 ὑπάρχῃ] D: ὑπάρχει F: ὑπαρ (χ *supra*) C: ὑπάρχοι ABHJK  29 πίνουσιν D

τοῦ λαιλαπώδους ἄμεινόν ἐστι καὶ τὸ βροντιαῖον. τὰ δὲ ἀπὸ κρυστάλλων καὶ χιόνος πονηρότατα· κατὰ γὰρ τὴν πῆξιν τοῦ ὕδατος πᾶν τὸ λεπτομερέστερον ἐκθλίβεται. καλῶς δ' ἂν ἔχοι τά τε ἰλυώδη καὶ δυσώδη καὶ τὰ ποιότητας ἀτόπους ἔχοντα ταῖς ἑψήσεσιν ἐπὶ τὸ βέλτιον τρέποντας οὕτω πίνειν καὶ κεραννύντας οἴνῳ, τὰ μὲν στύφοντα τῷ γλυκυτέρῳ, τὰ ἄλλα δὲ τῷ στρυφνοτέρῳ· τινὰ δὲ καὶ ἠθεῖν συμφέρει, τὰ ἰλυώδη δὲ καὶ ἁλυκὰ καὶ ἀλφίτοις ἠθεῖν. τὰ δὲ ἄγαν ψυχρὰ μετὰ τροφὴν πίνειν καὶ μηδὲ ἀθρόως. τινὲς δὲ ἐξευρήκασι βρώματα καὶ ποτὰ πρὸς τὰς τῶν ὑδάτων κακίας, καὶ οἱ μὲν ἐρεβίνθων ἀφεψήματα προπίνουσιν ἢ καὶ αὐτῶν ἐσθίουσιν, οἱ δὲ καυκαλίδας ὡσαύτως μετά τινος ἰχθυδίου ἑφθοῦ καὶ μάραθρα ὁμοίως, οἱ δὲ καὶ τεῦτλα καὶ κολοκύνθας προεσθίουσι μετὰ ἁλῶν σὺν οἴνῳ κεκραμένῳ.

## να'. Περὶ λουτρῶν.

Ἐπαινῶ μὲν τὴν ψυχρολουσίαν, οὔ φημι δὲ συμφέρειν αὐτὴν τοῖς κατὰ τὸ προστυχὸν διαιτωμένοις, ἀλλὰ μόνοις τοῖς ἀκριβῶς βιοῦσι καὶ πόνοις καὶ σιτίοις κατὰ τὸ ἁρμόττον χρωμένοις· ἀρκεῖ δὲ τοῖς πολλοῖς δεομένοις ποτὲ ψυχθῆναι μειζόνως ἐννήξασθαι θέρους ὥρᾳ νέους ὄντας καὶ εὐσάρκους προεκθερμανθέντας τρίψεσιν. ἔστωσαν δὲ μήτε ἐξ ἀφροδισίων μήτε ἄλλως κοπώδεις μήτε ἄπεπτοι καὶ ἐμεμηκότες ἢ κατὰ γαστέρα κεκενωμένοι μήτε ἠγρυπνηκότες· σφαλερὸν γάρ, εἰ ἁπλῶς τις χρῷτο. τὸ δὲ θερμὸν λουτρὸν κράτιστόν ἐστι καὶ ἀσφαλέστερον κόπους λῦον καὶ πληθώρας διαφοροῦν καὶ ἐκθερμαῖνον παρηγοροῦν τε καὶ μαλάσσον καὶ πνεύματα διαχέον, ἔνθα ἂν στηριχθῇ, καὶ ὑπνοποιὸν καὶ εὐσαρκίαν παρέχον· ἔστι δὲ καὶ εὐμεταχείριστον παντὶ καὶ ἀνδρὶ καὶ γυναικὶ καὶ παιδίῳ καὶ πρεσβύτῃ καὶ ἰδιώτῃ.

να' *Oribasius, Synops. I 27; Ad Eunap. I 16. Aëtius III 168*

ABCDFGHJK(O)

1 τὸ *om.* CD, *inc.* G   βροντιαίου D: βρόντιον K   τὰ] *corr. ex* τὸ K: τὸ F   2 πονηρότατον F   τὴν] CDGKB$^2$: *om.* AFHJ   3 λεπτομερέστατον DF   δ' ἂν ἔχοι] οὖν ἔχει D   τά τε] DK: καὶ τὰ ABCFGHJ   ἰλυώδη] CDGK, *e corr.* J: ὑλώδη ABFH: ἐλώδη B$^3$H$^2$   4 τὰ] B, *e corr.* C: τὰς ACDFGHJK   5 καὶ *om.* D   6 τὰ ἄλλα] DK: τἄλλα ABCFGHJ   τὰ *(alt.)*] τὰ δὲ C   7 δὲ *(pr.)*] DFK: *om.* ABCGHJ   ἀλφίτοις ἠθεῖν] ἀσφαλτώδη διηθεῖν *e corr.* J, *mrg.* γρ. καὶ ἀλφίτοις διηθεῖν J$^3$   8 πόματα DFHK

11 ἑφθοῦ] DF$^3$: ἑφθὰς ABCGHJK   μάλαθρα D, *mrg.* γρ. μάραθ̄: μάραθρα ἑφθὰ K: μαράθρου F$^3$   σεῦτλα D   κολοκύνθας] DFK: κολοκύντας ABCGHJ

12 κεκραμένῳ] AD: κεκραμ̓ένῳ G: κεκραμμένῳ CHJK, *postea add.* B: κεκραμμένα F   15 μόνο̄ *corr. ex* μόνω K   17 ἐνήξασθαι BF: ἐννίψασθαι K   θέρους] D: ποτε θέρους ABCFGHJK, ποτε *eras.* J   19 καὶ] ἢ F: μήτε D   ἐμεμηκότες] K, *corr. ex* ἐμημεκότες C$^2$: ἡμεμηκότες AGH, *e corr.* BJ: ἄλλως προεμέσαντες D: ἐμελικότες? F   ἢ] μήτε D   21 ἀσφαλέστερον] K: ἀσφαλέστατον ABCDFGHJ   23 ἔνθα ἂν στηριχθῇ] FK: *om.* ABCGHJ: ἔνθα ἂν στηριχθεῖεν D   ὑπνοποιὸν] CDG, *corr. ex* ὑπνοιὸν K: ὑπνοποιὸν ὂν ABFHJ

## νβʹ. Περὶ τῶν αὐτοφυῶν λουτρῶν.

Τῶν αὐτοφυῶν λουτρῶν τὰ μέν ἐστι νιτρώδη, τὰ δὲ ἁλμυρά, τὰ δὲ στυπτηριώδη, τὰ δὲ θειώδη, τὰ δὲ ἀσφαλτώδη, τὰ δὲ χαλκανθώδη, τὰ δὲ σιδηρίζοντα, τὰ δὲ σύνθετα ἐκ τούτων. πάντων μὲν οὖν τῶν αὐτοφυῶν ὑδάτων ἡ δύναμίς ἐστι ξηραντικὴ καὶ θερμαντικὴ ἐπίπαν καὶ μάλιστα ἁρμόζει τοῖς καθύγροις καὶ ψυχροῖς. ἤδη δὲ τὰ μὲν νιτρώδη καὶ ἅλας ἔχοντα κεφαλῇ κατάλληλα καὶ θώρακι ῥευματιζομένῳ καὶ στομάχῳ καθύγρῳ καὶ ὑδρωπικοῖς οἰδήμασί τε τοῖς ἐκ νόσων καὶ τοῖς φλεγματικοῖς· τὰ δὲ στυπτηριώδη αἵματός τε ἀναγωγαῖς καὶ ἐμετικῷ στομάχῳ καὶ γυναιξὶν ἀτάκτως καθαιρομέναις καὶ συνεχῶς ἐκτιτρωσκούσαις· τὰ θειώδη δὲ νεύρων μαλακτικὰ καὶ θερμαντικὰ καὶ πόνων παρηγορικά, στόμαχον δὲ ἐκθηλύνει καὶ ἀνατρέπει· τὰ δὲ ἀσφαλτώδη κεφαλήν τε συμπληροῖ καὶ τὰ αἰσθητήρια κακοῖ, θερμαίνει δὲ ἐμμόνως καὶ μαλάσσει σὺν χρόνῳ· τὰ δὲ χαλκανθίζοντα στόματι καὶ παρισθμίοις καὶ σταφυλῇ καὶ ὄμμασι διαφερόντως ἐπιτήδεια· τὰ δὲ σιδηρίζοντα στομάχῳ καὶ σπληνὶ χρήσιμα. δεῖ δὲ τὰς εἰς τὸ ὕδωρ ἐμβάσεις ἀθορύβως ποιεῖσθαι, ὅπως ἡ δύναμις ἀνειμένῳ τῷ σώματι προσιοῦσα ἐγκαταδύηται.

## νγʹ. Περὶ τῆς ταῖς ὥραις ἁρμοττούσης διαίτης.

Καλῶς ἔχει καὶ πρὸς τὰς ὥρας ἀφορῶντας διαιτᾶσθαι καὶ χειμῶνος μὲν πλείοσι τοῖς πόνοις χρῆσθαι καὶ ἐσθίειν πλείονα, μάλιστα ὅταν ἡ κατάστασις ᾖ βορεία· νοτίας γὰρ οὔσης πονεῖν μὲν ὁμοίως, ἐλάττονα δὲ σιτία καὶ ποτὰ προσφέρεσθαι, καὶ ὅλως τὸ σῶμα ξηρὸν ποιεῖν ἐν ὑγρᾷ τῇ ὥρᾳ παντοίως, ὥσπερ ἐν τῇ ψυχρᾷ θερμότερον, ἐσθίειν δὲ κρεῶν θερμῶν καὶ λαχάνων καὶ οἶνον πίνειν πλείονα. εἰσβάλλοντος δὲ τοῦ ἦρος ὁ μέν τις δι' ἐμέτων ὁ δὲ διὰ γαστρὸς κενούσθω, καὶ ἄλλος φλέβα τέμνων ἀφαιρείτω τοῦ αἵματος, ὅπως ἂν ἕκαστος ἔθους καὶ προθυμίας ἔχων τυγχάνῃ. κατὰ δὲ τὸ θέρος ἀνάπαυσις συμφέρει καὶ τῶν πόνων καὶ τῶν τροφῶν ἐλάττωσις, καὶ εἴδους εἶναι ψυχροτέρου τὰς τροφάς, τῷ τε ποτῷ δαψιλεῖ χρῆσθαι, καὶ πάντα ποιεῖν τὰ εἰς ἀνάψυξίν τε καὶ εἰς ὑγρότητα συντελοῦντα. κατὰ δὲ τὸ φθινόπωρον, ἐπειδὴ παντοίως ἐστὶν ἀνώμαλον καὶ ἄτακτον καὶ παντοδαπὰς ἐπιφέρον νόσους, πάνυ πεφυλαγμένως χρὴ διαιτᾶσθαι μήτε περὶ τὰς

νβʹ *Oribasius, Synops. I 29; Coll. X 3. Aëtius III 167* νγʹ *Oribasius, Ad Eunap. I 10*

1 τῶν *om.* AG 3 χαλκαντώδη AB: γρ. χαλκώδη *mrg.* B[2] 3. 4 τὰ δὲ σιδηρίζοντα τὰ δὲ χαλκανθώδη K *(item mrg., ubi octo genera balnearum enumerantur numeris additis)* 5 ἐπίπαν] ὡς ἐπίπαν DG 7 κεφαλῆς G 9 τοῖς *om.* DG 11 δὲ θειώδη DFK 12 παρηγορητικά F 14 χαλκανθίζοντα] D: χαλκανθώδη F: χαλκίζοντα ABCGHJK 17 ἀθορύβους DF[3] 18 ἐγκαταδύηται] D: ἐγκαταδύνηται ABCFGHJ: ἐνκαταδύνηται K 21 ὅταν] ὁπηνίκα F 22 ᾖ] εἴη F 26 δὲ *(alt.)*] DF: δέ τις ABCGHJK 28 ἔχων *om.* F, *supra scr.* H ἀναπαύειν K 29 καὶ *(tert.)*] δεῖ δὲ καὶ D 31 εἰς *(alt.)* *om.* A 33 ἐπιφέρον] *corr. ex* ἐπιφέρων GJB[2] πάνυ *om.* F μήτε] DO: μὴ ABCFGHJK

ψύξεις ἐξαμαρτάνοντα καὶ ἀφροδισίων καὶ ψυχροῦ πόματος ἐγκρατέστατον γινόμενον καὶ τὸ μὲν κατὰ τὴν ἕω ψυχρὸν τοῦ ἀέρος κατὰ δὲ τὴν μεσημβρίαν καυσῶδες ἐκκλίνοντα, καὶ ὀπωρῶν δὲ μὴ ὑπερεμπίπλασθαι· λυπηρὰ γὰρ οὐ τῷ πλήθει μόνον ἀλλὰ καὶ τῇ κακοχυμίᾳ καὶ τῷ φῦσαν ἐμποιεῖν. καὶ γὰρ οὖν καὶ αἱ κράτισται τῶν ὀπωρῶν, σῦκα καὶ βότρυς, πνεῦμα τίκτουσιν, εἰ μή τις αὐτῶν λαμβάνοι πρὸ τῶν ἄλλων σιτίων, καὶ φθείρουσι τὰς τροφάς· προλαμβανόμεναι δὲ οὔτε φυσῶσιν οὔτε συνδιαφθείρουσιν. ψυχροτέρου δὲ γενομένου τοῦ ἀέρος κατὰ λόγον θερμαίνειν τὸ σῶμα καὶ πάντα ποιεῖν ὡς προσάγοντος τοῦ χειμῶνος. καλῶς δ᾿ ἂν ἔχοι μετὰ τὴν ἰσημερίαν καὶ κενώσει τινὶ χρῆσθαι τῶν εἰρημένων, ὅπως μηδὲν περιττὸν κατασχεθὲν ἐν τῷ χειμῶνι γένηται λυπηρόν.

## νδʹ. Δίαιτα τοῖς ἐν ἀσχόλῳ βίῳ τυγχάνουσιν.

Τὸν ἐν ἀσχόλῳ βίῳ τυγχάνοντα χρὴ σκοπεῖν, εἴτε γυμνάζεσθαι κατὰ τὸν ἔμπροσθεν βίον ἔθος εἶχεν εἴτε μὴ γυμναζόμενος μετρίως φέρει τὸ τοιοῦτον ἔθος, ὡς μὴ νοσεῖν συνεχῶς, εὐδιάπνευστος ὤν· τὴν γὰρ τοιαύτην φύσιν τοῦ σώματος οὐ χρὴ μετάγειν ἐφ᾿ ἕτερον ἔθος, οὐδὲ ὅλως ὅσοι διὰ πολλοῦ νοσοῦσιν. εἰ δὲ συνεχῶς τις φαίνοιτο νοσῶν, εἰ μὲν πληθωρικός, σκοπὸς ἔστω σοι παρ᾿ ὅλην τὴν ὑγιεινὴν δίαιταν, ὅπως ἀεὶ συμμέτρους ἕξει τοὺς χυμούς, εἰ δὲ διὰ κακοχυμίαν, ὅπως ἀρίστους. τῶν μὲν οὖν πληθώραν ἀθροιζόντων τοὺς μὲν ἄντικρυς εἰς τὸ βαλανεῖον εἰσιόντας ἔπειτα τρίψει τε χρῆσθαι καί τι βραχὺ κινεῖσθαι πρότερον· ὅσοι δὲ ἔφθανον τὰ τοιαῦτα ποιεῖν, ἐπ᾿ ὀλίγον μὲν αὐξῆσαι καὶ αὐτὰ ταῦτα συμβουλεύσομεν, ἀφελεῖν δέ τι καὶ τῶν τροφῶν καὶ τὰς ὀλιγοτρόφους προσφέρεσθαι. τῶν δὲ κακοχυμίαν ἀθροιζόντων οὐχ εἷς ἐστιν ὁ σκοπός, ὅτι μηδὲ τῆς κακοχυμίας ἰδέα μία· τινὲς μὲν γὰρ ψυχροτέραν καὶ φλεγματικωτέραν ἀθροίζουσι, τινὲς δὲ θερμοτέραν τε καὶ χολωδεστέραν, ὥσπερ ἄλλοι μελαγχολικωτέραν. ἀφεκτέον οὖν ἑκάστῳ σιτίων τε καὶ ποτῶν, ὅσα πέφυκε γεννᾶν ἑτοίμως τὸν ἀθροιζόμενον αὐτοῖς χυμόν. ἐπὶ πάντων δὲ τούτων βοήθημα κοινὸν γαστρὸς ὑπαγωγή.

νδʹ *Oribasius, Synops.* V 29. *Aëtius* IV 31

1 ψύξεις] πέψεις *Or* ἐξαμαρτάνοντα] DK: ἁμαρτάνοντα ABCFGHJ καί (*alt.*)] τε καὶ D ἐγκρατέστερον C 2 γινόμενον] JK: γινομένοις F: γιγνόμενον ABCDGH κατὰ μὲν D 3 τὴν *om.* F ὑπερεμπίμπλασθαι A: ὑπερεμπλήσασθαι B 5 τῷ] ABDH: τὸ CFGJK οὖν *om.* F 6 πνεύματα ABH λαμβάνει FH 7 καὶ φθείρουσι] φθείρουσι γὰρ F τροφάς] τροφὰς καὶ K 8 γινομένου DHK 10 μετὰ] περὶ F 15 μὴ] $B^2$: καὶ D: *om.* ABCFGHJK μετρίως *om.* F: ῥᾳδίως D 16 φέρει] CJ: φέροι ABDGHK: φέρειν ῥᾳδίως F 20 ἀεὶ] DFK: *om.* ABCGHJ σύμμετρος F: συμμέτρως G 22 τε τρίψει K καί τι] κελεύσομεν καί τι καὶ D: καί τι καὶ F: καίτοι K 23 πρότερον *om.* D δὲ *om.* K τὰ] πρότερον τὰ D ἐπ᾿] τούτοις ἐπ᾿ D 24 συμβουλεύσωμεν ABCFHK 26 ἰδέα] ABH, *e corr.* J: ἡ ἰδέα DFGK: μία ἰδέα C μία *om.* C 27 δὲ] δὲ καὶ F 28 τε *om.* C 29 τε *om.* F πέφυκεν ἑτοίμως γεννᾶν G

## νε΄. Ὁδοιποροῦςι δίαιτα.

Πρὸς τὰς πορείας ῥᾷςτα ἄν τις ἀπαλλάττοι λιπαρὸς ὢν καὶ μὴ ςυντόνως πορευόμενος, ἔτι δὲ τοῦ μὲν θέρους ταινίᾳ μαλακῇ πλάτος ἓξ ἢ ἑπτὰ δακτύλους ἐχούςῃ μῆκος δὲ μὴ ἔλαττον πέντε πηχῶν κατειλημένος τὴν ὀςφὺν ἄχρι τῶν λαγόνων. καὶ ἡ βακτηρία δὲ χρηςίμη γίνεται παρὰ τὰς πορείας· ἐν μὲν γὰρ τοῖς κατάντεςι προβαλλόμενος ἴςχει τὸ ςῶμα προπετὲς γινόμενον καθάπερ τινὶ κοντῷ, ἐν δὲ τοῖς ἀνάντεςιν ἐπερειδόμενος ῥᾷον ποιεῖ τὴν εἰς τὸ πρόςαντες κίνηςιν τοῦ ςώματος. διαναπαύςεως μὲν οὖν γινομένης ἐν ταῖς πορείαις ἄλειμμα καὶ μικρὰ ςίτου προςφορὰ τῶν θερινῶν τινος καὶ πόμα μέτριον ἁρμόττει ταύτην τὴν ὥραν καὶ μετὰ τὸ ἄριςτον ἀνάπαυςις πρὸ τοῦ πορεύεςθαι, ςυνείρειν δὲ ἀναγκαζομένῳ καὶ διψῶντι λεπτὸν ἄλφιτον ἐφ' ὕδατι μεθ' ἁλὸς μετρίου πίνειν. τὰ δὲ καύματα καὶ τοὺς ἡλίους εὐλαβεῖςθαι δεῖ μηδὲ γυμνὸν ἡλιούμενον τὸ ςῶμα ἀλλὰ ςκεπαςάμενον, ὅπως μὴ ςκληρύνηται ξηραινόμενον παρὰ τὴν πορείαν· οὕτω γὰρ ἂν ὅ τε κόπος ἧττον ςυμβαίνοι, καὶ τῶν εἰρημένων παθῶν οὐδὲν ἂν γένοιτο ὁμοίως. τοῦ δὲ χειμῶνος ψυχροῦ ὄντος πρὸ τῆς πορείας λαπαχθέντα καὶ ἀλειψάμενον ςιτίων τῶν χειμερινῶν τι πολὺ καὶ πόμα μικρὸν ἁρμόττει λαβεῖν καὶ εἰλίξαςθαι ταινίᾳ μακροτέρᾳ μὴ μόνον τὴν ὀςφὺν ἀλλὰ καὶ τὴν ῥάχιν καὶ τὸ ςτῆθος εὖ καὶ καλῶς. διαναπαυόμενος δὲ ἐν τῇ τοιαύτῃ παρηγορίᾳ γινομένου ψύχους ἱκανοῦ μήτε ἀλείφεςθαι μήτε ςιτίον μήτε πόμα λαμβάνειν βέλτιόν ἐςτι μήτε ἄλλην τινὰ παρηγορίαν, εἰ μὴ μέλλοι τις αὐτοῦ καταμένειν. μετὰ δὲ τὰς πορείας τὰς μακρὰς καὶ τοὺς ἄλλους πόνους τοὺς ἰςχυρούς, κἂν μὴ κοπιᾷ τις, δεῖ θεραπεύειν αὐτὸν καθάπερ τοὺς κοπιῶντας· ἧττον γὰρ ἂν οὕτως ἀποβαίνοι τι δυςχερές.

## νϛ΄. Πλοϊζομένοις δίαιτα.

Πρὸς τοὺς ςυμβαίνοντας ἐμέτους τοῖς πλοϊζομένοις. τοῖς μὲν πρώτοις γινομένοις οὔτε ῥᾴδιον οὔτε χρήςιμον ἀντιτάςςεςθαι· πάντα γὰρ ὡς ἐπὶ τὸ πολὺ εἴωθεν ὠφελεῖν. δεῖ δὲ μετὰ τὸν ἔμετον μὴ πολλὰ

νε΄ *Oribasius, Synops. V 31* νϛ΄ *Oribasius, Synops. V 33*

2 λαπαρὸς *Or* 3 πλάτος *om.* K 4 δακτύλων F *Or* μὴ] CDFK: μηδὲ BGH: μηδὲν AJ κατειλημένος] CH: κατειλημμένος ABC²DFGJK 5 λαγόνων] γονάτων K 6 προβαλλομένοις DG 7 κοντῷ] *supra scr.* C²: κοντῷ ὑποςτηριζόμενον D: ςτηριζομένη F³ 8 ἐπερειδομένοις D ποιεῖν K 9 διαναπαύςεως] δῆλον διαναπαύςεως F: ἀναπαύςεως D: δῆλον ἀναπαύςεως ABCGHJK γιγνομένης ABCFGH 10 μικροῦ ςιτίου DF ἁρμόζει F: ἁρμόττει κατὰ D 12 ςυνείρειν] D: ςυναιρεῖν ABCFGHJK ἐφ'] ἐν D 13 μετὰ D 14 ἐςκεπαςμένον K: ςκεπαςμένον FH 16 γίνοιτο D 18 ςιτίον CG, *e corr.* DJ πολὺ *om.* D ἁρμόττει] DK: ἁρμόζει ABCFGHJ 19 ἑλίξαςθαι D: ἡλίξαςθαι K 21 γινομένου] K: γενομένου D: γιγνομένου ABCFGHJ 22 μήτε *(alt.)*] μηδὲ K 23 μὴ] *Or*: *om.* ABCDFGHJK 25 ἂν] DK: *om.* ABCFGHJ ἀποβαίνει F 26 τι] D: τὸ ABCFGHJK 27 πλωιζομένοις D 28 πλωιζομένοις D 29 γινομένοις] D: γιγνομένοις ABCFGHJK πάντας CO 30 τὸ *om.* CO

μηδὲ τὰ τυχόντα βρώματα προσφέρεσθαι, ἀλλ᾽ ἢ τῷ φακῷ χρῆσθαι ξηρῷ καὶ κατέφθῳ γληχοῦς μικρὸν ἔχοντι ἢ ἄρτῳ κατατεθρυμμένῳ ἐν οἴνῳ ὑδαρεῖ καὶ εὐώδει, τῷ δὲ ποτῷ χρῆσθαι βραχεῖ καὶ τούτῳ ἢ οἰναρίῳ παντελῶς ὑδαρεῖ ἢ ὀξειδίῳ τῷ ἀπὸ τοῦ μέλιτος. τοὺς δὲ φακοὺς ἑψῆσαι δεήσει κἄπειθ᾽, ὅταν μαλακοὶ γένωνται, τρίβειν λείους, εἶτα ξηρᾶναι κἄπειθ᾽ οὕτως συνθεῖναι εἰς κεραμεοῦν ἀγγεῖον. ἐπὶ πλείω δὲ χρόνον πλειόνων γενομένων ἐμέτων τῇ ὑποστολῇ τῆς τροφῆς σφοδροτέρᾳ χρηστέον καὶ τῷ ποτῷ βραχεῖ, ἢ τῷ ὀξειδίῳ τῷ ἀπὸ τοῦ μέλιτος μεθ᾽ ὕδατος θύμου ἐν αὐτῷ ἀποβεβρεγμένου ἢ γλήχωνι καὶ ὕδατι μετὰ ἀλφίτου πάλης ἢ τῷ οἰναρίῳ τῷ εὐώδει μετὰ πάλης, ὑδαρεῖ ὡσαύτως. πρὸς δὲ τὰς δυσχερεῖς ὀσμὰς τὰς ἐν τοῖς πλοίοις ἢ μῆλα δέοι ἂν ὀσφραίνεσθαι τὰ κυδώνια ἢ τὸν θύμον ἢ τὸν γλήχωνα. δεῖ δὲ καὶ βλέπειν ὅτι ἥκιστα εἰς τὴν θάλασσαν, ἕως εἰς τὸν εἰθισμὸν ἔλθῃ τῆς ἐν τῷ πλοίῳ διατριβῆς· καὶ τοῖς ὕδασι δὲ προσέχειν, ὅπως μήτε θολερὰ μήτε δυσώδη μήτε ἁλυκὰ ἔσται.

## νζ΄. Περὶ σαρκῶν καθαιρέσεως.

Ὅταν εἰς πολυσαρκίαν ἄμετρον ἐκτραπῇ τὸ σῶμα, τήκειν αὐτὸ καὶ καθαιρεῖν χρή. δέδεικται δὲ ἡ θερμοτέρα κρᾶσις ἰσχνὸν ἐργαζομένη τὸ σῶμα· τοιαύτην οὖν σοι ποιητέον ἐστὶ τὴν τῶν παχέων, εἰ μέλλοι γενήσεσθαι σύμμετρος. μεμάθηκας δέ, ὡς ὀξέα γυμνάσια καὶ δίαιτα λεπτύνουσα καὶ φάρμακα τοιαῦτα καὶ τῆς ψυχῆς αἱ φροντίδες ἀποφαίνουσι τήν τε κρᾶσιν ὅλην ξηροτέραν καὶ δι᾽ αὐτὴν τὸ σῶμα λεπτότερον. τὰ μὲν οὖν τῆς λεπτυνούσης διαίτης πρόδηλα· φάρμακα δὲ τὰ σφοδρότερα πηγάνου τὸ σπέρμα, καὶ μάλιστα τοῦ ἀγρίου, σὺν τοῖς κορύμβοις καὶ ἀριστολοχία στρογγύλη καὶ τὸ λεπτὸν κενταύριον ἥ τε γεντιανὴ καὶ τὸ πόλιον, ὅσα τε τῶν οὐρητικῶν ἰσχυρότερα, καθάπερ τὸ πετροσέλινον· ἕκαστον γὰρ τῶν τοιούτων καὶ αὐτὸ καθ᾽ ἑαυτὸ καὶ σὺν ἀλλήλοις πάντα λεπτῦναί τε τοὺς χυμοὺς ἱκανὰ καὶ κενῶσαι. ἀλλὰ

νζ΄ *Oribasius, Synops. V 40. Aëtius IV 32*

1 μηδὲ τὰ] μήτε D  2 ξηρῷ] ὀξηρῷ *Or*  γληχοῦς] AB: γλίχους FG: γλήχονος HJ, *e corr.* K: γλήχωνος D, *in ras.* C[2]  cμικρὸν *post ras.* C  κατατεθρυμμένῳ] K: κατατεθριμμένῳ O: κατατετριμμένῳ ABCFGHJ: τετριμμένῳ D  3 βραχὺ K  4 οἴνῳ D  παντελῶς] O *Or*: *om.* D: παντελεῖ ABCFGHJ: παντελεῖ ἢ K  ὑδαρεῖ] ὑδαρεῖ καὶ εὐώδει D  ὀξιδίῳ CDHK: ὀξυδίῳ *in ras.* J: ὀξ/δίῳ G  6 κἄπειθ᾽ οὕτως συνθεῖναι] DKO (οὕτω D): *om.* ABCFGHJ  ἀγγεῖον κεραμεοῦν D  7 γινομένων DK: γεγονότων C  τῆς τροφῆς] *Or*: τροφῇ ABCDFGHJK: τροφῆς OC[2]  8 τῷ *(pr.) om.* D  ὀξιδίῳ CHK: ὀξυδίῳ *in ras.* J: ὄξει D  10 παιπάλης DFJC[2]  οἴνῳ D  παιπάλης DC[2]J[3]  11 δὲ] D: *om.* ABCFGHJK  δυσχερεῖς] ἰσχυρὰς D  12 ἂν] ἂν διδόναι D  τὰ] ἢ τὰ K: καὶ τὰ F[3]  θύμον ἢ τὸν *om.* A, *supra scr.* J[3] (τὸν *om.*)  13 ἕως] ἕως ἂν D  τὸν εἰθισμὸν] CJKO, *e corr.* G: τὸ εἰθισμένον D: ἠθισμὸν ABH: ἰσθμὸν F  14 δὲ] δὲ δεῖ *seq. ras.* D  προσέχειν] προσέχειν τοῖς πινομένοις D  17 ἄμετρον *om.* D  19 τὴν *om.* B  μέλλει F
22 κρᾶσιν ὅλην] KO: ὅλην κρᾶσιν D: κρᾶσιν ABCGHJ (F *ante* ἀποφαίνουσι *add.* ὅλην θερμοτέραν τε)  23 φαρμάκων K  δὲ] δὲ ποιεῖ D
24 πηγάνου τὸ] οἷον πηγάνου τε D  25 καὶ *(pr.)*] CDFG: *om.* ABHJK
26 διουρητικῶν D  28 τε *om.* K

καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχιδνῶν ἅλες ἱκανῶς λεπτύνουσι, καὶ αὐτὴ δὲ ἡ θηριακή. διαφορεῖ δὲ καὶ λεπτύνει συγχριόμενον ἔλαιον ἐνηψημένης σικύου ἀγρίου ῥίζης καὶ ἀλθαίας καὶ γεντιανῆς πάνακός τε ῥίζης καὶ ἀριστολοχίας, καὶ τὸ πόλιον δὲ καὶ τὸ κενταύριον. δεῖ δὲ καὶ τὴν τροφὴν οὐκ εὐθὺς ἐπὶ λουτροῖς διδόναι, ἀλλὰ καὶ κοιμᾶσθαι πρότερον ἐπιτρέπειν· κάλλιον δὲ εἶναι καὶ τὸ ὕδωρ τὸ ἐν τῷ λουτρῷ τῶν διαφορητικῶν, εἰ μὲν αὐτοφυὲς ἔχοιμεν, οἷόν ἐστι τὸ ἐν τῇ Μιτυλήνῃ, εἰ δὲ μή, ἁλὸς ἄνθος θαλασσίῳ ὕδατι μιγνύειν· καὶ οἴνοις χρῆσθαι τοῖς λεπτοῖς καὶ λευκοῖς. καὶ ἡ ξηροτριβία δὲ δι' ἐκμαγείων παχυτέρων λεπτύνειν ἱκανή. δεῖ δὲ πρὸς λόγον τῶν γυμνασίων ἐλάττω προσφέρειν τὰς τροφάς. ὠφελεῖ καὶ ἡλίωσις τοὺς κατασάρκους. χρὴ δὲ μήτε προπίνειν αὐτούς, καὶ μονοσιτεῖν δὲ ἄμεινον· καὶ ἀνατρίβειν δὲ τὸ σῶμα νίτρῳ καὶ ἁλσὶ τραχυτέροις. τὸ μὲν οὖν πολὺ νίτρον ἐν λουτροῖς λεπτύνει, τὸ δὲ ὀλίγον ἐρεθισμός ἐστιν εἰς εὐτροφίαν. λεπτύνει δὲ καὶ τὸ οὕτω μεμιγμένον· πεπέρεως καὶ πετροσελίνου διπλοῦν, ἀσάρου δὲ καὶ ἀνίσου ἥμισυ· τοῦτο δὲ καὶ οὐρηθῆναι ἀγαθὸν καὶ εἰς διαχώρησιν.

## νη'. Πῶς ἀνατρέφειν δεῖ τοὺς κατισχνωθέντας.

Ὅσους δὲ ἀνατρέφειν βουλόμεθα καταλελεπτυσμένους, οἶνον μὲν δώσομεν τὸν παχύν, ἐδέσματα δὲ παχύχυμα, καὶ γυμνάσια δὲ τὰ βραδέα καὶ τρῖψιν μετρίαν καὶ ἁπλῶς εἰπεῖν ἅπαντα τοῖς προειρημένοις τὰ ἐναντία. ἐπιτήδειον δέ ἐστιν αὐτοῖς καὶ τὸ πιττοῦσθαι δι' ἡμερῶν τριῶν ἢ τεττάρων. εἰ δὲ νῆστις λούοιτο, πρὸ τοῦ λουτροῦ χρὴ σινδόσιν ἀνατρίβειν τὸ σῶμα, μέχρις ἂν φοινιχθῇ, κἄπειτα σκληρίᾳ μὴ πολλῇ πιλοῦντα τὸ δέρμα πυκνὸν καὶ σκληρὸν ἐργάζεσθαι. δεῖ δὲ καὶ ὀξυθυμίας ἐμποιεῖν τοῖς ἀχροοῦσί τε καὶ ἀτροφοῦσι καὶ συγκινήσεις ψυχικάς.

νη' *Oribasius, Synops. V 41. Aëtius IV 33*

2 δὲ] AHJK: *om.* DF: τε CG, *in ras.* B   λεπτύνει] λεπτύνει ὡς δὲ καὶ DF³   3 ἀγρίου] DF: τοῦ ἀγρίου ABCGHJK   τε] D: *om.* ABCFGHJK   4 τὸ *(pr.)*] εἰ τὸ DF³   δὲ *(pr.)*] τε G: ἔχοι DF³   καὶ *(ult.)*] K: *om.* ABCDFGHJ   5 διδόναι] DKOF³: δοῦναι ABCGHJ   6 κάλλιον *om.* D   δὲ] GKF³: *om.* D: δ' ABCHJ   εἶναι *om.* F³   ὕδωρ] ὕδωρ δὲ D   7 εἰ] ἐστιν εἰ D   τῇ *om.* D   8 θαλαττίου D   9 λεπτοῖς] λευκοῖς CH   λευκοῖς] *e corr.* B: λεπτοῖς CH   ἡ] ABCHJ: *om.* DFGK   10 πρὸ λόγων F   ἔλαττον K   11 καὶ] δὲ καὶ FG   μήτε] μή τι *Or*   12 δὲ τὸ] τὸ DF   13 παχυτέροις FK   15 ἀσάρου δὲ] ἄσαρός τε D   16 ἀνίσου] CD: ἀνήσου AFHJK: ἀννήσου BG   ἥμισυ] τὸ ἥμισυ D   οὐρηθῆναι] πρὸς οὔρησιν D   17 δεῖ] ACF: χρὴ BDGHJK   19 δώσομεν] *Or*: *om.* ABCDFGHJK   δὲ τὰ *om.* D   20 τρῖψιν] τρῖψιν δὲ A   ἅπαντα *om.* F   τοῖς . . . ἐναντία *(21)*] τἀναντία τούτοις πρέπει D   23 μέχρις] μέχριπερ DKO: μέχρι ἢ F   σκληρίᾳ] D: σκληρὰ ABFGHJK: σκληρὸν *corr. ex* σκηρὸν C   πολλῇ] K: πάνυ πολλῇ D: πολὺ ABCFGHJ   24 πιλοῦντα] D: πιλοῦντας KO: πιλοῦντες ABCFGHJ   ὀξυχυμίας K

## νθʹ. Πῶς ἄν τις ἰάσαιτο κατισχνωθέντα μόρια.

Τῶν δὲ γιγνομένων ἐν μέρεσί τισιν ἰσχνοτήτων αἱ πλεῖσται διὰ πολυχρόνιον ἡσυχίαν αὐτῶν ἢ καταγματικὸν ἐπιδέσεως τρόπον εἰς τὸ πάθημα τοῦτο ἔρχονται. χρὴ οὖν ῥωννύναι μὲν τὴν ἐν τῷ μορίῳ δύναμιν, ἐπισπᾶσθαι δὲ αἷμα δαψιλὲς τρίψεσί τε χρωμένους μετρίαις ἐπιτηδείαις τε κινήσεσι καὶ καταχύσει θερμοῦ ὕδατος μετρίᾳ. ταῦτα δὲ ποιεῖν, μέχρις ἂν ἐρυθρὸν γενόμενον μετεωρισθῇ, καί, πρὶν συμπέσῃ, παύεσθαι. δεῖ δὲ καί τῳ τῶν πιττωτῶν χρῆσθαι κατὰ τοὺς εἰρημένους σκοπούς. ὅταν δὲ αἴσθησις ᾖ ψυχροτέρου τοῦ μορίου, σινδόσι τε ἀνατρίβειν αὐτὸ καί τινι φαρμάκῳ θερμαίνοντι· ἐχρησάμην δὲ ἐνίοτε καὶ θαψίᾳ, ποτὲ μὲν μέλιτος ἐπιχρίων, ἔστι δὲ ὅτε καὶ διὰ κηρωτῆς.

## ξʹ. Διάγνωσις ἀρίστης κράσεως.

Εὐκρατότατός ἐστιν ὁ ἄνθρωπος, ὅταν τῷ σώματι φαίνηται μέσος ἀκριβῶς ἁπάντων τῶν ἄκρων, ἰσχνότητος καὶ παχύτητος, μαλακότητός τε καὶ σκληρότητος καὶ θερμότητος καὶ ψυχρότητος καὶ ὑγρότητος καὶ ξηρότητος, καὶ συνελόντι φάναι τάς τε φυσικὰς ἐνεργείας καὶ τὰς ψυχικὰς ἀμέμπτους ἔχῃ, μέσος δέ ἐστι καὶ ψιλοῦ τριχῶν καὶ δασέος καὶ μέλανος καὶ λευκοῦ τὴν χροιὰν καὶ τρίχας ἔχῃ παῖς μὲν ὢν πυρροτέρας μᾶλλον ἢ μελαντέρας, ἀκμάζων δὲ ἔμπαλιν.

## ξαʹ. Διάγνωσις τῶν δυσκράτων σωμάτων.

Ὅσα δὲ σώματα τοῦ συμμέτρου θερμότερα τυγχάνει, τούς τε ὀδόντας φύσει θᾶττον καὶ αὐξηθήσεται ὁμοίως. φανεῖται δὲ δήπου καὶ

νθʹ *Oribasius, Synops. V 42. Aëtius IV 34* ξʹ *Oribasius, Synops. V 43; cf. Coll. XXI 5. Aëtius IV 53* ξαʹ *Oribasius, Synops. V 44; cf. Coll. XXI 6. Aëtius IV 54—62*

1 ἰάσαιτο] CFG: ἰάσαιτο τὰ ADHK, *e corr.* BJ 2 γινομένων F ἰσχνοτήτων] ACB$^2$: ἰσχνότητα A$^2$: ἰσχνά$^{ν}$σεων D: ἰσχνάνσεων O: ἰσχνούντων FGHK: ἰσχνῶν *e corr.* J 3 πολυχρόνιον] πολὺν χρόνον K: τὴν ἐπὶ πολὺν χρόνον D ἢ] ἢ διὰ DO καταγματικῶν G 5 ἐπισπᾶσθαι] BDF: ἐπισπάσασθαι ACGHO, *e corr.* JK δὲ] DF: τε ABCGHJKO τε] ταῖς K 6 καὶ *om.* K καταχύσεσι D: κατάχυσις *corr. ex* κατάχυσιν K μετρίου DF$^3$ 7 μέχρι A γινόμενον K 8 δὲ *om.* F τῳ] *Or*: *om.* ABCDFGHJK: τὸ A$^2$ πιττωτῶν] *Or*: πιττοτῶν A$^2$: πιττόντων B: πιττούντων τι O: πεττόντων CFGHJK: πεττόντων τισὶ D χρίεσθαι BHJO *post* χρῆσθαι *add.* φαρμάκῳ *mrg.* A$^2$ 9 αἴσθησις ᾖ] KO: αἰσθήσῃ ACDFHJ: αἰσθήσει BG τε] δεῖ K 10 *post* θερμαίνοντι *add.* χρῆσθαι *mrg.* D 11 μὲν] μὲν μετὰ A$^3$ *Or* 13 εὐκρατώτατος JK: εὐκρατέστατος F ὁ] FGK: *om.* ABCDHJ 14 πάντων D 15 καὶ *(sec.) om.* CD καὶ *(quart.) om.* D 16 φάναι] φάναι ὅταν D τὰς *(alt.) om.* KO 17 ἔχῃ] *e corr.* J: ἔχει DFK, *corr.* DK: ἔχην H ἔστω D 18 ἔχῃ] ABG: ἔχει CFHJK: ἐχέτω *e corr.* D 19 μᾶλλον ἢ μελαντέρας *om.* FG μελαντέρας] KO: μελανοτέρας ABDHJ: μελανωτέρας C 20 τῶν] DKO: *om.* ABCFGHJ 22 καὶ *(pr.)*] D: *om.* ABCFGHJK *ante* ὁμοίως *ins.* τε K$^2$ φανεῖται] CDFG, *e corr.* J: φαίνεται ABHK δήπου καὶ] CDFGK: εἴ που ABHJ

ἁπτομένοις θερμότερα καὶ πιμελῆς ἧττον ἔχοντα, τῇ δὲ χροιᾷ ἐξέρυθρα καὶ μελανότριχα καὶ μετρίως δασέα καὶ εὐρείας ἔχοντα τὰς φλέβας· εἰ δ' ἅμα τις εἴη πιμελώδης τε καὶ παχὺς καὶ τὰς φλέβας εὐρείας ἔχοι, δι' ἔθος οὗτος, οὐ φύσει, πιμελώδης ἐγένετο. ψυχροτέρας δὲ κράσεως σημεῖα τὸ ψυχρὸν ἁπτομένοις, τὸ ἄτριχον, τὸ πιμελῶδες· ἡ χροιὰ δὲ τοῖς τοιούτοις ἅμα ταῖς θριξὶ πυρροτέρα, πολλῆς δὲ τῆς ψύξεως οὔσης πελιδνή πώς ἐστι καὶ μολιβδόχρους, καὶ στενὰς δὲ ἔχουσι τὰς φλέβας· ἰσχνὸς δὲ ὑπάρχων οὐδὲ οὗτος ἐξ ἀνάγκης τοιοῦτος, ἀλλὰ διὰ ἔθος, ἐγένετο. ἡ δὲ ξηρὰ σκληροτέρα τέ ἐστι καὶ ἰσχνοτέρα τῆς εὐκράτου καὶ δασεῖα. ἡ μὲν οὖν σκληρότης ἀχώριστός ἐστι τελέως τῆς ξηρᾶς κράσεως, ἡ δὲ ἰσχνότης οὐ μόνον ἕπεται ταῖς συμφύτοις κράσεσιν, ἀλλὰ καὶ ταῖς ἐπικτήτοις ἐξ ἔθους μακροῦ γινομέναις. σημεῖον δὲ τῆς ξηρότητος καὶ τὸ δυσκίνητον καὶ ξηρὸν καὶ αὐχμηρὸν ὑπὸ τῶν ξηραινόντων γίνεσθαι τὸ σῶμα. ἡ ὑγρὰ δὲ τὰ μὲν ἄλλα παραπλήσιός ἐστι τῇ εὐκράτῳ, μαλακωτέρα δὲ καὶ πολυσαρκοτέρα· καὶ ταύτης ἀχώριστός ἐστιν ἡ μαλακότης, ὥσπερ γε καὶ ἡ παχύτης, οὐ τῇ συμφύτῳ μόνον ἑπομένη κράσει, ἀλλὰ κἂν ἐξ ἔθους τινὸς μακροῦ λάβῃ τὴν σύστασιν. ἴδιον δέ ἐστιν ὑγρότητος καὶ τὸ βαρύνεσθαι τὸ σῶμα ὑπὸ τῶν ὑγροτέρων. ἡ δὲ θερμὴ καὶ ξηρὰ δασεῖα μὲν ἐσχάτως ἐστί, τὰς δὲ τῆς κεφαλῆς τρίχας εὐαυξεστάτας καὶ μελαίνας καὶ πολλὰς ἔχει κατὰ τὴν νέαν ἡλικίαν, ἐπὶ δὲ προιόντι τῷ χρόνῳ καὶ φαλάκρωσις ἀκολουθεῖ. καὶ αἱ φλέβες δὲ εὐρεῖαι τυγχάνουσιν, ὥσπερ γε καὶ αἱ ἀρτηρίαι μεγάλαι τέ εἰσιν ἅμα καὶ σφοδρότατα σφύζουσι, καὶ δὴ καὶ σύντονον καὶ διηρθρωμένον καὶ μυῶδες καὶ ἀπίμελον ὅλον τὸ σῶμα, καὶ τὸ δέρμα σκληρόν τε καὶ μελάντερον. ψυχρᾶς δὲ οὔσης καὶ ὑγρᾶς ὁ μὲν θώραξ στενός ἐστι, καθάπερ οὖν καὶ πᾶν τὸ σῶμα ψιλὸν τριχῶν, ἁπαλὸν καὶ λευκὸν τὸ δέρμα καὶ ὑπόπυρρον ταῖς θριξί, καὶ μάλιστα ἐν νεότητι, καὶ οὐ φαλακροῦνται γηρῶντες. εὐθὺς δὲ καὶ δειλοὶ καὶ ἄτολμοι καὶ

1 ἁπτόμενος F: ἁπτομένης K 3 δ' ἅμα] δὲ ἅμυος D 5 ψυχρὸν] ψυχρὸν καὶ B, *corr.* B$^3$ 7 ἔχουσι] ἔχουσιν K: ἔχουσιν οἱ τοιοῦτοι D 8 ἰσχυρὸς D οὗτος] DO: τις ABCFGHJK 9 *ante* ξηρὰ *del.* σκληρὰ ξηροτέρα K ξηρὰ] σκληρὰ FO: ξηρὰ καὶ C σκληροτέρα] *corr. ex* σκηροτέρα C$^2$: ξηροτέρα FO τέ] δέ C 10 δασεῖα] ABHJK: δασείας CDFG 11 τοῖς C ἐμφύτοις D 12 τοῖς F μακροῦ] ABJ, *mut. in* μικροῦ C: σμικροῦ D: μικροῦ FGHK γινομέναις] B$^3$C$^2$, *mut. in* γινόμεναι K: γιγνομέναις D: γενομέναις F: γινόμεναι ABCGHJ 13 ξηρότητος] DO: κληρότητος H: σκληρότητος ABFGHJK, *corr. ex* σκηρότητος C$^2$ καὶ *(pr.) om.* D 14 τὸ] CDFGKJ$^3$: *om.* ABHJ 15 τῇ] D: τῷ ABCFGHJK μαλακωτέρα] D: ἀλλὰ μαλακωτέρα ABCFGHJK δὲ *om.* FG 16 ἡ *(alt.)*] FK: *om.* ABCDGHJ συμφύτῳ] KO: ἐμφύτῳ ABCDFGHJ 17 ἀλλ' D κἂν] εἰ καὶ DF$^3$: καὶ G *et corr. ex* κἂν J μικροῦ D 19 δασεῖα] δυσκρασίας D: δυσκρασία *supra add.* F$^3$ ἐσχάτης D 20 εὐαξεστάτας AF$^3$G καὶ *(pr.)*] BCF$^3$G: τε καὶ ADHJK μέλανας FK 21 ἐπὶ δὲ] *om.* DF$^3$: ἐπεὶ δὲ GK: ἐπὶ δὲ καὶ C *sed* καὶ *del.* προιόντι] *corr. ex* προσιόντι C: *mut. in* προιόντι δὲ D, *in* προίκοντι K 22 αἱ *(pr.) om.* K δὲ *om.* C γε] DO: γὰρ K: *om.* ABCFGHJ αἱ *(alt.)*] D: *om.* ABCFGHJK 23 καὶ δὴ] καὶ μὲν δὴ D: εἰ δὲ FG 24 διορθωμένον F 25 σκληρόν] σκηρόν C: σκηρότερον C$^2$ 26 ἐστι] *post ras. 2 litt.* B: τέ ἐστι K καθάπερ οὖν] καθόλου *Or* τὸ πᾶν σῶμα D 27 ὑπόπυρον BFGHJ

ὀκνηρότεροι καὶ ἀδήλους ἔχοντες τὰς φλέβας καὶ παχεῖς καὶ πιμελώδεις καὶ μηροῖς καὶ μυσὶν ἀόριστοι καὶ ἀδιάρθρωτοι καὶ βλαισοὶ γίνονται. τῆς ψυχρότητος δὲ καὶ τῆς ὑγρότητος ἐπὶ πλέον αὐξηθείσης ἡ χροιὰ ἅμα ταῖς θριξὶ πυρρά, κἂν ἐπὶ πλεῖστον αὐξηθῶσι, πελιδνή. ἡ δὲ θερμὴ καὶ ὑγρὰ κρᾶσις μαλακωτέρα καὶ πολυσαρκοτέρα τῆς ἀρίστης κράσεώς ἐστιν· ἐπὶ πλεῖστον δὲ αὐξηθεῖσα τοῖς σηπεδονώδεσιν ἑτοίμως ἁλίσκεται νοσήμασιν. εἰ δὲ ὀλίγῳ μὲν ὑγροτέρα, παμπόλλῳ δὲ εἴη θερμοτέρα, μαλακώτεροι μὲν ὀλίγῳ τῶν συμμέτρων οἱ τοιοῦτοι καὶ σαρκωδέστεροι, λασιώτεροι δὲ οὐκ ὀλίγῳ καὶ μὲν δὴ καὶ ἁπτομένοις οὐκ ὀλίγῳ θερμότεροι. εἰ δὲ τὸ ψυχρὸν ἅμα τῷ ξηρῷ κατ' ἴσον αὐξηθείη, φύσει σκληρὸν καὶ ἰσχνὸν ἔχουσι τὸ σῶμα καὶ λευκόν, ἄμυόν τε καὶ ἄναρθρον καὶ ἄτριχον ἁπτομένοις τε ψυχρόν, ἡ πιμέλη δὲ ὁμοίως αὐτοῖς καίτοι ἰσχνοῖς οὖσι παρέσπαρται τῇ σαρκί· τὰ δὲ τῶν τριχῶν τῆς χροιᾶς ἀνάλογον τῷ μέτρῳ τῆς ψυχρότητος, τὸ δὲ τῆς ψυχῆς ἦθος ἄτολμον καὶ δειλὸν καὶ δύσθυμον. συλλήβδην δὲ εἰπεῖν, ἐπὶ τῶν κατὰ συζυγίαν κράσεων ἀεὶ τῆς ἐπικρατούσης ποιότητος ἐπικρατήσει τὰ γνωρίσματα.

## ξβ'. Περὶ διαπλάσεως τῆς κεφαλῆς.

Ἡ μὲν μικρὰ κεφαλὴ μοχθηρᾶς ἐγκεφάλου κατασκευῆς ἴδιον σημεῖον, ἡ μεγάλη δὲ οὐκ ἐξ ἀνάγκης ἀγαθή· εἰ μὲν γὰρ διὰ ῥώμην ἐγένετο τῆς ἐγχωρίου δυνάμεως ὕλην χρηστήν τε καὶ πολλὴν δημιουργούσης, ἀγαθὸν σημεῖον, εἰ δὲ διὰ μόνης τῆς ὕλης πλῆθος, οὐκ ἀγαθόν. διοριστέον οὖν ἐστιν αὐτὰ τῷ σχήματι καὶ τοῖς ἀπ' αὐτῆς πεφυκόσι, τῷ σχήματι μέν, εἰ εὔρυθμος· ἀεὶ γὰρ ἀγαθὸν τοῦτο σημεῖον· τοῖς δὲ ἀπ' αὐτῆς πεφυκόσιν, εἰ ἄριστα διάκειται, καὶ εἰ τὸ νευρῶδες αὐτῶν σύμπαν εὐτραφές τέ ἐστι καὶ εὔτονον, καὶ εἰ δριμὺ δεδορκότες εἶεν οἱ ὀφθαλμοί. αἱ δὲ φοξαὶ ἐλλείπουσαν ἔχουσι τὴν κατ' ἰνίον ἢ

ξβ' *Oribasius, Synops. V 45. Aëtius IV 63*

1 καὶ *(pr.)*] εἰσι καὶ D ἔχουσι D 2 ἀόριστοι] ἀ- *e corr.* K: ἄριστοι F: ἄρρωστοι DA$^2$ ἀδιόρθωτοι K βλαισοὶ] K: βλεσοὶ H: ισσοι *post spat. 3 litt.* F (ε *rubr. praemisso sed in* π *mut.* F$^3$): βλεσσοὶ ABCDGJ 3 ψυχρότητος] DKO: ὑγρότητος ABCFGHJ δὲ] τε FGK τῆς *om.* D ὑγρότητος] DKO: ψυχρότητος ABCFGHJ πλέον] CDK: πλεῖον ABFGHJ 4 χρόα D κἂν] ἐστι κἂν D πελιδνή] πελιδνὴ δέ G: πελιδνοὶ δέ F: πελιδνοῦνται D 5 δὲ θερμὴ] ψυχρὰ δὲ D καὶ *(alt.)*] τε καὶ DFG 6 ταῖς FG 7 εἰ] *e corr.* J: ἡ AH ὀλίγον H: ὀλίγων G 10 τῷ ξηρῷ] καὶ τὸ ξηρὸν D 11 φύσις F σκιρρὸν G: κιρρὸν F 12 τε] DK: δὲ ABCFGHJ δὲ] τε D ὁμοίως] CDFG: ὅμως ABHJKC$^2$ 13 παρέπεται F$^3$ 13. 14 τά τε τῆς χροιᾶς τῶν τριχῶν D 14 δὲ] τε D 18 περὶ *om.* J τῆς *om.* DF 20 ἀγαθῆς *Or* γὰρ *om.* AF$^3$ 21 *ante* δημιουργούσης *ins.* τῆς φύσεως C$^3$: τῆς A$^3$ *supra scripto* ἤγουν φύσεως 22 μόνης] μόνον τὸ D ὕλης] ὕλης τὸ K 23 ἐστιν *om.* F αὐτὰ] αὐτῷ τε D σχήματι] σχήματι τῆς κεφαλῆς D ἀπ'] CDGKB$^3$F$^3$: ὑπ' ABHJ αὐτοῖς GF$^3$ 25 ἀπ'] CDFGKB$^3$: ὑπ' ABHJ αὐτοῖς FG εἰ *(alt.)*] εἰς F, *corr. ex* εἰς BCJ αὐτῶν] *Or*, αὐτῷ BGHK: αὐτὸ ACFJ: αὐτῇ D: *ante* αὐτὸ *ins.* γένος A$^3$ 26 σύντονον AD, *deinde add.* τὸ σῶμα A$^3$

μέτωπον ἐξοχὴν ἢ ὑπερτέρω τοῦ προσήκοντος ηὐξημένην· ὡς τὸ πολὺ μὲν οὖν ὥσπερ τὴν μεγάλην οὕτω καὶ ταύτας εὑρήσομεν μεμπτάς, ἐν δὲ τῷ σπανίῳ καὶ τούτων γίνονταί τινες ἀγαθαὶ τῆς διαπλαττούσης δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης.

## ξγʹ. Ἐγκεφάλου κράσεως γνωρίσματα.

Ὁ μὲν εὔκρατος ἐγκέφαλος μετρίως ἔχει ταῖς ψυχικαῖς ἐνεργείαις καὶ τοῖς περιττώμασιν ἥκιστά τε βλαβήσεται πρὸς ἁπάντων τῶν ἔξωθεν. τοῖς τοιούτοις αἱ τρίχες τῆς κεφαλῆς βρέφεσι μὲν οὔσιν ὑπόπυρροι, παισὶ δὲ ὑπόξανθοι, τελειουμένοις δὲ γίνονται ξανθαὶ μεταξὺ πως οὖσαι τῶν τε ἀκριβῶς οὔλων καὶ τῶν ἁπλῶν· οὐ μὴν οὐδὲ φαλακροῦνται ῥᾳδίως. εἰ δὲ θερμότερος εἴη τοῦ συμμέτρου, ἐρυθρότερα καὶ θερμότερα τὰ περὶ τὴν κεφαλὴν ἔσται σύμπαντα, καὶ αἰσθηταὶ μὲν ἐν τοῖς ὀφθαλμοῖς αἱ φλέβες, αἱ τρίχες δὲ τούτοις γεννηθεῖσι ταχέως ἐπὶ τῆς κεφαλῆς φύονται, πολλῷ μὲν οὖσι θερμοτέροις μέλαιναι καὶ ἰσχυραὶ καὶ οὖλαι, μὴ πολλῷ δὲ ὑπόξανθοι μὲν τὸ πρῶτον, εἶτα μελαίνονται· προιούσης δὲ τῆς ἡλικίας φαλακροῦνται. περιττώματα δὲ τούτοις ἔστιν ὅτε βραχέα ἀμέμπτως ὑγιαίνουσι, πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ τῶν θερμαινόντων ἐδεσμάτων τε καὶ πομάτων καὶ ὀσμῶν καὶ τῶν ἔξωθεν προσπιπτόντων. βραχέσιν ὕπνοις αἱ τοιαῦται κράσεις ἀρκοῦνται πρὸς τῷ μηδὲ βαθεῖς αὐτοὺς γίνεσθαι. ψυχροτέρου δέ, ἢ προσῆκεν, ἐγκεφάλου γνωρίσματα περιττώματα πλείω κατὰ τὰς οἰκείας ἐκροὰς καὶ τρίχες εὐθεῖαί τε καὶ πυρραὶ καὶ μόνιμοι· καὶ ῥᾳδίως ὑπὸ τῶν ψυχρῶν αἰτιῶν βλάπτονται καὶ κατάρροις καὶ κορύζαις συνεχῶς ἁλίσκονται, καὶ αἱ τῶν ὀφθαλμῶν φλέβες ἀόρατοι, καὶ ὑπνωδέστεροί πώς εἰσιν. ξηροτέρου δὲ ἐγκεφάλου γνωρίσματα τὸ ἀπέριττον ἐν ταῖς ἐκροαῖς καὶ τὸ τῶν αἰσθήσεων ἀκριβές, ἀγρυπνητικοί τέ εἰσι καὶ τρίχας ἰσχυροτάτας μὲν καὶ τάχιστα φύουσι γεννηθέντες οὔλας μᾶλλον, φαλακροῦνται δὲ ἐν τάχει. ὑγροτέρου δὲ αἱ τρίχες ἁπλαῖ, καὶ οὐδὲ ὅλως φαλακροῦνται, καὶ αἱ αἰσθήσεις ἀχλυώδεις εἰσί, καὶ περιττωμάτων πλῆθος καὶ ὕπνοι πολλοὶ καὶ βαθεῖς. θερμοῦ δὲ καὶ ξηροῦ τυγχάνοντος ἀπέριττοί τέ εἰσι καὶ ἀκριβεῖς ταῖς αἰσθήσεσι καὶ ἀγρυπνητικώτατοι καὶ

ξγʹ *Oribasius, Synops.* V 46. *Aëtius* IV 64—72

1 ἢ] ABHC², *in ras.* J: *om.* CDFGK   ὑπὲρ τὸ προσῆκον D   2 οὕτως K   3 σπανίως FG   τούτῳ B   6 μὲν] F: μὲν οὖν ABCDGHJK   7 τε] δὲ J   8 μὲν] μὲν οὖν K   10 φαλακροῦται K   11 ἐρυθρότερα καὶ θερμότερα] K: καὶ θερμότερα καὶ ἐρυθρότερα ABCDFGHJ   12 ἐν] *Or*: *om.* ABCDFGJK: ους *del.* H   13 αἱ *(pr.)*] CDFG: *om.* ABHJK   16 δὲ *(alt.)* *eras.* A   17 ὅτε *om.* H   βραχέα] βραχέα καὶ B: βραχέως C: βραχεῖα K   δὲ *om.* K   18 τε καὶ πομάτων *om.* D   20 τῷ] D: τὸ ABCFGHJK   μηδὲ] *corr. ex* μὴ J: μὴ A   ἢ] *in ras.* B: *om.* FG   21 περίττωμά τε K   πλείω *om.* K   22 καὶ τρίχες] CDFGK: τρίχες ABH: τρίχες δὲ A³: τρίχες δ' J   24 αἱ *om.* D   φλέβες] αἱ φλέβες D: *om.* F   ὑπνωδέστεροί] DK: ὑπνωδέστατοί ABCFGHJ   25 τὸ] καὶ τὸ C   27 καὶ] ὡς D   28 αἱ *om.* D   ἁπαλαὶ C   οὐδὲ] D, *corr. ex* οὐ δι' H: οὐδ' ABCFGJK   29 αἱ] *Or*: *om.* ABCDFGHJK   31 ἀγρυπνικώτατοι AFJ, *corr.* J²

φαλακροῦνται ῥαδίως, ἡ πρώτη μέντοι γένεϲιϲ αὐτοῖϲ τῶν τριχῶν ταχίϲτη τέ ἐϲτι καὶ εὐτραφεϲτάτη, μελανότριχέϲ τέ εἰϲι καὶ θερμοὶ ψαυόντων τῆϲ κεφαλῆϲ ἐρυθροί τε μέχρι τῶν τῆϲ ἀκμῆϲ χρόνων. εἰ δὲ ὑγρότηϲ προϲείη τῇ θερμότητι, βραχὺ μὲν ὑπερβαλλουϲῶν ἀμφοῖν τὸ ϲύμμετρον εὔχροια καὶ θερμότηϲ καὶ [αἱ] ἐν τοῖϲ ὀφθαλμοῖϲ φλέβεϲ μεγάλαι, περιττώματα πλείω μετρίωϲ πεπεμμένα καὶ τρίχεϲ εὐθεῖαι καὶ ὑπόξανθοι· καὶ οὐ φαλακροῦνται ῥαδίωϲ, πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων· ὅταν δὲ ἐπὶ πλέον ὑγρότητοϲ καὶ θερμότητοϲ ἥκωϲι, νοϲώδηϲ ἡ κεφαλὴ γίνεται καὶ ῥαδίωϲ ὑπὸ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων βλαπτομένη· οὐ μὴν οὐδὲ ἐγρηγορέναι δύνανται μέχρι πλείονοϲ, ὑπνώϲαντεϲ δὲ φανταϲιώδειϲ τοῖϲ ὀνείραϲίν εἰϲι, καὶ ἡ ὄψιϲ ἀχλυώδηϲ, καὶ αἱ αἰϲθήϲειϲ οὐκ ἀκριβεῖϲ. αἱ ψυχραὶ δὲ ἅμα καὶ ξηραὶ κράϲειϲ ἐγκεφάλου ψυχρὰν καὶ ἄχρουν ἀποτελοῦϲι τὴν κεφαλήν, εἰϲὶ δὲ καὶ ἄφλεβοι τοὺϲ ὀφθαλμοὺϲ καὶ ὑπὸ τῶν ψυχρῶν αἰτιῶν ἑτοίμωϲ βλάπτονται· διὸ καὶ ἀνωμάλωϲ ὑγιαίνουϲιν. αἱ δὲ αἰϲθήϲειϲ αὐτοῖϲ ἐν νεότητι μὲν ἀκριβεῖϲ εἰϲι καὶ ἄμεμπτοι, προιοῦϲι δὲ ἀπομαραίνονται ταχέωϲ, καὶ ϲυλλήβδην εἰπεῖν ταχύγηροι τὰ περὶ τὴν κεφαλὴν ἅπαντά εἰϲιν. αἱ τρίχεϲ δὲ αὐτοῖϲ γεννηθεῖϲι μὲν ἀνέρχονται μόγιϲ, ἄτροφοι δὲ καὶ πυρραί. αἱ δὲ ὑγραὶ καὶ ψυχραὶ κράϲειϲ ἐγκεφάλου κωματώδειϲ ἐργάζονται καὶ ὑπνηλοὺϲ καὶ φαύλουϲ ταῖϲ αἰϲθήϲεϲι καὶ περιττωματικοὺϲ εὐψύκτουϲ τε καὶ εὐπληρώτουϲ τὴν κεφαλὴν καὶ εὐαλώτουϲ κατάρροιϲ καὶ κορύζαιϲ· οὐ μὴν φαλακροῦνταί γε οἱ τοιοῦτοι.

## ξδʹ. Γαϲτρὸϲ κράϲεωϲ γνωρίϲματα.

Γαϲτρὸϲ δὲ γνωρίϲματα τῆϲ μὲν φύϲει ξηροτέραϲ, εἰ ταχέωϲ διψώδειϲ γίγνοιντο, καὶ ὀλίγον αὐτοῖϲ ἀρκοίη ποτόν, καὶ βαρύνοιντο τῷ πλείονι καὶ κλύδωναϲ ἴϲχοιεν, εἰ ἐπιπολάζοι τὸ περιττεῦον αὐτοῖϲ, ἐδέϲμαϲί τε χαίροιεν ξηροτέροιϲ· ὑγροτέραϲ δέ, εἰ μήτε διψώδειϲ γίγνοιντο καὶ τὸ πλέον ὑγρὸν ἀλύπωϲ φέροιεν ἐδέϲμαϲί τε χαίροιεν ὑγροτέροιϲ. ἡ δὲ θερμοτέρα φύϲει γαϲτὴρ πέττει μὲν ἄμεινον ἢ ὀρέγεται, καὶ μάλ-

ξδʹ *Oribasius, Synops. V 47. Aëtius IV 73—76*

1 ῥαδίωϲ] ῥ- *et* -δι- *in ras.* K: ταχέοϲ *(del.)* ῥαδίωϲ H: ταχέωϲ *Or* γέννεϲιϲ F: γένηϲιϲ K 2 τέ *(alt.) om.* K ψαυόντων] προϲεγγιζόντων K: ψαύοντι *corr. ex* ψαυον C² 4 βραχεῖ K ὑπερβαλουϲῶν FHJ, *e corr.* B 5 καὶ *(pr.)*] τε καὶ CFGJ αἱ *om.* DFK ἐν *om.* F 6 καὶ *(pr.)*] καὶ αἱ K 8 τε καὶ ὑγραινόντων *om.* FG 12 αἱ *om.* ACJK 13 ξηραὶ δὲ ἅμα καὶ ψυχραὶ D 14 τοῖϲ ὀφθαλμοῖϲ FG *et corr. ex* τοῖϲ κεφαλῆϲ C 15 γρ. ϲιτίων *mrg.* B 18 δὲ] DK: *om.* ABCFGHJ 19 μὲν *om.* K, *del.* D μόλιϲ D δὲ *(pr.)*] τε D 20 ψυχραὶ καὶ ὑγραὶ D ἐγκεφάλου] K: τοῦ ἐγκεφάλου ABCDFGHJ 21 τε *om.* AJ 25 δὲ] μὲν K ταχέωϲ] ταχέωϲ τε DK 26 ἀρκοίη] D: ἀρκεῖ ABCFGHJK ποτόν] τῷ ποτῷ K βαρύνονται A 27 εἰ] K: ἢ ABCDFGHJ 28 μήται H: μήτι B γίγνοιντο] -ιν- *in ras.* J: γίγνοιτο F: γίγνυτο H 30 πέττει . . . ὑπὸ *(p. 44, 2) om.* F καὶ *om.* H

λον ὅcα cκληρὰ καὶ δυcαλλοίωτα, χαίρει δὲ τοῖc πολλοῖc ἐδέcμαcί τε καὶ πόμαcιν οὐδὲ ὑπὸ τῶν ψυχρῶν οὐδὲν βλάπτεται κατά γε τὴν ἔμμετρον χρῆcιν. ἡ δὲ ψυχροτέρα φύcει γαcτὴρ ὀρεχθῆναι μὲν ἀγαθή, πέψαι δὲ οὐκ ἀγαθή, καὶ μάλιcτα ὅcα δυcαλλοίωτα καὶ ψυχρὰ τῶν ἐδεcμάτων ἐcτίν· ὀξύνεται γοῦν ἑτοίμωc ἐν αὐτῇ· καὶ χαίρει μὲν τοῖc ψυχροῖc, βλάπτεται δὲ ῥᾳδίωc ἀμετρότερον χρηcαμένων. αἱ μέντοι διὰ νόcον ἐν τῇ γαcτρὶ δυcκραcίαι ταύτῃ διαφέρουcι τῶν ἐμφύτων, ᾗ τῶν ἐναντίων ἐπιθυμοῦcιν, οὐ τῶν ὁμοίων. εἰ μὲν οὖν πέττει καλῶc ἡ γαcτήρ, εὔκρατοc, εἰ δὲ οὐ πέττει, δύcκρατοc· ἀλλ᾽ εἰ μὲν κνιcώδειc ἐργάζοιτο τὰc ἐρυγάc, ἄμετρον αὐτῇ καὶ πυρῶδεc τὸ θερμόν, εἰ δὲ ὀξώδειc, τοὐναντίον, καὶ τῶν μὲν καὶ τὰ δυcκατέργαcτα καλῶc πεττόντων ἄμετρον, ἀcθενὲc δὲ ταῦτα μὲν ἀπεπτούντων, ἰχθῦc δὲ πεττόντων. ἐπιcκέπτεcθαι δὲ χρή, μὴ διά τινα χυμὸν ἑτέρωθεν ἐπιρρέοντα τὸ cύμπτωμα γίνεται· τοῖc μὲν γὰρ φλεγματώδεcιν ὀξυρεγμίαι γίνονται, τοῖc δὲ χολώδεcι κνιcώδειc καὶ βρωμώδειc ἤ τινεc ἀλλόκοτοι ποιότητεc. κοινὰ δὲ cυμπτώματα ναυτίαι· ἀλλ᾽ εἰ μὲν ἐμπλέοιεν οἱ μοχθηροὶ χυμοὶ τῷ κύτει τῆc γαcτρόc, ἐπιπολάζουcιν ἐμούμενοι, cπαράττουcι δὲ μάτην ἐπὶ κεναῖc ἐμέτων ναυτίαιc οἱ τῷ cώματι τῆc γαcτρὸc περιεχόμενοι κατὰ τοὺc χιτῶναc αὐτῆc.

## ξε΄. Πνεύμονοc διάγνωcιc.

Οὐ μόνον ἡ κοιλία διψώδειc τε καὶ ἀδίψουc ἐργάζεται καὶ ψυχροῦ καὶ θερμοῦ πόματοc ὀρεκτικούc, ἀλλὰ καὶ τὰ κατὰ τὸν θώρακα cπλάγχνα, καρδία τε καὶ πνεύμων καὶ ἧπαρ. καὶ μὲν δὴ καὶ πίνοντεc οὐκ αὐτίκα παύονται, καὶ τὸ ψυχρὸν ποτὸν ἵcτηcιν αὐτῶν μᾶλλον τὸ δίψοc ἤπερ τὸ πολὺ θερμόν. ἀναψύχει δὲ αὐτοὺc καὶ ὁ ψυχρὸc ἀὴρ εἰcπνεόμενοc οὐδὲν ἐπικουφίζων τοὺc ἐκ γαcτρὸc διψώδειc· οὕτω δὲ καὶ οἱ ἐναντίωc ἔχοντεc ὑπὸ τῆc ψυχρᾶc εἰcπνοῆc αἰcθητῶc ἀνιῶνται, καὶ μέγιcτόν ἐcτι γνώριcμα τοῦτο τῆc ἐν πνεύμονι ψυχρότητοc· ἀλλὰ καὶ φλέγμα ἀναχρεμπτόμενοι μετὰ βηχὸc ἀναπτύουcιν. αἱ ξηρότητεc δὲ τοῦ πνεύμονοc ἀπέριττοί τέ εἰcι καὶ καθαραὶ τῷ φθέγματι, καθάπερ αἱ

ξε΄ *Oribasius, Synops. V 48. Aëtius IV 77.*

1 πολλοῖc] θερμοῖc *Or* τε *om.* D 2. 3 cύμμετρον χρείαν D 5 ἐcτίν] K: εἰcίν ABCDFGHJ ἐν αὐτῇ] ὑπ᾽ αὐτῶν D 6 δὲ *om.* F χρηcαμένων] ABCDFJ, -ν *eras.* K: χρηcαμένῳ H: χρηcαμένη B²C³G² μέντοι] CDFGK: μὲν BCHJ 7 νόcων ACHJ 10 ἐργάζοιτο] DHK: ἐργάζοιντο BCF, -ν- *del.* GJ: ἐργάζονται A ἐρυγάc] *seq. ras. 7 litt.* K αὐτῆc *Or* πυρῶδεc] *post ras. 4 litt.* K: πυρρῶδεc HG 11 ὀξώδειc] DFJ: ὀξώδηc K: ὀξῶδεc ABCGH 12 ἰχθῦc] *mut. in* εὐθὺc K: εὐθὺc *e corr.* GJ: ἰχθῦc *supra add.* J² 14 γίνεται] JK: γίνηται D: γίνεcθαι F: γίγνεται ABCGH γάρ] οὖν D 15 ἢ *om.* F³ 17 ἐπιπολάζοντεc ἐμοῦνται D 18 cτόματι D 22 τὸν] DFGJ²: *om.* ABCHJK 24 τὸ *(pr.) om.* D ποτὸν] ὀλίγον ποτὸν D 25 ἀὴρ . . . γαcτρὸc *(26) om.* F 26 οὐδὲν] DK: μηδὲν ABCGHJ δὲ *om.* FJ 30 φθέγματι] ABHK: φλέγματι CDFGJ

ὑγρότητες περιττωματικαὶ καὶ ἀλαμπῆ μὲν ἐργάζονται καὶ βραγχώδη τὴν φωνήν, ἐντρέχει δὲ αὐτοῖς περιττώματα μεῖζόν τε καὶ ὀξύτερον φθέγξασθαι προελομένοις.

## ξϛʹ. Καρδίας γνωρίσματα.

Καρδίας δὲ τῆς μὲν θερμοτέρας σημεῖα μέγεθος ἀναπνοῆς καὶ σφυγμοῦ τάχος καὶ πυκνότης ἐστὶν εὐτολμία τε καὶ μανιώδης θρασύτης· ἔστι δὲ καὶ λάσιος αὐτοῖς ὁ θώραξ καὶ μάλιστα τὰ στέρνα καὶ τῶν καθ' ὑποχόνδριον ὅσα τούτοις πλησίον, ὡς ἐπὶ τὸ πολὺ δὲ καὶ τὸ σύμπαν σῶμα θερμόν, πλὴν εἰ μὴ μεγάλως ἀντιπράττοι τὸ ἧπαρ· καὶ μέν γε καὶ ἡ τοῦ θώρακος εὐρύτης θερμότητος γνώρισμα, πλὴν εἰ μὴ κἀνταῦθα μεγάλως ὁ ἐγκέφαλος ἀντιπράξειεν. ἡ δὲ ψυχροτέρα καρδία σφυγμοὺς ἔχει μικροτέρους τῶν συμμέτρων, δειλοί τέ εἰσι τὴν φύσιν οἱ τοιοῦτοι καὶ ἄτολμοι, καὶ μάλιστα εἰ ψιλὸν αὐτοῖς τὸ στέρνον εἴη. ἡ δὲ ξηροτέρα καρδία τοὺς σφυγμοὺς ἐργάζεται σκληροὺς καὶ τὸν θυμὸν οὐχ ἕτοιμον, ἄγριον δὲ καὶ δύσπαυστον, ὡς τὰ πολλὰ δὲ καὶ ὅλον τὸ σῶμα ξηρότερον, εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττοι. ὑγροτέρας δὲ σημεῖα σφυγμοὶ μαλακοὶ καὶ τὸ ἦθος εὐκίνητόν τε πρὸς ὀργὴν καὶ εὐκατάπαυστον καὶ τὸ σύμπαν ὑγρότερον σῶμα, πλὴν εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττοι. θερμῆς δὲ καὶ ξηρᾶς οἱ σφυγμοὶ σκληροὶ καὶ μεγάλοι καὶ ταχεῖς καὶ πυκνοὶ καὶ αἱ ἀναπνοαὶ μεγάλαι τε καὶ ταχεῖαι καὶ πυκναί· καὶ πάντων οὗτοι λασιώτατοι κατὰ τὸ στέρνον εἰσὶ καὶ τὸ ὑποχόνδριον, εἰς δὲ τὰς πράξεις ἄοκνοι καὶ θυμικοὶ καὶ θρασεῖς καὶ τυραννικοὶ τοῖς ἤθεσι· καὶ γὰρ ὀξύθυμοι καὶ δυσκατάπαυστοι. εἰ δὲ ὑγρότης ἐπικρατήσειεν ἅμα θερμότητι, λάσιοι μὲν ἧττον οὗτοι τῶν προειρημένων, ἕτοιμοι δὲ εἰς τὰς πράξεις, οὐ μὴν ἄγριός γε ὁ θυμός, ἀλλ' εἰς ὀργὴν μόνον ἕτοιμοι· καὶ οἱ σφυγμοὶ δὲ μεγάλοι καὶ μαλακοὶ καὶ ταχεῖς καὶ πυκνοί. ὑγροτέρας δὲ οὔσης καὶ ψυχροτέρας οἱ μὲν σφυγμοὶ μαλακοί, τὸ δὲ ἦθος ἄτολμόν τε καὶ δειλὸν καὶ ὀκνηρόν· εἰσὶ δὲ καὶ ψιλοὶ τριχῶν οὗτοι τὰ στέρνα καὶ ἥκιστα μηνιῶσιν, ὥσπερ γε καὶ εἰς ὀργὴν οὐχ ἕτοιμοι. ἡ ψυχρὰ δὲ καὶ ξηρὰ καρδία τοὺς μὲν σφυγμοὺς σκληροτέρους

ξϛʹ *Oribasius, Synops. V 49. Aëtius IV 78—85*

1 περιττώματι G    καὶ] DG: *om.* ABCFHJK    2 τε] δὲ K    3 προελόμενα K    6 πυκνότης] -της *in ras.* J: πυκνότητες F: πυκνότητος G    ἐστὶν] CK, *seq. ras. 3 litt.* B: ἔστιν ὅτε AHC²: ἔσθ' ὅτε *in ras.* J: *om.* DFG    τε] δὲ C    8 ὑποχόνδριον] -ον *e corr.* J: ὑποχόνδρια D: ὑποχονδρίων GK    τὸ *(pr.) om.* AF³, *supra scr.* BJ³    9 σύμπαν] DK: πᾶν ABCFGHJ    11 ἀντιπράξειεν] DK: ἀντιπράξοι ABCGHJ: ἀντιπράττοι F    13 καὶ *(alt.)*] καὶ εἰ G    εἰ] εἴ γε D: *ras. 2 litt.* G    15 οὐκ K    ἕτοιμον] ἕτοιμον μὲν DFG    17 τε] τε καὶ K    καὶ *(alt.) eras.* K, *om.* F³    19 δὲ] DK: τε ABCFGHJ    οἱ] οἱ μὲν CFG, μὲν *supra add.* B³J²    σκληροὶ] σκληροί τε FG    20 αἱ *om.* CHK    τε *om.* F    21 καὶ πάντων] πάντων οὖν F    23 δυσκατάπαυστοι] CFGJ²: δύσπαυστοι ABDHJK    24 ἧττον *om.* FG, *supra scr.* C²    οὗτοι] οἱ τοιοῦτοι CFG: αὐτοὶ K: οὕτω H    25 μόνον] μᾶλλον F    26 ἕτοιμος D    27 δὲ *(alt.) om.* ABH, *supra scr.* J³    29 μηνίουσιν D

ἐργάζεται καὶ μικρούς· ἀοργητότατοι πάντων οὗτοι, ὀργισθέντες δὲ φυλάττουσι τὴν μῆνιν· εἰσὶ δὲ καὶ ἄτριχοι τὰ στέρνα μάλιστα πάντων.

## ξζʹ. Ἥπατος κράσεως διάγνωσις.

Ἥπατος θερμοῦ μὲν γνωρίσματα φλεβῶν εὐρύτης, ἡ ξανθὴ χολὴ πλείων, ἐν δὲ τῷ χρόνῳ τῆς ἀκμῆς καὶ ἡ μέλαινα, θερμότερον αὐτοῖς τὸ αἷμα καὶ διὰ τοῦτο καὶ τὸ σύμπαν σῶμα, πλὴν εἰ μὴ τὰ κατὰ καρδίαν ἀντιπράττοι, δασύτης τῶν καθ' ὑποχόνδριά τε καὶ γαστέρα. ψυχροτέρου δὲ στενότης φλεβῶν, φλέγμα πλέον, αἷμα ψυχρότερον, ἡ σύμπασα τοῦ σώματος ἕξις ψυχροτέρα, χωρὶς εἰ μή τι πρὸς καρδίας θερμαίνοιτο, ψιλὰ τριχῶν ὑποχόνδριά τε καὶ γαστήρ. ξηροτέρου δὲ τὸ μὲν αἷμα παχύτερόν τε καὶ ὀλιγώτερον, αἱ φλέβες ξηραὶ καὶ ἡ σύμπασα τοῦ σώματος ἕξις ξηροτέρα. τοῦ δὲ ὑγροτέρου γνωρίσματα τὸ μὲν αἷμα πλέον τε καὶ ὑγρόν, αἱ φλέβες δὲ μαλακώτεραι, οὕτω δὲ καὶ τὸ σύμπαν σῶμα, πλὴν εἰ μὴ τὰ κατὰ καρδίαν ἀντιπράττοι. θερμοῦ δὲ ἅμα καὶ ξηροῦ σημεῖα λασιώτατον ὑποχόνδριον, αἷμα παχύτερον ἅμα καὶ ὀλιγώτερον, ἡ πικρὰ χολὴ πλείστη, κατὰ δὲ τὴν ἀκμὴν καὶ ἡ μέλαινα, φλεβῶν εὐρύτης τε καὶ σκληρότης, οὕτως δὲ καὶ τὸ σύμπαν σῶμα θερμὸν καὶ ξηρόν· ἡ μὲν γὰρ ἀπὸ καρδίας ὁρμωμένη θερμότης νικῆσαι δύναται τὴν ἐξ ἥπατος ὁρμωμένην ψυχρότητα, καθάπερ γε καὶ ἡ ψυχρότης τὴν θερμότητα· τὴν ξηρότητα δὲ οὐχ οἷόν τε πρὸς τοὐναντίον ὑπὸ τῆς καρδίας ὑγροτέρας γινομένης ἀχθῆναι. δῆλον δέ, ὡς, ἐπειδὰν εἰς τὸ αὐτὸ συνδράμωσι τῶν ἀρχῶν ἀμφοτέρων αἱ κράσεις, ὅλον ἀκριβῶς τὸ σῶμα κατ' ἐκείνας διατίθεται. τὸ δὲ ὑγρὸν ἅμα καὶ θερμὸν ἧπαρ ἧττον μὲν τοῦ θερμοῦ καὶ ξηροῦ τὰ καθ' ὑποχόνδριον ἐργάζεται λάσια, πλεῖστον δὲ αἷμα καὶ φλέβας μεγάλας καὶ τὴν ἕξιν ὑγρὰν καὶ θερμήν, εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττοι. εἰ δὲ ἐπὶ πλέον ἀμφοτέραις ταῖς ποιότησιν ἐκτραπείη τοῦ κατὰ φύσιν, ἑτοίμως ἁλίσκονται τοῖς σηπεδονώδεσι καὶ κακοχύμοις νοσήμασιν, ἔτι δὲ μᾶλλον, εἰ ἐπὶ πλεῖστον μὲν αὐξηθείη τὸ ὑγρόν, ἐπ' ὀλίγον δὲ τὸ θερμόν, καὶ κακόχυμοι γίνονται. τὸ δὲ ὑγρότερόν τε καὶ ψυχρότερον ἄτριχον μὲν

ξζʹ *Oribasius, Synops. V 50. Aëtius IV 86—93*

1 πάντων] δὲ πάντων D  οὗτοι] D: αὐτοί ABHJ: οἱ τοιοῦτοι CFG, *in ras.* (οἱ) K, *supra scr.* J[3]  2 καὶ *om.* K  5 πλείων] D: πλείω K: πλέον ABCFGHJ  7 ὑποχόνδριόν F  8 ψυχροτέρου . . . γαστήρ *(10) om.* D  στενότης] JK, *e corr.* AB: στεγνότης FGH *et corr. ex* στεγνότητος C  11 αἱ φλέβες] αἱ φλέβες δὲ D: αἱ δὲ φλέβες K  ἡ] D: *om.* ABCFGHJK  12 ἕξις] D: ἡ ἕξις ABCFGJK: ἡ *ins.* H  13 οὕτω δὲ] D: οὕτω K: οὗτος H: οὕτως ACFGJ, -ς *eras.* B  17 τε *om.* C  οὕτως] -ς *eras.* B: οὕτω D: οὗτος F  19 γε *om.* C  21 γινομένης] CF: γιγνομένης D: γενομένης ABGHJK  22 τὸ αὐτὸ] ταὐτὸ C: τοῦτο K  23 ἀκριβεῖς FG  ἐκείνων F: ἐκείνης G  διατίθενται F  24 ὑποχόνδρια F  27 πλέον] DK: πλεῖον H: πλείονα ACFGJ, -α *eras.* B  ἀμφοτέραις] B[3]: ἀμφότεραι ABCDFGHJK  ἐκτραπείη] *mut. in* ἐκτραπεῖεν G: ἐκτραπεῖεν D: ἐκτράποιεν C  29 καὶ] *supra scr.* J[2], *om.* ACD  30 τε *om.* DK  μὲν] DK: *om.* ABCFGHJ

ἴςχει τὸ ὑποχόνδριον, αἷμα δὲ ἐργάζεται φλεγματικώτερον ἅμα φλεβῶν στενότητι καὶ τὸ cύμπαν cῶμα παραπληcίωc ἔχον, εἰ μὴ πρὸc καρδίαc ἐπὶ τἀναντία μετάγοιτο. τὸ δὲ ψυχρὸν ἅμα καὶ ξηρὸν ὀλίγαιμόν τε καὶ cτενόφλεβον ἐργάζεται τὸ cῶμα καὶ ψυχρότερον ὑποχόνδριόν τε ψιλόν, εἰ μὴ κἀνταῦθα νικήcειεν ἡ καρδία.

## ξη΄. Τῆc τῶν ὄρχεων κράcεωc διάγνωcιc.

Τῆc δὲ τῶν ὄρχεων κράcεωc ἡ θερμὴ μὲν ἀφροδιcιαcτική τέ ἐcτι καὶ ἀρρενογόνοc καὶ γόνιμοc καὶ ταχέωc δαcύνει τὰ γεννητικὰ μόρια, cυνεφάπτεται δὲ καὶ τῶν πέριξ· ἡ ψυχρὰ δὲ τἀναντία. καὶ ἡ μὲν ὑγρὰ πολύcπερμόc τέ ἐcτι καὶ ὑγρόcπερμοc· ἡ ξηρὰ δὲ ὀλιγόcπερμοc καὶ παχύcπερμοc. ἡ θερμὴ δὲ καὶ ξηρὰ κρᾶcιc μετρίωc παχυcπερμοτάτη τέ ἐcτι καὶ γονιμωτάτη καὶ τάχιcτα πρὸc cυνουcίαν ἐπεγείρουcα τὸ ζῷον εὐθέωc ἐξ ἀρχῆc· ἀτὰρ οὖν οἱ τοιοῦτοι καὶ δαcύνονται τάχιcτα τὰ γεννητικὰ μόρια καὶ cύμπαντα τὰ πέριξ, ἄνω μὲν ἄχρι τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων, κάτω δὲ μέχρι μέcων μηρῶν· ὁρμητικὴ μὲν οὖν ἡ τοιαύτη κρᾶcιc ἱκανῶc πρὸc τὰ ἀφροδίcια, τάχιcτα δὲ ἐμπιπλαμένη καί, εἰ βιάcαιτο, βλαπτομένη. cυνελθούcηc δὲ ὑγρότητοc τῇ θερμότητι λάcιοι μὲν οἱ τοιοῦτοι, πολύcπερμοι δὲ μᾶλλον, οὐ μὴν ὀρέγονται μᾶλλον τῶν ἑτέρων, ἐξαρκοῦcι δὲ ἀβλαβέcτερον ἀφροδιcίοιc πλείοcιν· εἰ δὲ ἱκανῶc ἄμφω cυναυξηθείη τό τε ὑγρὸν καὶ τὸ θερμόν, οὐδὲ ἀβλαβῶc ἀπέχονται τῶν ἀφροδιcίων. εἰ δὲ ὑγροὶ καὶ ψυχροὶ οἱ ὄρχειc τὴν κρᾶcιν γένοιντο, ψιλὰ τὰ πέριξ τριχῶν, καὶ βραδέωc ἀφροδιcιάζειν ἄρχονται καὶ οὐδὲ ὁρμητικοὶ πρὸc τὴν ἐνέργειαν, ὑδατῶδεc δὲ καὶ λεπτὸν αὐτοῖc τὸ cπέρμα καὶ ἄτονόν ἐcτι καὶ θηλυγόνον. ἡ ξηρὰ δὲ καὶ ψυχρὰ κρᾶcιc ὁμοία μὲν τἄλλα τῇ προειρημένῃ, παχύτερον δὲ αὐτοῖc τὸ cπέρμα καὶ παντάπαcιν ὀλίγον.

## ξθ΄. Περὶ τῶν παραλειφθέντων.

Ἕκαcτον τῶν ἐν ἡμῖν μορίων ἰδίαν τινὰ κρᾶcίν τε καὶ δύναμιν κέκτηται, καὶ πάντων νῦν τὰ γνωρίcματα λέγειν οὐκ ἀναγκαῖον ἀπείρων

ξη΄ *Aëtius IV 94* ξθ΄ ?

1 ἴcχειν FG 2 πρὸc] πρὸc τῆc DF[3] 3 τὰ ἐναντία FG 6 τῆc τῶν] DGK: *om.* J: περὶ τῆc τῶν BCFH, *corr. ex* περὶ τῶν A 7 θερμὴ μὲν] DK: μὲν θερμὴ ABCGHJ: μὲν θερμὴ καὶ F ἀφροδιcιαcτική] ACDH, *ante* -κή *ras. 1 litt.* B: ἀφροδιαcτική FGK: ἀφροδιαcιαcτική J 9 cυνεφάπτεται . . . τἀναντία *om.* D 10 τέ *om.* BK 11 τέ *om.* F 12 ἐπεγείρει D: ἐπαγείρουcα B 16 δὲ] *scripsi*: τε ABCDFGHJK 17 καί . . . βλαπτομένη *om.* D 18 μᾶλλον] γε μᾶλλον D 21 οἱ *om.* DK 22 γενόμενοι K 23 πρὸc] εἰcι πρὸc D δὲ] τε DJ 24 ἄγονόν D ἐcτι] ἐcτιν H, -ν *eras.* G: ἐcτὶ δὲ D 25 μὲν] μέν ἐcτι(ν) FG τῇ προειρημένῃ] DK: τὰ προειρημένα ACFGHJ *et corr. ex* προειρημένα B 28 τῶν] *corr. ex* τὸν G μόριον FG τινὰ *om.* H, *supra add.* C[2] 29 ἀπείρων] CD, *e corr.* J: ἀπείρω *seq. ras. 1 litt.* A: ἄπειροc H: ἀπείρωc BFGK

πως ὑπαρχόντων, ἐπιτόμου τῆς διδασκαλίας γινομένης. περὶ δὲ τούτων εἰπόντες, ὅσα μάλιστα τὸ λοιπὸν ὅλον ἑαυτοῖς συνδιατίθεται σῶμα, καὶ περὶ τῶν λοιπῶν διὰ τῶν αὐτῶν μεθόδων ἐπιλογίζεσθαι κελεύομεν ἔκ τε τῶν ἐκκρινομένων καὶ τῶν λοιπῶν αὐτῶν ἐνεργειῶν τε καὶ συμπτωμάτων τὰς κράσεις αὐτῶν διαγινώσκοντας· ὥρα τοίνυν ἐπὶ τὴν διόρθωσιν τῶν τοῦ ὅλου σώματος δυσκρασιῶν τρέψαι τὸν λόγον.

## ο΄. Διόρθωσις τῶν θερμῶν δυσκρασιῶν τοῦ σώματος.

Ἐπειδὴ ταῖς θερμαῖς δυσκρασίαις πλεονάζει τὸ χολῶδες, κάτω μὲν ὑπιόντος αὐτοῦ πρόδηλον, ὡς οὐδὲν χρὴ περιεργάζεσθαι, πρὸς δὲ τὴν ἄνω γαστέρα φερομένου δι᾽ ἐμέτων ἐκκενοῦν μετὰ τὰ γυμνάσια πρὸ τῆς τροφῆς ἀφ᾽ ὕδατος. γυμνάζεσθαι δὲ αὐτοῖς βέλτιον οὐκ ὀξὺ καὶ σύντονον γυμνάσιον, ἀλλὰ σχολαιότερόν τε καὶ μαλακώτερον· τινὲς δὲ τῶν σφόδρα θερμῶν οὐδ᾽ ὅλως χρῄζουσιν, ἀλλ᾽ ἀρκεῖ περίπατος καὶ λουτρὸν αὐτοῖς· οὗτοι δὲ καὶ τοῖς μετὰ τροφὴν λουτροῖς χαίρουσιν. οἱ δὲ μετὰ ξηρότητος θερμοὶ δέονται διαίτης ὑγραινούσης διά τε τῶν ὑγραινόντων ἐδεσμάτων καὶ λουτρῶν καὶ ἀποχῆς γυμνασίων εὐτόνων καὶ πολλῶν· ὥστε θέρους ὥρᾳ καὶ θᾶττον λούεσθαι καὶ μετὰ τροφὴν αὖθις τὸ δεύτερον ὀνίνησι τούτους καὶ ἡ τοῦ ψυχροῦ πόσις. ἐναντιώτατα δὲ ταῖς ξηραῖς κράσεσιν ἀφροδίσια, φείδεσθαι δὲ αὐτοὺς χρὴ μάλιστα κόπων τε καὶ ἐγκαύσεων καὶ φροντίδων καὶ ἀγρυπνιῶν. αἱ δὲ ὑγραὶ τῇ φύσει ἐν τῇ τῶν παίδων ἡλικίᾳ ῥευματικοῖς τε καὶ πληθωρικοῖς ἁλίσκονται νοσήμασι καὶ πρὸς τούτοις τοῖς σηπεδονώδεσι· δέονται τοίνυν γυμνασίων τε πλειόνων ἀκριβοῦς τε τῆς ἐν γαστρὶ πέψεως ἐκκρίσεώς τε δι᾽ οὔρων· διὸ καὶ πρὸ τροφῆς δὶς καὶ τρὶς οὗτοι λουόμενοι καὶ τοῖς αὐτοφυέσι θερμοῖς ὕδασι χρώμενοι μάλιστα ὠφελοῦνται. καὶ τῶν ἀπορροιῶν δὲ προνοεῖν χρὴ διά τε λουτρῶν καὶ γυμνασίων πολλῶν καὶ πρὸ τροφῆς ἐκκρίσεών τε δι᾽ οὔρων καὶ γαστρός· οὐδὲν δὲ κωλύει καὶ ἀποφλεγματισμοῖς ποτε χρῆσθαι καὶ καθάρσεσιν εὐχύμοις τε ἐδέσμασι καὶ οἴνου πόσει τὴν οὔρησιν κινοῦντος.

ο΄ *Oribasius, Synops.* V 51. *Aëtius* IV 95

1 ἐπιτόμου . . . γινομένης] ἐπίτομον τὴν διδασκαλίαν ποιουμένους D 2 ὅσοις D λοιπὸν *om.* D ἑαυτοῖς *om.* D 4 αὐτῶν *om.* F[s] διαγιγνώσκοντας HK: διαναγινώσκοντας D 6 ὅλου *om.* J 8 ἐπειδὴ] DFGK: ἐπεὶ δὲ ABCHJ 9 ὑπιόντος] D: ὑπίκοντος H: ὑπείκοντος ACFJ: ὑπήκοντος GK, *e corr.* B 10 τὰ *om.* AHK, *supra scr.* B -μνάσια . . . δὲ *(p. 49, 24) om.* A 11 αὐτοὺς D 12 ἀλλ᾽ BGK σχολαιότερόν] CDF, *e corr.* J: σχολέτερον H: ἀσχολαιότερον A: ἀσχολαίτερον BK: ἀσχολώτερον G 15 θερμοὶ] DF: *om.* BCGHJK 16 ἀποχῆς] CDF: ἐποχῆς BGHJK 17 καὶ *(sec.) om.* D 18 τὸ *om.* D τούτους] *corr. ex* τούτοις F: τούτοις H 19 δὲ *(alt.) om.* H χρὴ] D: χρὴ καὶ BCFGHJK 23 τε *(pr.) om.* F ἐν γαστρὶ] *mrg.* B 24 τε] δὲ C 27 πρὸ *om.* D ἐκκρίσεώς D 29 κινοῦντας D

## οα΄. Διόρθωσις τῶν ψυχρῶν δυσκρασιῶν.

Τῶν δὲ ψυχρῶν δυσκρασιῶν τρεῖς εἰσι διαφοραί, ὧν χειρίστη μέν ἐστιν ἡ ξηρὰ κρᾶσις· ὃ γὰρ ἐν χρόνῳ γηρῶσι γίνεται, τοῦτο εὐθὺς ἐξ ἀρχῆς ὑπάρχει τούτοις. ὑγραίνειν τε οὖν αὐτοὺς χρὴ καὶ θερμαίνειν· ἔσται δὲ τοῦτο γυμνασίοις τε συμμέτροις καὶ τροφαῖς ὑγραῖς τε καὶ θερμαῖς οἴνου τε πόσει τῶν θερμοτέρων ὕπνοις τε πλείοσι, προνοουμένων ἡμῶν, ὅπως τὰ καθ' ἑκάστην ἡμέραν ἐν τῷ σώματι γεννώμενα περιττώματα ἐκκενοῦται πάντα. τὰ δὲ ἀφροδίσια πάντας τοὺς ξηροτέρους βλάπτει καὶ μάλιστα τοὺς σὺν τῇ ξηρότητι ψυχρούς, μόνοις δὲ ἀβλαβῆ τοῖς θερμοῖς καὶ ὑγροῖς. μοχθηραὶ δὲ καὶ αἱ μεθ' ὑγρότητος ψυχραὶ κράσεις εἰσί, καὶ μάλιστα αὗται τοῖς ῥευματικοῖς ἁλίσκονται νοσήμασιν· ὀνίνησι δὲ αὐτοὺς ἀλουσία τε καὶ γυμνάσια πλείονα καὶ δίαιτα λεπτοτέρα καὶ χρίσματα μετρίως θερμότερα. ὅσοι δὲ ψυχρότεροι μὲν φύσει, συμμέτρως δὲ ἔχουσι τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν κράσεως, ἐπεγείρειν τε αὐτῶν καὶ ῥωννύναι τὴν θερμασίαν. ἐν δὲ τῇ καθ' ὑγρότητά τε καὶ ξηρότητα τῆς ὅλης διαίτης ἰδέᾳ τὸ μέσον ἐκλέγειν.

## οβ΄. Ἴασις τῶν ξηρῶν δυσκρασιῶν ἐπὶ γαστρὸς ὡς ἐπὶ παραδείγματος, εὐθὺς δὲ καὶ τῶν λοιπῶν κράσεων.

Τῆς ξηρᾶς δυσκρασίας ἡ μέν τίς ἐστιν ἐν τῷ τὰ ἐκ τῆς στερεᾶς 1
οὐσίας ὁμοιομερῆ σώματα γίνεσθαι ξηρότερα, ἥτις δὴ καὶ ἀνίατός ἐστιν, ἡ δὲ τῆς ὑγροπαγοῦς οὐσίας, πρὸς ταύταις τῆς οἰκείας ὑγρότητος, ἐξ ἧς τρέφεται τὰ μόρια, τελέως ἀπολομένης· περιέχεται δὲ αὕτη κατὰ πάντα τοῦ ζῴου τὰ μόρια δροσοειδῶς ἐν αὐτοῖς παρεσπαρμένη· ταύτην δὲ ἐνθεῖναι τοῖς μορίοις οὐχ οἷόν τε ἄνευ τροφῆς, καὶ διὰ τοῦτο χαλεπωτάτη τῶν τοιούτων διαθέσεων ἡ ἴασίς ἐστιν. κατὰ δὲ τὰς μικρὰς ἀρτηρίας τε καὶ φλέβας συνισταμένας ταύτας τὰς ξηρότητας θε-

οα΄ *Oribasius, Synops. V 52; cf. Aëtius IV 96—97*
οβ΄ *Oribasius, Synops. V 53; cf. Aëtius IV 98—102*

2 δὲ *om.* D χειρίστη] *corr. ex* χρηστὴ $C^{2}$: χρηστὴ D 3 ἐστιν ἡ] $DF^{3}$: ἐστι BCGHJ: ἐστιν ψυχρὰ καὶ K ἐν χρόνῳ] *e corr.* J: ἄλλοις ἐν χρόνῳ D: ἐν χρόνοις CFG: ἐγχρόνως BH, *e corr.* K 4 οὖν] D: *om.* BCFGHJK χρὴ *om.* FG, *mrg.* K 5 ἔσται] ἐστι F: χρὴ ἔσται G *et in ras.* C τοῦτο] *Or*: τούτοις $BCDF^{3}GHJK$ γυμνάσια D σύμμετρα D *et e corr.* F 6 θερμαῖς] θερμαῖς χρήσονται D πλείοσι] D: πλείοσιν K: πλείοσι καὶ BCFHJ: πλείοσιν καὶ G 8 ἐκκενοῦται] BFJ: ἐκκενοῦται δὲ H: ἐκκενοῦνται CGK: ἐκκενοῖτο D 9 τοὺς σὺν] G: τουσὺν H: σὺν K: τοὺς ἐν BCDFJ: τοὺς πρὸς *Or* τῇ *om.* D 10 δὲ *om.* F 11 εἰσί *om.* D: εἰσίν K, -ν *eras.* H 12 δὲ] DK: τε BCFGHJ τε *om.* CF δίαιτα] *Or*: *om.* BCDFGHJK 13 θερμότερα] θερμαίνοντα C 14 συμμέτρως] οὐ μετρίως D 17 Ἴασις] διόρθωσις J τῶν *om.* FG 18 κράσεων] *supra add.* δυσ- $B^{3}$: δυσκρασιῶν D 20 δὴ] δι H: γε *in ras.* $K^{2}$: *om.* D 21 ὑγροπαθούσης D πρὸς ταύταις] ἴδιόν ἐστι πάθος ἅτε D 22 ἀπολομένης] $C^{2}$: ἀπολωμένης K: ἀπολυμένης D: ἀπολουμένης F: ἀπολλομένης BCG: ἀπολλωμένης H: ἀπολλυμένης J 23 τὰ *om.* F 25 ἐστιν] AH: -ν *eras.* BG: *comp.* F: ἐστι CDJK σμικρὰς D 26 τε *om.* K

ραπεύειν προσῆκον ὑγραινούσῃ [τε] τροφῇ πληροῦντα τῆς οἰκείας ὑγρό-
2 τητος ἕκαστον τῶν ὁμοιομερῶν. λουτρὸν οὖν ἐπιτήδειον εὔκρατον ἐνδιατρίβοντος τοῦ κάμνοντος πλέον τῷ ὕδατι, μετὰ δὲ τὸ λουτρὸν εὐθέως γάλα διδόναι ὄνειον νεόβδαλτον· δεῖ δὲ καὶ μέλιτος ὀλίγον χλιαροῦ μιγνύειν τῷ γάλακτι· καὶ μετὰ τοῦτο ἐᾶν ἡσυχάζειν ἄχρι τοῦ δευτέρου λουτροῦ, τρίβειν δὲ τηνικαῦτα μετρίως τε ἅμα καὶ λιπαρῶς, εἰ ἀκριβῶς κατείργασται τὸ δοθὲν γάλα, ταῖς ἐρυγαῖς καὶ τῷ τῆς γαστρὸς ὄγκῳ τεκμαιρομένους. σύμμετρος δὲ ἀπὸ τοῦ πρώτου λουτροῦ πρὸς τὸ δεύτερον ὡρῶν ἰσημερινῶν τεσσάρων ἢ πέντε χρόνος, εἰ τὸ τρίτον ἔτι μέλλοις λούειν αὐτόν, εἰ δὲ μή, πλειόνων· καὶ μὲν δὴ καὶ ἐπαλείφειν αὐτὸν ἐλαίῳ πρὶν ἀμφιέννυσθαι καθ' ἕκαστον λουτρόν. εἰ μὲν οὖν ἥδοιτο τῷ γάλακτι, καὶ μετὰ τὸ δεύτερον λουτρὸν δώσομεν αὐτῷ, εἰ δὲ μή, πτισάνην ἀκριβῶς καθηψημένην ἢ χονδροπτισάνην ἐσκευασμένην· εἶτα αὖθις ἡσυχάσαντα πρὸς τὸ τρίτον ἄξομεν λουτρὸν ἢ ἄντικρυς ἐπὶ τὸ δεῖπνον. ἄρτος δὲ ἔστω παρεσκευασμένος καλῶς πεποιημένος, κλιβανίτης, καθαρός, ὄψον δὲ τῶν πετραίων ἰχθύων ἢ ὀνίσκος ἐκ λευκοῦ ζωμοῦ. συνελόντι δὲ φάναι τὸ κεφάλαιον τῆς τροφῆς εὔπεπτος ἔστω καὶ τρόφιμος ἥκιστά τε γλίσχρος καὶ περιττωματική. πόμα δὲ οἶνος ὑδατώδης ἔστω καὶ λευκός, καθαρός, ὀλιγοφόρος, βραχεῖαν ἔχων στῦ-
3 ψιν. μεγίστης μὲν οὖν ξηρότητος ἴασις αὕτη· αἱ δὲ μέτριαι τῆς οὕτως ἀκριβοῦς οὐ δέονται διαίτης, καὶ ἁδρότερον δὲ ἐγχωρεῖ διαιτᾶν. ὑποκείσθω δὲ παραπλησία μὲν ξηρότης τῇ πρόσθεν, μεμίχθω δὲ αὐτῇ ψῦξις μετρία· ἐπὶ τούτῳ μεταβλητέον ἐπὶ τὴν τῶν θερμαινόντων ὕλην, καὶ προσθήσομεν τοῖς εἰρημένοις ἐν μὲν τῇ τοῦ γάλακτος χρήσει τὸ μέλι πλέον, οἶνον δὲ ἧττον ὑδαρῆ δώσομεν τοῦ πρόσθεν· ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα θερμότερα δοτέον, οὐ μόνον ταῖς φυσικαῖς κράσεσιν, ἀλλὰ καὶ ταῖς προσφάτοις ποιότησιν, καὶ ναρδίνῳ μύρῳ συνεχῶς ἐπαλειπτέον ἢ μαστιχίνῳ. τῆς ψύξεως δὲ οὔσης πολλῆς ἅμα τῇ ξηρότητι πρῶτον μὲν αὐτὴν χαλεπωτάτην νόμιζε καὶ δυσεπανόρθωτον, τοῖς δὲ αὐτοῖς χρῆσθαι καὶ καθ' ἑαυτὸ μέλιτι ἀπέφθῳ ἀπηφρισμένῳ, τὸν δὲ οἶνον αἱρεῖσθαι παλαιότερον. ἄριστον δὲ φάρμακον ἐπὶ τῶν τοιούτων

1 προσῆκεν *Or* ὑγραινοῦσι K: ὑγραινοῦνται C τε] *(etiam Or)* τῇ D; *deleo* πληροῦνται F 3 πλέον] ἐπὶ πλέον D 4 ὀλίγον] *Or*: ὀλίγου ABCDFGHJK 6 δὲ] τε DF[3]: *om.* K ἅμα *om.* C 7 κατείργασται] ADK, *corr. ex* κατειργάσθαι C: κατήργασται GH, *evan.* F: κατειργάσθαι BJ[3] 8 τεκαιρομένους] *Or*: τεκμαιρομένοις D *et* F[3]?: τεκμηραμένους ABCGHJK 9 χρόνων FG τὸ] *in ras.* J: καὶ D 10 μέλοις A: μέλλεις CD αὐτούς C καὶ *(alt.)*] D, *supra add.* F[3]: *om.* ABCGHJK 12 αὐτὸ CG 13 καθηψημένην] CGJ[2]K: κατηψημένην ABDFH χονδροπτισάνην] ABCDHJ: χόνδρον πτισάνην GKF[3]: χόνδρον ὡς πτισάνην K[2] *Or* ἐσκευασμένην] ABCDFGHJK: ἐσκευασμένον K[2] *Or* 14 τὸ *om.* AHJK ἢ ... δεῖπνον *(15)* *om.* A, *mrg.* J[3] 18 τρόφιμος] εὐανάδοτος *in ras. min.* K[2] τε] DFGK: δὲ C: *om.* ABHJ 23 τούτῳ] ACJ: τοῦτο BFGH: τούτων K: τοσοῦτον οὖν D μεταβητέον F ἐπὶ *(alt.)*] καὶ D 25 ἧττον] τὸν D τοῦ] ἀντὶ τοῦ D 26 θερμότερον K 28 ἅμα] DFGK: ἅμα καὶ ABCHJ τῆς ξηρότητος C 30 καὶ] *supra scr.* J: καὶ ἐπ' αὐτῆς ἢ καὶ D ἑαυτὸ] K, *e corr.* D: ἑαυτὸν ABCFGH, *mut. in* ἑαυτῷ J 30. 31 τῶν δὲ οἴνων D 31 παλαιότερον] τὸν παλαιότερον D ἐπὶ] ἐστιν ἐπὶ K

ἁπάντων, ᾧ συνεχῶς οἱ πιττωταὶ χρῶνται, καὶ χρίειν αὐτῷ τὴν γαστέρα
δεῖ καὶ ἀποσπᾶν θερμὸν ἔτι τυγχάνον. ὠφελεῖ δὲ τοὺς τοιούτους καὶ
παιδίον εὔσαρκον συγκοιμώμενον, ὡς ψαύειν ἀεὶ τῶν κατ᾽ ἐπιγάστριον.
μιγνύσθω δὲ ἑξῆς τῇ ξηρότητι θερμότης μετρία· ἐπὶ ταύτης τὴν πρώ-
την ἀγωγὴν φυλάξαι, ὡς μέλιτος μὲν μηδ᾽ ὅλως γεύεσθαι, τὸν δὲ οἶνον
ἥκιστα παλαιὸν προσφέρεσθαι· χλιαρὰ δὲ τὰ ἐδέσματα καὶ γαλακτώδη
προσοίσομεν καὶ τὴν κοιλίαν ἐπαλείψομεν ὀμφακίνῳ τε καὶ μηλίνῳ.
ψύχειν δὲ τούτους ἀγωνιστικώτερον οὐκ ἀκίνδυνον πυρεκτικῆς πως
οὔσης τῆς τοιαύτης καταστάσεως, ὅταν πλεονάζῃ τὸ θερμόν. ὑποκείσθω **4**
δὴ πάλιν ἐπικρατεῖν μὲν τὴν θερμὴν δυσκρασίαν, μεμῖχθαι δὲ αὐτῇ τὴν
ὑγρότητα· τὴν τοιαύτην δυσκρασίαν ὕδατος ψυχροῦ πόσει θεραπεύσο-
μεν· ἐπιτήδειος δὲ ἡ τῶν στυφόντων ἐδεσμάτων χρῆσις, ἔστω δὲ καὶ
ταῦτα χωρὶς τοῦ θερμαίνειν αὐστηρά. τῆς δὲ ὑγρᾶς δυσκρασίας μόνης
συνισταμένης τὰ ξηραίνοντα τῶν ἐδεσμάτων ἄνευ τοῦ θερμαίνειν ἢ
ψύχειν ἰσχυρῶς βοηθεῖ καὶ πρὸς τούτοις ἔνδεια τῶν συνήθων ποτῶν.
τῆς δὲ μετὰ ψύξεως ὑγρᾶς δυσκρασίας ἄριστα ἰάματα τὰ δριμέα σύμ-
παντα, μιγνύσθω δὲ αὐτοῖς καὶ τὰ στύφοντα χωρὶς τοῦ ψύχειν σαφῶς·
ἄριστον δὲ ἅμα καὶ τούτοις ὀλίγον τὸ πόμα, καὶ τοῦτο τῶν θερμαι-
νόντων ἰσχυρῶς οἴνων. τῶν μὲν οὖν ἐπὶ ταῖς ποιότησι δυσκρασιῶν **5**
τοιαῦταί τινές εἰσιν ἰάσεις· ἐπεὶ δὲ πολλάκις καὶ τὸ περιεχόμενον ὑγρὸν
ἐν τῷ κύτει τῆς γαστρὸς ἢ ἀναποθὲν ἐν τοῖς χιτῶσιν αὐτῆς τὴν δυσκρα-
σίαν ἐργάζεται, καλῶς ἂν ἔχοι καὶ περὶ τούτων εἰπεῖν. ἡ μὲν οὖν
προτέρα διάθεσις, εἰ μὲν ἅπαξ συσταίη, διὰ ἐμέτων καθαρθεῖσα καθί-
σταται ῥᾳδίως· εἰ δὲ αὖθις ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων ἐπιρρέῃ μορίων,
ἀκριβοῦς δεῖται διαγνώσεως, ἡ θεραπεία δὲ εὐθὺς ἀκολουθήσει. τὴν
μὲν γὰρ σύμπασαν θεραπείαν τῷ πεπονθότι χρὴ προσάγειν, προνοεῖ-
σθαι δὲ τῶν δεχομένων τοσοῦτον μόνον, ὡς μὴ ῥᾳδίως δέχοιτο τὰ
ἐπιρρέοντα· γένοιτο δὲ ἂν τοῦτο διά τε τῶν στυφόντων καὶ διὰ τῶν
εἰς εὐεξίαν ἀγόντων τὸ πᾶν σῶμα. τὰς δὲ ἐν χιτῶνι τῆς γαστρὸς **6**
κακοχυμίας διὰ τῶν καθαιρόντων μετρίως, οἷόν ἐστιν ἡ ἀλόη καὶ τὸ
δι᾽ αὐτῆς σκευαζόμενον φάρμακον ἡ πικρά· γλίσχρου δὲ ἅμα φλεγμα-

1 ἁπάντων] DK: *om.* ABCFGHJ   ᾧ] ὃ GK   καὶ χρίειν] χρίειν οὖν D   αὐτὸ AFGJ   2 ἔτι θερμὸν AJ   τοῖς τοιούτοις F$^{3}$, *et* C *sed corr.* 3 συγκοιμώμενον] D: συνκοιμώμενον K: κοιμώμενον ABC(F?)GHJ   τῶν κατ᾽] τὸ *seq. ras. 1 litt.* K   ἐπιγαστρίων CFGH, *e corr.* J: γρ. τῶν κατεπιγαστρίων *mrg.* D   4 ἑξῆς *om.* C   τῇ] D: *om.* ABCFGHJK   5 φυλάξαι] δεῖ φυλάξαι D   6 παλαιὸν] πλέον D   7 προσαλείψομεν CFG   τε *om.* C   8 δὲ] τε K   ἀγωνιστικώτερον] DK: ἀγωνιστικώτατον ABCFGH, *mut. in* ἀγωνιστικώτατα J   πως] *corr. ex* προς- J: πρὸς A   10 δὴ] D: δὲ K: δὴ καὶ ABCFGHJ   11 τὴν *om.* K: τὴν δὲ F, *post* τὴν *del.* δ H   θεραπεύομεν F$^{3}$: θεραπεύοιμεν BGHK   12 δέ *(pr.)*] δὲ καὶ *Or*   στυφόντων] ψυχόντων καὶ στυφόντων D: ψυχρῶν K   15 ἰσχυρῶς] ἐπιφανῶς ἰσχυρῶς D   16 τὰ *om.* FGK, *supra scr.* C$^{2}$   πάντα AJ   17 αὐτοῖς] τούτοις ABHJ   18 ἅμα] ἴαμα D   20 πολλάκις καὶ] D: καὶ πολλάκις ABCFGHJK   23 σταίη D   24 ἐπιρρέῃ] B: ἐπιρρέει JK: ἐπιρρέοι C: ἐπιρέῃ FGH: ἐπιρέει AD   26 μὲν *om.* A, *supra scr.* J$^{3}$   χρὴ] DK: δεῖ ABCFGHJ   28 τε] DK: *om.* ABCFGHJ   29 ἐν] ἐν τῷ D   30 μετρίως] μετρίως θεραπεύσομεν D   31 ἡ πικρά *om.* D, *supra scr.* C$^{2}$

τος ἐμπεπλασμένου τῇ γαστρὶ δοτέον αὐτοῖς πρότερον, ὅσα τέμνει τοῦτο, κἄπειθ' οὕτως καθαρτέον· εἰ δὲ ἐπιτηδείως ἔχοι, διὰ ῥαφανίδων ἐμείτω. εἰ δὲ μήτε γλίσχρος μήτε παχὺς εἴη ὁ χυμός, ἀρκεῖ καὶ ὁ ἀπὸ τοῦ χυλοῦ τῆς πτισάνης ἔμετος καὶ ὁ ἀπὸ τοῦ μελικράτου· πίνειν δὲ καὶ ἀψινθίου χυλὸν ἐν μελικράτῳ. ἀνὰ λόγον δὲ χρὴ καὶ τὰς ἐν τοῖς ἄλλοις μέρεσιν γιγνομένας δυσκρασίας ἰᾶσθαι τὰς ἐπιτηδείους ἐκροὰς εὑρίσκοντα τοῖς ὑγροῖς· εἰ δὲ μήτε κοιλότητα μήτε ἐκροὴν ἔχοι τὸ μόριον αἰσθητήν, ἀτμοειδῶς ἐκκενῶσαι χρὴ τοὺς πλεονάζοντας ἰχῶρας ἢ χυμοὺς ἐν αὐτῷ, καθάπερ γε κἂν πνεῦμα φυσῶδες ᾖ τὸ περιεχόμενον.

## ογ'. Περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων.

Μέρος τῆς ὑγιεινῆς πραγματείας καὶ τὸν περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ὑπάρχοντα λόγον τοῖς ἤδη φθάσασιν ὑποτάξομεν ὀλίγα τινὰ τῆς κατὰ μέρος αὐτῶν διδασκαλίας προλαβόντες· χρὴ γάρ, εἴπερ τι ἄλλο, τὰς ἐν ταῖς τροφαῖς ἐπίστασθαι δυνάμεις. τὰ μὲν οὖν τῆς λεπτυνούσης δυνάμεως ἐκφράττει τε τὰς διεξόδους καὶ ἀπορρύπτει τὰ προσπλαττόμενα γλίσχρα τέμνει τε καὶ λεπτύνει τὰ παχέα, συνάγει δὲ τοῖς χρονίσασι κατὰ τὴν ἐδωδὴν αὐτῶν ὀρώδη καὶ χολώδη περιττώματα, κἂν ἔτι μᾶλλον πλεονάσῃ τις, μελαγχολικὸν τὸ αἷμα καθίσταται. χρὴ οὖν ἀπέχεσθαι τῆς συνεχοῦς αὐτῶν χρήσεως, καὶ μάλιστα τοὺς χολώδεις τὴν κρᾶσιν· ἁρμόζει γὰρ μόνοις τοῖς τὸ φλέγμα καὶ τὸν ὠμὸν καὶ γλίσχρον καὶ παχὺν χυμὸν ἠθροικόσι. τὰ δὲ τῆς παχυνούσης τρόφιμα μὲν ἱκανῶς ἐστι, κἂν ἔν τε τῇ γαστρὶ καὶ τῷ ἥπατι πεφθῇ προσηκόντως, εὔχυμον αἷμα γεννᾷ, σπλῆνα δὲ καὶ ἧπαρ ἐμφράττει. τούτων δὲ τινὰ μέν ἐστι παχύχυμα μόνον, ὡς φακή, τινὰ δὲ γλίσχρα, καθάπερ μαλάχη, τισὶ δὲ ἄμφω συμβέβηκε παχυχύμοις τε εἶναι καὶ γλίσχροις, ὥσπερ τοῖς ὀστρακοδέρμοις. ἀσφαλεστέρα τοίνυν ἐστὶν ἡ λεπτύνουσα δίαιτα προφυλακῆς τῆς ὑγείας ἕνεκα τῆς παχυνούσης μᾶλλον, ὀλιγότροφος δὲ οὖσα τόνον οὐκ ἐντίθησιν οὐδὲ ῥώμην τοῖς σώμασι, καὶ χρή ποτε καὶ τῶν πολυτρόφων προσφέρεσθαι μετρίως, ἡνίκα τις ἐνδείας ἀντιλαμβάνηται. μάλιστα δὲ ἂν ἀκινδύνως μεταλαμβάνοιεν αὐτῆς

ογ' *Oribasius, Ad Eunap. I 17; cf. Coll. III 1. Aëtius II 237*

1 ἐμπεπλησμένου A 2 οὕτω D ἔχει F ῥαφανίδων] DF: ῥεφανίδων ABCGHJK 6 γινομένας K ἐπιτηδείας A 7 κοιλότητα μήτε] DK: κῦλῶττα F, *sed del*: κυλώματα G, -ματα *comp. in ras. min.* G²: *om.* ABCHJ ἔχει DFJ 8 χρὴ *om.* H 9 κἂν] καὶ εἰ D: καὶ H δυσῶδες K 12 τὸν] τῶν GH: *corr. ex* τῶν JKB³: ταῖς F 13 ὑποτάξωμεν BJK 14 τῆς] πρὸ τῆς *in ras.* J παραλαβόντες AJ 16 τε] *corr. ex* τε καὶ K: *om.* D ἀπορρύπτει] DJ²: ἀπορρίπτει ABCGJ: ἀπορίπτει FHK 18 αὐτῶν] K: αὐτὴν D: *om.* ABCFGHJ 20 τοὺς *om.* K, *supra scr.* οἱ 21 τὸ] D: *om.* ABCFGHJK 23 μὲν] μὲν οὖν K τε *om.* D 24 δὲ *(alt.) om.* H 26 μαλάχη] ἡ μαλάχη D: μαλάχαι ABCFGHJK τε *om.* F 27 ἐστὶν ἡ] D: ἐστὶν HK: ἐστὶ ABCGJ, *comp.* F 28 προφυλακτικῆς CFGH ὑγιείας K: ὑγίας GJ 30 τις] ABH, *e corr.* J: τῆς CDFGK 31 ἀντιλαμβάνηται] AJK: ἀντιλαμβάνεται BCFGH: ἀντιλαμβάνονται D ἂν *om.* ADJ ἀκίνδυνον K: ἀκινδύνως ἂν D

οἱ γυμνασίοις τε προσέχοντες καὶ οἱ καθεύδοντες, ἐφ᾿ ὅσον ἂν βούλοιντο· πάντες δέ, ὅσοι πρὸ τῶν σιτίων οὐχ οἷοί τέ εἰσι γυμνάζεσθαι, φευγέτωσαν τὰς παχυχύμους τροφάς, ἀργοὶ δὲ μηδ᾿ οὗτοι τὰς τροφὰς ταύτας προσιέτωσαν. μέγιστον δὲ κακὸν εἰς τὴν τῆς ὑγείας φυλακὴν ἡ παντελὴς ἀργία καθέστηκεν, ὥσπερ γε ἡ σύμμετρος κίνησις μέγιστον τῶν ἀγαθῶν. τὰ δὲ μεταξὺ τῶν παχυνόντων καὶ λεπτυνόντων ἐδεσμάτων κάλλιστα πάντων ἐστὶ σύμμετρον αἷμα γεννῶντα κατὰ τὴν σύστασιν. κατάλληλος μὲν οὖν ἡ τοιαύτη τροφὴ τοῖς σώμασιν ἡμῶν ἐστιν, βλαβερὰ δὲ ἡ κακόχυμος, ἣν ἀεὶ δεῖ φεύγειν. φυλάττεσθαι δὲ καὶ τὴν ποικιλίαν τῶν τροφῶν ἄμεινον, καὶ μᾶλλον ἐὰν ἐξ ἐναντίων ὦσι δυνάμεων· οὐ γὰρ πέττεται τὰ ληφθέντα προσηκόντως.

## οδ΄. Περὶ λαχάνων.

Ἡ μὲν οὖν θριδακίνη σαφῶς ψύχει τε καὶ ὑγραίνει· διὸ καὶ ὑπνώδης ἐστίν· ὡς ἐν λαχάνοις δὲ τρόφιμος αἵματος εὐχύμου γεννητικὴ τυγχάνουσα. καὶ τὸ ἴντυβον δὲ ψυχρᾶς ἐστι καὶ ὑγρᾶς κράσεως, ἀλλ᾿ ἧττον ἢ κατὰ θριδακίνην. ἡ δὲ μαλάχη ψύχει μέν, ἀλλ᾿ οὐκ ἐναργῶς, ὑγραίνει δὲ μᾶλλον· ὅθεν καὶ γαστέρα ὑπάγει, τοῦτο δὲ καὶ διὰ τὸ ἐν αὐτῇ γλίσχρον. τὸ δὲ τεῦτλον τῷ ῥύπτειν ὑπάγει γαστέρα· διὸ καὶ στόμαχον δάκνει πλεῖον ἐσθιόμενον· ἐκφράττει δὲ τὰ καθ᾿ ἧπάρ τε καὶ σπλῆνα. ἡ δὲ κράμβη δίσεφθος μὲν ἐσθιομένη γαστέρα ἐπέχει, πρὸς ἅπαξ δὲ μὴ ἐπὶ πολὺ ἑψηθεῖσα καὶ μετὰ ἐλαίου τε καὶ γάρου ἢ ἁλῶν ἐσθιομένη μᾶλλον ὑπάγει, ὥσπερ ὁ χυλὸς αὐτῆς καὶ τοῦ τῆς φακῆς μᾶλλόν ἐστι καθαρτικός. ἔτι δὲ μᾶλλον ἥ τε θαλαττία κράμβη γαστρὸς λαπακτικὴ σαφῶς ἁλμυρά τε καὶ ὑπόπικρος ὑπάρχουσα καὶ τὸ ἄλιμον, πλείονος δὲ μετέχον τῆς ἁλυκῆς ποιότητος ὑπάγει γαστέρα, κράμβης δὲ μᾶλλον εὐστόμαχον ὡς ἂν στύψεως μετρίας μετειληφός, γάλακτος δὲ καὶ σπέρματός ἐστι γεννητικόν. βλίτον δὲ καὶ ἀτράφαξυς ὑγρὰ μὲν καὶ γαστρὸς ὑπακτικά, ὀλιγότροφα δέ. τὰ δὲ ἀκανθώδη πάντα, οἷον

οδ΄ *cf. Galenus, De alim. fac. II 40—45, 50—56, 34* 13—23 *cf. Oribasius, Coll. II 1—5* 23—27 *cf. Galenus XI 821* 27—28 *Oribasius, Coll. II 6* 28 *sqq. ib. II 11*

1 οἱ *(pr.)*] ἢ καὶ K οἱ *(alt.)* *om.* K 3 αὐτοὶ DK 4 δὲ] γὰρ J ὑγιείας AG 5 γε *om.* C: γε καὶ H 8 κατάλληλος] ἁρμόδιος C οὖν *om.* K τροφὴ *om.* D 10 μάλιστα CD ἐὰν] κἂν C ὦσι] D: εἰσὶ ABCFGHJK 11 λειφθέντα BK 15 ἐστι] DK, *comp.* F, *corr. ex* ἐστιν G: *om.* ABCHJ 17 τοῦτο δὲ] διά τε τοῦτο D 18 σεῦτλον FJ τῷ] *in ras.* J, *corr. ex* τὸ G: τὸ FK 19 πλεῖον] CD: πλείω ABFGHJK: πλείῳ A³ ἐμφράττει BF, *corr.* B τε] DFGK: *om.* ABCHJ 23 ἔτι] DFGJ: ἔστι ABCKJ³ τε *om.* K γαστρὸς *om.* K 24 τε] FK: γε ABCDGHJ ὑπάρχουσα] οὖσα D ἄλιμον] ABHKJ³: ἀέλιμον F: ἔλυμον CDG 25 δὲ] μὲν D τῆς *om.* H ἁλυκῆς] D: ἁλικῆς K: ἁλμυρᾶς ABCFGHJ ὑπάγει] καὶ πλέον ὑπάγει D 26 ὡς] ἐστιν ὡς DF 27 βλίτ^ο D: βλίττον C: βλῆττον K, -η- *in ras. mai.* δὲ *(alt.)*] τε K ἀτράφαξυς] DGK: ἀτράφαξις ACFJ, *e corr.* G: ἀντράφαξις H: ἀνδράφαξις *in ras.* B³ 28 ὑπακτική K *et corr. ex* ὑπακτικόν B³

σκόλυμος καὶ ἀτρακτυλὶς καὶ τὰ τοιαῦτα, εὐστόμαχά εἰσι δίχα τῆς κινάρας· κακόχυμος γὰρ αὕτη, σκληρὰ μάλιστα τυγχάνουσα· διὸ κάλλιον ἕψοντας αὐτὴν σὺν ἐλαίῳ καὶ γάρῳ καὶ κοριάννῳ προσφέρεσθαι. σέλινον δὲ καὶ ἱπποσέλινον καὶ σίον καὶ σμύρνιον πάντα διουρητικά ἐστιν, ἀλλὰ τὸ μὲν σμύρνιον ἀρωματίζον τε καὶ μᾶλλον δριμὺ καὶ διουρητικὸν καὶ γυναιξὶ κινεῖ τὰ καταμήνια, τὰ δὲ σέλινα ἡδύτερα· διὸ καὶ εὐστομαχώτερα. τὸ δὲ εὔζωμον θερμόν τέ ἐστι καὶ σπέρματος γεννητικόν· διὸ καὶ πρὸς συνουσίαν ἐπεγείρει καὶ κεφαλαίας. κάρδαμον δὲ καὶ ὤκιμον καὶ νᾶπυ θερμὰ μὲν καὶ δριμέα, καὶ μάλιστα τὸ κάρδαμον, δύσπεπτα δὲ καὶ κακοστόμαχα καὶ κακόχυμα. ἡ δὲ ἀκαλήφη τε καὶ κνίδη καλουμένη λεπτομερής τε καὶ ὑπακτικὴ γαστρὸς καὶ ὀλιγότροφος. τὸ δὲ γιγγίδιον ὅμοιόν ἐστι τῷ σκάνδικι στυφούσης καὶ πικρᾶς οὐκ ὀλίγης μετέχον ποιότητος· ἔστι δὲ καὶ εὐστόμαχον, ὡς καὶ τοῖς ἀποσίτοις αὐτὸ τυγχάνειν ἐπιτήδειον μετ' ὄξους ἐσθιόμενον, ὀλίγην δὲ τροφὴν παρέχει τῷ σώματι. τὰ δὲ ἄγρια προσαγορευόμενα λάχανα τῶν ἐσχάτως εἰσὶ κακοχύμων. ἡ δὲ κάππαρις εὐόρεκτός τε καὶ τῶν καθ' ἧπάρ τε καὶ σπλῆνα ἐκφρακτικὴ καὶ φλέγματος ὑπακτική· χρηστέον δὲ αὐτῇ δι' ὀξυμέλιτος ἢ ὀξελαίου πρὸ τῆς ἄλλης τροφῆς.

## οε΄. Περὶ ἀσπαράγων.

Τῶν βλίτων καὶ θριδακίνων καὶ ἀτραφάξυος καὶ μαλάχης καὶ τεύτλου τὸ μὲν φυτὸν ὑγρόν, ὁ δὲ ἀσπάραγός ἐστι ξηρός. γογγύλη δὲ καὶ νᾶπυ καὶ κάρδαμον καὶ ῥαφανὶς καὶ πύρεθρον καὶ κράμβη καὶ τὰ ἄλλα τὰ θερμὰ τὸ μὲν φυτὸν ξηρόν, τὸν δὲ ἀσπάραγον ἔχουσιν ὑγρόν. οἱ δὲ ἀπὸ τῶν θαμνωδῶν φυτῶν ἀσπάραγοι, ὅ τε ἕλειος καὶ ὁ κηπευτὸς καὶ ὁ ἀπὸ τῆς βρυωνίας, εὐστόμαχοι μὲν καὶ διουρητικοί, ὀλιγότροφοι δέ· πεττόμενοι δὲ μᾶλλον τρέφουσι τῶν ἀπὸ τῶν λαχάνων. παραπλησίως δὲ καὶ ὁ τῆς χαμαιδάφνης ἀσπάραγος.

3—7 *cf. Oribasius, Coll. II 12* 7—8 *ib. II 13* 8—10 *cf. ib. II 16* 10—11 *ib. II 14* 12—15 *cf. ib. II 15* 15—16 *Galenus VI 624* οε΄ *cf. Oribasius, Coll. II 17; Galenus, De alim. fac. II 58—59*

1 ἀτρακτυλλὶς ADGJ, *et* B *sed corr.* εἰσι] ἐστιν K: εἰσιν H κιννάρας AK, *e corr.* B μάλιστα] DK: *om.* ABCFGHJ διὸ] διὸ καὶ K κάλλιστον B 3 κοριάννῳ] ABD$C^2$G: κοριάνῳ CFHJK 4 πάντα] καὶ πάντα K ἐστιν] DFG: τέ ἐστι C: εἰσιν AHJ, *ins. in ras.* K, -ν *eras.* B 5 ἀλλὰ . . . διουρητικὸν] *mrg.* K μὲν *om.* AJ τε] *mut. in* τέ ἐστι $B^2$: δὲ H$F^3$: *om.* D καὶ *(pr.) om.* D 6 γυναικὶ D καταμήνια κινεῖ K τὰ] D$F^3$: *om.* ABCGHJK 8 συνουσίας F ἐγείρει C καὶ κεφαλαίας] ἔστι δὲ καὶ κεφαλαλγές D: καὶ (κε)φαλαλγίας ποιεῖ F δὲ] τε D 9 μὲν] μὲν καὶ αὐτὰ K 10 δὲ *(pr.)*] τε K κακόχυμα καὶ κακοστόμαχα F καὶ *(alt.)*] ἢ καὶ C$B^3$ 12 σκάνδικι] -ι- *in ras.* C: σκάνδακι FG 13 ὀλίγον D 16 εἰσὶ] ἐστὶν K κάπαρις A, *mut. in* κάππαρις J, *corr. ex* κάππαρις $B^3$ 20 βλήττων K 21 τεύτλων D ἐστι] ἐστιν K: τέ ἐστι A: *om.* F δὲ *(alt.)*] DK: τε ABCFGHJ 22 κάρδαμον καὶ ῥαφανὶς] DK: ῥαφανὶς καὶ κάρδαμον ABCFGHJ 23 τὸν] τὸ BK, *corr.* B 27 τῆς] ἀπὸ τῆς CD$F^3$

## οϛ΄. Περὶ τῶν ἐχόντων ἐδωδίμους τὰς ῥίζας.

Ἡ μὲν βουνιάς τε καὶ γογγύλη προσαγορευομένη δίσεφθος ἐσθιομένη τρόφιμος οὐχ ἧττον τῶν ἄλλων φυτῶν, παχύχυμος δὲ συνεχῶς λαμβανομένη. οἱ δὲ βολβοὶ στυπτικοί τε καὶ ῥυπτικοὶ καὶ ὀρεκτικοὶ καὶ στομάχου τονωτικοὶ καὶ τῶν ἐν θώρακι γλίσχρων εὐανάγωγοι· δίσεφθοι δὲ γιγνόμενοι τροφιμώτεροι μέν, οὐκ εὐανάγωγοι δέ, τὸ πικρὸν ἀποβάλλοντες· εἰσὶ δὲ καὶ σπέρματος γεννητικοὶ καὶ ἀφροδισιαστικοὶ ἐν πλείονι χρήσει γιγνόμενοι καὶ φυσώδεις καὶ στρόφους ἐμποιοῦσιν· οἱ δὲ μετὰ γάρου καὶ ἐλαίου ἐσθιόμενοι ἥδιστοι καὶ ἄφυσοι καὶ τρόφιμοι καὶ εὔπεπτοι. σταφυλίνου δὲ καὶ δαύκου καὶ κάρου αἱ μὲν ῥίζαι ὀλιγοτροφώτεραι τῶν γογγυλίδων εἰσί, θερμαὶ δὲ καὶ ἀρωματίζουσαι σαφῶς καὶ οὐρητικαί, καταχρωμένοις δὲ κακόχυμοι καὶ δύσπεπτοι τῷ κοινῷ λόγῳ τῶν ῥιζῶν. τινὲς δὲ τὸν ἄγριον σταφυλῖνον ὀνομάζουσι δαῦκον οὐρητικώτερον μᾶλλον ὑπάρχοντα. ἡ δὲ ῥαφανὶς λεπτυντικῆς τε καὶ θερμῆς ἐστι δυνάμεως, ἐσθίειν δὲ αὐτὴν πρὸ τροφῆς δεῖ μετὰ ὄξους ἢ γάρου ὑπαγωγῆς ἕνεκα γαστρός, μετὰ τροφὴν δὲ οὐδαμῶς. κρόμυον δὲ καὶ σκόροδον καὶ πράσον καὶ ἀμπελόπρασον δριμείας ὄντα δυνάμεως θερμαίνουσί τε τὸ σῶμα καὶ λεπτύνουσι καὶ τέμνουσι τοὺς ἐν αὐτῷ παχεῖς χυμούς, καὶ δίσεφθα μὲν ὀλιγότροφά ἐστιν, ἄνεφθα δὲ οὐδ᾽ ὅλως τρέφουσιν. τό γε μὴν σκόροδον ἐκφρακτικόν τε καὶ διαφορητικόν ἐστι μᾶλλον· τὰ δὲ ἀμπελόπρασα τῶν πράσων ὡς ἄγρια ξηρότερα. καθόλου δὲ τῶν λαχάνων τὰ ὠμὰ ἐσθιόμενα τῶν ἑφθῶν μᾶλλόν εἰσι κακόχυμα καὶ πλείονος μετέχοντα τῆς περιττωματικῆς ὑγρότητος· τὰ δὲ εἰς ἀπόθεσιν ταριχευόμενα δι᾽ ἅλμης τε καὶ ὀξάλμης εὐστόμαχά τέ ἐστι καὶ εὐόρεκτα καὶ τῶν ὠμῶν χυμῶν τμητικά, δύσπεπτα δὲ καὶ καταχρωμένοις κακόχυμα.

οϛ΄ *cf. Galenus, De alim. fac. II 61—62, 66—67, 70—71*
2—4 *cf. Oribasius, Coll. II 18* 4—10 *cf. ib. II 22* 10—14 *cf. ib. II 23* 14—17 *ib. II 26* 17—22 *cf. ib. II 27* 22—26 ?

2 μὲν] DK: μὲν οὖν ABCFGHJ γογγυλὶς CFG 4 ὀρεκτικοὶ] θρεπτικοὶ *post ras. 2 litt.* K 6 γενόμενοι D 7 ἀποβαλλόντες G: ἀποβάλοντες FH: ἀποβαλόντες C 9 ἥδιστοι] ἡδεῖς τε K 10 κάρου] καρώου K: κάρῳ AB 11 γογγυλίων K 12 καταχρωμένοις] C²: καταχρώμενοι ABCDGHK: καταχρώμεναι FJ δὲ] DHK: δὲ καὶ ABCFGJ 14 μᾶλλον *om.* J ῥεφανὶς K 15 τε] τε καὶ τμητικῆς F: τέ ἐστι C ἐστι] *om.* C, *corr. ex* ἐστιν G δὲ] δὲ δεῖ D πρὸ] δεῖ πρὸ K 16 δεῖ *om.* DK: χρὴ F 17 δὲ *(pr.)*] DKJ: *om.* ABCFGH κρόμυον] DK: κρόμμυον ABCFGHJ δὲ *(alt.)*] DK: τε ABCFGHJ σκόροδον] ADB³: σκόρδον BCGHJK σκόροδον καὶ *om.* F πράσσον AH, *alt.* σ *del.* B 20 ἐστιν] DK: εἰσιν ABCFGHJ σκόροδον] ADJK: σκόρδον BCFGH 21 τε *om.* AJ διουρητικόν CFGJ³ πράσσων H 22 τὰ] τὰ μὲν F 23 ἐστιν K 24 ἀποθεράπευσιν F 25 τέ] μέν K ἐστιν HK, -ν *eras.* G: εἰσι F

### οζʹ. Περὶ ὕδνων καὶ μυκήτων.

Τὸ ὕδνον ἄποιον μὲν ἔχει τὸν ἀναδιδόμενον ἐξ αὐτοῦ χυμόν, ψυχρότερον δὲ καὶ παχύχυμον. οἱ δὲ μυκῆται ψυχροί τέ εἰσι καὶ φλεγματώδεις καὶ κακόχυμοι· τούτων δὲ αὐτῶν οἱ μὲν βωλῖται ἀβλαβέστεροι καὶ ἄποιοι καλῶς ἑψηθέντες, οἱ δὲ ἀμανῖται δευτέρας εἰσὶ τάξεως. τῶν δὲ ἄλλων μυκήτων ἀπέχεσθαι δεῖ· πολλοὶ γὰρ ἐξ αὐτῶν ἀπέθανον. καὶ αὐτοὶ δὲ οἱ βωλῖται ἀνεφθότεροι ἐσθιόμενοι κινδύνου παραίτιοι πολλάκις γίνονται.

### οηʹ. Περὶ σιτωδῶν.

Τῶν σιτωδῶν ὀνομαζομένων ὁ μὲν χόνδρος τρόφιμός τε καὶ γλίσχρου χυμοῦ γεννητικός· ἀλλ᾽ ὁ μὲν πλυτὸς μοχθηρός, ἐπείπερ ἑτοίμως παχυνόμενος ἄνεφθος μένει, κρείττων δὲ ὁ χυλὸς αὐτοῦ ὅλου καλῶς ἑψηθέντος παραπλησίως τῇ πτισάνῃ. ὁ δὲ ἄλιξ τὰ μὲν ἄλλα χόνδρῳ παρέοικε, μᾶλλον δὲ γαστρός ἐστιν ἐφεκτικός. ὁ δὲ πυρὸς ἑφθὸς ἐσθιόμενος δύσπεπτός τε καὶ φυσώδης, πεττόμενος δὲ τροφὴν ἰσχυροτάτην παρέχει, ἀρτοποιούμενος δὲ τὸ φυσῶδες καὶ δύσπεπτον ἀποτίθεται διὰ τὸ ζύμης τε καὶ ἁλῶν μετέχειν. τροφιμώτερος δὲ τῶν ἄρτων ἐστὶν ὁ σιλιγνίτης, ἐφεξῆς δὲ ὁ σεμιδαλίτης καὶ τρίτος ὁ συγκομιστός· ὁ δὲ ῥυπαρὸς ἄρτος ἧττον μὲν τρέφει, μᾶλλον δὲ κατὰ γαστέρα ὑπέρχεται· ὁ δὲ ἄμυλος ὀλιγότροφός ἐστιν, ὥσπερ καὶ ὁ πεπλυμένος ἄρτος. αἱ δὲ κριθαὶ ψυχρᾶς εἰσι δυνάμεως καὶ ῥυπτικῆς, καὶ ἑψόμεναι μὲν ὥσπερ ἡ πτισάνη ὑγραίνουσι, φρυττόμεναι δὲ καθάπερ ἐπὶ ἀλφίτων ξηραίνουσιν. τὸ δὲ ἄλφιτον ἐν θέρει πρὸ βαλανείου πινόμενον μεθ᾽ ὕδατος δίψαν ἰᾶται. ὁ δὲ κρίθινος ἄρτος ψαφαρώτερός τέ ἐστιν καὶ ὀλιγότροφος. ἡ δὲ μᾶζα δυσπεπτοτέρα τε καὶ φυσωδεστέρα τῶν κριθίνων ἄρτων ἐστίν, μέλιτος δὲ προσλαβοῦσα ὑπέρχεται. ὁ δὲ βρόμος θερμός τε καὶ ὀλιγότροφος. ἡ δὲ κέγχρος καὶ ὁ ἔλυμος ψυχρά τε καὶ ξηρὰ καὶ ὀλιγότροφα καὶ ἐφεκτικὰ γαστρός· κρείττων δὲ κατὰ πάντα τῆς μελίνης ἡ κέγχρος. ἡ δὲ ὄρυζα δύσπεπτός τέ ἐστι καὶ ὀλιγότροφος καὶ γαστρὸς ἐφεκτική. ἕψεται δὲ ἡ πτισάνη ἑνὸς μέρους αὐτῆς βαλλομένου πρὸς πεντεκαίδεκα ὕδατος ἐλαίου μιγνυμένου συμμέτρου, μετὰ δὲ τὸ ἀνοιδῆσαι καὶ ὄξους,

οζʹ *cf. Oribasius, Coll. II 24—25; Galenus, De alim. fac. II 68—69*
οηʹ *cf. Galenus, De alim. fac. I 2, 6, 8—11, 14, 17* 10—13 *cf. Oribasius, Coll. I 5* 13—14 ? 14—15 *Oribasius, Coll. I 4* 15—19 *cf. ib. I 8* 20 *ib. I 6* 20—22 *cf. ib. I 10* 24 *cf. ib. I 10* 24—26 *cf. ib. I 12* 26—27 *cf. ib. I 14* 27—28 *cf. ib. I 15* 29 *cf. ib. I 16*

3 μυκῆτες D 4 βωλῖται] ABFHJ: βολῖται CDGK 6 ἀπέθανον] DK: θανάσιμοι ABCFGHJ 7 βολῖται CDGK 9 Περὶ] περὶ τῶν J 12 ὅλος D 13 τῇ] DK: *om.* ABCFGHJ παρέοικε] παραπλήσιος D 14 ἐφεκτικός ἐστιν K 17 τροφιμώτατος J δὲ] τε CF 24 ψαφαρός D τέ] DJK: *om.* ABCFGH 25 τε *om.* K φυσωδεστέρα] δυσωδεστέρα J 28 κατὰ] καὶ K 30 αὐτῆς] DK: αὐτῇ ABCFGHJ 31 καταμιγνυμένου D

ἑφθῆς δὲ ἀκριβῶς γενομένης ἐπεμβλητέον τοὺς ἅλας λεπτούς, ἐπί τινων δὲ καὶ πράσου μικτέον αὐτῇ καὶ ἀνήθου· παραπλησίως δὲ τῇ πτισάνῃ καὶ ὁ βρόμος τε καὶ ὁ χόνδρος ἕψεται.

## οθʹ. Περὶ ὀσπρίων.

Τῶν δὲ ὀσπρίων ἡ μὲν φακὴ κακόχυμός τέ ἐστι καὶ μελαγχολική· ἀλλ᾽ αὐτὴ μέν, καὶ μάλιστα δὶς ἑψηθεῖσα, γαστρός ἐστιν ἐφεκτική, τὸ δὲ ζέμα αὐτῆς μετὰ ἐλαίου τε καὶ γάρου πινόμενον προτρέπει γαστέρα, ἐπιμικτέον δὲ αὐτῇ διὰ τὸ φυσῶδες θύμβρας ἢ γλήχωνος. οἱ δὲ κύαμοι κοῦφοι καὶ φυσώδεις καὶ ῥυπτικοί· ὁ δὲ κύαμος ὁ Αἰγύπτιος τοῦ παρ᾽ ἡμῖν ὑγρότερός τέ ἐστι καὶ περιττωματικός. ὁ δὲ πίσος χαῦνος μέν, οὐ μὴν οὕτω φυσώδης. οἱ δὲ ἐρέβινθοι φυσώδεις καὶ ῥυπτικοὶ καὶ σπέρματος γεννητικοὶ καὶ συνουσιαστικοί, λίθων θρυπτικοί· πεφρυγμένοι δὲ τὸ μὲν φυσῶδες ἀποτίθενται, δύσπεπτοι δέ εἰσιν. οἱ δὲ θέρμοι δύσπεπτοί τε καὶ δυσυποβίβαστοι καὶ ὠμοῦ χυμοῦ γεννητικοί. ἡ δὲ τῆλις θερμαίνει τε καὶ προτρέπει γαστέρα πρὸ τροφῆς λαμβανομένη. ὦχροι δὲ καὶ φάσηλοι προαποβραχέντες, ὥστε καὶ ῥίζας φῦναι, γαστρός εἰσιν ὑπακτικοὶ πρὸ τροφῆς μετὰ γάρου λαμβανόμενοι καὶ τρόφιμοι μᾶλλον τήλεως. οἱ δὲ φάσηλοι καὶ δόλιχοι καλούμενοι ὅλοι σὺν τοῖς λοβοῖς χλωροὶ ἐσθιόμενοι περιττωματικώτεροι γίνονται.

## πʹ. Περὶ ὡραίων.

Ἡ κολόκυντα ψύχει τε καὶ ὑγραίνει καὶ ὑπάγει γαστέρα, ἔστι δὲ ὀλιγότροφος. ὁ δὲ πέπων ὅλως μὲν κακόχυμός τέ ἐστι καὶ ψυχρὸς καὶ ὑγρὸς καὶ ἐμετικός, μὴ πεφθεὶς δὲ καὶ χολέραν ἐργάζεται, ἔστι δὲ καὶ ῥυπτικὸς ἱκανῶς· τὸ δὲ σπέρμα αὐτοῦ διουρητικόν τέ ἐστι καὶ τῶν ἐν νεφροῖς λίθων θρυπτικόν. ὁ δὲ μηλοπέπων ἥττονα τοῦ πέπονος ταῦτα πάντα κέκτηται. ὁ δὲ σίκυος ἧττον μὲν τοῦ πέπονος ψυχρὸς καὶ ὑγρός,

οθʹ *cf. Galenus, De alim. fac. I 18—25, 28* 5—8 *cf. Oribasius, Coll. I 17* 8—10 *cf. ib. I 18* 10—11 *cf. ib. I 19* 11—13 *cf. ib. I 20* 13—14 *cf. ib. I 21* 14—15 *cf. ib. I 22* 16—18 *cf. ib. I 23* 18—19 *cf. ib. I 26* πʹ *cf. Galenus, De alim. fac. II 2—6* 21—22 *Oribasius, Coll. I 35* 22—25 *cf. ib. I 36* 25—26 *cf. ib. I 37* 26 *sqq. cf. ib. I 38*

1 γενομένης] CDK: γινομένης BFGH: γιγνομένης AJ ἐπε|βλητέον B: ἐπιβλητέον K τοὺς *om.* D 2 αὐτῇ] ἐν (*e corr.*) αὐτῇ K 5 τέ *om.* B 6 ἐστιν *om.* D 7 τὴν γαστέρα προτρέπει D 10 πίστος FK μέν] μέν ἐστιν D 12 λίθων] καὶ λίθων CD 14 δυσυποβίβαστοι] D: δυσυπερβίβαστοι ABCFGHJK 16 φάσιλοι CH: φάσουλοι F *et e corr.* J προαποβραχέντες] *post ras. 1 litt.* K: προβραχέντες A: ἀποβραχέντες DF ῥίζαν D φυῆναι CF 18 φάσιλοι CHK: φάσουλοι FJ 19 περιττωματικοὶ K 21 κολόκυνθα DB² 22 ὅλως] AFG, *corr. ex* ὅλος CD: ὅλος BHJK ἐστι] *om.* D: *mut. in* ἐστὶ C²: ἐστιν H 23 ὑγρὸς] ὑγρός ἐστι D καὶ (*sec.*) *om.* D ἔστι . . . ἱκανῶς *(24)*] DFK: *om.* ABCGHJ 24 ἐστι *om.* K: ἐστιν H 25 ὁ] ἔστι δὲ ὅλως (ὅλος HJ) καὶ ῥυπτικὸς ἱκανῶς ὁ ABCFGHJ ἥττονα] -α *in ras.* J: ἧττον αὐτοῦ D 25. 26 ταῦτα πάντα] CDFGK: πάντα ταῦτα ABHJ

μᾶλλον δὲ διουρητικὸς καὶ δύσπεπτος καὶ κακόχυμος, κἂν πεφθῇ. καθόλου δὲ πᾶσα ὀπώρα ψύχει τε καὶ ὑγραίνει καὶ ὀλιγότροφός ἐστι καὶ κακόχυμος.

## παʹ. Περὶ τῶν ἀπὸ τῶν δένδρων καρπῶν.

1 Τὰ μὲν σῦκα καὶ αἱ σταφυλαὶ οἷον κεφάλαια τῆς ὅλης ὀπώρας εἰσίν· καὶ γὰρ ἔλαττόν εἰσι κακόχυμα καὶ τρέφουσι μᾶλλον. αὐτῶν δὲ τούτων τὰ μὲν σῦκα μᾶλλόν εἰσιν εὐχυμότερα καὶ τροφιμώτερα καὶ γαστρὸς ὑπακτικὰ διουρητικά τε καὶ νεφρῶν ἐκκαθαρτικά, καὶ μάλιστα τὰ πάνυ πέπειρα καὶ αὐταὶ αἱ ἰσχάδες, φυσώδεις δὲ καὶ αἵματος οὐ χρηστοῦ γεννητικαί· διὸ καὶ φθεῖρας ἀπογεννῶσιν ἐν πλείονι χρήσει γιγνόμεναι. αἱ δὲ σταφυλαὶ μὴ διαχωρούμεναι μὲν οὐδὲ πέττονται, ἀλλὰ καὶ ὠμὸν ἀπογεννῶσι χυμόν, διαχωρούμεναι δὲ μετριώτεραι. αἱ δὲ σταφίδες θερμότεραι τῶν σταφυλῶν καὶ εὐστομαχώτεραι καὶ μᾶλλον τρέφουσιν, ἧττον δὲ γαστρὸς ὑπακτικαί. τὰ δὲ συκάμινα, ἃ δὴ καὶ μόρα καλεῖται, ὑγραίνουσι μὲν πάνυ, ψύχουσι δὲ μετρίως, καὶ γαστέρα ὑπάγουσι πρῶτα ληφθέντα, καὶ οὐδὲ πάνυ κακοστόμαχα, ὀλιγότροφα δέ. τῶν δὲ κερασίων τὰ μὲν γλυκύτερα γαστέρα μὲν ὑπάγει, κακοστόμαχα δέ ἐστι, τὰ δὲ στύψεως μετέχοντα κακοστόμαχα μὲν ἧττον, οὐχ ὑπέρχεται δέ. ὁ δὲ λόγος οὗτος καὶ ἐπὶ σταφυλῆς καὶ μόρων καὶ ἑτέρων ἁρμόσει πλειόνων· καὶ καθόλου τὰ στύφοντα πρῶτα μὲν ἐσθιόμενα τῆς ἄλλης τροφῆς ἢ πινόμενα γαστρός εἰσιν ἐφεκτικά, ὅσοις δὲ δι' ἀτονίαν ἡ γαστὴρ ἐπέχεται, τούτοις προειληφόσι τῶν λαπάττειν πεφυκότων, οἷον λαχάνων ἢ ἰχθύων ἤ τινων τοιούτων, ὕστερον προσφερόμενα τὰ στύφοντα
2 τῷ ῥωννύειν αὐτὴν ἀπωθεῖ κάτω καὶ πρὸς ἔκκρισιν ἐπεγείρει. ὁ δὲ τοῦ κώνου καρπός, ὃς καὶ στρόβιλος καλεῖται, εὔχυμος μέν ἐστι καὶ παχύχυμος καὶ τρόφιμος, οὐ μὴν εὔπεπτος. τὰ δὲ Περσικὰ κακόχυμά τε καὶ ὀξυνόμενα καὶ εὔφθαρτα· διὸ πρῶτα αὐτὰ δοτέον διὰ τὸ ὑποχωρεῖσθαι ἑτοίμως καὶ μὴ διαφθείρεσθαι ἐμμένοντα τῇ γαστρί. τὰ δὲ πρεκόκκιά τε καὶ δοράκινα καὶ Ἀρμένια κρείττονα τῶν Περσικῶν· οὔτε γὰρ ὀξύνεται οὔτε ὡσαύτως διαφθείρεται, εἰσὶ δὲ καὶ ἡδέα. τῶν δὲ μήλων τὰ μὲν γλυκέα τῶν ἄλλων εἰσὶ θερμότερα καὶ εὐανάδοτα, καὶ μάλιστα ὀπτώμενα ἢ ἑψόμενα, τὰ δὲ ὀξώδη ψυχρότερα μέν, τμητικὰ

παʹ *cf. Galenus, De alim. fac. II 7—12, 17, 19—33, 35—38* 5—6 *Oribasius, Coll. I 41* 6—10 *cf. ib. I 39* 11—12 *cf. ib. I 41* 12—14 *cf. ib. I 42* 14—16 *cf. ib. I 43* 24—26 *cf. Galenus VI 771* 26—28 *cf. Oribasius, Coll. I 47* 28—30 *cf. ib. I 48* 30 *sqq. cf. ib. I 49—50*

4 τῶν *(alt.) om.* A 6 εἰσίν] ἐστί *comp.* F 8 καθαρτικά D 9 καὶ αὐταὶ αἱ] αἱ δὲ D: καὶ αὐταὶ K δὲ *om.* D οὐ] *corr. ex* εὐ- B: εὐ- H 11 μὴ ... σταφίδες *(12) om.* D 13 τῶν σταφυλῶν *om.* D 17 μὲν *(pr.) om.* K γαστρὸς CFG μὲν *(alt.) om.* CFG: μᾶλλον D ὑπακτικά CFG 19 ἁρμόζει D 22 προσειληφόσι K τῶν] τι τῶν DK πεφυκότων] ἐπιχειρούντων K 29 πρεκόκκια] ABJK: πρέκόκια CFG: προκόκκια D: πρεκκόκια H δοράκινα] AHJK: δοράκηνα D: ῥοδάκινα BCFGA$^3$, *e corr.* J 30 δὲ *(alt.)*] DK: *om.* ABCFGHJ 32 τὰ δὲ ... χυμῶν *(p. 59, 1)*] *post* Κυδώνια *p. 59, 2 hab.* D τμητικὰ] DK: τμητικώτερα ABCFGHJ

δὲ τῶν ἐν γαστρὶ χυμῶν, τὰ δὲ αὐστηρὰ ῥωστικά τε στομάχου καὶ γαστρὸς ἐφεκτικά, καὶ τούτων ἔτι μᾶλλον τὰ Κυδώνια. τῶν δὲ ἀπίων αἱ μεγάλαι καὶ πέπειροι πρὸς τούτοις καὶ τροφιμώτεραί εἰσιν. αἱ δὲ ῥοιαὶ ψύχουσί τε καὶ ὀλιγότροφοί εἰσι. τὰ δὲ μέσπιλα καὶ οὖα στυπτικώτερά τε καὶ ῥεούσῃ γαστρὶ ἐπιτήδεια. οἱ δὲ φοίνικες εὐστόμαχοι μέν, εἰ μὴ λίαν ὦσι λιπαροί, γαστρὸς δὲ ἐφεκτικοὶ καὶ παχέων καὶ γλίσχρων χυμῶν γεννητικοὶ καὶ κεφαλαλγεῖς. τῶν δὲ ἐλαιῶν αἱ μὲν δρυπεπεῖς 81 κακοστόμαχοί τε καὶ λιπαροῦ χυμοῦ γεννητικαί, αἱ δὲ ἁλμάδες τε καὶ κολυμβάδες πρὸ τροφῆς ἐσθιόμεναι εὐόρεκτοί τέ εἰσι καὶ γαστρὸς ὑπακτικαί, καὶ πλέον αἱ δι' ὄξους τε καὶ δι' ὀξυμέλιτος σκευαζόμεναι. τῶν δὲ καρύων τὰ μὲν βασιλικὰ τῶν λεπτοκαρύων ὀλιγοτροφώτερα καὶ μᾶλλον εὐστόμαχα, τὰ δὲ χλωρὰ κάρυα ὑγρότερά τέ ἐστι καὶ γαστρὸς ὑπακτικά· καὶ ξηρὰ δέ, εἴ τις ἀποβρέξας ἐν ὕδατι τὸν ὑμένα αὐτῶν τὸν ἔνδον περιλεπίσοι, παραπλήσια τοῖς χλωροῖς αὐτὰ ἐργάσεται. τὰ δὲ ἀμύγδαλα τμητικῆς τε καὶ λεπτυντικῆς ὑπάρχει δυνάμεως· διὸ σπλάγχνων καὶ θώρακός εἰσιν ἐκκαθαρτικά, καὶ ἔτι μᾶλλον τὰ πικρά. ὁμοίως δὲ καὶ τὰ πιστάκια, καὶ πλέον ἥπατος ἐκφρακτικά. τὰ δὲ Δαμασκηνὰ γαστέρα ὑπάγει πρὸ τροφῆς ἐσθιόμενα ὠμά τε καὶ ἐν μελικράτῳ ἑψηθέντα. τὰ δὲ Σηρικὰ δύσπεπτά τε καὶ κακοστόμαχα καὶ ὀλιγότροφα. τὰ δὲ κεράτια δύσπεπτα καὶ ἐπισχετικὰ γαστρὸς καὶ κακόχυμα. τὰ δὲ συκόμορα ψύχει τε καὶ ὑγραίνει σαφῶς. τοῦ δὲ κιτρίου τὸ μὲν ἔξω δριμὺ καὶ δύσπεπτον, ἡ δὲ οἷον σὰρξ τρόφιμος μέν, καὶ αὐτὴ δὲ δύσπεπτος· τὸ δὲ ἐντός, εἴτε ὀξῶδες εἴτε ὑδατῶδες εἴη, ἱκανῶς ψύχει. αἱ δὲ βάλανοι τρόφιμοι μὲν οὐκ ἔλαττον τῶν σιτωδῶν, δύσπεπτοι δὲ καὶ παχύχυμοι καὶ βραδύποροι. τὰ δὲ κάστανα κατὰ πάντα τούτων ἀμείνω.

2—4 *cf. Oribasius, Coll. I 51* 4—5 *cf. ib. I 52* 5—7 *cf. ib. I 53* 7—10 *cf. ib. I 54* 11—14 *cf. ib. I 55* 14—16 *cf. ib. I 56* 17 *cf. ib. I 57* 17—19 *cf. ib. I 58* 19—20 *cf. ib. I 59* 20 *cf. ib. I 60* 21 *cf. ib. I 62* 21—24 *cf. ib. I 64*

1 ῥωστικά τε] K: μὲν ῥωστικὰ CFG: ῥωστικὰ μὲν ABDHJ 4 ψύχουσαί G, *et* C *sed corr.* εἰσι] D: *om.* ABCFGHJK 5 τε *om.* K 6 δὲ] τε K 7 δρυπετεῖς J 8 τε *(alt.) om.* J 10 δι' *(alt.) om.* DJ 12 τέ *om.* AJ 13 καὶ ξηρὰ δὲ] D: καὶ τὰ ξηρὰ δὲ K: τὰ ξηρὰ δὲ AH: τὰ δὲ ξηρὰ CFGJ *et seq. ras. 3 litt.* B εἴ *om.* D τὸν] εἰ τὸν D αὐτὸν K 14 περιλεπίσοι] αὐτῶν περιλεπίσοι H: περιλεπύσῃ C: περιλεπίσει J: ἐπιλεπίσει F ἐργάζεται F: ἐργάσηται CK 15 τε] DK: *om.* ABCFGHJ διὸ] διὸ καὶ K 16 σπλάχνων CF ἔτι *om.* D 17 δὲ *(pr.) om.* D καὶ *(alt.) om.* D ἥπατος] ἥπατός τε καὶ γαστρός ἐστιν D: ἥπατος καὶ γαστρὸς F 19 Σηρικὰ] σιρικὰ ABGHJK: σειρικὰ D: συρικὰ CF, *e corr.* J 20 καὶ *(pr.)*] τε καὶ H 21 δὲ *(pr.)*] γὰρ FG κίτρου FJK *et corr. ex* κιτρίου B 22 οἷον *om.* K 25 παχύχυμοι] BCDGHKJ[s]: κακόχυμοι AFJ

### πβʹ. Περὶ ζῴων, καὶ πρῶτον περὶ τῶν πτηνῶν.

Ἡ τῶν πτηνῶν ζῴων τροφὴ τῆς ἀπὸ τῶν πεζῶν, καὶ μάλιστα τῶν ὑείων, ἐλάττων μέν ἐστιν, εὐπεπτοτέρα δέ, καὶ μᾶλλον ἀπὸ τοῦ πέρδικος καὶ ἀτταγῆνος καὶ περιστερᾶς νέας καὶ ἀλεκτορίδος καὶ φασιανοῦ. ἡ δὲ τῶν κιχλῶν καὶ κοττύφων καὶ τῶν μικρῶν στρουθίων, ἐν οἷς εἰσι καὶ οἱ πυργῖται, σκληροτέρα τυγχάνει, καὶ τούτων ἔτι μᾶλλον ἥ τε τῆς τρυγόνος καὶ φάττης καὶ νήττης· πολὺ δὲ δυσπεπτοτέρα καὶ σκληροτέρα καὶ ἰνωδεστέρα ἡ τοῦ ταώ. ἡ δὲ τῶν χηνῶν καὶ στρουθοκαμήλων σὰρξ περιττωματική τε καὶ δυσπεπτοτέρα πάντων τῶν προειρημένων πλὴν τῶν πτερῶν· ταῦτα γὰρ οὐχ ἧττον τῶν ἄλλων ὀρνίθων εἰσὶν εὔχυμα. ἡ δὲ τῶν γεράνων ἰνώδης τε καὶ σκληρά. καθόλου δὲ τὰ μὲν νέα τῶν παλαιῶν ὑγρότερά τε καὶ εὐπεπτότερα καὶ τροφιμώτερα καὶ κατὰ γαστέρα ὑπερχόμενα, τὰ δὲ ἑφθὰ τῶν ὀπτῶν τε καὶ ταγηνιστῶν ὁμοίως διενήνοχεν· τὰ δὲ ἀπὸ ξηρῶν καὶ ὀρεινῶν τόπων τῶν ἐν ἕλεσι τρεφομένων εὐπεπτότερά τέ ἐστι καὶ ἀπέριττα.

### πγʹ. Περὶ ᾠῶν.

Τὰ μὲν τῶν ἀλεκτρορίδων τε καὶ φασιανικῶν [ᾠὰ] κρείττονα πάντων ἐστί, τὰ δὲ τῶν χηνῶν τε καὶ στρουθοκαμήλων οὐ χρηστά. πάντων δὲ τὰ νέα τῶν παλαιῶν πολὺ κρείττω, καὶ τὰ μὲν τρομητὰ τρόφιμα μᾶλλον, τὰ δὲ ῥοφητὰ μᾶλλον ὑπέρχεται καὶ τὰς ἐν φάρυγγι τραχύτητας ἐκλεαίνει, τὰ δὲ ἄλλα πάντα δύσπεπτά τε καὶ βραδύπορα καὶ παχύχυμα πλὴν τῶν καλουμένων πνικτῶν· ταῦτα δὲ γίνεται ἀναδευθέντα ὠμὰ μετὰ γάρου καὶ οἴνου καὶ ἐλαίου καὶ ἐν διπλώματι συμμέτρως πηγνύμενα· τὰ τοιαῦτα γὰρ εὔπεπτά τε καὶ εὔχυμα. πάντων δὲ μοχθηρότερα τὰ ταγηνιστά.

### πδʹ. Περὶ πεζῶν ζῴων.

Τῶν πεζῶν ζῴων τὰ μὲν ὕεια κρέα τροφιμώτερα τῶν ἄλλων ἐδεσμάτων ἐστίν, διότι καὶ οἰκειότητά τινα κέκτηνται πρὸς τὰ ἀνθρώ-

πβʹ *cf. Aëtius II 130—132; Galenus, De alim. fac. III 19—20*
2—8 *Oribasius, Coll. II 42* 8—11 *ib. II 43* 11—13 *cf. ib. II 42*
πγʹ *ib. II 45. cf. Aëtius II 134; Galenus, De alim. fac. III 22.*
πδʹ *Oribasius, Coll. II 28; cf. Aëtius II 121; Galenus, De alim. fac. III 2*

3 ὑείων] ADJC²: ὑίων CGHK *et mut. in* ὑῶν BF ἀπὸ] *mut. in* ἡ ἀπὸ DJ 5 κοτύφων K: κοσύφων F: τῶν κοττύφων D 8 ταῶι A: ταῶνος A³H³ 10 οὐχ] *e corr.* C: καὶ F ἧττον] DH (B? *evan.*): ἧττω ACGJK: χυλοῦ τὸν (*corr. ex* τῶν) F 12 μὲν] *seq. ras. 3 litt.* B, *om.* D τε *om.* K 13 δὲ] τε D 15 τέ *om.* D ἐστι] DK: *om.* ABCFGHJ ἀπέριττα] DK: ἀπέριττά εἰσιν BCGH: ἀπέριττά εἰσι F: ἀπεριττότερά ἐστιν AJ 17 τε] DK: *om.* ABCFGHJ φασιανῶν DF, *e corr.* A ᾠὰ *om.* D *Or* 18 οὐ] ᾠὰ οὐ C 19 δὲ] τε K κρεῖττον HK 20 μᾶλλον *(pr.) om.* F τὰ δὲ ῥοφητὰ] καὶ τὰ ῥοφητὰ δὲ AJ 24 τε *om.* K 27 ὕεια] ADJ, *e corr.* B: ὕια CGHK: ὕα F 28 ἐστίν] K: ἐστί D: εἰσίν ACH, -ν *eras.* BG: εἰσί FJ ἀνθρώπια CG: ἀνθρώπινα BH

πεια cώματα κατὰ γεῦcιν καὶ ὀcμήν, ὥc τινεc κατ’ ἄγνοιαν ἀνθρωπίνων γευcάμενοι κρεῶν ἐγνώκαcιν· ἡ δὲ ἐξ ἐκείνων τροφὴ γλίcχρα καὶ ἀδιαφόρητοc. ἡ δὲ τῶν προβάτων περιττωματικὴ καὶ κακόχυμοc. ἡ δὲ τῶν αἰγῶν δριμεῖά τε καὶ κακόχυμοc· χειρίcτη δὲ ἡ τῶν τράγων πρόc τε εὐχυμίαν καὶ πέψιν. ἡ δὲ τῶν βοῶν μελαγχολική. ἡ δὲ τῶν λαγωῶν παχύχυμοc μέν, ἧττον δὲ τῆc τῶν προβάτων τε καὶ βοῶν. ἡ δὲ τῶν ἐλάφων cκληρὰ καὶ δύcπεπτοc. καθόλου δὲ τὰ μὲν νέα ὑγρότερά τε καὶ μαλακώτερα καὶ εὐπεπτότερα τῶν παλαιῶν καὶ τὰ εὐνοῦχα τῶν ἐνόρχων καὶ τὰ εὔτροφα τῶν ἰcχνῶν.

## πε΄. Περὶ τῶν ἐν τοῖc ζῴοιc μορίων.

1 Τὰ μὲν ἄκρα νευρώδη τέ ἐcτι καὶ ἀπίμελα καὶ ἄcαρκα καὶ διὰ τοῦτο γλίcχρα τε καὶ ὀλιγότροφα καὶ ὑπακτικὰ γαcτρὸc πλὴν τῶν πτηνῶν διὰ τὴν πολλὴν ξηρότητα. τὰ δὲ ῥύγχη καὶ τὰ ὦτα χονδρώδη καὶ δύcπεπτα. ἡ δὲ γλῶττα χαύνη καὶ ἄναιμοc καὶ ὀλιγότροφοc. οἱ δὲ ἀδένεc ἡδεῖc τε καὶ ψαφαροί, ἡδύτεροι δὲ οἱ ἐν τοῖc μαcτοῖc, καὶ μάλιcτα τῶν χοίρων, ὅταν πλήρειc ὦcι γάλακτοc· οὗτοι δὲ καὶ τρέφουcιν οὐχ ἧττον τῶν cαρκῶν. οἱ νεφροὶ δὲ καὶ ὄρχειc βρωμώδειc τε καὶ δύcπεπτοι, οἱ δὲ τῶν cιτευτῶν ἀλεκτρυόνων ἡδεῖc τε καὶ χρηcτὴν τροφὴν παρέχουcι τῷ cώματι, ὥcπερ οὖν οἱ τῶν ταύρων τε καὶ τράγων καὶ κριῶν δύcπεπτοι καὶ κακόχυμοι. ὁ δὲ ἐγκέφαλοc φλεγματικόc τε καὶ παχύχυμοc καὶ βραδυπόροc καὶ δύcπεπτοc καὶ κακοcτόμαχοc καὶ ναυτιώδηc· πεττόμενοc δὲ καλῶc ἱκανῶc ἐcτι τρόφιμοc. ὁ δὲ μυελὸc λιπαρόc τε καὶ ἡδύτεροc ἐγκεφάλου, τὰ δὲ ἄλλα παραπλήcιοc. πιμελὴ δὲ καὶ cτέαρ ὀλιγότροφα καὶ κακοcτόμαχα. καρδία δὲ καὶ ἧπαρ παχύχυμά τε καὶ δύcπεπτα καὶ βραδυπόρα· τὸ δὲ τῶν χοίρων ἧπαρ ἄμεινον. cπλὴν δὲ κακόχυμόc τε καὶ μελαγχολικόc. ὁ δὲ πνεύμων εὐπεπτότεροc μὲν ὡc χαῦνοc, ἀτροφώτεροc δὲ καὶ φλεγματικόc. κοιλία

πε΄ *cf. Aëtius II 122—129; Galenus, De alim. fac. III 4—14* 11—13 *cf. Oribasius, Coll. II 30* 13—14 *cf. ib. II 31* 14—17 *cf. ib. II 32* 17—20 *cf. ib. II 33—34* 20—22 *cf. ib. II 35* 22—23 *cf. ib. II 36* 24 *ib. II 38* 24—27 *cf. ib. II 39* 27 *sqq. cf. ib. II 40*

2 ἐκείνων] αὐτῶν K 3 δυcδιαφόρητοc DF: διαφόρητοc CG: ἀδιαχώρητοc A, *mrg.* C² ἡ *(alt.)* . . . κακόχυμοc *(4) mrg.* K: *post* πέψιν *lin. 5 hab.* D (ἡ τῶν αἰγῶν δέ) 4 τε] τέ ἐcτιν K δὲ] τε F 6 τε *om.* AJ 7 μὲν *om.* D τε *om.* K 10 ἐν *om.* K 12 τε *om.* F 14 καὶ *(sec.)*] τε καὶ K 15 ἡδεῖc τε] ἥδιcτοι D: ἡδεῖc *in ras.* J 16 τῶν] οἱ τῶν D 17 ἧττον] *corr. ex* ἥττων J: ἥττω K νεφροὶ δέ] *corr. ex* νεφροί τε K: δὲ νεφροὶ CFG καὶ] καὶ οἱ D βρωμώδειc] D: βρομώδειc ABCFGHJK 18 δύcπεπτοι] δύcπεπτοι καὶ κακόχυμοι K ἡδεῖc τε] ἡδίcτην F 18. 19 τροφὴν χρηcτὴν C 19 τῶν *om.* J καὶ] καὶ τῶν K 20 καὶ *(alt.)*] δὲ καὶ A 21 τε *om.* CFG παχύχυμοc] παχύχυμοc καὶ κακόχυμοc J καὶ βραδυπόροc *om.* F καὶ δύcπεπτοc *om.* D 22 ἱκανόc BHJK, *corr.* K 23 λιπαρότερόc H παραπληcίωc AF: παραπλήcια K 24 δὲ *(alt.)*] τε H 26 ἄμεινον] DF: ἀμείνω ABCGHJK ὁ δὲ πνεύμων] DK: πνεύμων δὲ ABCFGHJ 27 μὲν] τε F καὶ] ὡc CFG *et in ras.* J

δὲ καὶ μήτρα καὶ ἔντερα σκληρὰ καὶ δύσπεπτα καὶ φλέγματος γεννητικά. καθόλου δὲ ἡ ἀπὸ τῶν ἀγρίων ζῴων τροφὴ τῆς τῶν ἡμέρων ξηροτέρα τέ ἐστι καὶ μᾶλλον ἀπέριττος.

2 ἅπαν μὲν αἷμα δύσπεπτόν ἐστι, μάλιστα δὲ τὸ παχὺ καὶ μελαγχολικόν, οἷόν περ ὑπάρχει τὸ τῶν βοῶν. τὸ δὲ τῶν λαγωῶν ὡς ἥδιστον τετίμηται, καὶ πολλοῖς δι᾽ ἔθους ἐστὶν ἑψεῖν αὐτὸ σὺν τῷ ἥπατι, τισὶ δὲ καὶ μετὰ τῶν ἄλλων σπλάγχνων· ἔνιοι δὲ καὶ τὸ τῶν νέων ὑῶν ἐσθίουσι. τὸ δὲ τῶν αἰγῶν αἷμα καὶ Ὅμηρος οἶδεν ὑπό τινων ἐσθιόμενον.

## πϛʹ. Περὶ γάλακτος.

Τὸ δὲ γάλα πεττόμενον μὲν τρόφιμόν ἐστιν, οὔλων δὲ καὶ ὀδόντων βλαπτικόν· ὅθεν μετὰ τὴν προσφορὰν αὐτοῦ δεῖ πρῶτον μὲν μελικράτῳ, ἔπειτα δὲ οἴνῳ στύφοντι τὸ στόμα κλύζεσθαι· ἔστι δὲ καὶ κεφαλαλγὲς καὶ φυσῶδες ὑποχονδρίων τε καὶ γαστρὸς καὶ τῶν ἐν νεφροῖς λίθων γεννητικόν. καὶ τὸ μὲν ὑγρότερον ἧττον μὲν τρέφει, μᾶλλον δὲ γαστρός ἐστιν ὑπακτικόν· τὸ δὲ παχύτερον ἀνάπαλιν μᾶλλον μὲν τρέφει, ἧττον δὲ ὑπέρχεται. σύμμετρον δὲ τῇ συστάσει τὸ τῆς αἰγός ἐστιν, ὥσπερ γε τὸ τοῦ προβάτου παχύτερον, καὶ τὸ μὲν εὐθὺς μετὰ τὴν ἀπότεξιν λεπτότερον, προκόπτοντος δὲ τοῦ χρόνου παχύτερόν τε καὶ μοχθηρότερον.

## πζʹ. Περὶ γαλακτοποσίας.

Τῷ γαλακτοποτοῦντι τῶν ἄλλων σιτίων ἀφεκτέον ἐστίν, ἔστ᾽ ἂν πεφθῇ τε καὶ διαχωρήσῃ κάτω. ἄμεινον οὖν ἕωθεν πίνειν νεόβδαλτον καὶ ἀσιτεῖν ἐπ᾽ αὐτῷ καὶ τῶν πόνων τῶν ἄγαν ἀφαιρεῖν τηνικαῦτα, ὅτι πονοῦσιν ἀνάγκη ὀξύνεσθαι· ἀλλ᾽ ἡσυχῇ περιπατῆσαι ἄμεινον καὶ μεταξὺ ἀγρύπνως ἀναπαύεσθαι· οὕτω γὰρ ποιοῦντι τὰ πρῶτα διαχωρεῖ· διαχωρήσαντος δὲ ἄλλο πίνειν καί, εἰ τοῦτο διαχωρήσει, ἄλλο. κατ᾽ ἀρχὰς μὲν οὖν καθαίρει χρηστῶς οὐδὲν μὲν πολὺ τοῦ ἄλλου ὀγ-

2—3 *cf. Oribasius, Coll. II 41* 4—8 *Galenus, De alim. fac. III 18* 8 Ὅμηρος] *Od. XVIII 44 sq.* πϛʹ *cf. Oribasius, Coll. II 59; Ad Eunap. I 52; Aëtius II 87; Galenus, De alim. fac. III 15* πζʹ *Oribasius, Synops. IV 40; Coll. II 61. Aëtius II 93, 95*

2 τροφὴ ζῴων FG 3 τέ *om.* D 4 μὲν] μὲν οὖν D ἐστι] τε CFG: ἐστιν H τὸ] *bis* F: καὶ K 7 ὑῶν] DF: ὑίων CGHK *et e corr.* B: ὑείων AJ 9 Περὶ γάλακτος] CDG: *om.* F: περὶ γάλακτος καὶ τοῦ τῶν πεζῶν αἵματος ABHJK *(qui titulus ante lin. 4 ponendus erat)* 11 ὅθεν] ὅθεν καὶ H μὲν] DK: *om.* ABCFGHJ 12 δὲ *(pr.) om.* AHJ, *supra scr.* B τὸ *om.* A, *supra scr.* J[3] 14 γεννητικόν] θρυπτικόν F ἧττω K 15 ἀνάπαλιν] τὸ ἀνάπαλιν K 16 μὲν *om.* F δὲ *(alt.) om.* F[3] 17 γε *om.* D τὸ *(pr.)*] καὶ C τὸ μὲν εὐθὺς] εὐθὺς μὲν D 19 τε *om.* F 20 πζʹ *om.* D 21 ἔστ᾽] ἔσθ᾽ F: ἕως *e corr.* B 23 καὶ τῶν] τῶν δὲ D 24 ὅτι] ὅτι τοῖς D ἀλλ᾽ . . . περιπατῆσαι] K, *mrg.* B[2]: ἀλλ᾽ ἡσυχῇ περιπατεῖν F: διόπερ ἡσυχῇ περιπατῆσαι D: *om.* ABCGHJ ἄμεινον . . . ἀναπαύεσθαι *(25) om.* G, *mrg.* C[2] 25 ἀγρύπνως] DK: ἀγρυπνίας F: ἀγρύπνους ABC[2]HJ ἀναπαύσασθαι *e corr.* D 27 χρηστοὺς A: *om.* F

κου, ὅσα δὲ ἐν τῇ κοιλίᾳ ἔσω ἐστίν· μετὰ δὲ τοῦτο ἤδη εἰσέρχεται εἰς τὰς φλέβας καὶ τρέφει κάλλιστα καὶ οὐκέτι διαχωρεῖ. τοῖς δὲ χολώδεσι ῥεύμασι, καὶ ὅσαι συντήξεις ἐπὶ γαστέρα συννεύουσιν, ἕψοντα διδόναι τοῦ γάλακτος, ἕψειν δὲ τὸ μὲν πρῶτον ἡσυχῇ καὶ ἐπ' ὀλίγον, ὡς μέρος μέν τι διαχωρῆσαι, μέρος δέ τι στεχθῆναι, μετὰ δὲ ἔτι μᾶλλον καὶ μᾶλλον ἕψειν φυλασσόμενον μήτε κατακαίειν μήτε τυρὸν ἐξ αὐτοῦ ποιεῖν. φυλακὴ δὲ ἀρίστη μαλακῶς τε ἕψειν καὶ τῇ κινήσει τὸ ἐφιστάμενον ἀποξύειν πάντοθεν· κινεῖν δὲ νάρθηκι λείῳ καὶ λεπτῷ καί, ἤν τι ζέσῃ τοῖς χείλεσι, καὶ τοῦτο σπόγγῳ καθαίρειν· πολλάκις γὰρ ἐνθένδε καὶ τὸ ἄλλο διεφθάρη. ἕψειν οὖν, ὡς εἴρηται, τὸ γάλα, μέχρι παχύτερον ὁμαλῶς καὶ γλυκύτερον τοῦ ὠμοῦ γένηται. καὶ διὰ τῆς τῶν πεπυρακτωμένων δὲ κοχλάκων ἐν τῷ γάλακτι καθέσεως ἐκπίνεταί τε καὶ δαπανᾶται τὸ ἐν αὐτῷ λεπτόν τε καὶ ὀρῶδες. καὶ τοῦτο δὲ τοῖς τῆς κοιλίας ῥεύμασι, καὶ μάλιστα τοῖς χολώδεσιν, ἁρμόζει.

## πη'. Περὶ τοῦ σχιστοῦ γάλακτος.

Ἑψήσει σφοδροτέρᾳ διὰ πλείονος ἀκάπνου πυρὸς διακρίνεται τὸ ὀρῶδες τοῦ γάλακτος ἀπὸ τοῦ τυρώδους, εἶτα σειροῦται δι' ἠθμοῦ ἢ ῥάκους ἀκριβῶς, καὶ μίγνυται τῷ ὀρώδει μέλιτος τὸ σύμμετρον ἢ ὀξυμέλιτος ἢ ἁλῶν, καὶ δίδοται πρὸς ὑπαγωγὴν γαστρός, τοῖς μὲν ἀκμάζουσιν ἄχρι δύο ξεστῶν, τοῖς δὲ νεωτέροις μὴ ἔλαττον ξέστου. τὸ δὲ διὰ τῆς τῶν πεπυρακτωμένων κοχλάκων ἢ σιδήρων καθέσεως παχυνόμενον γάλα πρός τε δυσεντερίας καὶ τὰ κατὰ γαστέρα ῥεύματα καλῶς ἂν δοθείη.

## πθ'. Περὶ τυροῦ.

Πᾶς μὲν τυρὸς δριμύς τε καὶ διψώδης καὶ δύσπεπτος καὶ κακόχυμος καὶ λίθων γεννητικός· ἀμείνων δέ ἐστιν ὁ πρόσφατός τε καὶ χαῦνος καὶ μαλακὸς καὶ ἡδὺς καὶ συμμέτρων ἁλῶν μετέχων, ὁ δὲ ἐναντίος κάκιστος.

11—14 *cf. Galenus VI 682; Aëtius II 95* πη' *cf. Aëtius II 96* πθ' *cf. Oribasius, Coll. II 59; Aëtius II 101*

1 ἐστίν] -ν *eras.* B: ἐστί D: εἰσίν A 2 καλῶς D 3 συννεύουσιν] ACDG, *corr. ex* συνεύουσιν J: συνέ^υουσιν K: συσέ^υουσι H³: *om.* F ἕψοντας D 4 τοῦ γάλακτος] τὸ γάλα D: συνεύουσιν F 5 στεχθῆναι] CG: τεχθῆναι AB, *e corr.* CK: ταιχθῖναι H: τηχθῆναι D: τακῆναι J: χεθῆναι F δὲ] δὲ ταῦτα D 5. 6 καὶ μᾶλλον *om.* D 6 κατακαίειν] *in ras.* F: καίειν D 7 ἐφιστάμενον] DK: ἀφιστάμενον ABCFGHJ 8 ἀποξύειν] D, *e corr.* JK: ἀποξύνειν ABCFGHJK τι] *in ras.* J: τῇ B ζέσῃ] ζέσει K: ἐφίζῃ *Orib. Coll.* 12 κοχλάκων] *e corr.* C: κοχλήκων FG τε *om.* H 13 ὠρόδες H: ὀρρῶδες (-ῶ- *corr. ex* ο) J 16 ἀκάπνου] *corr. ex* καπνοῦ K: καπνοῦ ABH πυρὸς *om.* ABH 17 σειροῦται] D: σιροῦται ABCGHJK: συροῦται F *et e corr.* J δι' ἠθμοῦ] ABH: δι' ἰθμοῦ GK *et e corr.* C: δι' ἰσθμοῦ C *et e corr.* J: διηθούμενον DF ἢ] διὰ D 18 ῥάκκους ABK ἢ ὀξυμέλιτος] DF: *om.* H: ἢ ὀξυμέλιτος τὸ σύμμετρον ABCGJK 19 ἢ *om.* G, *supra scr.* C² 20 μὴ] οὐκ *in ras.* D 21 κοχλάκων] *corr. ex* χαχλίκων C: καχλήκων FG 25 κακόχυμος καὶ δύσπεπτος J 27 συμμέτρως F

## ϙ΄. Περὶ ἰχθύων.

Ὅτι μὲν πᾶς ἰχθὺς ψυχροτέρας τε καὶ ὑγροτέρας ἐστὶ κράσεως, εὔδηλον· ἁπάντων δὲ οἱ πετραῖοι καλούμενοι τῶν ἄλλων εἰσὶν ἀμείνους εὔπεπτοί τε ὄντες καὶ εὔχυμοι καὶ μετρίως ὑγραίνοντες, ὅτε μὴ ἔχωσι σκληρὰν τὴν σάρκα. τῶν δὲ μὴ πετραίων οἱ πελάγιοι πολὺ διαφέρουσι τῶν ἐν ἰλύι τρεφομένων, ἢ ἔνθα ποταμοὶ εἰσβάλλουσι· μοχθηρότεροι δὲ μᾶλλον οἱ ἐν λίμναις τε καὶ λιμνοθαλάσσαις τρεφόμενοι. κατὰ μέρος δὲ ὁ μὲν κέφαλος, ἐπειδὰν πελάγιος ᾖ, μετρίως τέ ἐστιν ἡδὺς καὶ ἧττον δύσπεπτος καὶ εὔχυμος, αἵματος δὲ λεπτομερεστέρου τε καὶ ἀσθενεστέρου γεννητικός· ὁμοίως δὲ καὶ ὁ λάβραξ. ἡ δὲ τρίγλα καὶ αὐτὴ πελάγιος οὖσα σκληροτέρα τε τῶν ἄλλων ἰχθύων ἐστὶ καὶ ψαφαρὰ καὶ εὔπεπτος καὶ τρόφιμος καὶ ἡδεῖα καὶ ἀλιπής.

## ϙα΄. Περὶ ὀστρακοδέρμων.

Καθόλου μὲν τὰ ὀστρακόδερμα τὸν ἁλυκόν τε καὶ ὠμὸν ἀπογεννᾷ χυμόν· τούτων δὲ τὰ μὲν ὄστρεα μαλακωτάτην ἔχει σάρκα καὶ μᾶλλον ὑπέρχεται, αἱ χῆμαι δὲ καὶ πορφύραι καὶ σωλῆνες καὶ σπόνδυλοι καὶ κήρυκες καὶ κοχλίοι καὶ ὅσα τοιαῦτα σκληρά, καὶ τὰ μαλακόστρακα προσαγορευόμενα, οἷον ἀστακοί, πάγουροι, καρκίνοι τε καὶ κάραβοι καὶ καρῖδες, δύσπεπτά τέ ἐστι καὶ τρόφιμα καὶ ἐφεκτικὰ γαστρὸς ἑψόμενα πολλάκις ἐν ὕδατι γλυκεῖ. ἅπασι δὲ τοῖς ὀστρακοδέρμοις ὑπάρχει χυλὸς ὑπακτικὸς γαστρός· διὸ καὶ τοῖς χερσαίοις κοχλίοις· καὶ τούτων γὰρ σκληράν τε τὴν σάρκα καὶ δύσπεπτον ἐχόντων καὶ τρόφιμον καὶ κακόχυμόν τινες τὸν ζωμὸν ἀρτύοντες δι᾽ ἐλαίου τε καὶ γάρου πρὸς ὑπαγωγὴν γαστρὸς αὐτῷ κέχρηνται. οἱ δὲ ἐχῖνοι ψυκτικοί τε μετρίως εἰσὶ καὶ ὀλιγότροφοι καὶ διουρητικοί.

## ϙβ΄. Περὶ μαλακίων.

Τὰ δὲ μαλάκια, οἷον πολύποδες, σηπίαι, τευθίδες, σκληρά τέ ἐστι καὶ δύσπεπτα, καὶ μᾶλλον οἱ πολύποδες, τὸν δὲ ἁλυκὸν χυμὸν ὀλίγον ἔχουσι· πεττόμενα δὲ τροφὴν οὐκ ὀλίγην παρέχουσι τῷ σώματι.

ϙ΄ *cf. Aëtius II 136—141* 3—5 *cf. Oribasius, Coll. II 49* 5—7 *cf. Galenus, De alim. fac. III 25* 7—10 *cf. Oribasius, Coll. II 46* 10 *cf. ib. II 47* 10—12 *cf. ib. II 48* ϙα΄ *cf. Aëtius II 144* 14—17 *cf. Oribasius, Coll. II 53* 17—20 *cf. ib. II 54* 20—21 *cf. Galenus VI 734* 21—24 *cf. Oribasius, Coll. II 29* 24—25 *cf. Galenus, De alim. fac. III 38* ϙβ΄ *cf. Galenus, ib. III 35; Oribasius, Coll. II 55; Aëtius II 146*

2 τε *om.* H 3 ἁπάντων] DK: πάντων ABCFGHJ 4 ἔχωσι] K: ἔχωσιν H[3]: ἔχοσι F: ἔχουσι D: σχῶσιν C, -ν *eras.* BG: σχῶσι AJ 7 δὲ] τε DK τε *om.* J 9 *ante* αἵματος *del.* καὶ B δὲ] τε D τε *om.* CDFG, *eras.* B: καὶ μοχθηροτέρου A *sed del., mrg.* τε 10 ὁ] DK: *om.* ABCFGHJ ἡ τρίγλα δὲ F 12 καὶ τρόφιμος *om.* F ἀλιπής] ἀλιπὴς καὶ εὐκοίλιος καὶ ὁ ταριχηρὸς ἀτροφώτατος F 13 Περὶ] περὶ τῶν BDK 16 καὶ *(sec.)*] καὶ οἱ D 17 κοχλίαι D μαλακόστρακα] μαλακόστρακα δὲ D 18 οἷον *om.* D καὶ *(alt.) om.* K 20 πᾶσι D 21 κοχλίαις D γὰρ] DK: *om.* ABCFGHJ 23 *post* τινες *del.* δὲ J 24 αὐτῶν K: αὐτὸν CG ψυκτικώτεροι D: ψυκτοί CG 27 ἐστιν H: εἰσιν K 29 πεττόμενα] *mut. in* πεττόμενοι B: πεττόμενοι D παρέχουσι] CDFG: παρέχει ABHJK

## ϟγ΄. Περὶ σελαχίων.

Τῶν δὲ σελαχίων νάρκαι μὲν καὶ τρυγόνες μαλακὴν καὶ ἡδεῖαν ἔχουσι τὴν σάρκα καὶ ταχέως ὑπιοῦσαν καὶ εὔπεπτον καὶ τρόφιμον· βάτοι δὲ καὶ λειόβατοι καὶ ῥῖναι καὶ τὰ τοιαῦτα σκληρότερα καὶ δύσπεπτα καὶ μᾶλλον τρόφιμα· καθόλου γὰρ τὰ σκληρόσαρκα τῶν ζῴων καὶ δύσπεπτά εἰσι καὶ τροφιμώτερα, πολλήν τε καὶ στερεὰν παρέχει τροφήν.

## ϟδ΄. Περὶ τῶν κητωδῶν.

Τὰ κητώδη, οἷον φάλαιναι καὶ φῶκαι καὶ ζύγαιναι καὶ δελφῖνες καὶ οἱ μεγάλοι θύννοι, σκληρὰν καὶ δύσπεπτον καὶ παχύχυμον ἔχουσι τὴν σάρκα· ταριχευόμενα δὲ τὰ τοιαῦτα μετριώτερα γίνεται. καὶ τῶν ἄλλων δὲ ἰχθύων οἱ ὑγρότεροι καὶ περιττωματικώτεροι καὶ πρὸς ταριχείαν μᾶλλόν εἰσιν ἐπιτήδειοι· ἡ δὲ ἐν τοῖς ταρίχοις διαφορὰ τοιαύτη ἐστίν, οἵα καὶ ἡ τῶν ἰχθύων, ἐξ ὧν γίνονται.

## ϟε΄. Περὶ οἴνου δυνάμεως.

Χρὴ γινώσκειν τὸν πεφροντικότα τῆς ὑγείας καὶ περὶ οἴνου δυνάμεως. καθόλου μὲν γὰρ πᾶς οἶνος τρέφει, ἀλλ᾽ ὁ μὲν ἐρυθρὸς καὶ παχὺς μᾶλλον, οὐκ εὔχυμος δέ, ὁ δὲ γλυκὺς καὶ αὐτὸς μὲν τρόφιμος, οὐκ εὐστόμαχος δέ, ὁ δὲ στύφων εὐστόμαχος μέν, δυσανάδοτος δέ, καὶ ἧττον τρέφει, ἔτι δὲ ἧττον ὁ λευκός· ἄριστος δὲ τῶν οἴνων ὁ κιρρὸς τὴν χροιάν. ὁ δὲ παλαιότερος τοῦ νέου θερμότερός τε καὶ ξηρότερος. αὕτη μὲν ἡ τοῦ οἴνου δύναμις ὡς ἐν κεφαλαίῳ. καθάπαξ δὲ ὁ οἶνος ἀναζωπυρεῖ μὲν τὸ ἐν ἡμῖν θερμόν, καὶ διὰ τοῦτο αἱ πέψεις ἀμείνους γίνονται καὶ τὸ αἷμα χρηστόν, τήν τε τροφὴν μετάγει πανταχοῦ πόριμος ὤν· διὸ καὶ τοὺς ἐκ νόσων ἰσχνωθέντας εὐτρόφους ἀπεργάζεται· ποιεῖ γὰρ καὶ ὀρεκτικοὺς τροφῶν· καὶ τὸ μὲν φλέγμα λεπτύνει, τὴν δὲ χολὴν δι᾽ οὔρων ἐκκαθαίρει καὶ εὔχροιαν ἐργάζεται. καὶ τῇ ψυχῇ

ϟγ΄ *cf. Oribasius, Coll. II 56; Aëtius II 147; Galenus, De alim. fac. III 36* ϟδ΄ *cf. Galenus, De alim. fac. III 37* 8—10 *cf. Oribasius, Coll. II 57* 10—13 *cf. ib. II 58* ϟε΄ *Oribasius, Ad Eunap. I 12; cf. Coll. V 6—7*

1 σελακίων F[3]: σαλακίων CGK, *corr.* C[2] 2 σαλακίων CGK: σελακίων C[2] μὲν] DF[3]K: τε ABCFGHJ καὶ *(alt.)*] DK: τε καὶ ABCFGHJ 4 λειόβατοι] *e corr.* B: λεόβατοι DGK (CH *euan.*), *e corr.* J: λίβατοι A: λιθόβατοι F[3] 5 καὶ *(ult.) om.* D 6 καὶ τροφιμώτερα *om.* K πολλήν] ABDHJ: καὶ πεττόμενα δὲ πολλήν GJ[2]: καὶ πεπτόμενα δὲ πολλήν CF: καὶ πεττόμενα πολλήν K παρέχουσι CG: παρέχουσι τὴν F 8 τῶν κητωδῶν K φάλλαιναι ADJB[3]: φάλαινα H 10 γίγνεται ACG: γίνονται K τῶν] DK: *om.* ABCFGHJ 11 οἱ] *om.* H: αἱ F καὶ *(pr.) om.* D περιττωματικοὶ K ταραχείαν B: τὰ ταρίχη D 12 ταρίχεσι *e corr.* D 13 γίνονται K: γίγνεται F 14 περὶ] περὶ τῆς τοῦ F 15 περιπεφροντικότα H ὑγείας] ACJK: ὑγίας H: ὑγιείας BDG, *e corr.* F 17 μᾶλλον] μᾶλλον μὲν τρέφει J δὲ *(pr.)*] JK: *om.* ABCDFGH 20 χροιάν] DK: χρόαν ABCFGHJ 21 ὁ οἶνος] οἶνος πᾶς D 22 μὲν] K: *om.* ABCDFGHJ αἱ] καὶ αἱ H γίγνονται D: γίνεσθαι F 23 τε] DK: δὲ ABCFGHJ παράγει F 26 καθαίρει F

δὲ εὐφροσύνην καὶ ἡδονὴν ἐμποιεῖ καὶ ῥώμην παρέχει. τούτων μὲν οὖν τῶν ἀγαθῶν ὁ μέτρῳ πινόμενος αἴτιος γίνεται, τῶν δὲ ἐναντίων ὁ ἄμετρος. διὰ τοῦτο οἱ μεθυcθέντεc τρέπονται καὶ παρανοοῦcι καὶ καταφορικοὶ γίγνονται· διὸ φεύγειν χρὴ τὴν εἰc τοcοῦτον ἀμετρίαν τῆc οἴνου πόcεωc. διὰ χρόνου δὲ πλείονοc ἐπιεικῶc cυμφέρει πίνειν· τήν τε γὰρ δι' οὔρων κάθαρcιν δαψιλῆ κινεῖ καὶ ἱδρῶταc προχεῖ. κάλλιον δὲ ἐπὶ τούτοιc καὶ ἐμεῖν μελικράτου προcλαβόνταc, ὡc μηδὲ μικρὸν ὑπ' αὐτοῦ βλαβῆναι. κωθωνιζόμενοc δέ τιc τῆc μὲν ἄλληc τροφῆc μὴ ἄγαν ἐμπιπλάcθω, πίνων δὲ ἐν τῷ μεταξὺ ἐcθιέτω κράμβην ἑφθὴν καὶ τραγημάτων γευέcθω, καὶ μᾶλλον τῶν ἀμυγδάλων· ταῦτα γὰρ καὶ τὰc κεφαλαλγίαc κουφίζει καὶ τοῖc ἐμοῦcιν οὐδαμῶc ἐcτι λυπηρά. κάλλιον δὲ καὶ τοῦ ἀψινθίου τὸ ἀπόβρεγμα πρὸ τῶν πότων λαμβάνειν· πάντων γάρ ἐcτιν ἀκραιπαλώτατον. εἰ δὲ καὶ δάκνοιντό τινεc ὑπὸ τοῦ οἴνου, ψυχρὸν ὕδωρ ἐπιρροφεῖν· τῇ δὲ ὑcτεραίᾳ πάλιν τοῦ ἀψινθίου πίνειν περιπάτοιc τε καὶ ἀνατρίψεcι καὶ λουτρῷ καὶ ἐλάττονι τροφῇ χρηcάμενον ἀνακομιcθῆναι.

## ϟϛ'. Περὶ μέλιτοc καὶ μελικράτου.

Τὸ μέλι ἑψόμενον μὲν τρέφει μᾶλλον ἤπερ ὑπάγει γαcτέρα, μὴ ἑψόμενον δὲ τὸ ἀνάπαλιν· καὶ ταῖc μὲν ψυχραῖc καὶ ὑγραῖc κράcεcι cυμβάλλεται, ταῖc δὲ θερμοτέραιc ἐκχολοῦται. καὶ τὸ μελίκρατον δὲ οὐ πάνυ τι τοῖc πικροχόλοιc ὠφέλιμόν ἐcτιν ἐκχολούμενον αὐτοῖc· cυμφέρει τοίνυν ὑδαρέcτερον ἐπὶ τῶν τοιούτων φύcεων δίδοcθαι τὸ μελίκρατον. ἀνεπιτήδειον δὲ καὶ τοῖc ἔχουcιν ἐν πείcει τὰ cπλάγχνα. cκευάζειν δὲ τὸ μελίκρατον κἂν ὀκταπλάcιον μιγνύνταc ὕδωρ τοῦ μέλιτοc καὶ οὕτωc ἕψονταc, ἄχριπερ ἂν ἀφρίζον παύcηται· προcήκει δὲ αἴρειν ἀπ' αὐτοῦ cυνεχῶc τὸν ἀφρὸν εὐθὺc ἅμα τῷ γεννᾶcθαι.

ϟϛ' 18—20 *cf. Oribasius, Coll. II 62* 20—26 *Oribasius, Synops. IV 38; cf. Coll. V 14*

1 ἡδονὴν καὶ εὐφροcύνην C ποιεῖ F 3 ἀμέτρωc FJ 4 γίνονται AJ 6 προχεῖ] ABDHJ: προχέει K: παρέχει CFG 7 προcλαβόνταc] D: προλαβόνταc BCFGJK: προλαβόντοc AH 8 δέ] μέν K τιc] DK: *om.* ABCFGHJ 9 ἐμπιμπλάcθω A: ἐμπίπλαcθαι J 11 γὰρ] CFGK: *om.* D: δὲ ABHJ κεφαλαλγίαc] *e corr.* BJ, *mrg.* γρ. καὶ τὰc κεφαλαλγίαc J: κεφαλὰc K(J) καὶ *(alt.)*] καὶ τὰc κεφαλαλγίαc καὶ K ἐcτι *om.* D 14 ἐπιρροφεῖν] DK: πίνειν ABCFGHJ 15 πίνειν] λαμβάνειν J, *mrg.* γρ. πίνειν καὶ *(pr.) om.* ABH, *supra scr.* J ἀνατρέψεcι F 18 μὲν *om.* F εἴπερ CGK 19 τὸ] DK: *om.* ABCFGHJ καὶ ὑγραῖc *om.* F 20 θερμοτέραιc] DK: θερμαῖc ABCFGHJ ἐκχολοῦται] -χ- *in ras.* A: ἐκθολοῦται F τὸ] DK: *om.* ABCFGHJ 21 τι *om.* B ὠφέλιμόν ἐcτιν] ὠφελεῖ F 22 διδῶναι F 23 ἐν πείcει] *Or*: ἐν πίcει ACGH(K): ἐν πήcει F: ἐν *seq. ras. 3 litt.* πίcτει, τ *eras.*, B: ἐμπαθῆ D, *e corr.* K: εὐπαθῆ J 24 δὲ *om.* K κἂν *om.* D 25 ἕψονταc] DFK: ἑψοῦνταc ABCGHJ ἀφρίζων BCFGHK προcήκει] προcέχειν D

## ϛζʹ. Περὶ ὕπνου.

Ἀκόλουθόν ἐστιν ἐπὶ πᾶσι τοῖς περὶ διαίτης εἰπεῖν τι καὶ περὶ ὕπνου, διότι καὶ πάντων ὕστατος ὡς τὸ πολὺ παραλαμβάνεται. ὁ τοίνυν ὕπνος, ὡς τύπῳ φάναι, τῶν ψυχικῶν ἐστι δυνάμεων ἀνάπαυσις χρηστῆς ὑγρότητος ἐπιτεγγούσης τὸν ἐγκέφαλον γιγνόμενος. ὀρθῶς δὲ παραλαμβανόμενος πολλὰ δύναται δρᾶν ἀγαθά· σιτία τε γὰρ κατεργάζεται καὶ χυμοὺς ἐκπέπτει καὶ ὀδύνην παραμυθεῖται κόπους τε παρηγορεῖ καὶ τῶν συντεταμένων χάλασιν ἀπεργάζεται· καὶ ψυχικῶν δὲ παθῶν λήθην ἱκανὸς ἐμποιῆσαι καὶ παρακοπτικὸν λογισμὸν ἐπανορθώσασθαι. καιρὸς δὲ τοῦ ὕπνου ἄριστος μὲν ὁ μετὰ τὴν τροφήν, ἀλλ᾽ ὁ μεθ᾽ ἡμέραν οὐ πᾶσιν ἐπιτήδειος· οὐ γὰρ ἐξαρκεῖ πρὸς ἐντελῆ τῶν σιτίων κατεργασίαν ὁ χρόνος, ἐν ᾧ καθεύδουσι, διακοπτομένης δὲ πρὸ ὥρας τῆς πέψεως ἐκ τῆς μεσημβρίας ἐξανιστάμενοι ὀξυρεγμιώδεις τε γίνονται πολλάκις καὶ φυσῶν ἐμπίπλανται, τινὲς δὲ καὶ κλύδωνας ἴσχουσι, πλὴν εἰ μὴ δι᾽ ἔθος ἢ τὸ αὐτάρκως ὑπνῶσαι ταῦτα μὴ γένοιτο. ἄριστοι δὲ τῶν ὕπνων εἰσὶν οἱ νυκτερινοί· φύσει γὰρ ἡ τῆς νυκτὸς ὑγρότης, οἶμαι, καὶ ἠρεμία καταφορικὴ τυγχάνουσα πέψιν τελείαν ἀπεργάζεται· μετὰ γοῦν τοὺς νυκτερινοὺς ὕπνους ὡς μάλιστα πρὸς ἔκκρισιν ἐπειγόμεθα. ὅρος οὖν ἔστω τοῦ κατὰ τὸν ὕπνον χρόνου ἡ τῶν σιτίων τελεία πέψις ταῖς ἐρυγαῖς τε καὶ τῇ τῆς γαστρὸς προσστάλσει γιγνωσκομένη, μεθ᾽ ἣν οὐδὲ ἡ ἐγρήγορσις ἄχρηστος τὴν τῶν ἐκ τῆς πέψεως περιττωμάτων ἐργαζομένη διαχώρησιν.

## ϛηʹ. Περὶ ἀγρυπνίας.

Ἡ μὲν ἐπὶ τῶν ἤδη νοσούντων ἀγρυπνία δι᾽ ὀδύνην ἢ πυρετὸν ἢ ὀξύτερόν τι σύμπτωμα γιγνομένη τῆς προσηκούσης ἰάσεως ἐν τῷ περὶ πυρετῶν τεύξεται λόγῳ, περὶ δὲ τῆς τῶν ὑγιαινόντων ἀγρυπνίας νυνὶ λεκτέον. εἰ μὲν οὖν διὰ λύπην ἢ φροντίδα ἤ τι τῶν ψυχικῶν ἀγρυπνοῖεν παθῶν, πρῶτον μὲν τὸ λυπηρόν, εἰ οἷόν τέ ἐστιν, ἀνακόψομεν,

ϛζʹ *cf. Oribasius, Coll. VI 4—5*
26 λόγῳ] *II 41*

6 γὰρ *om.* BD  7 ἐκπέττει GK  παραμυθεῖται] DK: παρηγορεῖται ABCFGHJ  παρηγορεῖ] DK: παραμυθεῖται ABCFGHJ[2]  8 δὲ] *om.* J: τε D  10 τὴν] DK: *om.* ABCFGHJ  11 μεθ᾽] μὲν μεθ᾽ D  πρὸς] πρὸς τὴν K  12 δὲ *om.* F  12. 13 πρὸ ὥρας] *corr. ex* πρόωρος G: προώρως AD  13 ἐκ τῆς *om.* D  ἐξανιστάμενοι] D: ἐξανιστάμενοι πολλάκις ABCFGHJK, *deinde eras.* καὶ φυσῶν K  τε] DK: *om.* ABCFGHJ  14 γίγνονται ABCGH  πολλάκις] DH, *eras.* K: τε πολλάκις AJ, *del.* B: *om.* CFG  ἐμπίμπλανται AJ, *alt.* μ *eras.* C  κλύδωνος F *et corr. ex* κλύδονος G  15 τὸ] *mut. in* τῷ J[2]  16 ἡ *om.* K  17 οἶμαι] DK: *om.* ABCFGHJ  18 γοῦν] γὰρ B *et e corr.* H  20 προσστάλσει] D: προστάλσει ABCFGHJK  21 γινωσκομένη CK  ἡ *om.* D, *e corr.* B  22 διαφόρησιν K  25 ἢ ὀξύτερον] ἢ ὀξὺν ἕτερον *mut. in* ὀξὺν ἢ ἕτερον K  τι *om.* H  γινομένη K: γιγνωμένης F  προσηκούσης] DK: *om.* ABCFGHJ  27. 28 παθῶν ἀγρυπνοῖεν D  28 τῶν λυπηρῶν H  εἰ *om.* K  ἀνακόψομεν] CDK: ἀνακόψωμεν ABFGHJ

ἔπειτα καὶ τοῖς διὰ τῶν ἡδέων ἤχων ἀκούσμασι τὸν λογισμὸν ἀπαγέσθωσαν· τινὲς δὲ καὶ ἦχον ὕδατος ἡσυχῇ πρὸς τοῦτο μηχανῶνται, δι᾽ οὗ θελγόμενοι πρὸς ὕπνον κατάγονται. βαλανείοις τε, καὶ μάλιστα τοῖς ἑσπερινοῖς, εὔπεπτοι κεχρήσθωσαν ὑγραινούσῃ τε τροφῇ, οἷον θριδακίναις καὶ τοῖς ὁμοίοις· καὶ τῆς μελαίνης δὲ μήκωνος ἔσθ᾽ ὅτε φύλλα χλωρὰ τοῖς ὄψοις συγκαταμιγνύτωσαν καὶ ἰχθύων εὐπέπτων ἐσθιέτωσαν οἴνῳ τε πλείονι καὶ λεπτῷ καὶ μὴ παλαιῷ χρήσθωσαν. μέλλοντες δὲ ἀνακλίνεσθαι ῥοδίνῳ τὴν κεφαλὴν ἀλειφέσθωσαν ἢ ἐλαίῳ, ἐν ᾧ κωδύαι ἢ μανδραγόρας ἀφήψηται· καὶ τὸ ἀνήθινον δὲ τὸ μὴ παλαιὸν τῶν ὑπνωτικῶν ἐστιν. οἶδε δὲ καὶ μετὰ κόπον προηγησάμενον ἀνάπαυσις ἐξαπίνης ἐπιγενομένη ὕπνον ἐμποιῆσαι. καὶ συνουσία δὲ σύμμετρος αὐτὸ τοῦτο πολλάκις ἔδρασεν· ἕτεροι δὲ καὶ τὴν κεφαλὴν ἢ τοὺς πόδας ψυχόμενοι ῥᾳδίως ἀφυπνοῦσιν. εἰ δὲ διὰ πλῆθος ἢ μοχθηρίαν τροφῆς βαρούμενοι τὸν στόμαχον ἀγρυπνοῖεν (καὶ τοῦτο γὰρ ἴσμεν γιγνόμενον, ὥσπερ αὖ πάλιν ἕτεροι παρὰ τὸ σύνηθες ἀσιτήσαντες ἢ ὀλιγοσιτήσαντες ἠγρύπνησαν), ἐπισκέπτεσθαι δεῖ καὶ τὴν αἰτίαν ὑποτέμνεσθαι.

## ϙθʹ. Περὶ καταφορᾶς.

Εἰ δὲ τὸ ἀνάπαλιν βαθεῖς τε καὶ καταφορικοὶ γίγνοιντο οἱ ὕπνοι, λουτρῶν τε συνεχῶν αὐτοὺς ἀφέξομεν καὶ τῆς ἐμψυχούσης ἀλοιφῆς· ἀποφλεγματισμοῖς τε χρησώμεθα καὶ τὸ ὅλον ἐπὶ τὸ θερμότερόν τε καὶ ξηρότερον καὶ ὀλιγότροφον αὐτοὺς μετενέγκωμεν ὑπὸ ψυχροτέρας ὡς μάλιστα καὶ ὑγροτέρας ὕλης τὸν ἐγκέφαλον διαβρεχούσης τούτου συμβαίνοντος.

## ρʹ. Διοκλέους ἐπιστολὴ προφυλακτική.

1 Διοκλῆς Ἀντιγόνῳ βασιλεῖ.

Ἐπειδή σοι συμβαίνει μουσικωτάτῳ πάντων βασιλέων γεγονέναι καὶ πλεῖστον χρόνον βεβιωκέναι φιλοσοφίας τε πάσης ἔμπειρον ὄντα τυγχάνειν καὶ τοῖς μαθηματικοῖς πρωταγωνιστήν, ὑπολαμβάνων βασιλικήν τε καὶ οἰκείαν εἶναι [τὴν] φιλοσοφίαν τὴν περὶ τῶν ὑγιεινῶν ἀκοήν τε καὶ θεωρίαν γέγραφά σοι, πόθεν αἱ νόσοι τοῖς ἀνθρώποις

1 διὰ] DK: *om.* ABCFGHJ  2 ἥσυχον D: ἡσυχεῖν F  6 φύλλα] τὰ φύλλα K  8 δὲ] τε D  9 ἐν ᾧ *om.* K, *supra scr.* C[2]  κωδύα D: κοδύαι K: κωδίαι C  μανδραγόρα CF, *e corr.* J: μανδραγόραι G, *e corr.* C  10 οἶδε] DF: οἶδεν AHK, -ν *eras.* BGJ: οἶδε δὲ C  δὲ *om.* F  11 ἀνάπαυσις] DK: ἀναπαύσεως ABCFGHJ  ἐπιγενομένη] *scripsi*: ἐπιγενομένης ABCFGHJ: ἐπειγομένης K: γιγνομένη D  12 πολλάκις] DK: *om.* ABCFGHJ  13 ὑπνοῦσιν D  εἰ δὲ] ἔτι δὲ εἰ D  14 βαρούμενοι] DKJ: βαρυνόμενοι ABCGH: βαρυνόμενον F  15 γινόμενον D: γιγνόμενοι C  16 δεῖ] *corr. ex* δὲ δεῖ H: δὲ K  19 γίνονται D  21 χρησόμεθα D  τε *(alt.) om.* D  22 ξηρότερον] DFJ, *e corr.* K: ξηρότροφον ABCGHK  ὀλιγοτροφώτερον D  23 διαβρεχούσης] ὑγραινούσης καὶ διαβρεχούσης D  26 *cf. Wellmann, A. Cornelius Celsus, p. 99*[1]  29 καὶ] *mut. in* κἂν C[2]  μαθητικοῖς AHJ, *corr.* J[2]  πρωταγωνιστεῖν *e corr.* D  30 τε] CDFG: *om.* ABHJK  τὴν φιλοσοφίαν] *om.* F: φιλοσοφίαν D: γρ. καὶ (?) τῇ φιλοσοφίᾳ *mrg.* C[2]  31 θεωρίαν] θεραπείαν CDFG  νοῦσοι K

συνίστανται καὶ τίνων προγενομένων σημείων, καὶ πῶς ἄν τις αὐταῖς βοηθῶν ἐπιτυγχάνοι· οὔτε γὰρ χειμὼν ⟨ἂν⟩ ἐν τῷ οὐρανῷ συσταίη ποτὲ μὴ οὐχὶ σημείων τινῶν προγενομένων, οἵσπερ παρακολουθοῦσιν οἱ ναυτικοὶ καὶ οἱ πολύπειροι τῶν ἀνθρώπων, οὔτε πάθος ἐν ἀνθρώπου φύσει συσταίη ποτὲ μὴ οὐχὶ σημείου τινὸς προγενομένου. σὺ δὲ πεισθεὶς τοῖς ὑφ᾽ ἡμῶν λεγομένοις παρακολουθήσεις τῇ ἀκριβείᾳ τῇ περὶ αὐτῶν.

διαιρούμεθα δὴ τὸ σωμάτιον εἰς μέρη τέσσαρα, κεφαλήν, θώρακα, 2
κοιλίαν, κύστιν. ἐπειδὰν οὖν μέλλῃ πάθος περὶ τὴν κεφαλὴν ἐπὶ πλεῖον συνίστασθαι, προσημαίνειν εἴωθεν σκοτόδινος καὶ ἀλγηδὼν κεφαλῆς καὶ βάρος ἐν ταῖς ὀφρύσιν, ἦχοι ὤτων, νυγμοὶ κροτάφων· οἱ ὀφθαλμοὶ τὸ πρωὶ δακρύουσιν μετὰ τοῦ ἀμβλυώσσειν καὶ ὀσφραίνεσθαι οὐδενός· τὰ οὖλα τῶν ὀδόντων μετέωρα γίγνεται. ὅταν οὖν τοιοῦτόν τι προσημαίνῃ, τὴν κεφαλὴν δεῖ καθαίρεσθαι, φαρμάκῳ μὲν μηδενί, λαβὼν δὲ ὑσσώπου ἢ ὀριγάνου τὰς κεφαλὰς τρίψας καὶ ἀναζέσας ἐν χυτριδίῳ μετὰ γλυκέος ἢ ἑψήματος ἡμικοτυλίου τοῦτο νῆστις ἀπορροφῶν διακλύζου τὸ στόμα καὶ ἀναγαργαρίζων ἀποφλεγμάτιζε· ταύτης οὐκ ἔστιν ἐλαφροτέρα θεραπεία τῶν περὶ τὴν κεφαλὴν παθῶν. ἄριστον δὲ καὶ τὸ σίνηπι διειμένον μελικράτῳ θερμῷ· τοῦτο νῆστις ἀπορροφῶν ἀναγαργαρίζου καὶ ἀπορρευμάτιζε· δεῖ δὲ προθερμαίνειν τὴν κεφαλὴν συσκεπάσαντα, ὅπως τακὲν τὸ φλέγμα εὐκόπως ὑπακούσῃ πρὸς τὴν ἐκροήν. τοῖς δὲ ἀμελοῦσι τῶν τοιούτων σημείων τάδε εἴωθεν ἐπιγίγνεσθαι τὰ ἀρρωστήματα· ὀφθαλμίαι, ἀπογλαυκώσεις, τὰ ὦτα ῥήγνυνται, χοιράδες ἐν τῷ τραχήλῳ γίγνονται, ἐγκεφάλου σφακελισμός, κόρυζα, συνάγχη νύκτωρ, τερηδόνες, σταφυλή, τριχῶν μάδισις, ἕλκωσις κεφαλῆς, ὀδόντων πόνος.

ὅταν δέ τι περὶ τὸν θώρακα μέλλῃ γίγνεσθαι, τούτων τι προσημαίνειν εἴωθεν· 3
ἱδρὼς ἐπιγίγνεται εἰς ὅλον τὸ σῶμα καὶ τὸν θώρακα, καὶ τὴν γλῶτταν παχεῖαν ἔχειν· πτύουσιν ἁλυκὰ ἢ πικρὰ ἢ χολώδη·

1 προγινομένων D 2 οὔτε γὰρ] αὗται γὰρ οὔτε K ἂν *om.* ABCDFGHJK τῷ *om.* D 4 οἱ *om.* K 5 προσγενομένου AK, *corr.* K δὲ] δέ γε K 6 παρακολουθήσῃς K: παρακολούθησον D ἀκριβείᾳ τῇ] ἀκριβεστάτῃ D αὐτῶν] αὐτῶν ὑποθήκῃ D 7 διαιροῦμεν τοίνυν τὸ σῶμα D 8 κύστιν] καὶ κύστιν FK οὖν] D: γὰρ ABCFGHJK 9 ἄλγημα D 10 ἦχοι] CDFG, *e corr.* BH[3]J: ἤχη AHK τὸ] *om.* D: τῷ G 11 ἀμβλυώττειν CG: ἀμβλυώσειν H καὶ *om.* D ὀσφραίνονται D 12 γίνεται D, *e corr.* J: γίγνονται F: γίνονται K προσημαίνει K: προσημάνῃ AH 13 καθαίρειν D οὐδενί H 15 γλυκέως FH, -ω- *eras.* G ἢ *om.* K ἑψήματος] DK: ἑψέματος ABCFGHJ τούτου D διαβλύζου BHJ 16 ἀποφλεγμάτιζε] CDFG, *e corr.* J: ἀπορευμάτιζε ABHK 18 σίνηπι] CDFG, *e corr.* BJ: σίναπι A: νάπυ *corr. ex* νάποι H[3]: σινάπι δι- *corr. ex* σιναπίδι K εἰμένῳ *e corr.* K τούτου D ἀναγαργαρίζου] -ου *in ras.* B: ἀναγαργάριζε D 19 ἀποφλεγμάτιζε D, *e corr.* J προδιαθερμαίνειν K συνσκεπάσαντα CG: προσκεπάσαντα A 20 εὐκόλως D ὑπακούσῃ] D: ἐπακούσῃ ABCFGHJK 21 ἐπιγίνεσθαι AD 22 ἀρωστήματα FH 23 γίνονται DJ κυνάγχη D 24 μάδησις BDH[3] 25 πόνοι D 26 γίνεσθαι AFJK: γενέσθαι BH τούτων τι] C[2]K[2]: τούτων BCFGHJK, *corr. ex* τοσούτων A: ταῦτα D 27 ἐπιγίνεται DK 28 ἔχειν] ἔχουσι καὶ D: ἐχ″ C, *mrg. add.* ἐργάζεται C[2] πτύουσιν] CDFG: πτύειν ABHJK ἢ (*pr.*)] καὶ D ἢ χολώδη] καὶ χολώδη καὶ D

ὑπὸ τὰς πλευρὰς ἢ ὠμοπλάτας ἀλγήματα γίγνεσθαι δίχα προφάσεως, χάσμαι συνεχεῖς, ἀγρυπνίαι, πνιγμοί, δίψος ἐξ ὕπνου, ἀηδῶς ἔχειν τὴν ψυχήν, ψυγμοὶ στήθους καὶ βραχιόνων, χειρῶν τρόμος, βῆχες ξηραί. βοηθεῖν δὲ δεῖ αὐτοῖς ἐμφρόνως τόνδε τὸν τρόπον· ἐμετοποιείσθω ὡς βέλτιστα ἀπὸ δείπνου ἄνευ πλησμονῆς, ἄνευ φαρμακείας. χρήσιμοι δὲ καὶ οἱ νήστεις ἔμετοι, οὓς καλοῦσί τινες συρμαϊσμούς· δεῖ δὲ τὸν μέλλοντα συρμαΐζειν προφαγεῖν ῥαφανίδας λεπτάς, κάρδαμον, εὔζωμον, σίνηπι, ἀνδράχνην, εἶτα ἐπιπιόντα ὕδωρ χλιαρὸν οὕτως ἐμεῖν. τοῖς δὲ καταφρονοῦσι τῶν τοιούτων σημείων τάδε εἴωθεν ἐπιγίγνεσθαι τὰ ἀρρωστήματα· πλευρῖτις, περιπνευμονία, μελαγχολία, πυρετοὶ ὀξεῖς, φρενῖτις, λήθαργος, καῦσος λυγμώδης.

4 ἐπειδὰν δέ τι μέλλῃ περὶ τὴν κοιλίαν πάθος ἐπὶ πλεῖον συνίστασθαι, τούτων τι προσημαίνει πρότερον· ἡ κοιλία συστρέφεται καὶ ταράττεται αὐτὴ ἐν ἑαυτῇ, τὰ σιτία καὶ τὰ ποτὰ πικρὰ φαίνεται, γονάτων βάρος, ὀσφὺν μὴ δύνασθαι κάμψαι, πόνοι ὅλου τοῦ σώματος καὶ δίχα προφάσεως, νάρκη σκελῶν, πυρέτια λεπτά. ὅταν τι τούτων προσημαίνῃ, τὴν κοιλίαν δεῖ μαλακὴν προπαρασκευάζειν μετὰ διαίτης ἄνευ φαρμακείας· ἔστι δὲ πλείω καὶ ἀσφαλῆ, οἷστισι χρώμενος οὐκ ἂν διαμάρτοις, σευτλία μελικράτῳ καθηψημένα, σκόρδα ἑφθά, μαλάχη, λάπαθα, λινόζωστις, μελιτώματα· πάντα γὰρ ὑπακτικὰ κοιλίας ἐστίν. ἐὰν δὲ ἐπιτείνῃ τι τῶν σημείων, κνήκου χύλισμα παραμιγνύειν εἰς ἅπαντα τὰ ἑψήματα· ἡδύτερα γάρ ἐστι καὶ ἀκίνδυνα. χρήσιμος δὲ καὶ ἡ λεία κράμβη καθηψημένη ἐν ὕδατι πολλῷ· ταύτης ὁ χυλὸς πινόμενος μετὰ μέλιτος καὶ ἁλός (εἶναι δὲ δεῖ ὡς κοτύλας τέσσαρας) ἢ τῶν ἐρεβίνθων ἢ ὀροβίων καθηψημένων τὸ ὕδωρ πινόμενον τὸν αὐτὸν τρόπον ποιεῖ νήστει. τοῖς δὲ ἀμελοῦσι τῶν τοιούτων σημείων τάδε εἴωθεν γίγνεσθαι τὰ πάθη· κοιλίας διάρροια, δυσεντερία, λειεντερία, εἰλεός, ἰσχιάς, πυρετὸς τριταῖος, ποδάγρα, ἀποπληξία, αἱμορροΐδες, ἀρθρῖτις.

5 ὅταν δέ τι μέλλῃ πάθος περὶ τὴν κύστιν ἐπὶ πλεῖον συνίστασθαι, τάδε προσημαίνειν εἴωθεν· ἀπὸ σιτίων ὀλίγων πλήρεις δοκεῖν εἶναι,

1 ἢ] ἢ τοὺς D γίνεσθαι K: γίγνεται F: γίγνεσθαι συμβαίνει D 2 ἔχουσι D 3 καὶ] γίνονται καὶ D βῆχες ξηραί] CDFG, *supra scr.* J[3]: *om.* ABH: πήχεις ξηροί K 4 δεῖ δὲ βοηθεῖν D αὐτοὺς CGH ἔμετον ποιείσθω CDFGJ[2]: ἐμετοποιεῖσθαι J: ἐμετοποιείτω F[3] 5 ἄνευ *(pr.)*] *mut. in* ἐκ *mrg.* C[2] 8 σίνηπι] CDFG: σίναπι ABHJ: σίναπιν K 9 ἐπιγίνεσθαι DK 11 λυγμώδης] λυμώδης CG, *corr.* C[2]: λοιγμός F: λοιμώδης ἢ λυγμώδης λυγμοί D 13 τούτων τι] τοῦτον τοι C *et e corr.* G προσημαίνειν CFG 14 αὐτὴ *om.* D ἐν] ἐφ' A 16 πυρέττια K *et e corr.* J λεπτά] DK: μικρά ABCFGHJ 19 σευτλία] -ί- *eras.* K: οἷον σεῦτλα D κατηψημένα D, -τ- *corr. ex* θ σκόροδα DJC[2] λάπαθον D 20 μελιττώματα CFK, *e corr.* J κοιλίας ἐστὶν ὑπακτικά D ἐστίν] εἰσίν K: εἰσί F 21 τι *om.* K κνίκου ACFGHJK χίλισμα C *et e corr.* G πάντα D 22 ἐστιν H, -ν *eras.* G: ἔσται D δὲ] δέ ἐστιν K 23 κατηψημένη D ταύτης] καὶ ταύτης D χιλὸς CG 24 εἰδέναι D ὡς] ὡς περὶ D ἢ *om.* D 25 ἢ] ἢ τῶν D κατηψημένων D 26 νήστει] πρὸς νῆστις D 27 γίνεσθαι K: ἐπιγίνεσθαι D λειεντερία *om.* D 29 πλέον ABHJ 30 πλήρεις] CDFG: πλήρις K: πλήρει H[3]: πλήρη AB: πλήθη J(H) δοκεῖ D

φῦcαι, ἐρυγαί, ἄχροιαι ὅλου τοῦ cώματος, ὕπνοι βαρεῖc, τὰ οὖρα πελιὰ καὶ μόλις ἐκπορευόμενα, οἰδήματα περὶ τὰ αἰδοῖα γίνονται. ὅταν οὖν τοιοῦτόν τι προcημαίνῃ, βοηθεῖν δεῖ τοῖc διουρητικοῖc ἀρώμαcιν ἀcφαλέcτατα· ἔcτι δὲ τάδε· μαράθων καὶ cελίνων τὰc ῥίζαc ἀποβρέχειν ἐν οἴνῳ λευκῷ εὐώδει, τοῦτο πίνειν ἑκάcτης ἡμέραc νήcτειc πρωὶ κυάθουc δύο μεθ' ὕδατοc, δαύκου, cμύρνηc, ἑλενίου, ὅ,τι ἂν ἔχῃc τῶν τοιούτων· ἅπαντα γὰρ ὠφελεῖ· καὶ τῶν ἐρεβίνθων τῶν ἀποβεβρεγμένων τὸ ὕδωρ πινόμενον μετὰ οἴνου τὸν αὐτὸν τρόπον. τοῖc δὲ ἀμελοῦcι τῶν τοιούτων cημείων τάδε εἴωθεν ἐπιγίγνεcθαι τὰ ἀρρωcτήματα· ὕδρωψ, cπλὴν μέγαc, ἥπατοc πόνοc, λιθίαcιc, νεφρῖτιc, cτραγγουρία, πρηcμὸc κοιλίαc. ἐφ' ἁπάντων δὲ τῶν τοιούτων cημείων τοῖc μὲν νηπίοιc ἠπίουc καὶ τὰc θεραπείαc προcάγειν, τοῖc δὲ μείζοcιν ἐνεργεcτέρωc.

γέγραφα δέ cοι καὶ περὶ τῶν τροπῶν τῶν εἰc τὸν ἐνιαυτόν, ἐν 6
αἷc ἕκαcτα γίγνεται, τίνα cε δεῖ προcφέρεcθαι καὶ τίνων ἀπέχεcθαι· ἄρξομαι δὲ ἀπὸ τροπῶν χειμερινῶν.

τροπὴ χειμερινή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποιc κατάρρουν ὑγραcίαν ἕωc ἰcημερίαc ἐαρινῆc. δεῖ οὖν προcφέρεcθαι τὰ θερμότατα καὶ ἀκρατέcτερον πίνειν καὶ ἀκρατοποτεῖν καὶ ἀπὸ τῆc ὀριγάνου πίνειν καὶ cυνουcιάζειν. εἰcὶ δὲ εἰc ἰcημερίαν ἡμέραι ϙ̄.

ἰcημερία ἐαρινή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποιc φλέγμα καὶ τοὺc γλυκεῖc ἰχῶραc τοῦ αἵματοc ἕωc πλειάδοc ἐπιτολῆc. χρῶ τοῖc ὀπωδεcτάτοιc καὶ δριμέcιν καὶ φιλοπόνει καὶ cυνουcίαζε. εἰcὶ δὲ ἕωc πλειάδοc ἐπιτολῆc ἡμέραι μ̄ϛ̄.

πλειάδοc ἐπιτολή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποιc χολὴν πυρρὰν καὶ τοὺc πικροὺc ἰχῶραc ἕωc θερινῶν τροπῶν. χρῶ τοῖc γλυκέcι πᾶcι κοιλίαc λυτικοῖc καὶ ὡc ἐλάχιcτα cυνουcίαζε. εἰcὶ δὲ εἰc τροπὰc θερινὰc ἡμέραι μ̄ε̄.

τροπαὶ θεριναί. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποιc χολὴν μέλαιναν

1 ἄχροια HJ: ἄχροιοι F τὰ] K: καὶ τὰ ABCFGHJ: *om.* D πελιδνὰ F *et e corr.* J 2 ἐκπορευόμενα] -κ- *in ras.* J: ἐμπορευόμενα ABH γίγνονται FHJ: γίνεται K: *om.* D 3 τι τοιοῦτον AJ 4 ἀcφαλέcτατα] ὧν ἀcφαλέcτατα D δὲ *om.* D τάδε] DK: *om.* ABCFGHJ μαράθων] DK: μαράθρων ABCFGHJ 5 τοῦτο] καὶ τούτου D νήcτειc] *scripsi*: νῆcτιc FGK *et e corr.* J: νῆcτιν ABCDH 6 δαύκου . . . ἑλενίου] δαύκουc μεθ' ὕδατοc cελίνου K ἑλενίου] cελίνου D 7 τοιούτων] τοιούτων cμύρνηc ἑλενίου K τῶν *(alt.)*] δὲ τῶν D 8 τῷ ὕδατι D τὸν] τὸ ὕδωρ τὸν D αὐτὸν] αὐτὸν δὴ K τρόπον] τρόπον ποιεῖ D, γρ. ποιεῖ *mrg.* K 9 ἐπιγίνεcθαι DK τὰ ἀρρωcτήματα] DK: *om.* ABCFGHJ 11 πρηcμὸc] πριcμὸc K: πρῆcμα F: πληcμὸc ABCGHJ: *om.* D κοιλίαc *om.* D 12 καὶ *om.* D ἐνεργεcτέρωc] -ω- *e corr.* B: ἐνεργεcτέραc DJ 13 εἰc τὸν ἐνιαυτόν] τοῦ ἐνιαυτοῦ D 14 γίνεται ADJ 16 τροπὴ χειμερινή] *rubr. ante* ἄρξομαι *lin. 15 coll.* D 17 θερμότερα J 18 ἀπὸ *om.* D πίνειν *(alt.)*] μεταλαμβάνειν D 19 εἰc] ἕωc CDFG ἰcημερίαc DF 21 τοῖc] οὖν τοῖc D 22 εὐωδεcτάτοιc D καὶ *(pr.)*] καὶ τοῖc D φιλοπονεῖν καὶ cυνουcιάζειν K ἕωc] CDFGJ: εἰc ABHK 23 ἐπιτολῆc πληιάδοc F ἐπιτολῆc] CD: ἐπιτολὴ K: ἐπιτολὴν ABGHJ 24 πλειάδοc ἐπιτολή *om.* K πυρρὰν] *corr. ex* πυρὰν HJ: πυρὰν B 25 τροπῶν θερινῶν AF χρῶ] χρῶ οὖν D πᾶcι] πᾶcι καὶ D 26 εἰc] ἕωc DF: *om.* H τροπῶν θερινῶν D

ἕως ἰσημερίας φθινοπωρινῆς. χρῶ οὖν ψυχρῷ καὶ τοῖς εὐώδεσι πᾶσι καὶ ὡς ἥκιστα συνουσίαζε ἢ προσφέρου ἀκακώτερον, ᾗ γέγραπται περὶ τῶν ἀφροδισίων. εἰσὶ δὲ εἰς ἰσημερίαν φθινοπωρινὴν ἡμέραι ϛ̅γ̅.

ἰσημερία φθινοπωρινή. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις φλέγμα καὶ τὰ λεπτὰ ῥευμάτια ἕως πλειάδος δύσεως. δεῖ οὖν ἀποφλεγματίζειν καὶ προσφέρεσθαι δριμύτατα καὶ ὀπωδέστατα καὶ ἐμετοποιεῖσθαι ὡς ἐλάχιστα φιλοπονεῖν τε καὶ τοῦ συνουσιάζειν ἀπέχεσθαι. εἰσὶ δὲ εἰς πλειάδος δύσιν ἡμέραι μ̅ϛ̅.

πλειάδος δύσις. αὕτη ἡ ὥρα αὔξει ἐν ἀνθρώποις φλέγμα ἕως τροπῶν χειμερινῶν. δεῖ οὖν προσφέρεσθαι τὰ στρυφνότατα καὶ πίνειν οἰνάριον ὡς ἥδιστα καὶ τοῖς λιπαροῖς χρῆσθαι καὶ φιλοπονεῖν. εἰσὶ δὲ εἰς τροπὰς χειμερινὰς ἡμέραι μ̅ε̅.

2 γέγραπται] *cf. cap. 35*

1 ψυχροῖς D   2 συνουσιάζειν CFG   ἢ . . . ἀφροδισίων *(3) om.* D   προσφέρουσα κακώτερον K   3 εἰσὶ] ἐστὶν K   εἰς] ἕως DF: *om.* K   ἰσημερίας φθινοπωρινῆς DF$^3$   4 ἰσημερία φθινοπωρινή *om.* K   ἡ ὥρα] ἰσημερία φθινοπωρινὴ ἡ K   φλέγμα] μελαγχολίαν CFG   5 ῥεύματα D   ὡς K   ἀποφλεγματίζειν] CDFG *et in ras.* J: ἀπορευματίζειν ABHK   6 ἔμετον ποιεῖσθαι D   7 τοῦ] *ins.* A: *om.* J: τὸ B   εἰς] ABHJK: ἕως CDFG   8 δύσιν] ABHJK: δύσεως CDFG   11 οἰνάριον] ABHJK: οἶνον CDFG   ὡς] *corr. ex* οἷς B: οἷς HK: οἷος D   ἡδύτατος D   12 εἰς] ἕως DF   τροπῶν χειμερινῶν D: τροπῆς χειμερινῆς F   τέλος τοῦ πρώτου (ᾱ BFG) βιβλίου ABCFGHK

# Β´

## Κεφάλαια τοῦ δευτέρου βιβλίου.

Ἐν τούτῳ τῷ βιβλίῳ δευτέρῳ τῆς ὅλης ὑπάρχοντι πραγματείας περὶ πυρετῶν ἐστιν ὁ λόγος οὕτως· πρῶτον μὲν περὶ τῶν συμβαλλομένων εἴς τε τὴν σημείωσιν καὶ τὴν ὅλην αὐτῶν ἀποθεραπείαν, ἔπειτα περὶ τῆς καθ' ἕκαστον εἶδος πυρετοῦ γενέσεώς τε καὶ θεραπείας, καὶ τρίτον περὶ τῶν ἑπομένων τοῖς πυρετοῖς συμπτωμάτων.

α´. Προοίμιον τοῦ περὶ πυρετῶν.
β´. Πόσα καὶ τίνα κεφάλαια χρὴ ζητεῖν ἐπὶ τῶν πυρεκτικῶν μάλιστα νοσημάτων.
γ´. Πόθεν γνωριστέον, εἰ σωτήριόν ἐστι τὸ νόσημα ἢ ὀλέθριον.
δ´. Πόθεν διαγινώσκομεν ὀξὺ καὶ χρόνιον νόσημα.
ε´. Πῶς ἂν προγνοίημεν, εἰ κριθήσεται ἡ νόσος ἢ λυθήσεται.
ς´. Περὶ κρισίμων ἡμερῶν.
ζ´. Ὅτι τὰ κρίσιμα σημεῖα ἐν ἀρχῇ φαινόμενα μοχθηρά.
η´. Πῶς ἐσομένην κρίσιν προγινώσκειν χρή.
θ´. Πῶς ἐνεστῶσαν κρίσιν διαγινώσκομεν.
ι´. Πῶς γεγονυῖαν ἀρίστην κρίσιν διαγινώσκομεν.
ια´. Περὶ σφυγμῶν.
ιβ´. Περὶ διαχωρημάτων.
ιγ´. Περὶ τῆς τῶν οὔρων σημειώσεως.
ιδ´. Περὶ πτυσμάτων σημειώσεως.
ιε´. Ἐφημέρων πυρετῶν διάγνωσις καὶ θεραπεία.
ις´. Τῶν ἐπὶ σηπεδόνι πυρετῶν διάγνωσις.
ιζ´. Ἴασις τῶν ἐπὶ σηπεδόνι πυρετῶν.
ιη´. Περὶ τριταίων διαγνώσεως.
ιθ´. Θεραπεία τριταίων.
κ´. Θεραπεία νόθων τριταίων.
κα´. Τεταρταίων διάγνωσις.
κβ´. Θεραπεία τεταρταίων.
κγ´. Ἀμφημερινοῦ διάγνωσις.
κδ´. Ἀμφημερινοῦ θεραπεία.
κε´. Περὶ ἠπιάλου πυρετοῦ καὶ ῥίγους ἀνεκθερμάντου.
κς´. Περὶ συνεχῶν πυρετῶν.
κζ´. Θεραπεία συνεχῶν πυρετῶν.
κη´. Καυσωδῶν διάγνωσις.
κθ´. Καυσωδῶν θεραπεία.
λ´. Πυρετοῦ ἐπὶ ἐρυσιπελατώδει διαθέσει διάγνωσις καὶ θεραπεία.
λα´. Ἑκτικῶν πυρετῶν διάγνωσις.
λβ´. Ἑκτικῶν πυρετῶν θεραπεία.
λγ´. Περὶ ἡμιτριταίων.

1 *om. codd.* 2 *om.* CFG κεφάλαια] ADHK: τὰ κεφάλαια B: ἀρχὴ J 3 τῷ] *ins.* K δευτέρῳ βιβλίῳ CG δευτέρῳ *om.* F 4 οὕτως] JK, *e corr.* B: οὗτος ABCFGH: ἡμῖν D 5 θεραπείαν C, *mrg.* γρ. C², *mrg.* γρ. πραγμα̃ B³ 6 γνώσεώς C 9 δεῖ AJ 16 λυθήσεται FP 17 ἡ νόσος] DP: ἡ νοῦσος CG: τὸ νόσημα ABFHJK κριθήσεται FP 25 διαγινώσκειν J: διαγνῶμεν CFG 36 Περὶ *om.* D διάγνωσις ADF³J 45 συνόχων CFG 46 συνόχων CFG 49 πυρετῶν CFG

λδ΄. Περὶ πανδήμων νοσημάτων.
λε΄. Ἐκ τῶν Ῥούφου περὶ λοιμοῦ.
λϛ΄. Περὶ τῶν ἐπὶ πλήθει χυμῶν ὠμῶν συγκοπτομένων.
λζ΄. Περὶ τῶν ἐπὶ λεπτοῖς χυμοῖς συγκοπτομένων.
λη΄. Περὶ τῶν ἄλλων προφάσεων, ἐφ' αἷς γίνονται συγκοπαί.
λθ΄. Περὶ ὀδύνης.
μ΄. Περὶ συντήξεως.
μα΄. Περὶ τῆς ἐν πυρετοῖς ἀγρυπνίας.
μβ΄. Θεραπεία καταφορᾶς.
μγ΄. Θεραπεία τῆς ἐν πυρετοῖς κεφαλαλγίας.
μδ΄. Περὶ τῆς περὶ τὸν στόμαχον ἐπιμελείας.
με΄. Περὶ τῶν ἐν πυρετοῖς ἀμέτρων περιψύξεων καὶ ῥιγῶν.
μϛ΄. Περὶ ἱδρώτων.
μζ΄. Περὶ βηχὸς τῆς ἐν πυρετοῖς.
μη΄. Περὶ πταρμοῦ.
μθ΄. Περὶ ἀνορεξίας.
ν΄. Περὶ βουλίμου.
να΄. Περὶ κυνώδους ὀρέξεως.
νβ΄. Περὶ δίψης.
νγ΄. Περὶ γλώσσης τραχείας.
νδ΄. Περὶ ναυτίας.
νε΄. Περὶ χολεμεσίας.
νϛ΄. Περὶ λυγμῶν.
νζ΄. Περὶ τῆς ἐν πυρετοῖς ἐπεχομένης τε καὶ φερομένης κοιλίας.
νη΄. Περὶ στάξεως αἵματος καὶ τῆς ἀπὸ ῥινῶν αἱμορραγίας.
νθ΄. Περὶ λειποθυμίας.
ξ΄. Θεραπεία τῆς περὶ τὸ ἱερὸν ὀστοῦν ἑλκώσεως.

3 ὠμῶν χυμῶν D   ὠμῶν *om.* K   7. 8 ἐφ' αἷς] ἀφ' ὧν D   8 γίγνονται CG: οὐ γίγνονται F   15 περὶ τὸν] κατὰ τὸν D: περὶ CFG   17 ἀμέτρων] CDFGH[s]: ἀμέτρως ABHJK   18 περιψύξεως B   20 τῆς] D, *e corr.* HJ: τοῖς ABCFGK   32 στάσεως D   36 *seq. caput ex Galeno, De dieb. decret. I 6, interpolatum in* DK, *quod in* B *post cap. 2 insertum:*

Ἐκ τῶν Γαληνοῦ, ποίαν ἀρχὴν τοῦ νοσήματος φήσομεν· οὐ γὰρ δὴ ταὐτόν ἐστι κεφαλῆς ἄλγημα καὶ πυρετός, ὥσπερ οὐδὲ ἀγρυπνία καὶ ἀνορεξία καὶ βάρος ὅλου τοῦ σώματος ἢ κοπώδης αἴσθησις, ἀλλ' ἕκαστον τούτων ἕτερόν τι τοῦ πυρέττειν ὑπάρχον ἀγγέλλει πυρετόν.

πυρετὸς εἰσβάλλων, καὶ μάλιστα ὀξύς, οὐθ' ἡμᾶς λαθεῖν οὔτε ἰδιώτην τινὰ δύναται. θὲς δέ, εἰ βούλει, καὶ λαθεῖν· ἀλλὰ θαυμάζοιμ' ἄν, εἰ πλέον ὥρας λήσει τὸν κάμνοντα. διόπερ ἐκεῖνον τὸν χρόνον ἀρχὴν εἶναι τοῦ νοσεῖν φήσομεν, ἡνίκα σαφῶς πυρέττειν ἀρξάμενοι κατεκλίθησαν.

1 ποίαν] *om.* B   νοσεῖν D   γὰρ δὴ] *om.* D   4 ἀγγελεῖ BK   5 πυρετὸς] πυρετὸς δὲ D   6 θαυμάζοιμεν ἄν B   ὥρας] ὥρας μιᾶς D   7 ἀρχεῖν B   εἶναι] τε K

## α΄. Περὶ πυρετῶν ἐκ τῶν Γαληνοῦ καὶ ἑτέρων πλειόνων.

Μετὰ τὴν τῶν ὑγιεινῶν διδαςκαλίαν ἐπὶ τὴν τῶν ἤδη νοςούντων ἀφικνούμενοι διόρθωςιν ἀπὸ τῶν ὁμοιομερῶν νοςημάτων ὡς ἁπλουςτέρων ἀρξώμεθα· τοιαῦτα δέ εἰςι μάλιςτα τὰ πυρεκτικὰ προςαγορευόμενα. πάλιν οὖν τῇ κατὰ τὸν Ὀριβάςιον ἐκ τῶν Γαληνοῦ μὲν ὡς μάλιςτα, καὶ ἑτέρων δὲ πλειόνων, ἐπιτόμῳ χρώμενοι ςυνόψει καὶ ἡμεῖς ἐλάχιςτά τινα παραλελειμμένα προςθήςομεν.

## β΄. Πόςα καὶ τίνα κεφάλαια χρὴ ζητεῖν ἐπὶ τῶν πυρεκτικῶν μάλιςτα νοςημάτων.

Πρῶτον μέν, εἰ ςωτήριον εἴη τὸ νόςημα ἢ ὀλέθριον, καί, εἰ ςωτήριον, πότερον ὀξὺ ἢ χρόνιον (ταῦτα μὲν κἀπὶ τῶν ἄλλων τῶν μεγάλων ἁρμόςει ζητεῖν νοςημάτων)· καὶ τρίτον, πότερον ἀθρόως κριθήςεται, ὃ μάλιςτα τῶν πυρετῶν ἴδιον, ἢ κατὰ μέρος λυθήςεται.

## γ΄. Πόθεν γνωςτέον, εἰ ςωτήριον εἴη τὸ πάθος ἢ ὀλέθριον.

Ὀλέθρια μέν ἐςτι ςημεῖα οἷον νεκρῶδες πρόςωπον, ὀξεῖα ῥίς, ὀφθαλμοὶ κοῖλοι καὶ τὰ λοιπὰ τὰ ὑφ᾽ Ἱπποκράτους εἰρημένα, μὴ ἐξ ἀγρυπνίας ἢ κενώςεως ἢ ἀςιτίας τούτων ςυμβεβηκότων, καὶ τὸ τὴν αὐγὴν φεύγειν ἢ δακρύειν μὴ ἔκ τινος ἔξωθεν αἰτίας μηδὲ μὴν τῶν ὀφθαλμῶν ἴδιον ἐχόντων πάθος, καὶ τὸ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐλάττονα φαίνεςθαι ἢ καὶ τὰ λευκὰ αὐτῶν ἐρυθρὰ ἢ πελιδνὰ ἢ μέλανα ἢ καὶ λήμας ἐν αὐτοῖς, καὶ τὸ ἐν τοῖς ὕπνοις τὰ λευκὰ τῶν ὀφθαλμῶν φαίνεςθαι μὴ ςυμβαλλομένων τῶν βλεφάρων, ἐκτὸς εἰ μὴ πολλή τις ἐγένετο κένωςις ἢ δι᾽ ἔθους αὐτοῖς εἴη τὸ ςύμπτωμα· καὶ τὸ τοὺς

γ΄ *Hippocrates, Prognost. 2 sqq.; Galenus, De cris. I 14; cf. Aëtius V 4*

1 Περὶ . . . πλειόνων] προοίμιον τοῦ περὶ πυρετῶν J  τῶν] τοῦ CFG  4 ἀρξόμεθα DH  5 τῇ] *eras.* K  8 χρὴ] δεῖ J  πυρετικῶν ACH  9 μάλιςτα *om.* D  11 τῶν *(alt.) om.* D  12 ἁρμόζει D  13 ἴδιον] ἐςτιν ἴδιον D  14 γνωριςτέον J: γνωςθήςεται F  εἴη] ἐςτιν D: ἐςτι F  τὸ . . . ὀλέθριον] ἢ ὀλέθριον τὸ νόςημα D  πάθος] νόςημα J  15 ἐςτι *om.* C  οἷον *om.* D  19 πάθος] πάθος τοῦτο D  τὸ *om.* A  20 ἢ *(pr.) om.* F  καὶ] *e corr.* H: *om.* K  ἢ μέλανα *om.* CFG  21 αὐτοῖς] αὐτοῖς δείκνυςθαι D  22 μὴ *(pr.)*] *eras.* A: *supra add.* J: καὶ μὴ H

ὀδόντας δὲ πρίζειν ἢ παραφρονεῖν ἢ κροκυδίζειν ἢ καρφολογεῖν οὐ σωτήριον. προσεκτέον δὲ καὶ τῇ κατακλίσει· τὸ γὰρ ὕπτιον κεῖσθαι καὶ οἷον παρειμένον ἢ καὶ καταρρεῖν ἀπὸ τῆς κλίνης ἐπὶ πόδας ἐσχάτης ἀσθενείας τεκμήριον. ἔτι δὲ χεῖρον τὸ ψυχρὸν ἀποπνεῖν ἀπό τε τῶν ῥινῶν καὶ τοῦ στόματος, καὶ ἡ τῶν σφυγμῶν ἀμυδρότης καὶ πυκνότης καὶ τὸ ἐκλιμπάνειν αὐτοὺς καὶ τὸ συγκοπτικῶς ἱδροῦν τῶν ὀλεθρίων ἐστίν. ἐὰν οὖν ἢ πάντα τὰ εἰρημένα σημεῖα ἢ τὰ πλείονα τούτων φανείη ἢ καὶ ἥττονα μέν, ἰσχυρὰ δέ, μηδενὸς παρόντος τῶν τῆς σωτηρίας σημείων, ὁ θάνατος ἀπαραίτητος. εὔπνοια δὲ καὶ εὐσφυξία καὶ τὸ ἐρρῶσθαι τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς καὶ τὸ πρόσωπον καὶ ἡ κατάκλισις ὅμοια τοῖς τῶν ὑγιαινόντων ἀγαθὰ καὶ περιεστικά ἐστι, καὶ καθόλου τὰ μὲν ἐναντιώτατα τοῖς κατὰ φύσιν ὀλέθρια, τὰ δὲ ὅμοια σωτήρια. περὶ δὲ τῆς ἀπὸ τῶν διαχωρημάτων καὶ τῶν οὔρων καὶ πτυσμάτων προγνώσεως μετ᾽ ὀλίγον εἰρήσεται.

## δʹ. Πόθεν διαγινώσκομεν ὀξὺ καὶ χρόνιον νόσημα.

Ἐκ τεσσάρων διαγινώσκεται τοῦ νοσήματος ὁ χρόνος, ἐκ τῆς κινήσεως αὐτοῦ τοῦ νοσήματος, ἐκ τῆς τοῦ κάμνοντος ἕξεως, ἐκ τῶν σφυγμῶν, ἐκ τοῦ τῶν πυρετῶν εἴδους. ἐκ μὲν τῆς τοῦ νοσήματος κινήσεως οὕτως· εἰ μὲν οἱ τέσσαρες τοῦ μερικοῦ παροξυσμοῦ καιροὶ θᾶττόν τε καὶ ἐν ἐλαχίστῳ παρέρχοιντο χρόνῳ, κάτοξυ ἂν εἴη τὸ νόσημα, οὗπερ ἔσχατος ὅρος ἐστὶν ἡ ἑβδόμη, τὰ δὲ πολλὰ κατὰ τὴν τετάρτην κρίνεται· εἰ δὲ ἐν πλείονι μὲν τοῦδε, μὴ ὑπερβάλλοι δὲ δυοκαίδεκα ὡρῶν διάστημα, ὀξὺ προδηλοῦται τῆς τεσσαρεσκαιδεκάτης εἴσω μάλιστα κρινόμενον. εἰ δέ γε πλείονας ὥρας παρατείνοι, ὥστε τὴν ἀρχὴν μόνον καὶ τὴν ἀνάβασιν ἐν τῷ πλείονι τῆς ἡμέρας τε καὶ τῆς νυκτὸς διανύσαι χρόνῳ, τὸ τοιοῦτον νόσημα χρόνιόν ἐστιν. εἰ δὲ μὴ ἔχοι μερικοὺς παροξυσμοὺς ἡ νόσος, ἀλλ᾽ ἀπὸ ἀρχῆς ἄχρι τέλους οἷον εἷς ὑπάρχοι παροξυσμός, καθάπερ ἐπὶ συνόχων, καὶ τοῦτο δήπου τῶν ὀξέων ἂν εἴποις. ἐκ δὲ τῆς τοῦ κάμνοντος ἕξεως οὕτω γνωσθήσεται· εἰ μὲν ἤδη μετρίαν ἔχοι τὸ πρόσωπον ἢ καὶ τὸ λοιπὸν σῶμα σύμπτω-

δʹ *Galenus, Therap. ad Glauc. I 16; cf. De dieb. decret. II 12*

1 πρίζειν] ABCGKH³: τρίζειν DFH, *e corr.* J: τρύζειν P ἢ παραφρονεῖν ἢ κροκυδίζειν *om.* AK, *mrg.* J 3 καὶ *om.* F ἐπὶ] ἐπὶ τοὺς DFJP
4 ἀποπνεῖν] DP: ἀποπνέειν H³: ἀναπνεῖν CFG, *e corr.* J: ἀπορρέειν ABK: ἀποραίην H 7 ἢ *(pr.)*] *seq. ras.* K: ἢ τὰ *e corr.* C τὰ εἰρημένα πάντα D
11 τοῖς] D: τῆς ABGHK: τῇ JP: *om.* CF καὶ *(alt.)* . . . καὶ *(12) om.* D
12 περιεστικά] P: περιεκτικά ABCFGHJK καὶ *om.* P τὰ] δὲ τὰ D
13 διαχωρημάτων] CDFGP: οὔρων ABHJK 14 οὔρων] CDFGP: διαχωρημάτων ABHJK πτυσμάτων] τῶν πτυσμάτων P 15 ὀξὺ καὶ χρόνιον] CDFGJP: πολυχρόνιον ABHK 19 παροξυσμοὶ K 22 ἐν] ἐν τῷ F
23 τεσσαρεσκαιδεκάτης] AP, *e corr.* C: τεσσαρισκαιδεκάτης BCDFGHK: ιδ J 24 γε *om.* D 25 μόνην DFP 27 ἄχρι] *in ras.* B, *corr. ex* μέχρι C: μέχρι A οἷον *om.* D 28 ὑπάρχει AFHJ 29 οὕτως P: οὔτο H: τοῦτο B

ϲιν, ὀξὺ δηλοῦται τὸ νόϲημα· εἰ δὲ παντάπαϲιν ἀϲύμπτωτον, χρόνιον ἔϲται· πλῆθοϲ γὰρ ὕληϲ δηλοῦται χρόνῳ πλείονι πεφθηϲομένηϲ. ἀπὸ δὲ τῆϲ τῶν ἀρτηριῶν κινήϲεωϲ οὕτωϲ· μέγαϲ μὲν καὶ ϲφοδρὸϲ καὶ ταχὺϲ καὶ πυκνὸϲ ὁ ϲφυγμὸϲ ὀξείαϲ ἂν εἴη νόϲου δηλωτικόϲ, ὁ δὲ ἐναντίοϲ χρονίαϲ. ἀπὸ δὲ τοῦ τῶν πυρετῶν εἴδουϲ, καθ' ὅϲον οἱ μὲν θερμοὶ καὶ διακαεῖϲ ὀξεῖαν δηλοῦϲι τὴν νόϲον, οἱ δὲ μαλθακώτεροι καὶ οἱονεὶ ϲμυχόμενοι χρονίαν.

## ε'. Πῶϲ ἂν προγνοίημεν, εἰ κριθήϲεται ἡ νόϲοϲ ἢ λυθήϲεται.

Ἐκ τῶν ἤδη λελεγμένων καὶ τοῦτο προγινώϲκομεν· ἀπό τε γὰρ τοῦ τῶν πυρετῶν εἴδουϲ καὶ τοῦ χρόνου, τάχα δὲ τὸ ὅλον ἐκ τοῦ τῶν πυρετῶν εἴδουϲ· οἱ μὲν γὰρ θερμοὶ καὶ διακαεῖϲ ὀλιγοχρόνιοί τέ εἰϲι, καὶ ἐκκρίϲεϲιν οἱ τοιοῦτοι φιλοῦϲι κρίνεϲθαι, οἱ δὲ μαλακώτεροι χρονίζουϲί τε καὶ εἰϲ ἀποϲτάϲειϲ ὁρμῶϲι τὰ πολλά. καὶ φανερὸν ἐκ τῶν εἰρημένων, ὡϲ οὐ μόνον, ὅτε κρίνεται τὸ νόϲημα, προγινώϲκομεν, ἀλλὰ καί, ὅπωϲ κριθήϲεται· μᾶλλον γὰρ τοῖϲ ὀξέϲιν ἀκολουθοῦϲιν αἱ διὰ ἐκκρίϲεωϲ κρίϲειϲ, ὥϲπερ αὖ τοῖϲ χρονιωτέροιϲ αἱ δι' ἀποϲτάϲεωϲ.

## ϛ'. Περὶ κριϲίμων ἡμερῶν.

Τῶν κριϲίμων ἡμερῶν αἱ μὲν ϲυχνῶϲ τε λύουϲι καὶ πιϲτῶϲ καὶ **1** ἀγαθῶϲ τελείωϲ τε καὶ ϲαφῶϲ καὶ ἐπιϲήμωϲ, αἱ δὲ ταύταιϲ ὑπεναντίωϲ· ἡ δὲ τριϲκαιδεκάτη μεταξύ πωϲ ἔχουϲα δέδεικται. καὶ εἰϲὶ μὲν αὐτῶν, αἳ κρίνειν πεφύκαϲιν, κἂν βραχείαϲ ὁρμῆϲ φύϲεωϲ λάβωνται, καθάπερ ἡ ἑβδόμη καὶ τεϲϲαρεϲκαιδεκάτη, αἱ πολλαὶ δὲ ἐν μὲν ταῖϲ ϲφόδρα κινήϲεϲι κρίνουϲιν, ἄλλωϲ δὲ οὐ δύνανται. ἀλλ' οὔτε πᾶϲαι αἱ ἀγαθαὶ ὁμοίωϲ εἰϲὶν ἀγαθαὶ οὐδὲ πᾶϲαι αἱ κακαὶ ὁμοίωϲ κακαὶ οὐδὲ κατὰ τάξιν ἔχουϲαι τὸ χρηϲτὸν ἢ τὸ ἐναντίον. αἱ μὲν οὖν τοῦ πρώτου ϲτοίχου τοῦ τῶν ἀγαθῶν οὖϲαι χοροῦ τόνδε τὸν τρόπον εἰϲίν· ἀρίϲτη μὲν παϲῶν ἡ ἑβδόμη τε καὶ τεϲϲαρεϲκαιδεκάτη, πληϲίον δὲ τούτων ἐνάτη καὶ ἑνδεκάτη καὶ εἰκοϲτή, καὶ ταύταιϲ ἐγγὺϲ ἑπτακαιδεκάτη τε

ε' *cf. Aëtius V 22*     ϛ' *Galenus, De dieb. decret. I 5; cf. Aëtius V 25*

1 δηλοῦται] ABDHJK: *om.* P: προδηλοῦται CFGJ³     ἀϲύμπτωτον] ἀϲύμπτωτον εἴη D     3 μέγαϲ] εἰ μέγαϲ P     7 οἱονεὶ] *e corr.* J: οἷον DP *et e corr.* A³     8 ἡ νοῦϲοϲ CG: τὸ νόϲημα J     14 ὅτι D     16 αὖ] οὖν D διὰ CD: -ὰ *eras.* C     18 τε λύουϲι] CDGKPJ³ *et cum ras. post* τε A: ται λύουϲι H: τέ λείουϲι F *et corr. ex* τελοῦϲι J: λύουϲι *in ras.* B     20 τριϲκαιδεκάτη] ACGJ: τρειϲκαιδεκάτη F: τρίτη P: ῑγ̄ BDK *(similiter saepius in seqq. et hi et alii)*     αὐτῶν] αὗται D     21 κἂν] εἰ καὶ D     φύϲεωϲ] παρὰ τῆϲ φύϲεωϲ D: κρίϲεωϲ A     λαμβάνονται A: λάβονται K     22 τεϲϲαρεϲκαιδεκάτη] A, *e corr.* B: τεϲϲαριϲκαιδεκάτη BFGK: ἡ τεϲϲαριϲκαιδεκάτη C *sed* ἡ *del.*: ῑδ̄ HJ: ἡ ῑδ̄ D (ἡ *in ras.*) *et* P     ϲφοδραῖϲ DP     24 οὐδὲ *(pr.)*] οὔτε D: ἀλλ' οὐδὲ P     25 ἔχουϲι P     τὸ *(pr.)*] τι F     26 τοῦ] *om.* ACFG: αἳ τοῦ D οὖϲαι] εἰϲι D     εἰϲίν] ἔχουϲιν D     27 τεϲϲαρεϲκαιδεκάτη] A, *e corr.* B: τεϲϲαριϲκαιδεκάτη BCFGK: τεϲαριϲκαιδεκάτη H: ῑδ̄ J: ἡ ῑδ̄ DP     πληϲίον . . . εἰκοϲτή *(28) om.* DP     28 ἐνάτη] HK: ἐννάτη ABCGJ: ἡ ἐννάτη F     καὶ ταύταιϲ . . . τετάρτη *(p. 78, 1) om.* P     ταύτηϲ BJ: ταύτεϲ H     ἐγγὺϲ] ἐγγὺϲ ἡ D τε *om.* AJ

καὶ πέμπτη καὶ μετὰ ταύτας ἡ τετάρτη καὶ μετὰ ταύτην ἡ τρίτη καὶ ὀκτωκαιδεκάτη. αἱ δὲ ταύταις ὑπεναντίαι τοῦ δευτέρου στοίχου εἰσὶν αὗται· κακίστη μὲν καὶ μετὰ κινδύνου καὶ ἀσαφῶς κρίνουσα, καθάπερ ἐκ διαμέτρου τῆς ἑβδόμης, ἐστὶν ἡ ἕκτη, ταύτῃ δὲ παραπλησίως ὀγδόη τε καὶ δεκάτη, μεθ' ἃς δωδεκάτη καὶ ἑξκαιδεκάτη καὶ ἐννεακαιδεκάτη. μεταξὺ δὲ τούτων ἐστὶν ἡ τρισκαιδεκάτη μήτε ὁμοίως ἀπόβλητος οὖσα ταῖς ἐν τῷ δευτέρῳ στοίχῳ μήτε ὁμοίως ταῖς ἐν τῷ πρώτῳ λύειν
2 πεφυκυῖα. ταύτῃ μὲν οὖν τῇ τάξει τῆς ἀξίας ὁ Γαληνὸς ἐχρήσατο· κατὰ δὲ τὴν τῶν ἀριθμῶν τάξιν ἀγαθαὶ μέν εἰσι τρίτη, τετάρτη, πέμπτη, ἑβδόμη, ἐνάτη, ἑνδεκάτη, τεσσαρεσκαιδεκάτη, ἑπτακαιδεκάτη, ὀκτωκαιδεκάτη, εἰκοστή, κακαὶ δὲ ἕκτη, ὀγδόη, δεκάτη, δωδεκάτη, ἑξκαιδεκάτη, ἐννεακαιδεκάτη, μεταξὺ δὲ τρισκαιδεκάτη. τούτων δὲ τῶν κρισίμων τινὲς καὶ ἐπίδηλοι ἑτέρων εἰσίν, ἃς καὶ θεωρητὰς Ἱπποκράτης ὠνόμασεν διὰ τὸ τὰς ἐν ἑτέρᾳ κρισίμῳ μελλούσας γίνεσθαι προδηλοῦν τε καὶ ποιεῖν θεωρεῖσθαι κρίσεις· οἷον ἡ μὲν τετάρτη τὴν ἐσομένην ἐν τῇ ἑβδόμῃ προδηλοῖ κρίσιν ἱδρῶτάς τινας ἢ νοτίδας ἤ τινας τοιαύτας μερικὰς ἐργαζομένη κενώσεις ἢ σημασίας μὴ γεγονυίας πρότερον ἢ καὶ πέψεως σημεῖα δεικνύουσα· ὁ δὲ Γαληνὸς καὶ τῆς ἕκτης φησὶ τὴν τετάρτην ἐπίδηλον, καίπερ οὐκ οὔσης ἀγαθῆς. ἡ δὲ ἑνδεκάτη τῆς τεσσαρεσκαιδεκάτης ἐστὶν
3 ἐπίδηλος, ἡ ἑπτακαιδεκάτη δὲ τῆς εἰκοστῆς. ἄχρι μὲν οὖν τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας ἀγωνιστικώταται γίνονται κρίσεις, ἔγγιστα δὲ αὐτῶν εἰσιν αἱ μέχρι τῆς εἰκοστῆς. αἱ δὲ μετὰ τὴν εἰκοστὴν ἄχρι τῆς τεσσαρακοστῆς ἐκλύουσι κατὰ βραχὺ τὸ ἀγωνιστικόν· εἰσὶ δὲ πρώτη μὲν ἀξιώματι εἰκοστὴ ἑβδόμη καὶ τριακοστὴ τετάρτη καὶ τεσσαρακοστή, μετὰ ταύτας δὲ εἰκοστὴ τετάρτη καὶ τριακοστὴ πρώτη καὶ τριακοστὴ ἑβδόμη. τὸ δὲ μεταξὺ τούτων πλῆθος ἀπὸ τῆς εἰκοστῆς ἄχρι τῆς τεσσαρακοστῆς ἄκριτον ἅπαν ἐστίν, ὥς αἵ γε μετὰ τὴν τεσσαρακοστὴν ἅπασαι τελείως εἰσὶν ἔκλυτοι πέψεσι μᾶλλον καὶ ἀποστάσεσιν, οὐ κρίσεσιν, λύουσαι τὰς νόσους. τῶν μὲν οὖν ἄλλων τῶν μετὰ τὴν τεσσαρακοστὴν

13 *Hippocrates, Aphorism. II 24* 18 *Galenus, De dieb. decret. I 5* 20 *sqq. Galenus, De dieb. decret. I 10*

1 πέμπτη] ε̅ K: ἡ ε̅ D μετὰ . . . ὀκτωκαιδεκάτη *(2)*] πλησίον γε τούτων ἡ θ̅ καὶ ἡ ια̅ D μετ' αὐτὴν HP 2 αὐταῖς D 6 μεταξὺ . . . τρισκαιδεκάτη *om.* K μεταξὺ] CDFGP: καὶ μεταξὺ ABHJ 9 εἰσι] AFP, *e corr.* BJ: εἰσιν BCGHJK: εἰσιν αἱ D 10 ἑβδόμη, ἐνάτη] εὐδόμη ἐννάτη F: ζ̅ θ̅ DP: *om.* ABCFGHJK: ἑβδόμη *supra add.* C$^3$ τεσσαρεσκαιδεκάτη] A: τεσσαρισκαιδεκάτη BCFG: τεσαρισκαιδεκάτη H: ιδ̅ DJKP ἑπτακαιδεκάτη] εὐδόμη καὶ δεκάτη F$^3$: ιζ̅ DP: *ras. 1 litt.* J: *om.* ABCGHK ὀκτωκαιδεκάτη] ιη̅ JKP: *om.* D 11 κακὴ] CG, *corr.* C: ἡ κακὴ F$^3$ 13 θεωρητὰς] ADJKP, *e corr.* C: θεωριτὰς H: θεωρητικὰς CFG, *in ras.* B 14 ἑτέρᾳ] CGJKB$^2$: ἑτέρῳ ABFHP, *mut. in* ἑτέραις D κρισίμοις D προδηλοῦν τε] HK *et seq. ras.* ABD: προδηλοῦν P *et in ras.* J: προδηλοῦνται CG: προδηλοῦντες F 17 ἐπισημασίας D 19 τεσσαρεσκαιδεκάτης] A: τεσσαρισκαιδεκάτης BCFGK: τεσαρισκαιδεκάτης H: ιδ̅ DJP 20 τεσσαρεσκαιδεκάτης] A: τεσσαρισκαιδεκάτης BCDGHF: ιδ̅ JKP 21 κρίσεις] αἱ κρίσεις D 26 τὸ δὲ *om.* BH, *supra scr.* K 27 ὥς αἵ γε] ὅσαι δὲ D 28 οὐ κρίσεσι] οὐκ ἐκκρίσεσιν P

ἡμέραν τελέως ἔοικεν Ἱπποκράτης καταφρονεῖν, ἑξηκοστὴν δὲ καὶ ὀγδοηκοστὴν καὶ ἑκατοστοεικοστὴν ἐν λόγῳ τίθεται· μετὰ δὲ ταύτας τὰ μὲν ἐν ἑπτὰ μησί, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι κρίνεσθαί φησιν, τὰ δέ, ὡς ἔοικεν, ἐν διτταῖς ἐτῶν ἑβδομάσι καὶ τριτταῖς.

### ζ΄. Ὅτι τὰ κρίσιμα σημεῖα ἐν ἀρχῇ φαινόμενα μοχθηρά.

Πέψεως μὲν οὐκ ἔστιν ὅτε κακῶς ἐπιφαίνεται σημεῖα· πᾶσα γὰρ πέψις ἐπικρατούσης τῆς φύσεως γίνεται· διὰ τοῦτο ἀεὶ ἀγαθή ἐστιν. τὰ κρίσιμα δὲ ἔστιν ὅτε κακῶς ἐπιφαίνεται διὰ τὸ τὴν κρίσιν ἐπαμφοτερίζειν ποτὲ μὲν ἀγαθήν, ποτὲ δὲ κακὴν γιγνομένην, ὡς ἔμπροσθεν διὰ τῶν κρισίμων ἡμερῶν εἴρηται. οὔτε οὖν ἐν ταῖς ἀρχαῖς οὔτε ἐν ταῖς ἀναβάσεσιν αὐτὰ φαίνεσθαι χρή, ἀλλ᾽ ἐν τῷ τῆς παρακμῆς χρόνῳ, καθ᾽ ὃν ἡ φύσις ἐπικρατεστέρα τοῦ νοσήματός ἐστιν.

### η΄. Πῶς ἐσομένην κρίσιν προγινώσκειν χρή.

Εἰ μὲν ἐπιτείνοιντο καὶ προλαμβάνοιεν οἱ παροξυσμοὶ καὶ σφοδρότεροι γίγνοιντο πολλῷ καὶ διὰ τρίτης ἐπισημαίνοιεν, καὶ σημεῖα πέψεως ἐν τοῖς οὔροις ἢ τοῖς διαχωρήμασιν ἢ καὶ τοῖς ἀναπτυομένοις εὑρίσκοιτο, μᾶλλον ἁπάντων ἐν τάχει τὸ νόσημα κριθήσεται. εἰ δ᾽ ἀργῶς κινοῖντο καὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν ἐφ᾽ ἑκάστης ἡμέρας γιγνόμενοι, μετὰ πλείονα χρόνον ἔσεσθαι προσδόκα τὴν κρίσιν. καὶ τῶν ἐπὶ ῥίγεσι δὲ σφοδρῶς πυρεττόντων οὐχ οἷόν τε λύσιν γενέσθαι πρὸ τοῦ πραϋνθῆναι τὸ ῥίγος· τούτου γὰρ μηδὲν ἐνδιδόντος ἀδύνατόν ἐστιν ἤδη τὴν ἀκμὴν ἀπειληφέναι τὸ νόσημα, καὶ δῆλον, ὅτι πολλῷ μᾶλλον οὐδὲ τὴν παρακμὴν ἐλπίζειν χρή.

### θ΄. Πῶς ἐνεστῶσαν κρίσιν διαγινώσκομεν.

Δυσφορία προηγεῖται κρίσεως ἁπάσης καί, εἰ μὲν ἐν ἡμέρᾳ κριθή- 1
σεσθαι μέλλοι, νύκτωρ, εἰ δὲ ἐν νυκτί, δι᾽ ἡμέρας, καὶ συμπτώματα ἐπιγίγνονται, οἷον κεφαλαλγία μὴ πρότερον γινομένη, καὶ τράχηλος συναλγεῖ, καὶ ὑποχόνδριον ἀνασπᾶται, καὶ δύσπνοιά τις ἐξαιφνίδιος καὶ ἕτερα χαλεπὰ συμπτώματα πρώην μὴ γιγνόμενα φαίνεται. καί, εἰ

*ζ΄ cf. Oribasius, Synops. VI 1* *η΄ Oribasius, Synops. VI 3* *θ΄ Galenus, Therap. ad Glauc. I 16; cf. De crisib. III 2; Aëtius V 24*

2 ἑκατοεικοστὴν CF: ἑκατοστὴν, *ante* -ς- *ras. 6 litt.*, K: ρ̄ P 5 τὰ] καὶ τὰ A: *om.* F ἀρχαῖς AHK φαινόμενα] *in ras.* B: φαίνονται AK: φένωντε H 7 ἀεὶ] οὖν ἀεὶ D: *om.* P 10 διὰ] ἐπὶ D 12 ἐστὶ τοῦ νοσήματος F: γ΄ τοῦ νοσήματος P 14 προλαμβάνοιεν] προ- *supra add.* K² 16 καὶ] καὶ ἐν FGP, ἐν *supra add.* C 18 εἰσβάλοιεν CH 19 προσδοκᾶν H 20 σφοδροῖς D 21 ἐνδιδοῦντος CG, *corr. ex* ἐνδιδόντι F 24 διαγινώσκομεν] -ομε- *in ras.* B: διαγινώσκειν AHK: διαγιγνώσκομεν G 27 ἐπιγίνονται BK: ἐπιγίγνεται DF: ἐπιγίνεται P² γιγνομένη HJ: ἐπιγενομένη F 29 εἰ *om.* D

τούτων γιγνομένων οἱ cφυγμοὶ μὴ καταπίπτοιεν, ἀλλ' εἰc ὕψοc μᾶλλον αἴροιντο καὶ cφοδρότεροι γίγνοιντο, προcεπιcφραγίζοι δὲ καὶ κρίcιμοc ἡμέρα, καὶ αὕτη μάλιcτα τῶν καλῶc κρινουcῶν, οὐ μόνον κρίcιν ἐcομένην, ἀλλὰ καὶ ἀγαθὴν αὐτὴν προcδόκα. μὴ καταπλαγῇc δὲ ἐν τούτοιc, μηδὲ εἰ παραφρονοῦντα τὸν ἄνθρωπον ἢ ἀναπηδῶντα θεάcοιο· καὶ γὰρ καὶ ταῦτα τῆc ἄνω φορᾶc τῶν χυμῶν εἰcι γνωρίcματα, ὥcπερ αὖ τῆc κάτω ἕτερα, δῆξίc τε ὑπογαcτρίου καὶ cτρόφοc περὶ τὸν ὀμφαλὸν καὶ ὀcφύοc ἄλγημα καὶ βορβορυγμὸc ἔcθ' ὅτε, καὶ ἄλλα τούτοιc ὁμογενῆ φαίνεται cημεῖα γιγνόμενα· πρὸc δέ γε τούτοιc, εἰ δι' αἱμορροΐδοc ὁ κάμνων εἰώθει κενοῦcθαι, καὶ ταύτηc ὁ τῆc περιόδου cυντρέχοι χρόνοc, ὡcαύτωc δὲ κἀπὶ τῶν καταμηνίων, εἰ γύναιον εἴη τὸ νοcοῦν, οὐδὲν ἄτοπον διὰ τῆc τοιαύτηc αὐτοῖc κενώcεωc γίνεcθαι τὴν
2 κρίcιν. καὶ τοὺc ἱδρῶταc δὲ ταῖc προηγηcαμέναιc, ὡc εἰκόc, νοτίcι, καὶ μάλιcτα ἐν ἐπιδήλῳ γενομέναιc ἡμέρᾳ, καὶ τῇ τῶν πόρων ἀναπετείᾳ προγνωcτέον ἐcτί. τὴν δὲ διὰ τῶν ἄνω κενώcεων ἐκ τῶνδε ἂν μάλιcτα γνοίηc· ἐμβλέπειν γὰρ ἤδη πρὸc τοῖc εἰρημένοιc καὶ τὸ τοῦ νοcοῦντοc πρόcωπον, καί, εἴ τι πάλλοιτο τῶν ἐν αὐτῷ μορίων, ἢ cφύζοιεν αἱ ἐν τοῖc κροτάφοιc φλέβεc, ἢ μῆλον ἢ ῥὶc ἢ ὀφθαλμὸc ἐρυθρότεροc γίγνοιτο, μᾶλλον ἐλπίζειν· εἰ δὲ καὶ δακρύοιεν ἄκοντεc ἢ [καὶ] μαρμαρυγὰc ὁρᾶν φαντάζοιντο καὶ τὰc χεῖραc ἐπὶ τὰc ῥῖναc φέροιεν ὡc κνώμενοι, τηνικαῦτα μὲν οὐκέτι μέλλον ἀλλ' ἤδη ῥέον ὄψει τὸ αἷμα· κνηcαμένων γὰρ αὐτῶν ἅπαξ καὶ δὶc ἐκρήγνυται. δῆξιc δὲ cτομάχου καὶ τρόμοc τοῦ κάτω χείλουc τὴν δι' ἐμέτων ἡμῖν πολλάκιc ἐδήλωcε κρίcιν. καὶ ταῦτα μὲν ἱκανά· προcέρχεται δὲ αὐτοῖc ἥ τε τοῦ νοcοῦντοc ἡλικία τε καὶ φύcιc βεβαιοῦcα τὴν ἐλπίδα καὶ προcέτι τοῦ ἔτουc ὁ καιρὸc ἥ τε παροῦcα κατάcταcιc· εἰ γὰρ μειράκιον εἴη τὸ νοcοῦν ἢ ἄλλωc φύcει
3 θερμὸν ἢ πολύαιμον, ἔτι μᾶλλον ἐλπίcειc. εἰ δὲ καὶ πρόcθεν αὐτῷ κένωcιc αἵματοc ἐφαίνετο νοcοῦντι ἢ ὑγιαίνοντι, ὡc ἔμπροcθεν εἴπομεν, τοῦτο καὶ μόνον ἱκανὸν αἱμορραγίαc ἐλπίδα παραcχεῖν. εἰ δὲ καὶ τὸν καιρὸν τοῦ ἔτουc ὁρῴηc θέροc ἢ οὐ θέροc μὲν ἄλλωc δὲ θερμὴν τὴν παροῦcαν κατάcταcιν, καὶ πολλάκιc κατ' ἐκεῖνον τὸν καιρὸν αἱμορραγίαιc εἶεν κεκριμένοι, καὶ πληθωρικὸν τὸ cῶμα, καὶ cυνήθων ἐκκρίcεων ἐπίcχεcιc, καὶ ταῦτα ἂν αὐξήcειάν cου τὴν ἐλπίδα. παραπληcίωc δὲ κἀπὶ τῶν λοιπῶν λογίζεcθαι κενώcεων. εἰ δὲ τούτων μὲν μηδὲν ὀφθείη,

28 ἔμπροcθεν] *p. 75, 22 sq.*

1 γινομένων AP: γιγνομένων ἂν D   2 καὶ *(alt.)*] καὶ ἡ D   3 τῶν] εἴη τῶν D   καλῶc] μὴ κακῶc D   4 ἐν] ἐπὶ D   7 αὖ] οὖν D   τε] τε γὰρ D: γὰρ P   9 αἱμορροίδων D   10 ταύταιc D   cυντρέχοι] AGHJK, *e corr.* B: cυντρέχει BCDFP   12 αὐτοῖc] *e corr.* J: αὐτῆc F: *om.* DP   γίνεcθαι] προcδοκᾶν γενέcθαι (-εν- *in ras.*) D   13 ταῖc] ταῖc τε D   14 ἀναπετείᾳ] ἀνέcει P   15 ἐκ] κρίcιν ἐκ P   16 ἤδη] δεῖ DP: *om.* F   17 ἢ] ἢ εἰ D
18 ἐρυθροτέροιc CG, *corr.* $C^2$   19 δακρύεν A: δακροῖεν HP   ἢ] DJKP: ἢ εἰ ABCFGH, *e corr.* J   καὶ *(alt.) om.* K   21 ῥέον] CDFGP$J^3$: ἐν ABHK, *ras.* J   22 δὲ] *in ras.* J: τε K   24 προcέχεται D   28 ὡc . . . εἴπομεν] *supra scr.* $J^3$   30 ὁρᾷc DP   δὲ] *om.* F: *ras.* B   31 πολλὰ D   αἱμορραγίαc CGP, *corr.* C   32 κεκριμένα D   ἐκκρίcεωc CFG, *corr.* $C^2$   33 αὐξήcειεν CGHJ: αὐξήcειε P, *e corr.* J: αὐξήcεεν F   cοι H

δυσφορίας δὲ γενομένης ἔν τινι τῶν ὑπὲρ τὴν εἰκοστὴν μάλιστα κρισίμων ἡμερῶν καὶ τοῦ νοσήματος ἀκμάζοντος ὀδύναι τινὲς ἔν τισι τῶν ἄρθρων ἢ παρὰ τὰ ὦτα ἢ καὶ ἐν ἄλλοις μορίοις ἢ οὐκ ὀδύναι μὲν ἱδρῶτες δὲ μερικοὶ κατά τι τῶν μορίων συνεχῶς γίγνοιντο, δι' ἀποστάσεως δεῖ τὴν κρίσιν προσδέχεσθαι καὶ κατ' ἐκεῖνο μάλιστα τὸ μόριον γίνεσθαι τὴν ἀπόστασιν, ἔνθα οὖν ἢ ἱδρῶτες ἢ ὀδύναι ἢ ὄγκοι γίγνοιντο.

## ι'. Πῶς γεγονυῖαν ἀρίστην κρίσιν διαγινώσκομεν.

Εἰ μὲν κένωσις προσήκουσα μετὰ πέψιν γίγνοιτο, ὅ τε πυρετὸς τῷ κρινομένῳ λύοιτο, καὶ τῶν ἄλλων ἀπαλλάττοιτο συμπτωμάτων εὐχρούστερός τε γίγνοιτο πρὸς λόγον τῆς κενώσεως εὐσφυκτότερός τε εἴη καὶ ἰσχυρότερος ἐν ταῖς ἐπαναστάσεσι, καὶ τὸ πάντων ἀσφαλέστερον εὐφορία αὐτοῖς παρακολουθοίη, αὕτη μὲν ἡ ἀρίστη κρίσις ἐστίν· εἰ δέ τι τούτων ἐλλείποι, τοσοῦτον ἀποδέει τῆς ἀρίστης, ἡλίκη τοῦ λείποντος ἡ δύναμις.

## ια'. Περὶ σφυγμῶν, ἐκ τῶν Γαληνοῦ.

Ὁ μὲν σφυγμὸς κίνησίς ἐστι καρδίας καὶ ἀρτηριῶν κατὰ διαστολὴν **1** καὶ συστολὴν γιγνομένη, χρεία δὲ αὐτοῦ διττή· τῇ μὲν γὰρ διαστολῇ οἷον ἐξαπλώσει τινὶ καὶ ἀναπετείᾳ τῆς ἀρτηρίας οὔσῃ ψυχρὸς ἀὴρ εἰσέρχεται ῥιπίζων τε καὶ ἀναζωπυρῶν τὸν ζωτικὸν τόνον, ὅθεν καὶ τοῦ ψυχικοῦ πνεύματος ἡ γένεσις· τῇ δὲ συστολῇ συνιζήσει καὶ συννεύσει τῶν τῆς ἀρτηρίας περάτων ἐπὶ τὸ κέντρον ὑπαρχούσῃ τῶν λιγνυωδῶν περιττωμάτων ἡ ἔκκρισις γίγνεται. αὐταὶ δὲ αἱ ἀρτηρίαι ἐπιμήκη μέν εἰσιν ἀγγεῖα κοῖλα, καθάπερ αἱ φλέβες, ἀλλὰ διχίτωνα διά τε τὴν εἰρημένην κίνησιν, καὶ ὅτι αἵματός τε καὶ πνεύματός εἰσι περιεκτικά, ἐκφυόμενα μὲν ἀπὸ καρδίας, διανεμόμενα δὲ κατὰ πάντα τοῦ σώματος τὰ μόρια. πᾶσαι μὲν οὖν αἱ ἀρτηρίαι τὸν αὐτὸν τρόπον σφύζουσιν ἀλλήλαις τε καὶ τῇ καρδίᾳ, ὥστε ἐκ μιᾶς αὐτῶν δύνασθαι περὶ πασῶν συλλογίζεσθαι· οὐ μὴν αἰσθέσθαι γε τῆς κινήσεως ὁμοίως ἁπασῶν δυνατόν, ἀλλὰ τῶν μὲν ἐν τοῖς ἀσάρκοις τοῦ σώματος μέρεσι

ι' *Oribasius, Synops. VI 2. cf. Aëtius V 53* ια' *cf. Galenus, De puls. diff. IV 2; Deff. 74; De puls. ad tiron. 1. Aëtius V 27*

1 γινομένης BGHJK 3 μορίοις] μορίοις ἐπισυμβαῖεν D 4 τῶν μορίων] μόριον D 5 προσδέχεσθαι] D: δέχεσθαι ABCFGHJK καὶ] *ed. Basil.*: *om.* ABCDFGHJK 6 γίγνεσθαι CJ: γινομένης D τὴν ἀπόστασιν *om.* D οὖν] *om.* D, *del.* K: ἂν P ἢ *(pr.)*] οἱ DF: *om.* P ἢ *(sec.)*] ἢ αἱ D ἢ *(tert.)*] ἢ οἱ D 7 γίγνοιντο] φαίνοιντο D 8 διαγιγνώσκομεν GH: διαγινώσκειν J 10 τῷ κρινομένῳ] *om.* D: τῶν κρινομένων F 13 αὐτοῖς] τούτοις D 14 τι *om.* D ἐλλίποι AHJ: ἐλλείπει C: ἐλλείποι τι D ἀποδέει] ABJP, *e corr.* D: ἀποδεῖ K: ἀποδέῃ CFG: ἀποδε H 16 ἐκ τῶν Γαληνοῦ *om.* J τῶν] τοῦ AF 18 γὰρ *om.* D, *supra scr.* J 19 οὔσης K 26 τοῦ] τὰ τοῦ D 27 τὰ] *supra scr.* $B^2$: *om.* D οὖν] *mrg.* $B^2$: *om.* J

προχειρότερον, τῶν δὲ ἐν τοῖς σαρκώδεσιν ἀμυδρότερον. οὔτε δὲ εὐσχημονέστερον οὔτε τῇ χρείᾳ συμφορώτερον ἄλλης ἂν ἅπτοιο τὰς ἐν τοῖς καρποῖς παρείς.

2 α̅. ἔστιν οὖν πρῶτον γένος σφυγμῶν τὸ παρὰ τὸν χρόνον τῆς κινήσεως ἔν τε τῇ διαστολῇ καὶ τῇ συστολῇ θεωρούμενον· διαφοραὶ δὲ αὐτοῦ ὅ τε ταχύς ἐστι καὶ ὁ βραδὺς καὶ ὁ σύμμετρος, ὅτι καὶ πᾶν τὸ κινούμενον ἢ ταχέως ἢ βραδέως ἢ μέσως πως κινεῖται κατὰ χρόνον. ταχὺς μὲν οὖν ἐστιν ὁ ἐν ὀλίγῳ χρόνῳ πολὺ κινούμενος διάστημα, βραδὺς δὲ ὁ ἐν πολλῷ χρόνῳ ὀλίγον κινούμενος διάστημα, σύμμετρος δὲ ὁ μέσως πως ἔχων περὶ κίνησιν.

3 β̅. δεύτερον δὲ γένος ἐστὶ τὸ παρὰ τὸ ποσὸν τῆς διαστολῆς· ἐπεὶ γὰρ πᾶν σῶμα τρεῖς ἔχει διαστάσεις, μῆκος καὶ πλάτος καὶ βάθος, σῶμα δὲ καὶ ἡ ἀρτηρία, τρεῖς ἔχειν ἀνάγκη καὶ ταύτην διαστάσεις. ἀλλ᾽ ἐν μὲν τῷ κατὰ φύσιν ἔχειν τὸ ζῷον συμμέτρως πάντη διαστελλομένην αὐτὴν εὑρήσεις, ἐν δὲ τῷ παρὰ φύσιν ἔστιν ὅπη τὸ μὲν ἐλλείπει τὸ δὲ ὑπερβάλλει καθ᾽ ἥντιναοῦν διάστασιν· ἐν τούτῳ δὲ χρὴ μεμνημένον, οἷος ἦν ὁ κατὰ φύσιν σφυγμός, εἰ μὲν τῷ πλάτει μείζων εὑρίσκοιτο, πλατὺν καλεῖν, εἰ δὲ τῷ μήκει, μακρόν, εἰ δὲ τῷ βάθει, ὑψηλόν, δῆλον δὲ καὶ τοὺς ἐναντίους αὐτοῖς καὶ τοῦ κατὰ φύσιν ἐλάττους κατὰ λόγον ὀνομάζειν στενὸν καὶ βραχὺν καὶ ταπεινόν· τῶν δὲ ἐν πάσαις ταῖς διαστάσεσιν ὁμοίως εἰς τὸ παρὰ φύσιν τρεπομένων ὁ μὲν πάντη μειωθεὶς μικρός, ὁ δὲ αὐξηθεὶς μέγας ὀνομάζεται.

4 γ̅. τρίτον ἐστὶ γένος σφυγμῶν τὸ παρὰ τὸν τόνον τῆς δυνάμεως, διαφοραὶ δὲ αὐτοῦ τρεῖς, σφοδρὸς καὶ ἀμυδρὸς καὶ σύμμετρος. σφοδρὸς μέν ἐστιν ὁ πλήττων εὐρώστως τὴν ἁφὴν τοῦ ἰατροῦ, ἀμυδρὸς δὲ ὁ ἀρρώστως τε καὶ ἀσθενῶς, σύμμετρος δὲ ὁ τούτων μεταξύ, ὅν τινες εἶναι τὸν κατὰ φύσιν ἐνόμισαν· ἐπὶ γὰρ θυμῷ καὶ γυμνασίοις σφοδρότερον γίγνεσθαι τὸν σφυγμόν φασιν, οὐ κατὰ φύσιν ὑπάρχοντα. πρὸς οὓς ὁ Γαληνὸς ὑπήντησεν οὐ μόνιμον ἀλλ᾽ ἑτοίμως μεταβάλλοντα φήσας τὸν ἐπὶ τοῖς οὐ κατὰ φύσιν αἰτίοις σφοδρότερον γιγνόμενον σφυγμόν· ὁ τοίνυν σφοδρότερος οὐ μεταβάλλων ἑτοίμως οὗτος κατὰ φύσιν τε καὶ σύμμετρος ἂν εἴη.

5 δ̅. τέταρτον γένος ἐστὶ τὸ παρὰ τὴν σύστασιν τοῦ ὀργάνου, λέγω δὲ τοῦ τῆς ἀρτηρίας σώματος, διαφοραὶ δὲ καὶ τούτου τρεῖς· ἢ γὰρ σκληρότερόν ἐστι τοῦ κατὰ φύσιν τὸ ὄργανον, καὶ καλεῖται σκληρὸς

4 *sqq. Galenus, De puls. ad tiron.* 2 23 *sqq. cf. Galenus, De puls. ad tiron.* 3 29 *Galenus, De caus. puls. I* 7

4 ἔστιν] ἔστι μὲν CFG, *e corr.* B 9 βραδὺς . . . διάστημα *om.* H, *supra scr.* J[3] 11 δὲ *om.* D 12 βάθος καὶ πλάτος D 15 αὐτὴν] *om.* F: ταύτην D 16 τούτῳ δὲ] τούτοις οὖν D 18. 19 δῆλον δὲ καὶ] δεῖ δὲ D 21 παρεπομένων H 22 μέγας] πάντη μέγας D 25 ἐστιν] οὖν ἐστιν D: *om.* F 26 ἄρρωστος D ἀσθενής D 29 ἀπήντησεν D 31 ὁ] ὁ ἀεὶ K 34 δὲ *(pr.)*] δὴ F

ὁ σφυγμός, ἢ μαλακώτερον, καὶ λέγεται μαλακός, ἢ μέσως ἔχον, καὶ σύμμετρος κατὰ τοῦτο προσαγορεύεται.

6 ε̄. πέμπτον γένος ἐστὶ σφυγμῶν τὸ παρὰ τὸ ποσὸν τοῦ τῆς ἀρτηρίας ἐγχύματος, διαφοραὶ δὲ αὐτοῦ ὅ τε πλήρης ἐστὶ καὶ ὁ κενὸς καὶ ὁ σύμμετρος, ἐπεὶ καὶ πᾶν ἀγγεῖον ἢ πλῆρές ἐστιν ἢ κενὸν ἢ συμμέτρως ἔχον ἐγχύματος. πλήρης μὲν οὖν ἐστι σφυγμός, ὡς Ἀρχιγένης ὁρίζεται, ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχυλώσει, κενὸς δὲ ὁ πομφολυγώδη ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν.

7 ϛ̄. ταῦτα μὲν οὖν τὰ πέντε γένη τῶν σφυγμῶν κατὰ μίαν κίνησιν τῆς ἀρτηρίας συνίσταται· ἐπειδὴ δὲ τὸ ποιὸν τῆς κατὰ τὴν καρδίαν θερμασίας ἔοικέ πως μᾶλλον κατὰ τὴν ἀρτηρίαν σαφέστερον φαίνεσθαι, ἠξίωσαν καὶ τοῦτο τὸ γένος τῶν σφυγμῶν ἕκτον ἐπὶ τοῖς εἰρημένοις συγκατατάττειν.

τῶν δὲ ἄλλων γενῶν τῶν τε καθ' ἕνα καὶ κατὰ πολλοὺς λαμβανομένων τό τε παρὰ τὸν χρόνον ἐστὶ τῆς ἠρεμίας καὶ τὸ παρὰ τὸν ῥυθμὸν καὶ τὸ παρὰ τὴν ὁμαλότητα καὶ ἀνωμαλίαν καὶ τὸ παρὰ τὴν τάξιν καὶ ἀταξίαν.

8 ζ̄. τὸ μὲν οὖν παρὰ τὸν χρόνον τῆς ἠρεμίας, ὅπερ ἐστὶν ἕβδομον ἀπὸ τοῦ πρώτου, τέμνεται εἴς τε τὸν πυκνὸν καὶ τὸν ἀραιὸν καὶ τὸν σύμμετρον· τῆς γὰρ ἀρτηρίας διπλῆν κινουμένης κίνησιν ἐξ ἐναντίων συγκειμένην κινήσεων διττὰς ἀναγκαῖον αὐτῇ συμπίπτειν ἠρεμίας, ἑτέραν μὲν τὴν μετὰ τὴν διαστολὴν πρὸ τῆς συστολῆς, ἑτέραν δὲ τὴν μετὰ τὴν συστολὴν πρὸ τῆς διαστολῆς, ἥτις καὶ ἀνεπαίσθητος εἶναι τοῖς πολλοῖς ἔδοξεν· ὥστε μεταξὺ τῶν δύο κινήσεων ἠρεμίαν τινὰ μεσολαβεῖσθαι. ᾧ μὲν οὖν πολὺς ὁ τῆς ἠρεμίας χρόνος, οὗτός ἐστιν ἀραιός, ᾧ δὲ βραχύς, πυκνός, ᾧ δὲ μέσος, σύμμετρος.

9 η̄. ὄγδοον γένος σφυγμῶν τὸ παρὰ τὸν ῥυθμόν. ἔστι δὲ ῥυθμὸς καθόλου μὲν σχέσις ἢ ἀναλογία χρόνου πρὸς χρόνον, ἐπὶ δὲ σφυγμοῦ κατά τινας μὲν χρόνου κινήσεως πρὸς χρόνον ἠρεμίας, οἷον τῆς διαστολῆς καὶ τῆς συστολῆς πρός τινα τῶν μεταξὺ ἠρεμιῶν, καθ' ἑτέρους

6 *sqq. Galenus, De puls. diff. I 5; De dignosc. puls. IV 3* 12 *sqq. cf. Galenus, Deff. 212* 20 *sqq. cf. Galenus, De puls. diff. I 6* 29 *sqq. cf. Galenus, De dignosc. puls. III 3*

1 ἔχον] H, *corr. ex* ἔχων DG: ἔχων ABCFJK 2 κατὰ τοῦτο] ὁ τυοῦτος H 4 ἐγχύματος] σώματος D 6 ἔχον] DHK, *corr. ex* ἔχων BGJ: ἔχων ACF 7 ναστοτέραν] DH, *mrg.* C²: ναστωτέραν AK, *corr. ex* νασιωτέραν B: πυκνοτέραν ἢ μεστοτέραν CFG, *e corr.* J³, *mrg.* B² 8 ἐγχυλώσει] D: ἐν χυλώσει ABCFGHJK ἔγερσιν] τὴν ἔγερσιν D 9 κατὰ] τὸν κατὰ BHK, τὸν *del.* B τὸν *om.* BHK, *ins.* B³ πιαισμὸν K 12 συνίστανται FG 15 συγκατατάττεσθαι K 23 αὐτῇ συμπίπτειν] συμπίπτειν αὐτῇ καὶ D 24 τὴν *(sec.) om.* J 25 τὴν *om.* K 29 γένος] δὲ γένος H 31 χρόνου] DC², *e corr.* B: χρόνους ABCFGJK, *e corr.* H: χρόνος H, *e corr.* D πρὸς] καὶ πρὸς HK, καὶ *eras.* K 32 καὶ] ἢ D

δὲ χρόνου κινήϲεωϲ καὶ ἠρεμίαϲ πρὸϲ χρόνον κινήϲεωϲ καὶ ἠρεμίαϲ ἢ κινήϲεωϲ πρὸϲ κίνηϲιν, οἷον διαϲτολῆϲ πρὸϲ ϲυϲτολήν, ἠρεμίαϲ πρὸϲ ἠρεμίαν, οἷον τῆϲ ἔϲω πρὸϲ τὴν ἐκτόϲ. διαφοραὶ δὲ τοῦ ῥυθμοῦ αἱ πρῶται δύο, εὔρυθμόϲ τε καὶ ἄρυθμοϲ, ἄρυθμόν μου λέγοντοϲ οὐ τὸν μηδένα ῥυθμὸν ἔχοντα (τοῦτο γὰρ ἀδύνατον) ἀλλὰ τὸν κατάρυθμον, ὥϲπερ ἄφωνόν τε καὶ ἀτράχηλον λέγομεν. τοῦ δὲ ἀρύθμου διαφορὰ τριττή· ὁ μὲν γάρ ἐϲτι παράρυθμοϲ μετρίαν ἔχων τῆϲ εὐρυθμίαϲ παρατροπήν, ὁ δὲ ἑτερόρυθμοϲ ἐπὶ πλέον παρατραπείϲ, ὁ δὲ ἔκρυθμοϲ ὁ παντελῶϲ διαφθείρων τὴν εὐρυθμίαν· οἷον ϲημειουμένου ϲου παιδίον ὁ μὲν ἴδιοϲ τῆϲ παιδικῆϲ ἡλικίαϲ κατὰ τὸν ῥυθμὸν ϲφυγμὸϲ εὔρυθμοϲ καλεῖται, ὁ δὲ τῆϲ ἀκμαϲτικῆϲ ἑτερόρυθμοϲ, ὁ δὲ μηδὲ τὸν ταύτηϲ διαϲώζων ἔκρυθμοϲ προϲαγορεύεται.

**10** θ̄. ἔνατον γένοϲ ἐϲτὶ ϲφυγμῶν ἐν ἅπαϲι τοῖϲ εἰρημένοιϲ εὑριϲκόμενον γένεϲι τὸ παρὰ τὴν ὁμαλότητα καὶ ἀνωμαλίαν, ὅπερ ἢ ἐν ἑνὶ ϲφυγμῷ θεωρεῖται ἢ ἐν πλείοϲιν, ὃ καὶ ϲυϲτηματικὸν καλεῖται· περὶ οὗ πρότερον ὡϲ ϲαφεϲτέρου λεκτέον. ὁμαλὸϲ μὲν οὖν ἐϲτι ϲφυγμὸϲ ὁ ἐφεξῆϲ ἴϲοϲ ἄν τε κατὰ μέγεθοϲ ἄν τε κατὰ τόνον ἢ τάχοϲ ἤ τινα τῶν λοιπῶν ἢ καὶ πάντα, ἀνώμαλοϲ δὲ ὁ ἐφεξῆϲ ἄνιϲοϲ. εἰ μὲν γὰρ οἱ ἐφεξῆϲ ἅπαντεϲ ἴϲοι, κατὰ μέγεθοϲ τυχόν, ὑποπίπτοιεν, ὁμαλὸϲ ὁ τοιοῦτοϲ καλεῖται ϲφυγμόϲ· εἰ δὲ ὁ μὲν πρῶτοϲ καὶ ὁ δεύτεροϲ καὶ ὁ τρίτοϲ ἴϲοι φανεῖεν, ἄνιϲοϲ δὲ ὁ τέταρτοϲ, δῆλον, ὅτι ὡϲ ἀνώμαλοϲ ὁ τοιοῦτοϲ κατὰ μέγεθοϲ λέγεται ϲφυγμόϲ. τούτου τοῦ γένουϲ εἰϲὶν ὅ τε διαλείπων καὶ ὁ παρεμπίπτων· οὐ μόνον γὰρ παρ᾽ ἕνα ἢ καὶ πλείοναϲ μεγάλουϲ εἷϲ φαίνεται μικρότεροϲ, ἀλλ᾽ ἐνίοτε καὶ τέλεον ὅλη ἡ κίνηϲιϲ ἀπόλλυται, καὶ λέγεται διαλείπων ὁ ϲφυγμόϲ, ὥϲπερ ἕτεροϲ παρεμπίπτων ἐναντίοϲ τούτῳ, ὅτε προϲδοκωμένηϲ ἠρεμίαϲ ἐν τῷ μέϲῳ οἷον περιϲϲόϲ τιϲ ἐμπέϲῃ ϲφυγμόϲ. εἰ δὲ ὁ μὲν δεύτεροϲ τοῦ πρώτου βραχεῖ γένηται μικρότεροϲ, ὁ δὲ τρίτοϲ τοῦ δευτέρου καὶ ὁ τέταρτοϲ τοῦ τρίτου τῷ ἴϲῳ, καὶ τοῦτο ἄχρι πλείονοϲ, τοὺϲ τοιούτουϲ ϲφυγμοὺϲ μυουρίζοντάϲ τε καὶ μυούρουϲ καλοῦϲιν ἀπὸ τῶν εἰϲ ὀξὺ τελευτώντων ϲχημάτων τοὔνομα μεταφέροντεϲ. ὅϲοι μὲν διὰ παντὸϲ αὐτῶν μειοῦν-

3 *sqq. Galenus, De puls. diff. I 8* 13 *sqq. Galenus, De puls. diff. I 9*
22 *sqq. Galenus, De puls. diff. I 11* 27 *sqq. ib. I 10*

1 χρόνου] ABHJK, *e corr.* C: χρόνοϲ D: χρόνουϲ CFG, *e corr.* J πρὸϲ . . . ἠρεμίαϲ *om.* DH, *mrg.* C² 2 ἠρεμίαϲ] *mut. in* ἢ ἠρεμίαϲ C²: καὶ ἠρεμίαϲ D 4 ἄρυθμοϲ] *e corr.* BJ: ἄρρυθμοϲ D ἄρρυθμον D ἐμοῦ D 5 κακόρρυθμον D 6 ἀρρύθμου D 7 παράρρυθμοϲ D 8 ἑτερόρρυθμοϲ D ἔκρυθμοϲ ὁ] ἄρρυθμοϲ D 9 οἷον . . . ϲου] ϲημειουμένῳ γάρ ϲοι D 11 ἑτερόρρυθμοϲ D μηδὲ] HK: μηδὲν ACDFGJ, *e corr.* B τὸν] BHK: *ras. 3 litt.* A: τῶν CDFGJ 12 *mrg.* γρ. ἄρυθμοϲ JB² προϲαγορεύεται] καλεῖται A: λέγεται J 13 ἔννατον ACF, *corr. ex* ἔνατον J 14 ἢ] *ras. 1 litt.* A ἐν *om.* F, *supra scr.* C² 17 ἴϲωϲ CG, *corr.* C² 21 ὅτι *om.* D 25 ἕτεροϲ] ὁ ἕτεροϲ D 26 ἐναντίοϲ] ACGJ: ὁ ἐναντίοϲ D: ἐναντίωϲ BFHK 27 τιϲ περιϲϲὸϲ D 28 βραχὺ CF, *in ras.* J 31 φέροντεϲ AJ, *corr.* J³ μὲν] BJ: μὲν οὖν D: μὲν μὴ ACFGK, μὴ *del.* ACK: μὲν μὶ H

ται καὶ οὐδέποτε παύονται τοῦ τοιούτου παθήματος, εἰς ἀκινησίαν παντελῆ τελευτῶσιν, καὶ καλοῦμεν αὐτοὺς ἐκλείποντας μυούρους· ὅσοι δὲ παύονται, διττὴν ἔχουσι τὴν διαφοράν· τινὲς μὲν γὰρ αὐτῶν, ἐν ᾗ πρῶτον ἐπαύσαντο μικρότητι, ταύτην διὰ παντὸς φυλάττουσι, τινὲς δὲ αὐξάνονται πάλιν ἢ εἰς ὅσον τὸ κατ' ἀρχὰς ἐπανερχόμενοι μέγεθος ἢ εἰς ἔλαττον ἢ εἰς μεῖζον, οὓς μυούρους παλινδρομοῦντας καλοῦσι. γίγνονται δὲ κἂν τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ μύουροι σφυγμοί, περὶ ὧν ἐκεῖσε μετ' ὀλίγον εἰρήσεται.

τοιαύτη μέν τίς ἐστιν ἡ συστηματικὴ καλουμένη τῶν σφυγμῶν **11** ἀνωμαλία· ἡ δὲ καθ' ἕνα σφυγμὸν ἢ καθ' ἓν μόριον τῆς ἀρτηρίας ἢ κατὰ διαφέροντα γίγνεται, ὥσπερ ἐπὶ τῆς κινήσεως τυχὸν καθ' ἓν μὲν μόριον τῆς ἀρτηρίας ἀνωμαλία λέγεται, ὅταν ἄλλως ἄρξηται καὶ ἄλλως λήξῃ κινουμένη περὶ τὸν ἕνα δάκτυλον ἡ ἀρτηρία, ἀρχομένη μὲν ὠκυτέρα, τελευτῶσα δὲ βραδυτέρα, ἢ τὸ ἀνάπαλιν. τοῦτο δὲ γίγνεται τριχῶς, ἢ συνεχῶς μενούσης τῆς κινήσεως ἢ διακοπτομένης ἢ παλινδρομούσης καὶ οἷον δικροτούσης. εἰ μὲν οὖν συνεχὴς μένουσα καὶ μὴ διακοπτομένη μεταβάλλοι ἀπὸ τοῦ τάχους ἐπὶ τὸ βραδύτερον ἢ τὸ ἀνάπαλιν, ἀνισοταχὴς ὁ τοιοῦτος σφυγμός ἐστί τε καὶ λέγεται. εἰ δὲ ἠρεμοίη διακοπτόμενος καὶ τὸ λοιπὸν ὠκύτερος φαίνεται, δορκαδίζων καλεῖται ἐκ μεταφορᾶς τοῦ ζῴου τῆς δορκάδος, ἥτις ἐν τῷ ἀποπηδᾶν μετέωρος ἵσταται κατὰ τὸν ἀέρα καί τινα δευτέραν ἀδόκητον τῆς προτέρας ὠκυτέραν ποιεῖται κίνησιν. εἰ δὲ μετὰ τὸ διασταλῆναι παλινδρομοίη καὶ πρὶν συσταλῆναι τέλεον ἐκ δευτέρου πλήξοι τὴν ἁφήν, δίκροτος ὁ τοιοῦτος προσαγορεύεται σφυγμός. ἴδοις δ' ἄν τι τοιοῦτον γιγνόμενον ἐπὶ τῶν ἀκμόνων, ὅταν αἱ σφῦραι πρὸς ἅπαξ μὲν διὰ χειρὸς φερόμεναι πρὸς αὐτοὺς πλήξωσιν, ἀναπαλλόμεναι δὲ τῇ τοῦ ἄκμονος ἀντιτυπίᾳ καὶ δεύτερον αὖθις ἢ καὶ τρίτον πλήξωσιν.

οὐ μόνον δὲ κατὰ τὸν χρόνον τῆς κινήσεως τὴν κατὰ μίαν πλη- **12** γὴν ἐν ἑνὶ μορίῳ τῆς ἀρτηρίας ἀνωμαλίαν ἐγχωρεῖ γενέσθαι, ἀλλὰ καὶ [τὴν] κατὰ τὸν τόνον τῆς δυνάμεως, οὔτε δὲ [τὴν] κατὰ τὸ ποσὸν τῶν διαστάσεων (οὐ γὰρ οἷόν τε τὸν αὐτὸν σφυγμὸν ἐν ταὐτῷ μορίῳ μέγαν τε καὶ μικρὸν γίνεσθαι) οὔτε κατ' ἄλλο γένος. ἀλλ' ἐν διαφέρουσι μορίοις κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἐν ἑνὶ σφυγμῷ

8 εἰρήσεται] *p. 86, 5 sq.* 9 *sqq. Galenus, De puls. diff. I 12* 18—22 *ib. I 28* 22—27 *ib. I 16* 32 *sqq. cf. ib. I 17.*

5 ἢ *(pr.) om.* D τὸ] τῷ BK 7 γίνονται BDF 9 τῶν] D: ἡ τῶν ABCFGHJK 10 ἢ *(pr.)*] ἀνωμαλία ἢ D 11 γίνεται DF[3] μὲν *om.* CFGK 14 γίνεται DF 15 συνεχοῦς D 16 εἰ] ἢ K 17 μεταβάλοι DH: μεταβάλει F: μεταβάλλη C 18 ἠρεμοίη] -οιη *in ras.* B: ἠρεμύη H 19 καὶ] D: *om.* ABCFGHJK φαίνοιτο D 23 πλήξοι] J: πλήττοι D: πλήξει F: πλήξῃ ABCGHK 24 τοιοῦτον] CDFG, -ν *eras.* B: τοιοῦτο AHJK γινόμενον BJK 26 δὲ] D, *ins.* J: *om.* ABCFGHK 30 τὴν *(pr.)*] τῇ H: *om.* D τὴν *(alt.) om.* D 31 τῷ αὐτῷ CDG[2] 32 γενέσθαι D 33 φέροντα B ἐν ἑνὶ] ὡς *(seq. ras. 1—2 litt.)* ἐν ἑνὶ *e corr.* D

ἀνωμαλία γίγνεται διττή, ὁτὲ μὲν συνεχοῦς μενούσης τῆς κινήσεως καὶ κατά τινας μὲν δακτύλους ταχύτερον κινουμένης τῆς ἀρτηρίας, κατά τινας δὲ βραδύτερον, ὁτὲ δὲ καὶ διακοπτομένης, ὡς τινὰς μὲν δακτύλους ἀντιλαμβάνεσθαι τῆς κινήσεως, τινὰς δὲ μή. καὶ κατὰ τὸ ποσὸν δὲ τῆς διαστολῆς ἡ ἐν πλείοσι μορίοις ἀνωμαλία σαφής ἐστιν, ἐξ οὗ γένους εἰσὶν οἱ μύουροι κατὰ μίαν πληγὴν ἐπινενευκότες τε καὶ περινενευκότες. εἰ μὲν γὰρ κατὰ τὸν ἐσωτέρω δάκτυλον μέγας ὑποπίπτων καὶ κυρτούμενος ὁ σφυγμὸς ἐκ τοῦ πρὸς λόγον μειοῖτο, ὥστε κατὰ τὸ ἐξωτέρω πρὸς τῷ τοῦ κάμνοντος ἀντίχειρι τῆς ἀρτηρίας μέρος μικρότατον αὐτὸν φαίνεσθαι, μύουρος καλεῖται καθ' ὁμοιότητα τῆς τοῦ ζῴου τοῦ μυὸς οὐρᾶς ἢ μείουρος παρὰ τὸ μειοῦσθαι δίκην οὐρᾶς. εἰ δὲ κατὰ τοὺς μέσους δακτύλους μέγας ὑποπίπτων καὶ κυρτούμενος ἑκατέρωθεν μειοῖτο μικρότερος φαινόμενος, τοῦτον Ἀρχιγένης ἐπινενευκότα καὶ περινενευκότα προσηγόρευσεν σαφῶς δηλοῦν βουλόμενος τὸ κατὰ τὴν διαστολὴν βραχὺ μετὰ τῆς τῶν ἑκατέρωθεν περάτων οἷον ἐπινεύσεως· οὐ γὰρ ὡς ἀποκεκομμένων ἀθρόως ἀλλ' ὡς ἐπικεκαμμένων τῶν ἑκατέρωθεν μερῶν εἰς βραχὺ συνέσταλται μύουρος ὢν τῷ μεγέθει καθ' ἑκάτερα τὰ μέρη.

13 τῆς δὲ παρὰ τὸ μέγεθος ἀνωμαλίας τὸ μὲν πρωιαίτερον ἢ ὀψιαίτερον προσειληφυίας οἵ τε κυματώδεις καὶ σκωληκίζοντες γίγνονται σφυγμοί· εἰ δὲ καὶ τὸ παρὰ τὴν θέσιν προσλάβοι, οἵ τε σπασμώδεις καὶ κλονώδεις προσαγορευόμενοι συνίστανται. ἀρκτέον οὖν ἀπὸ τῶν κυματωδῶν, ἐφ' ὧν οὐχ ἅμα φαίνεται κατὰ τὴν τοιαύτην ἀνωμαλίαν ἡ ἀρτηρία πᾶσα διαστελλομένη, ἀλλὰ τὸ μέν τι πρῶτον αὐτῆς, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, τὸ δὲ τέταρτον, συνεχοῦς μενούσης τῆς κινήσεως, καθ' ὁμοιότητα τῆς ἐπὶ τῶν κυμάτων ἐπάρσεως. καὶ τινὲς μὲν εἰς εὐθὺ τὸ κῦμα φερόμενον ἔχουσι, τινὲς δὲ καὶ εἰς τὸ πλάγιον ἐκκλῖνον, καὶ τινὲς μὲν ἐν βραχείᾳ τῇ κατὰ τὸ μῆκος διαστάσει τὸ ὕψος ἱκανόν, τινὲς δ' ἔμπαλιν, καὶ τινὲς μὲν πλατύ, τινὲς δὲ στενόν· ὁμοίως δὲ καὶ κατὰ τὸ τάχος καὶ τόνον ἀνωμάλως ἔχουσιν. ὁ δὲ κυματώδης ὅλος εἰς μικρότητα μειούμενος σκωληκίζων προσαγορεύεται σκώληκος πορείᾳ προσεοικώς. ὥσπερ δὲ τὸν κυματώδη σφυγμὸν μικρότερον γιγνόμενον ὁ σκωληκίζων διαδέχεται, οὕτω τὸν σκωληκίζοντα ὁ μυρμηκίζων, ὅταν

4 *sqq. cf. Galenus, Synops. de puls. 23* 13—18 *Galenus, De puls. ad tir. 12 p. 479* 22 *sqq. Galenus, De puls. diff. I 25* 32 *sqq. Galenus, De puls. diff. I 26*

1 γίγνεται] AD: γίνεται BCFGHJK 4 τὸ *om.* D 7 μὲν *om.* D ἐσώτερον CFGJ, *corr.* C²J³: ἐσότερον H 8 τὸ] *corr. ex* τῶ K: τοῦ C: τὸν D 9 τῷ] τὸ CG τῆς] τὸ τῆς D 10 αὐτὸν *om.* D μυούρους ABK, *corr.* A 11 τοῦ *om.* CJ μύουρος F, *e corr.* J: μίουρος H 13 ἐπινενευκότα] νενευκότα B 16 ἀθρόως] *om.* D: εὐθέος ἀθρόως H ἐπικεκαμένων H: ἐπικεκαυμένων K: ἀποκεκαμμένων F 17 συστέλλεται D 19 πρωιαίτερον] ADF: προιαίτερον J: προιέτερον BCGK: προηέτερον H ὀψιέτερον BCGHK 20 καὶ] *corr. ex* καὶ ἡ H: καὶ οἱ D γίνονται CF 21 παρὰ] *mut. in* περὶ J³: περὶ CFG 22 συνέστανται H: γίνονται D 26 ἐπὶ *om.* D 27 εἰς *(pr.) om.* D 28 τὸ ὕψος *om.* D 29 δ' ἔμπαλιν] δὲ καὶ ἀνάπαλιν D 30 τὸ *om.* D τόνον] *fort.* τὸν τόνον 31 ὅλως CFG

ἀπολομένων τῶν κινήσεων τῶν πολλῶν εἰς μίαν καὶ αὐτὴν παντελῶς μικρὰν τελευτήσῃ. κέκληται δὲ καὶ οὗτος ἀπὸ τῆς πρὸς τὸ ζῷον τὸν μύρμηκα ὁμοιότητος διά τε τὴν σμικρότητα καὶ τῆς κινήσεως τὸ εἶδος· ἔστι γὰρ μικρὸς ἄγαν ὁ μυρμηκίζων, οὗ μικρότερος ἄλλος οὐκ ἔστιν· ὡσαύτως δὲ καὶ ἀμυδρότατος πάντων καὶ πυκνότατος, οὐ μὴν ταχύς, ὡς Ἀρχιγένης ᾤετο. παράκειται δὲ τούτῳ ὁ ἑκτικός· ὥσπερ γὰρ πυρετός, οὕτω καὶ σφυγμὸς ἑκτικός ἐστιν ὁ μηδεμίαν μεγάλην τροπὴν ποιούμενος ἀλλ' ἀεὶ παραπλήσιος μένων εἴρων τε, ὡς ἐξ ἀρχῆς ἤρξατο, καὶ μηδέποτε λυόμενος ὅλης τῆς ἕξεως τετραμμένης νοσωδῶς.

**14** οἱ δὲ σπασμώδεις σφυγμοὶ ἑκατέρωθεν ἐκ τῶν περάτων ἀνθελκόμενοί τε καὶ τεινόμενοι καὶ σπώμενοι φαίνονται οἷον χορδῆς τινος τεταμένης αἴσθησιν παρέχοντες. ἐπὶ δὲ τῶν κλονωδῶν οὐδὲν τοιοῦτον, ἀλλὰ μείζων μὲν ἐπὶ τούτων ἐστὶν ἡ διαστολή, ὥστε τῶν μορίων τῆς ἀρτηρίας τὰ μὲν ἀναφέρεσθαι ⟨τὰ δὲ καταφέρεσθαι⟩ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, καὶ μάλιστα τὴν κίνησιν ἄν τις αὐτῶν εἰκάσειε τοῖς ἀκοντίοις, ὅσα σφοδρῶς ἀφεθέντα ταχέως φέρεται κραδαινόμενα. ἐμπρίων δὲ σφυγμός ἐστιν, ἡνίκα δοκεῖ τὸ μέν τι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δὲ μή, σκληροτέρας δηλονότι φαινομένης αὐτῆς· ἔχει δέ τι καὶ κλονῶδες ὁ σφυγμὸς οὗτος καὶ ταχὺς μέν ἐστι καὶ πυκνός, οὐκ ἀεὶ δὲ μέγας.

**15** δέκατον ἐπὶ τοῖς εἰρημένοις ἐστὶ γένος σφυγμῶν ἐκ τῆς ἀνωμαλίας ἀπογεννώμενον τὸ παρὰ τὴν τάξιν καὶ ἀταξίαν· ὁ γὰρ τεταγμένος καὶ ἄτακτος τμηθέντος τοῦ ἀνωμάλου εἴς τε τὸν κατὰ τὰς περιόδους ἴσον καὶ εἰς τὸν παντοίως ἄνισον καθ' ἑκάτερον τῶν τμημάτων τὴν γένεσιν ἴσχουσι, κατὰ μὲν τὸ τῶν περιόδων ἴσον ὁ τεταγμένος, κατὰ δ' αὖ τὸ παντοίως ἄνισον ὁ ἄτακτος. ὁ μὲν γὰρ ὁμαλὸς σφυγμὸς πάντως ἐστὶ καὶ τεταγμένος, εἴ γε ἐφεξῆς ἴσον αὐτὸν ἐλέγομεν, ὁ δὲ ἀνώμαλος οὐ πάντως ἄτακτος· εἰ μὲν γὰρ τὴν ἰσότητα διαφθείροι, περίοδον δὲ φυλάττοι τινά, οἷον ἐπὶ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς, εἰ τύχοι δύο γενέσθαι μεγάλους καὶ ἕνα μικρόν, εἶτα πάλιν δύο μεγάλους καὶ ἕνα μικρὸν καὶ οὕτως ἐφεξῆς, κληθείη ἂν ὁ τοιοῦ-

6 *cf. Galenus, De dignosc. puls. II 1 p. 827* 6–9 *Galenus, De puls. ad tir. 8* 10 *sqq. Galenus, De puls. diff. I 27* 16–20 *Galenus, De puls. ad tiron. 12 p. 474* 22–26 *Galenus, De puls. diff. I 9* 27 ἐλέγομεν] *supra p. 84, 16 sq.* 28 *sqq. cf. Galenus, Synops. de puls. 6*

1 ἀπολομένων] D: ἀπολλομένων ABFG: ἀπωλλομένων *corr. ex* ἀπολλωμένων C: ἀπολλωμένων K: ἀπολλυμένων HJ 3 ὁμοιότητος] *corr. ex* ὁμοιώσεως CH 4 γὰρ] *in ras.* J: δὲ H 5 δὲ *om.* DF 6 τοῦτο CK 7 σφυγμὸς] BDH: ὁ σφυγμὸς CFG: σφυγμὸς ὁ AJK 8 παραπλήσιος] D: παραπλησίως ABCFGHJK 13 μὲν *om.* J 14 τὰ δὲ καταφέρεσθαι] *Galenus*: *om.* ABCDFGHJK 16 φαίνεται CH 17 δοκῇ HK 25 τὸ] τὸν B 26 αὖ τὸ] αὐτὸν K 27 εἴ . . . ἐλέγομεν] *mrg.* J[3] 28 διαφθείρει F: διαφθείροιεν D 29 τινα φυλάττοιεν D φυλάττει F οἷον *om.* D 30 εἰ] ὥστε εἰ D γίνεσθαι D εἶτα . . . μικρὸν *(31)*] *mrg.* B: *om.* H 31 μεγάλους] μικροὺς CFG *et infra ras.* J μικρὸν] μέγα CFG: μέγαν *infra ras.* J οὕτως] ADFJ: οὕτω BCGHK

τος ἀνώμαλος μὲν τεταγμένος δέ. εἰ δὲ πρὸς τῷ τὴν ἰσότητα διαφθείρειν μηδὲ τάξιν τινὰ τῆς ἀνωμαλίας διαφυλάττοι, πρὸς τῷ ἀνωμάλῳ καὶ ἄτακτος ὁ τοιοῦτός ἐστιν· ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων γενῶν. αὐτῶν δὲ τῶν ἀτάκτων οἱ μέν εἰσιν κατὰ πᾶν ἄτακτοι μηδὲ μικράν τινα φυλάττοντες περίοδον, οἱ δὲ κατὰ περιόδους τεταγμένοι· καθ' ὃ μὲν γὰρ οὐκ ἔχουσι συνεχῆ τὴν τάξιν, κληθεῖεν ἂν ἄτακτοι, καθ' ὃ δὲ διὰ μακροῦ περίοδόν τινα φυλάττουσι, κατὰ περιόδους τεταγμένοι, οἷον εἰ τύχοι γενέσθαι δύο μεγάλους καὶ δύο μικρούς, εἶτα τρεῖς μεγάλους καὶ τρεῖς μικροὺς καὶ τέσσαρας μεγάλους καὶ τοὺς ἴσους μικρούς, καὶ πάλιν ὥσπερ ἀνακάμπτοντας δύο μεγάλους καὶ δύο μικροὺς καὶ τρεῖς μεγάλους καὶ τοσούτους μικροὺς καὶ ἑξῆς ὁμοίως.

**16** ἰστέον δὲ τῶν μὲν ἄλλων ἐναντίων ἑκάστου μέσον εἶναί τινα, ὁμαλοῦ δὲ καὶ ἀνωμάλου μέσος οὐδεὶς οὐδὲ τεταγμένου καὶ ἀτάκτου, πλὴν εἰ μὴ βούλει τὸν κατὰ περιόδους τεταγμένον μέσον εἰπεῖν τεταγμένου τε καὶ ἀτάκτου. καὶ τῶν μὲν ἄλλων ἁπάντων οἱ μέσοι κατὰ φύσιν εἰσὶ πλὴν τοῦ κατὰ σφοδρότητα καὶ ἀμυδρότητα, ὡς ἐδείξαμεν· ἐν τούτοις δὲ ὁ μὲν ὁμαλὸς κατὰ φύσιν μόνον, οἱ δὲ ἄλλοι παρὰ φύσιν, ὅ τε ἀνώμαλος καὶ ὁ τεταγμένος καὶ ὁ ἄτακτος.

**17** ταῦτα τὰ γένη τῶν σφυγμῶν ἅπαντα καὶ αἱ κατὰ γένος αὐτῶν διαφοραί· τινὲς δὲ τούτοις καὶ ἕτερα δύο προσκατηρίθμησαν, τό τε παρὰ τὴν θέσιν τῆς ἀρτηρίας, καθ' ὃ ἄνω τε καὶ κάτω καὶ εἰς δεξιὰ καὶ εἰς ἀριστερὰ μετῆχθαι δοκεῖ, καὶ τὸ παρὰ τὸ πρωιαίτερον ἢ ὀψιαίτερον, ἐξ ὧν ἔφαμεν εἶναι τούς τε κυματώδεις καὶ κλονώδεις σφυγμούς. καὶ ἡμεῖς μὲν διὰ τὸ σύντομον τὰς ἁπλᾶς μόνον παρεδώκαμεν διαφοράς, ἐκ δὲ τῶν λελεγμένων ῥᾳδίως ταύτας συμπλέκοντες καὶ τὰς κατὰ σύνθεσιν εὑρήσομεν.

**18** ἑξῆς δ' ἂν εἴη λέγειν καὶ τὰ αἴτια τὰ τρέποντα τοὺς σφυγμούς, οἷς ἕπεται καὶ ἡ ἀπ' αὐτῶν πρόγνωσις, ἀπὸ τοῦ μεγέθους ἡμῶν ἀρχομένων, ὅτι τῶν ἄλλων ἐστὶ σαφέστερον.

μέγας τοίνυν γίνεται σφυγμὸς ἢ διὰ τὴν χρείαν κατεπείγουσαν, ἥτις ἐστὶν ἡ ἐν τῇ καρδίᾳ πλεονάζουσα θερμότης ἐφιεμένη τῆς ἔξωθεν

4 *sqq. cf. Galenus, De puls. diff. I 9* 15 *sq. cf. Galenus, De caus. puls. I 7* 16 ἐδείξαμεν] *supra p. 82, 26 sqq.* 23 ἔφαμεν] *supra p. 86, 19 sqq.* 30 *sqq. cf. Galenus, De caus. puls. I 5*

1 τῷ] ADJK: τὸ BCFGH 2 μηδὲ] *scripsi*: μήτε ABCDFGHJK διαφυλάττοι] D: διαφυλάττων ABCFGJK: διαφυλάττον H 4 αὐτῶν] *mut. in* τῶνδε B[3] δὲ τῶν] DC[2]: τῶν CFG: διὰ τῶν ABK: διὰ τὸν H: διὰ τῶνδε B[3]: τῶν δὲ J πάντα J μακρὰν BCGH, *corr.* C[2] 6 τὴν] τινα D 8 γίνεσθαι D 9 τοὺς ἴσους] δ̅ D 13 οὐδεὶς] οὐδείς ἐστην H 14 πλὴν . . . ἀτάκτου *(15)*] *mrg.* A (γρ.) 15 τε *om.* D 19 αἱ] D: *om.* ABCFGHJK 21 ὃ] ὃν CG, *corr.* G 22 τὸ *(alt.)*] *om.* H, *supra add.* FJ πρωιέτερον BK: προιέτερον CG: προηέτερον H ὀψιέτερον BCGHK 24 παραδεδώκαμεν CDFG 25 ταύταις D: ταῦτα F 27 τρέποντα] DFGH: *e corr.* J: πρέποντα ABCK τοὺς σφυγμούς] DH, *e corr.* J: τοῖς σφυγμοῖς ABCFGK, *e corr.* H 30 γίνεται] ἐστὶ A τὴν *om.* D

ἐμψύξεώς τε καὶ οἷον ῥιπίδος, ἢ διὰ σώματος ἰσχνότητα, ὡς μετ᾽ ὀλίγον δείξομεν. αὐξάνεται δὲ τὸ θερμὸν ἢ διὰ τὰ κατὰ φύσιν αἴτια, οἷον ἡλικίαν ἀκμαστικὴν ἢ παιδικὴν ἢ ἁπλῶς θερμὴν ὥραν τε καὶ χώραν καὶ κρᾶσιν θερμοτέραν, ἢ διὰ τὰ οὐ φύσει, οἷον τὸ περιέχον θερμότερον ὑπάρχον, λουτρὰ θερμά, γυμνάσια, σιτία, οἶνον, φάρμακα θερμότερα, ἢ διὰ τὰ παρὰ φύσιν, οἷον δυσκρασίαν θερμὴν ἢ χυμῶν σῆψιν ἢ θυμὸν ἢ τὰ παραπλήσια. διακρινεῖς δὲ τὸν ἑκάστου σφυγμὸν τῷ τὰ μὲν κατὰ φύσιν μόνιμόν τε καὶ δυσμετάβλητον αὐτοῦ ποιεῖσθαι τὸ μέγεθος, τὰ δὲ λοιπὰ ῥᾳδίως μεταβαλλόμενον, ὥστε καὶ ἔτι σου ἁπτομένου πολλάκις ἢ πάντως γε μετ᾽ ὀλίγον [πάντως] ἀποκαθίστασθαι. καὶ τοῖς μὲν διὰ θερμὰ λουτρὰ μεγάλοις σφυγμοῖς καὶ μαλακότης προσγίγνεται, ὥσπερ αὖ τοῖς διὰ θερμὴν καὶ μάλιστα σὺν ξηρότητι δυσκρασίαν σκληρότης. οἱ δὲ γυμνασάμενοι συμμέτρως ἢ τριψάμενοι μέσως μὲν ἔχουσι κατὰ σκληρότητα καὶ μαλακότητα, τὰ δὲ περὶ τὰ στέρνα θερμότερα μᾶλλον ἔχουσιν, ὃ δὴ καὶ τοῖς θυμωθεῖσιν γίγνεται. τοῖς δὲ διὰ τροφὴν ἢ οἴνου χρῆσιν ἢ θυμὸν πρὸς τῷ μεγέθει καὶ σφοδρότης
ὑπάρχει. ὅσοι δὲ κρύπτειν σπεύδουσι τὸν θυμὸν ἢ ἕτερόν τι πεπραγ- 19
μένον αὐτοῖς οὐκ ἐπιτρέψαντος τοῦ ἰατροῦ, ὥσπερ ὁ λαβὼν τὸ θερμὸν φάρμακον καὶ τὸν ἰατρὸν ἅμα τῷ τῆς χειρὸς ἅπτεσθαι πυνθανόμενον ἀποκρύπτειν ἐθέλων, πρὸς τῷ μεγέθει καὶ σαφὴς ἀνωμαλία προσγίγνεται. εἰς τοῦτο δὲ καὶ τὸ τοῦ κάμνοντος ἦθός τε καὶ ἔθος οὐ μικρὰ συντελεῖ πρὸς διάγνωσιν, ἔθος μὲν τὸ φιλοφάρμακον, ἦθος δὲ τὸ ἀβέλτερόν τε καὶ δοξοκαθαιρετικόν. ὁ δὲ διὰ σῆψιν χυμῶν μέγας πρὸς τῷ μεγέθει καὶ τὴν συστολὴν μᾶλλον ἐπιταχύνουσαν ἔχει. πρὸς δὲ τὸ μέγαν γενέσθαι σφυγμὸν οὐκ ἐξαρκεῖ τὰ τῆς χρείας μόνον, ἀλλὰ δεῖ καὶ δυνάμεως ἐξυπηρετούσης καὶ τοῦ ὀργάνου τῆς συμμετρίας κατὰ σκληρότητα καὶ μαλακότητα. αὐξηθέντος τοίνυν τοῦ κατὰ τὴν καρδίαν θερμοῦ δι᾽ ἡντιναοῦν τῶν εἰρημένων αἰτιῶν πρῶτον μὲν γίγνεται μέγας ὁ σφυγμός· ἐπειδὰν δὲ μὴ ἐξαρκέσῃ τῇ χρείᾳ τὸ μέγεθος, εὐθὺς αὐτῷ καὶ τάχος προσγίγνεται, εἰ δὲ μηδ᾽ οὕτως ἐξαρκέσει, καὶ πυκνότητα προσλαμβάνει. μικροὶ δὲ καὶ βραδεῖς καὶ ἀραιοὶ σφυγμοὶ καὶ ὑπὸ τῶν ἐναντίων γίγνονται· ἀλλ᾽ ἡνίκα ἂν ἀπὸ μεγάλου καὶ ταχέος καὶ

2 δείξομεν] *infra p. 90, 12 sqq.* 11 *sqq. cf. Galenus, Synops. de puls. 32; De praesag. ex puls. I 1* 24—27 *Galenus, De caus. puls. I 5* 27 *sqq. cf. ibid. I 8*

4 καὶ] ἢ D 5 οἶνον] οἷον K 6 χυμοῦ D 8 τε] αὐτοῦ D αὐτοῦ *om.* D 10 πάντως *(alt.) om.* ADJ 11 λουτρὰ θερμὰ D προσγίνεται ABCFGJK 12 αὖ] οὖν D 14 κατὰ] μετὰ B καὶ] τε καὶ D 15 θερμότεροι D ἔχουσιν] εἰσιν D: ἔχουσι F ἐπιγίνεται D 19 τῷ] τὸ CG 20 προσγίνεται ACFGHJ 21 τὸ *om.* A ἔθος τε καὶ ἦθος D 22 σμικρὰ D 23 δοξοκαθαρτικόν D 24 ἐπιταχύνουσαν] *corr. ex* ἐπιτυγχάνουσαν A³C², *ex* ἐπιταχύσαν J 25 τὸ] CDFG, *corr. ex* τὸν A³J: τὸν BHK 26 δυνάμεως] τῆς δυνάμεως F 27 καὶ] τε καὶ D 28 γίνεται DF 29 τῇ . . . ἐξαρκέσει *(30)*] *bis* F: *mrg.* C² 30 προσγίνεται CDFH 31 σφυγμοὶ] οἱ σφυγμοὶ D καὶ *(tert.)*] *del.* AC 32 τῶν] τῶν ἄγαν CFG, ἄγαν *supra add.* J³ γίνονται ABCDFG ταχέως BFHJK, *mut. in* ταχέος A: ταχέ *seq. ras. 2 litt.* G

πυκνοῦ ἐπὶ τοὺς ἐναντίους ἡ μεταβολὴ γίγνεται, τῆς χρείας δηλονότι ἐνδεούσης, οὐκέτι τὸ πρῶτον ἐν τῷ σφυγμῷ γεγονὸς πρῶτον καὶ παύεται, ἀλλ' ὅπερ ὕστερον ἐκτήσατο, τοῦτο πρῶτον ἀποβάλλει, εὐθὺς μὲν γιγνόμενος ἀραιός, εἶτα βραδύς, εἰς ὕστερον δὲ καὶ μικρός· εἰ δὲ ἐπὶ πλέον ἥκοι βραδύτητός τε καὶ μικρότητος, πάλιν ἡ ἀραιότης εἰς πυκνότητα μεταβάλλει, ὅπως ἂν δι' αὐτῆς γοῦν τὰ τῆς χρείας ἀποτελεσθείη.

**20** ταῦτα μὲν οὖν μεγέθους τε καὶ τάχους καὶ πυκνότητος καὶ τῶν ἐναντίων αὐτοῖς σφυγμῶν τὰ αἴτια· συναπτέον δὲ αὐτοῖς καὶ τὴν κατὰ μίαν μόνον διάστασιν τοῦ σφυγμοῦ παρατροπήν. τὸ μὲν οὖν πλάτος μόνον αὔξεται δι' ὑγρότητα μάλιστα πλεονάζουσαν ἤτοι κατὰ φύσιν ἢ καὶ ἀπὸ τῶν ἐκτὸς αἰτίων, ὥσπερ τὸ ὕψος διὰ τὴν τοῦ ὀργάνου μαλακότητα συνεπιδιδούσης εἰς τοῦτο τῆς δυνάμεως. τὸ δέ γε μῆκος ὑπὸ ξηρότητός τε καὶ ἐκτήξεως τῶν σαρκῶν τῶν περικειμένων ἔκδηλον γίνεται τῶν ἄλλων συμπεσουσῶν διαστάσεων· οὐ γὰρ δὴ μακροτέραν τοῦ κατὰ φύσιν ἐγχωρεῖ γενέσθαι τὴν ἀρτηρίαν· καὶ μᾶλλον ἄν τις οἰκείως ἰσχνὸν προσαγορεύσειε τὸν τοιοῦτον σφυγμόν, ὥσπερ τὸν ἐναντίον αὐτῷ, κατὰ πλάτος μόνον αὐξηθέντα καὶ βάθος, ἁδρόν. τοῖς ἐναντίοις δὲ τούτων πάθεσιν ὁ σφυγμὸς ἐνίοτε περιπίπτει καὶ κατά τινα ἤ τινας τῶν διαστάσεων κωλύεται ταπεινός τις ἢ στενὸς ἢ καὶ βραχὺς φαινόμενος οὐκ ὢν τοιοῦτος, ἀλλὰ διὰ πάχος πιμελῆς τινος ἢ σαρκῶν ἢ ὑμένων ἐπιπροσθούντων· ἐνίοτε δὲ καὶ ὅλως μικρὸς φαίνεται μὴ ὢν ὄντως μικρὸς καὶ ἀμυδρὸς ὁμοίως. καὶ τί λέγω; πολλάκις γὰρ ἀσφυξία τελεία τισὶν ἔδοξεν εἶναι κατὰ πάσας τὰς ἀρτηρίας οὐκ ὄντως ὑπάρχουσα, καὶ μάλιστα τοῖς ἀμελέστερον ἁπτομένοις, ἀλλὰ διὰ πλῆθος σαρκῶν διαλανθανούσης τῆς κινήσεως οὔσης ἀληθῶς ἀμυδρᾶς· οὐ γὰρ οἷόν τε τελείαν ἀσφυξίαν ὄντως γενέσθαι ζῶντος ἔτι τοῦ ἀνθρώπου· καθάπερ αὖ πάλιν ἐπὶ τῶν ἀσάρκων καὶ οἱ μικροὶ σφυγμοὶ μεγάλοι δοκοῦσιν εἶναι. ἐκτακέντος γοῦν σφοδρῶς τοῦ σώματος ἥ τε κατὰ τὴν ῥάχιν ἀρτηρία πολλάκις τοῖς ἁπτομένοις τοῦ ἐπιγαστρίου τὴν κίνησιν διασημαίνει καί τινες τῶν ἐν τοῖς κώλοις ἀφανεῖς πρότερον οὖσαι. διόπερ πᾶσι τοῖς αἰτίοις ἐπιμελῶς προσεκτέον, ἵνα μὴ λάθῃ ἡμᾶς ἡ
**21** διάγνωσις. σφοδρὸς δὲ σφυγμὸς ὑπὸ ῥώμης δυνάμεως γίνεται μηδενὸς τῶν ἄλλων ἀντιπράττοντος αἰτίων, οἷον τῆς χρείας ἐκλελυμένης ἢ

15—17 *cf. Galenus, Synops. de puls. 3* 17 *sqq. cf. Galenus, De praesag. ex puls. I 3* 32 *sqq. cf. Galenus, De praesag. ex puls. I 7*

1 γένηται D δηλονότι] D: δῆλον ABCFGHJK 3 ὕστερον] *fort.* ὕστατον 4 γινόμενος DJ εἰς *om.* D 5 ἥκει CJ τε *om.* F σμικρότητος D 6 ἂν *om.* AJ διὰ ταύτης D γοῦν] D: τε γοῦν AJC²: τε οὖν BCFGHK 8 αὐτοῖς *(alt.)*] τούτοις D 16 προσαγορεύσειεν CFGH: προσαγορεύς^οι^ *e corr.* J ὥσπερ] ὥσπερ οὖν D 17 κατὰ] τὸν κατὰ D 18 δὲ ἐναντίοις J 19 τις *om.* D καὶ *om.* DJ 21 σαρκὸς CFG δὲ *om.* B ὅλως] CFG: ὅλος ABHJK: ἄλλως D 22 ὢν *om.* H ὄντως] *mut. in* οὕτως K: οὗτος F: ὄντος H 26 τελείαν . . . ὄντως] ποτε ἀσφυξίαν τελείαν D 27 τῶν] τῶν ἄνω τῶν A 30 πρότερον] τὸ πρότερον D 31 ἅπασι D ἡ] D: *om.* ABCFGHJK 32 δὲ] *fort.* δὴ 33 ἢ] ἡ B: οὔσης ἢ D

τοῦ ὀργάνου σκληρότητος. ὁ δὲ ἀμυδρὸς ἀσθενοῦς δυνάμεως καὶ μόνης ἐστὶν ἔκγονος, κἂν μηδὲν ἕτερον παρῇ· ὁ μὲν γὰρ σφοδρὸς ἁπάντων χρῄζει τῶν αἰτίων πρὸς γένεσιν, τὸν δὲ ἀμυδρὸν καὶ μόνη ἂν ἡ ἀσθένεια ἐργάσεται. ὁ μὲν οὖν ἐξ ἀρχῆς σφοδρὸς ὑπάρχων ἡλικίαις τε καὶ ὥραις καὶ χώραις καὶ κράσεσιν εὐκράτοις ἕπεται, ὁ δὲ ἀμυδρὸς ταῖς δυσκράτοις. ὁ δὲ ἀπὸ ἀμυδρότητος εἰς σφοδρότητα μεταπίπτων γίνεται ῥωννυμένης τῆς δυνάμεως ἐκ προλαβούσης ἀσθενείας· ῥώννυται δὲ ἢ διὰ τὰ ἐν αὐτῷ τῷ σώματι, οἷον χυμῶν πέψιν ἢ ἔκκρισιν ἢ θυμόν, ἢ διὰ τὰ ἔξωθεν, οἷον οἴνους, τροφάς, γυμνάσια, καὶ ὅσα τὴν δυσκρασίαν ἐπανορθοῦται· καταλύουσι δὲ δύναμιν ἀσιτίαι καὶ ἀγρυπνίαι καὶ κενώσεις ἄμετροι λῦπαί τε καὶ φροντίδες καὶ ὀδύναι μάλιστα συγκοπτικαί, καὶ ὅσα δυσκρασίαν ἐργάζεται. τινὲς δὲ τῶν ἀγυμνάστων τὸν σκληρὸν σφυγμὸν ᾠήθησαν εἶναι σφοδρόν, ἀλλὰ τὸν γεγυμνασμένον τόν τε λογισμὸν καὶ τὴν ἁφὴν οὐκ ἂν λάθοι· ὁ μὲν γὰρ σφοδρὸς ὡς τὸ πολὺ μετὰ μεγέθους εἰς ὕψος αἴρεται πλήττων εὐρώστως τὴν ἁφήν, ὁ δὲ σκληρὸς τὸ μέγεθος οὐκ ἐπιδέχεται διὰ τὸ τῆς ἀρτηρίας δύσεικτον. σκληρὸς τοίνυν γίνεται σφυγμὸς διὰ τὴν τοῦ ὀργάνου σκληρότητα· ταύτην δὲ ψῦξις ἄμετρος ἢ ξηρότης ἢ τάσις ἀπὸ φλεγμονῆς ἢ σπασμὸς ἐργάζεται. εὐθὺς δὲ τῇ σκληρότητι καὶ μικρότης καὶ τάχος ἐνίοτε καὶ πυκνότης ἀντὶ τοῦ μεγέθους διὰ τὴν χρείαν ἀκολουθεῖ.

ὁ δὲ μαλακὸς σφυγμὸς ὑγρότητι τῆς ἀρτηρίας ἕπεται· ταύτην δὲ **22**
ὑγροτέραν ἐργάζονται τῶν μὲν οὐ παρὰ φύσιν ὑγρότεραι τροφαὶ καὶ πλείω λουτρὰ καὶ ὕπνοι πολλοὶ δίαιτά τε ἁβροτέρα καὶ θυμηδία, τῶν δὲ παρὰ φύσιν κώματά τε καὶ λήθαργοι καὶ ὕδεροι καὶ τὰ λοιπὰ φλεγματώδη. πλήρης δὲ σφυγμὸς ἢ χυμῶν πλῆθος ἢ σιτίων ἢ οἴνου πόσεως δηλοῖ πλεονεξίαν, ὥσπερ ὁ κενὸς τἀναντία· ἢ γὰρ ἀσιτίαν ἢ κένωσιν. θερμότερον δὲ τὸ τῆς ἀρτηρίας ὑποπῖπτον σῶμα πολλὴν τὴν ἐν τῇ καρδίᾳ θερμασίαν καταψυχομένου τοῦ λοιποῦ σώματος ἢ σπασμώδη τινὰ τῶν ἀρτηριῶν δηλοῖ διάθεσιν τῇ βιαίᾳ κινήσει θερμαινομένων. Ἀρχιγένης δέ φησιν τὸν τῆς ἀρτηρίας τόπον ἰδίως ἐπὶ τῶν κατόχων θερμότερον εὑρίσκεσθαι, καθάπερ τοῖς σπασθησομένοις μετὰ καταφορᾶς. ὁ δὲ κατὰ τὸν ῥυθμὸν λόγος ἴσος μὲν ὑπάρχων ἐν τῇ κινήσει καὶ

7—12 *Galenus, De praesag. ex puls. I 8* 17—20 *ib. I 4* 21—25 *ib. I 9* 30—31 *Galenus, De puls. ad tiron. 12 p. 486*

1 σκληρότητος] *corr. ex* σκληρότης B *(sed hoc rursus restitutum)*: σκληροῦ τυγχάνοντος D 3 ἂν] *deleverim.* 4 ἐργάσεται] BCGHK: ἐργάσηται AH: ἐργάζεται F: ἐργάσαιτο D 6 φοδρότητα BHJ, *corr.* JH³ 7 προλαβούσης] -ης *e corr.* G: προλαβούσης τῆς F 8 πέψιν χυμῶν D ἢ *(sec.) om.* D ἢ *(tert.) om.* D 10 ἐπανορθοῦνται FJ 12 καὶ] *supra scr.* C: *om.* GK 13 τῶν γεγυμνασμένων FJ, *corr.* F 16 τὸ *(pr.) om.* D δύσεικτον] ADJ: δύσικτον BCFGHK 17 τοίνυν] δὲ τοίνυν HK 18 ξηρότης] σκληρότης D ὑπὸ D 22 οὐ] *ed. Basil.*: οὖν ABCFGHJK: *om.* D παρὰ φύσιν] *mut. in* οὐ φύσει A³: *supra add.* κατὰ C²: κατὰ φύσιν D 23 πλείονα D τε] *om.* D: δὲ F ἁδροτέρα FH 26 δηλοῦσι D 29 δηλοῦσι D 31 τοῖ GH, *corr.* H³ σπασθησομένοις] CGHJK: *mut. in* παθησομένοις D: σπαθησομένοις A: παθησομένοις BF 32 ἴσως CG

ἠρεμίᾳ τοῦ παντὸς εὐκρασίαν δηλοῖ σώματος, ὅσον ἐφ᾽ ἑαυτῷ, ἢ οὐ
μεγάλην γε τὴν παρατροπήν, ὡς ἐπὶ παιδικῆς ἡλικίας καὶ τῶν ἄλλως
εὐκράτων σωμάτων. εἰ δὲ πλείων ὁ τῆς ἠρεμίας εἴη χρόνος τοῦ τῆς
κινήσεως, τὸ θερμὸν ἐπικρατεῖν δηλοῖ, καθάπερ ἐπὶ τῶν ἀκμαζόντων
καὶ τῶν τούτοις ἐγγύς, ὥσπερ οὖν ἐπὶ τῶν γεροντικῶν σωμάτων ὁμα-
λῶς ψυχρῶν πλείων ὁ τῆς κινήσεώς ἐστι χρόνος τοῦ τῆς ἠρεμίας.
ἰστέον δὲ τὴν κατὰ τὸν ῥυθμὸν ἀνωμαλίαν μέτρον ὑπάρχουσαν τῆς
κατὰ τάχος καὶ πυκνότητα, ταύτην δὲ οἷον ὕλης ἐπέχειν λόγον πρὸς
τὸν ῥυθμόν. διαλείποντες δὲ καὶ παρεμπίπτοντες γίγνονται σφυγμοὶ
θλιβομένης τε καὶ οἱονεὶ βαρυνομένης τῆς δυνάμεως, ἀλλ᾽ οἱ μὲν παρ-
εμπίπτοντες μικροτέραν τὴν βλάβην, οἱ δὲ διαλείποντες μείζονα δη-
λοῦσι. καὶ καθόλου δὲ ἡ θλιβομένη καὶ βαρυνομένη δύναμις εἰς ἀνω-
μαλίαν τε καὶ ἀταξίαν τρέπει τοὺς σφυγμοὺς τήν τε ἄλλην ἅπασαν
**23** καὶ τὴν κατὰ σφοδρότητα καὶ μέγεθος. τῶν δὲ μυούρων σφυγμῶν
διττῶν κατὰ γένος ἀποδεδειγμένων (ἢ γὰρ ἐν τῇ καλουμένῃ συστημα-
τικῇ ἀνωμαλίᾳ ἢ ἐν τῇ κατὰ μίαν εὑρίσκονται πληγήν) οἱ μὲν ἐκλεί-
ποντες ἐσχάτην τῆς δυνάμεως δηλοῦσι κατάπτωσιν, ἐπανερχόμενοι δὲ
καὶ παλινδρομοῦντες καὶ οὗτοι μὲν ἀσθενῆ ἀλλ᾽ ἀπομαχομένην ἔτι καὶ
ἀντέχουσαν καὶ ἀνανεύουσαν· οἱ δὲ κατὰ μίαν πληγὴν μύουροί τε καὶ
ἐπινενευκότες ἢ περινενευκότες καλούμενοι μάλιστα μὲν τοῖς συναπο-
μαρανθεῖσι κατὰ βραχὺ ταῖς μὴ λυθείσαις φλεγμοναῖς, ἤδη δὲ καὶ τοῖς
πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχουσιν ἐκτηκομένων τῶν
περὶ τὰς ἀρτηρίας σωμάτων. ἀνισοταχεῖς δὲ καὶ δορκαδίζοντες πυρεκτι-
καῖς ἕπονται μάλιστα θερμασίαις, ἀλλ᾽, εἰ μὲν τὰς ἀρχὰς ἐκλύων τῆς
διαστολῆς ὁ σφυγμὸς ἐπιταχύνοι τὸ πέρας αὐτῆς καὶ τῆς συστολῆς τὴν
ἀρχήν, τὰ τῆς σήψεως ἐπικρατοῦντα δηλοῖ πρὸς ἔκκρισιν τῶν λιγνυ-
ωδῶν περιττωμάτων ἐπειγομένης τῆς φύσεως· εἰ δὲ ἔμπαλιν τῆς μὲν
συστολῆς τὴν ἀρχὴν ἐκλύοι, πρὸς δὲ τὴν διαστολὴν μᾶλλον ἐπείγοιτο,
τὴν θερμασίαν μᾶλλον ἐπικρατοῦσαν ἴσθι τῆς ἐμψύξεως ἐφιεμένην.
ἀκολουθεῖ δὲ τούτοις ἐν πυρετῷ καὶ πυκνότης μὲν ὡς τὰ πολλά,
ἐνίοτε δὲ καὶ μέγεθος, εἰ μὴ τὰ τῆς δυνάμεως ἢ σκληρότης κωλύσει
**24** τοῦ ὀργάνου. ἐπιτεινομένης δὲ τῆς κατὰ τὴν ἀρτηρίαν σκληρότητος
καὶ τῆς δυνάμεως οὐκ ἀσθενούσης ὁ δίκροτος γίνεται σφυγμός. ὁ δὲ
κυματώδης μάλιστα τοῖς ὑγροτέροις τῶν παθῶν ἕπεται, καὶ τούτων
μᾶλλον ὑδέροις τε τοῖς ἀνὰ σάρκα καὶ ληθάργοις καὶ περιπνευμονίαις.

15 ἀποδεδειγμένων] *supra p. 84, 30; 86, 10* 16—23 *cf. Galenus, De caus. puls. IV 10; Synops. de puls. 23*

2 γε] τε B 3 εἴη *om.* H χρόνος εἴη F 4 δηλοῦσι D 5 γεροντικῶν σωμάτων] γερόντων F ὁμαλὸς CG, *corr.* $C^2$ 6 ψυχρὸν CG, *corr.* $C^2$ πλεῖον CGK, *corr.* $C^2$: ὄντων πλείων D 9 γίγνονται] CFGH: γίνονται ABDJK 16 πληγῇ CDFG 17 ἐπανερχόμενοι] οἱ ἐπανερχόμενοι D 18 ἀλλὰ μαχομένην C 19 μύουροί τε] μυουρίζοντες D 20 μὲν *om.* B ἀπομαρανθεῖσι D 21 ταῖς] *seq. ras. 1 litt.* H: ταῖς τε D 24 μάλιστα ἕπονται D 25 ἐπιταχύνει DF 28 ἐπείγοι J

ἀρξαμένης δὲ λύεcθαι τῆc δυνάμεωc, ἔτι δὲ τέωc ἐπ᾽ ὀλίγον ἀντεχούcηc, ὁ κυματώδηc εἰc τὸν cκωληκίζοντα μεταπίπτει· ἐcχάτωc δὲ καταπεcούcηc αὐτῆc καὶ τοῦτον ὁ μυρμηκίζων διαδέχεται. ὁ δὲ ἑκτικὸc ἰδίωc τοῖc φθίνουcί τε καὶ ἄλλωc ἑκτικευομένοιc cυνεδρεύει. cπαcμώδηc δὲ cφυγμὸc γίνεται τῆc τῶν νεύρων ἀρχῆc φλεγμονώδη τινὰ διάθεcιν ἐχούcηc, καθάπερ ἐπὶ φρενιτικῶν τε καὶ τῶν ὀξέωc ἐπιλήπτων, ἡνίκα καὶ ἀποθνήcκουcιν οἱ τοῦτο παθόντεc ἔτι θερμοὶ ἔμπαλιν τοῖc cυγκοπτομένοιc· ἐκεῖνοι γὰρ ὄντεc ἱκανῶc ψυχροὶ ζῶcιν ἔτι. κλονώδηc δὲ γίνεται ὁ cφυγμόc, ὅταν ἡ μὲν χρεία δέηται μεγάληc διαcτολῆc, ὅ τε τόνοc ὁ ζωτικὸc ἐργάζεcθαι δύνηται, μόνον δὲ τὸ τῆc ἀρτηρίαc ἀντιλέγῃ cῶμα ὑπὸ cκληρότητοc ἀδυνατοῦν εἰc μεγάλην ἐξαίρεcθαι διαcτολήν, καθάπερ ἐπὶ φλεγμονῶν τε μεγάλων καὶ χρονίων ἐμφράξεων. ἐμπρίων δὲ cφυγμὸc καθόλου φλεγμονῆc ἐcτι cημαντικόc, καὶ μάλιcτα τῶν νευρωδῶν τινοc, οὐχ ἥκιcτα δὲ πλευρίτιδοc ἴδιοc, ἀνιέμενοc μὲν μαλακῆc καὶ ῥᾳδίωc πεφθηcομένηc, ἐπιτεινόμενοc δὲ χαλεπῆc καὶ δυcπέπτου, ἥτιc cὺν ἀcθενεῖ μὲν τῇ δυνάμει κινδυνώδηc ὀξέωc ἐcτίν, cὺν ἰcχυρᾷ δὲ χρονίωc πεφθηcομένη· ἢ γὰρ εἰc ἐμπύημα μετέcτη πολλάκιc, ἢ φθινώδηc αὐτὴν διεδέξατο μαραcμόc.

εἰδέναι δὲ χρὴ ταῖc ἀνωμαλίαιc τὴν ἀταξίαν ἑπομένην, cπανίωc **25**
δὲ ἔcτιν εὑρεῖν ἀνώμαλον cφυγμὸν τεταγμένον· αἱ μὲν δὴ μικρότεραι βλάβαι τοὺc ἀνωμάλουc τε καὶ τεταγμένουc, αἱ δὲ μείζονεc τοὺc ἀνωμάλουc τε καὶ ἀτάκτουc cφυγμοὺc ἀπεργάζονται.

αὗται μὲν αἱ ἁπλαῖ τῶν cφυγμῶν αἰτίαι τε καὶ προγνώcειc, ἐκ δὲ τούτων καὶ τὰc cυνθέτουc, ὡc κἀν τῷ περὶ διαφορᾶc αὐτῶν λόγῳ ἐλέγομεν, οὐ χαλεπῶc εὑρήcετε.

## ιβ΄. Περὶ διαχωρημάτων.

Τῶν διαχωρημάτων αἱρετὸν μέν ἐcτι τὸ μαλθακόν τε καὶ cυνεcτηκὸc καὶ τὴν cυνήθη ὥραν, καθ᾽ ἣν ἐν τῇ ὑγιείᾳ διεχωρεῖτο, δια-

8 *sqq. Galenus, De caus. puls. II 6* 13—14 *cf. Galenus, De puls. ad tiron. 12 p. 474* 14—18 *ibid. p. 478* 19—22 *cf. Galenus, De caus. puls. II 14* 25 ἐλέγομεν] *supra p. 88, 25* ιβ΄ *Galenus, De cris. I 11; cf. Aëtius V 45—46*

1 λύεcθαι *om.* A ἐπ᾽ ὀλίγον] ἐπὶ πλέον A 4 τε] τι B ἑκτικευομένοιc] ACDG, η *supra scr.* C$^2$: ἐκτηκευομένοιc BFHJK, *e corr.* D *sed rursus supra scr.* ϊ, *post* -η- *ras. 1 litt.* J 5 γίνεται cφυγμὸc D 8 ἔτι ζῶcι D 9 δὲ *om.* H ὁ *om.* D 11 ἀντιλέγῃ] DHJ: ἀντιλέγει ABCFGK 14 οὐχ] DC$^2$: οὖν ABFGHJK: *om.* C ἥκιcτα] *mut. in* μάλιcτα A$^3$, nota an malista forte *mrg.* B$^3$ ἴδιοc] εἶδοc *mut. in* εἰ δ᾽ ὡc G$^2$: εἰ δ᾽ ὡc C, μάλιcτα δὲ πλευρίτιδοc ἴδιοc *mrg.* C$^2$ μὲν] εἶδοc μὲν F 16 τῇ *om.* J δυνάμει] δυνάμει καὶ A 17 ἰcχυρῷ FG, *corr.* G$^2$ πεφθηcομένη] DH: πεφθηcομένηc ABCGJK: πεφθηcομένοιc F ἐμπύημα] CFG, *e corr.* DJA$^3$: ἐμποίημα ABHK 18 μοραcμόc FG 20 δὲ] γοῦν *in ras.* D 21 ἀνωμάλουc *(pr.)*] *e corr.* G$^2$: ἀνωμαλεῖc F 23 μὲν] μὲν οὖν D 24 κἀν] ἐν D 25 οὐ χαλεπῶc] *e corr.* F: οὐχ ἁπλῶc B εὑρήcετε] D: εὑρήcεται AK: εὑρίcεται BH: εὑρεθήcεται CFG: εὑρεθῆναι *e corr.* J 27 αἱρετὸν] ἄριcτον J *et supra scr.* C$^3$ μαλακόν AP 28 τὴν] κατὰ τὴν JP ἐν] καὶ ἐν J ὑγείᾳ DFJ διεχωρεῖτο] διεχώρει τὸ GK: διεχώρει D

χωρούμενον· τοιοῦτον δέ ἐστι τὸ ὑπόπυρρον ἅμα τῇ προσηκούσῃ συστάσει καὶ μὴ λίαν δυσῶδες· τὸ δὲ παρὰ ταῦτα οὐ χρηστόν. τὸ μὲν οὖν ὅμοιον τοῖς ἐδηδεσμένοις κατὰ τὴν χρόαν καὶ λεπτὸν καὶ ἀχύμωτον καὶ ταχέως διεξιὸν ἄπεπτόν ἐστι· τὸ δὲ πυρρὸν ἀκράτως ἐν ἀρχῇ μὲν χολωδέστερον ἐνδείξεται νόσημα, εἰ δὲ κατὰ τὴν παρακμὴν ἐκκρίνοιτο τοιοῦτον, ἐκκαθαίρεσθαι χρηστῶς δηλοῖ τὸ σῶμα. τὸ χλωρὸν δὲ τῆς ἰώδους χολῆς ἐστι γνώρισμα, τὸ δὲ μέλαν ἢ τῆς μελαίνης ἤ τινος αἵματος αὐτόθι κατοπτηθέντος. τὸ δὲ πελιδνὸν ψῦξίν τινα καὶ νέκρωσιν τῶν ἐντὸς οὐκ ἀγεννῆ δηλοῖ. τὸ δὲ λιπαρὸν συντήξεώς ἐστι τῆς ἐν τῷ σώματι πιμελῆς γνώρισμα, καθάπερ αὖ τὸ γλίσχρον τοῦ λιπαροῦ χεῖρον ὑπάρχον σύντηξιν δηλοῖ τῶν τοῦ ζῴου μορίων· τὸ δὲ λίαν δυσῶδες οὐ μικρὰν ἐνδείκνυται σῆψιν. ἐπὶ πάντων δὲ τούτων, εἰ μὴ κατὰ τὸ ἐδηδεσμένον σιτίον ἡ ποιότης εἴη τῶν διαχωρουμένων, οὕτως ἤδη σκοπεῖσθαι καὶ τὴν διάθεσιν. ἁπάντων δὲ χείριστον καὶ ὀλέθριον ἂν εἴη τὸ μέλαν τε καὶ πελιδνὸν καὶ λιπαρὸν καὶ ταχέως διεξιόν.

## ιγʹ. Περὶ τῆς τῶν οὔρων σημειώσεως.

Ὥσπερ ἐπὶ τῶν διαχωρημάτων οὕτω κἀπὶ τῶν οὔρων κανόνι τῷ τῶν ὑγιαινόντων κεχρημένοι καὶ τὰ τῶν νοσούντων σημειωσόμεθα. οὖρον τοίνυν ἄριστόν ἐστι τὸ τοῖς τῶν ὑγιαινόντων ὁμοιότατον· τοιοῦτον δέ ἐστι τὸ ὑπόπυρρόν τε ἅμα καὶ ὑπόξανθον· εὐθὺς δὲ τοῦτο καὶ πάχους συμμέτρως ἔχει. οὔσης δὲ τριττῆς τῆς τῶν θολερῶν οὔρων διαφορᾶς (ἢ γὰρ οὐρηθέντα τοιαῦτα καθίσταται μετ᾽ ὀλίγον ἢ μένει παραπλησίως ἄχρι παντὸς ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ ταῦτα δὲ ἀναθολοῦται) μοχθηρὸν μὲν τὸ τρίτον εἰρημένον, ἐπιεικὲς δὲ τὸ πρῶτον, ἐν μέσῳ δ᾽ ἀμφοῖν ἐστι τὸ δεύτερον. τὸ δὲ ἐσχάτως ἄπεπτον, ὅπερ ἐστὶ τὸ ὑδατῶδες ἀκριβῶς, οἷον ἀπεγνωσμένης πέψεως σύμπτωμα τοῦ φλεβώδους γένους ὑπάρχον· ὅταν δὲ καὶ ταχέως διεξέρχηται, ὁ καλούμενος διαβήτης γίγνεται. ἀλλὰ τοῦτο μὲν ἀπέπτων οὔρων τὸ χείριστόν ἐστιν, ἐφεξῆς δὲ αὐτῶν τὸ λεπτὸν οὕτως καὶ λευκὸν οἷον τὸ ὕδωρ. τούτων ἐγγύς ἐστιν ἕτερον οὖρον ἐν πολλαῖς νόσοις φαινόμενον ἐγγὺς ἱκανῶς τοῦ λεπτοῦ καὶ λευκοῦ. τὸ δὲ ὕπωχρον ἐφεξῆς ἐστι τούτου. τὸ δὲ ὠχρόν, εἴη μὲν ἂν ἤδη τοῦτο καὶ ὑπόπυρρον, πέττεται δὲ ἤδη

ιγʹ *Oribasius, Synops. VI 4; cf. Aëtius V 28—44*

1 τοῦτο J ὑπόπυρρον] DK, *e corr.* BH: ὑπόπυρον ABCFGHJ 3 ἀχυμώτατον D 5 ἐνδείκνυται D: ἐνδείξεται τὸ CFGP 6 τοιοῦτον] τὸ τοιοῦτον C: τι τοιοῦτον J 10 αὖ *om.* D 14 σκοπῆς H δὲ] δὲ τὸ C 18 κεχρημένοι *om.* P καὶ τὰ] κατὰ H: τὰ P σημειωσώμεθα ACGK 19 ἐστὶν ἄριστον D 20 ὑπόπυρόν BFH 21 πάχος CFG θολερῶν *om.* D 22 καθίστανται B 23 ἄχρι] ἔχοντα ἄχρι D δὲ ταῦτα D 24 μὲν] δὲ B 26 ἀκριβῶς] DF: ἀκριβές ABCGHJK πέψεως] πέψεώς ἐστι DF[3] 27 ὑπάρχον] BDHJ: ὑπάρχων AK: ὑπάρχοι CG: ὑπάρχει F 28 γίγνεται] CFGK: γίνεται ABDHJ μὲν] μὲν τῶν D 29 αὐτῶν] αὖ D οὕτω D, -ς *eras.* B 30 ἐστιν *om.* H 31 λευκοῦ καὶ λεπτοῦ K τούτων D 32 εἴη] ἤδη A ἂν] K: *om.* ABCDFGHJ

τῆς χρόας γε ἕνεκα, χρὴ δὲ αὐτὸ καὶ τῷ πάχει τοσοῦτον ἀποκεχωρηκέναι τοῦ ὕδατος, εἰ μέλλοι πεπέφθαι καλῶς, ὅσον καὶ τῷ χρώματι. εἰ δὲ τὴν κατὰ φύσιν χρόαν ἀκριβῶς φυλάττον ὑπόστασιν λευκὴν καὶ λείαν καὶ ὁμαλὴν καὶ πολλὴν ποιεῖ, πέψεως μὲν ἂν εἴη ἀκριβοῦς γνωρίσματα, πλείονα δὲ τὸν ὠμὸν χυμὸν ἐκκαθαίρεσθαι δηλοῖ. κἂν παχύτερον δὲ ᾖ μετρίως καὶ σχῇ τινα ὑπόστασιν, οὐ πάντως ἤδη πέπον· εἰ γὰρ ἤτοι κριμνώδεις ἢ πεταλώδεις ἢ πιτυρώδεις ἢ μελαίνας ἢ πελιδνὰς ἢ χλωρὰς ἢ δυσώδεις ὑποστάσεις ἔχοι, πρὸς τῷ πᾶν τὸ τοιοῦτον ἄπεπτον εἶναι καὶ ἄλλως ὀλέθριον ὑπάρχει. τὰ δὲ εὔχροά τε ἅμα καὶ ἤτοι τὰς ὑποστάσεις λευκὰς καὶ λείας καὶ ὁμαλὰς ἢ νεφέλας τινὰς ὁμοίας ἢ ἐναιωρήματα ποιούμενα πάντων ἐστὶν οὔρων τὰ χρηστότατα, καὶ μάλιστα μέν, ὧν ἡ ὑπόστασις εἴη τοιαύτη, δεύτερα δέ, ὧν ἂν ἐναιωρήματα, τρίτα δέ, ὧν νεφέλαι· καὶ ἁπλῶς τὰ τοῖς οὔροις ἐμφερόμενα χρηστῶς, ὅσῳπερ ἂν ὑφιζάνῃ κάτω, τοσούτῳ βελτίω γίνεται.

## ιδʹ. Περὶ πτυσμάτων σημειώσεως.

Ὅσα μὲν ὑπόξανθά ἐστι καὶ ὑπόπυρρα καὶ ὕπαφρα καὶ λεπτά, μόνης ἀπεψίας ὑπάρχει γνωρίσματα, κακὸν δὲ οὐδὲν ἐπίσημον ἐνδείκνυται, τὰ δὲ ἀκράτως ξανθὰ καὶ πυρρὰ καὶ ἀφρώδη καὶ χλωρὰ καὶ γλίσχρα καὶ στρογγύλα καὶ τούτων ἔτι μᾶλλον τὰ μέλανα μοχθηρά· πλὴν γὰρ τοῦ αἵματος ὅστις ἂν τῶν ἄλλων χυμῶν ἄκρατος ᾖ, μοχθηρὰν ἐνδείκνυται τὴν διάθεσιν ἐπὶ θερμότητι φλογώδει τὴν γένεσιν ἔχουσαν. τὰ μὲν οὖν αἱματώδη πτύσματα μέτρια, τὰ δὲ τῆς ξανθῆς ἢ μελαίνης χολῆς χαλεπά. προσεπισκέπτεσθαι δὲ δεῖ καὶ τὸν τῆς ἀναγωγῆς αὐτῶν τρόπον· εἰ γὰρ εὐπετῶς ἀναπτύοιτο, πρόδηλον, ὡς τὰ τοιαῦτα μέν ἐστιν ἀγαθά, τὰ δὲ ἐναντία μοχθηρά. τελέας μὲν οὖν ἐστι πέψεως γνώρισμα τὸ πτύελον, ὅταν ᾖ λεῖόν τε καὶ λευκὸν καὶ ὁμαλὸν καὶ τῇ συστάσει μήτε ὑγρὸν μήτε ὑπόπαχυ, παντελοῦς δὲ ἀπεψίας τὸ μηδ' ὅλως ἀναπτυόμενον· εἰ δὲ μὴ πτύοιτο μέλαν ἀλλὰ λεπτόν, πέψεως ἀμυδρᾶς ἐστι σημεῖον. εἰ δὲ ἄκρατον εἴη πυρρὸν ἢ ξανθόν, οὐκ ἀγαθόν· εἰ δὲ πελιδνὸν ἢ ἰῶδες ἢ μέλαν, ὀλεθριώτατον.

ιδʹ *Oribasius, Synops. VI 5; cf. Aëtius V 52*

1 ἕνεκεν A   αὐτὸν H: αὐτῷ CG   2 με^λλ C: μέλλει F   3 χροιὰν D   4 γνωρίσματα] γνωρίσματα τὰ A: γνώρισμα τὰ GK   6 δὲ *om.* CFG   ἤδη] εἴη F   πέπον] πέπον ἐστίν D: πρέπον A: πεπτέον CGJ³: ἄπεπτον BFHJK: πέπεπται *Or*   7 κριμνώδεις] AB, *e corr.* D: κρημνώδεις CFGHK, *e corr.* ABJ   8 ἔχει CDF   τῷ] τὸ CFGH   9 εὔχροιά AJK, -ι- *eras.* B: εὔχρυά H   11 ὁμοίως F   ἐναιωρήματα] -αι- *in ras.* DJ: ἐνεωρήματα ABCFGK: ἐνεορήματα H   12 εἴη] ἐστι D   13 ἂν *om.* CD   ἐναιωρήματα] D, -αι- *in ras.* J: ἐνεωρήματα ABCFK: ἐν/ωρήματα G: ἐνεορήματα H   ὧν] ἂν D   21 ἔχουσα H   22 ἢ] χολῆς ἢ JK   23 χολῆς *om.* JK   αὐτὸν A   24 εὐπετῶς] ADJF³: εὐπετέως BCGHK   25 τελείας FB³, *e corr.* J   26 γνωρίσματα H   καὶ *(tert.) om.* D   28 μὴ *om.* *Or*   μέλαν] μὲν *Or*   λεπτόν] λευκόν CD, *corr.* C

## ιε΄. Ἐφημέρων πυρετῶν διάγνωσις καὶ θεραπεία.

1 Τῶν δὲ ἐφημέρων πυρετῶν ἴδιον καὶ ἀχώριστον σημεῖόν ἐστιν ἡ τῶν οὔρων πέψις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν· καὶ τὸ τῆς θερμασίας δὲ ἡδὺ τῶν τοιούτων πυρετῶν ἴδιον καὶ ἀχώριστόν ἐστιν. μετὰ δὲ τὴν πρώτην λύσιν τοῦ πυρετοῦ πιστοτέραν ἕξεις τὴν διάγνωσιν· ἥ τε γὰρ τῶν ἀρτηριῶν κίνησις ἐν τῷδε καθ' ἅπαν ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων οὐδενὸς τῶν ἄλλων πυρετῶν εἰς τὸ κατὰ φύσιν ἐπανιόντος· καὶ ἡ τοῦ κάμνοντος δὲ εὐφορία μέγιστον καὶ αὐτὴ σημεῖον.

2 εὐάλωτοι τοῖς τοιούτοις πυρετοῖς εἰσιν, ἐφ' ὧν αἱ ἀπόρροιαι τοῦ σώματός εἰσιν οὐκ ἀτμώδεις, ἀλλὰ δριμύ τι καὶ οἷον καπνῶδες ἔχουσιν· οὗτοι δέ εἰσιν οἱ θερμοὶ καὶ ξηροὶ τὴν κρᾶσιν καὶ ὅλως πικρόχολοι. τοὺς μὲν οὖν ἐπὶ κόπῳ πυρέξαντας λιπαρῶς τε ἅμα καὶ μαλακῶς ἀνατρίβειν καὶ λούειν, τοὺς δὲ ἐπὶ ξηρότητι τρίβειν μὲν ἔλαττον τούτων, λούειν δὲ πλέον, τοὺς δὲ ἐπὶ φροντίσι καὶ λύπαις καὶ ἀγρυπνίαις καὶ θυμοῖς λούειν μὲν μὴ πολλάκις, ἐλαίῳ δὲ πολλῷ χλιαρῷ ἥκιστα μετέχοντι στύψεως ἀνατρίβειν βραχέα, καὶ λούειν, ὡς ἔθος· τοὺς δὲ ἐπ' ἐγκαύσεσιν εὐθέως μὲν ἐξ ἀρχῆς χρὴ τοῖς ψύχουσιν ἰᾶσθαι καὶ λουτροῖς πλείοσιν, ἥκιστα δὲ ἐλαίῳ δαψιλεῖ καὶ τρίψει, τὰ δὲ ψύχοντα ῥόδινον ἔστω καὶ ἔλαιον ὀμφάκινον χωρὶς ἁλῶν ἐσκευασμένον ψυχρόν· τὰ δὲ αὐτὰ σφοδρῶς καταχεῖν δεῖ κατὰ τοῦ βρέγματος καὶ λούειν παρακμάσαντος τοῦ πυρετοῦ. εἰ δέ τις ψυχθεὶς πυρέξειεν, καὶ τοῦτον λούειν ἐν ταῖς παρακμαῖς· εἰ δ' ἅμα κατάρρῳ πυρέττοιεν, πρὶν πεφθῆναι λούειν οὐ χρή, τοὺς δὲ ἐπ' ἐγκαύσει καὶ τούτων παρόντων λουστέον, τοὺς δὲ ἐπὶ ψύξει θερμαίνουσι μετρίως διαβρέχειν τὴν κεφαλήν, οἷόν ἐστιν τὸ ἴρινον καὶ τὸ νάρδινον. ἐφ' ὧν δὲ ἡ στέγνωσις πυρετὸν ἐργάζεται, τούτοις ἁρμόττει λουτρὰ γλυκέων ὑδάτων εὐκράτων καὶ τρῖψις ἀραιωτικὴ καὶ γυμνάσια καὶ δίαιτα γλυκύχυμος. εἰ δὲ καὶ δι' ἀσιτίαν γένοιτο πυρετός, τοῦ πρώτου παροξυσμοῦ παρακμάσαντος εἰσάγειν εἰς τὸ βαλανεῖον αὐτοὺς καὶ χλιαρὸν ἔλαιον πλεῖστον καταχεῖν ἀνατρίβειν τε πραότατα καὶ τὸ πλεῖστον τοῦ χρόνου ἐν τῇ θερμῇ δεξαμενῇ διατρίβειν, ἐξελθόντα δὲ καὶ ἀναλαβόντα τὴν δύναμιν εἰσάγειν εἰς τὸ λουτρὸν καὶ μετὰ ταῦτα πιεῖν θερμὸν ὕδωρ διδόναι καὶ πτισάνης χυλόν, ἐνίοτε

ιε΄ *Oribasius, Synops. VI 6; cf. Ad Eunap. III 2. Aëtius V 58—67*

1 Ἐφημέρων] περὶ ἐφημέρων B 2 ἐστι σημεῖον D 6 καθ' ἅπαν] *mut. in* καθάπαξ J: καθάπαξ *Or* τῇ] τὴν CFG, *corr.* C 10 εἰσιν *om.* D ἀτμῶδες D ἔχουσιν] *in ras.* J, -ν *eras.* D: ἐχούσῃ H: εἰσιν A 11 τοιοῦτοι D ὅλως] ὅλως οἱ D 12 οὖν *om.* H 15 μὴ πολλάκις] μηδαμῶς CFGJ, μὴ πολλάκις *mrg.* C²: γρ. λούειν μὲν μηδαμῶς *mrg.* K 16 βραχέα] ταχέως A 19. 20 ψυχρόν· τὰ] ψύχοντα *Or* 20 καταχέειν D 23 ἐγκαύσεσι D λουστέον] λούειν D 24 θερμαίνουσι] τοῖς θερμαίνουσι D: θερμαίνειν *in ras.* B *ante* τὴν *ins.* τε B² 25 ἐστιν τὸ] ἐστι τὸ D: ἐστι τό τε *Or*: ἐστιν ABCFGHJK 26 ἁρμόζει D 27 γλυκύχυμος] D: γλυκύθυμος ABCFGHJK 29 πλεῖστον ἔλαιον καταχέειν D 30 ἐν] κελεύειν ἐν D 31 δὲ] CDFG: *om.* ABHJK εἰς] αὖθις εἰς D 32 καὶ *(alt.)*] CDG: *om.* ABFHJK

δὲ καὶ θριδακίνης, καὶ τῶν ἁπαλοσάρκων ἰχθύων ἐν λευκῷ ζωμῷ. κοινὸν δὲ πάντων εἶδος ἔστω τῆς διαίτης εὔχυμον, εὔπεπτον, οὐδαμόθεν κατὰ τοὺς πόρους ἰσχόμενον, οἶνον δὲ διδόναι τὸν ὑδατώδη καὶ ὄψει καὶ δυνάμει. δεῖ δὲ κατὰ τὴν τῶν πυρετῶν πρώτην εἰσβολὴν ἐνίοτε τοῦ πρώτου παροξυσμοῦ τούτων τινὰς τρέφειν, ἐφ' ὧν ἡ δυσκρασία τοῦ σώματος ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν ἐκτρεπομένη πυρετοὺς ἀνάπτει. οἱ δὲ ἐπὶ βουβῶσι πυρέξαντες οὐδὲ πυνθάνονται τῶν ἰατρῶν, ὅ, τι χρὴ ποιεῖν, ἀλλὰ τοῦ ἕλκους, ἐφ' ᾧπερ ἂν ὁ βουβὼν γένηται, προνοησάμενοι λούονται κατὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ· εἴργειν δὲ αὐτοὺς οἴνου προσήκει, πρὶν τοὺς βουβῶνας λυθῆναι, καὶ λεπτότερον διαιτᾶν.

## ιϛ'. Τῶν ἐπὶ σηπεδόνι πυρετῶν διάγνωσις.

Τῶν ἐπὶ σήψει πυρετῶν διάγνωσις τὸ μηδὲν τῶν προκαταρκτικῶν αἰτίων ἡγήσασθαι· καὶ τὸ ἀπὸ ῥίγους δὲ ἄρξασθαι τὸν πυρετὸν οὔτ' ἐγκαύσεως οὔτ' ἐμψύξεως ἰσχυρᾶς προηγησαμένης ἴδιόν ἐστι καὶ αὐτὸ τῶν ἐπὶ σηπεδόνι πυρετῶν, ὥσπερ γε καὶ τὸ τῆς θλίψεως τῶν σφυγμῶν (οὕτω δὲ ὀνομάζουσιν, ὅταν ἀρχομένου τοῦ παροξυσμοῦ μικροὺς ἱκανῶς ἔχωσι καὶ ἀνωμάλους αὐτούς)· ἴδιον γὰρ ἐξαίρετόν ἐστι τοῦτο τῶν τοιούτων πυρετῶν. μέγιστον γνώρισμα τῶν ἐπὶ σήψει πυρετῶν ἐστι καὶ ἡ τῆς θερμασίας ποιότης· καπνώδης γάρ ἐστιν, ὡς διαβιβρώσκειν τὴν ἁφήν. ἴδιόν ἐστι μάλιστα τῶν τοιούτων πυρετῶν καὶ ἡ τῶν οὔρων ἀπεψία καὶ ἡ ἀμυδρὰ πέψις· μέγα δὲ καὶ ἀξιόλογον γνώρισμα πέψεως ἐν τοῖς πρώτοις οὔροις οὐδέποτε φαίνεται κατὰ τοὺς τοιούτους πυρετούς.

## ιζ'. Ἴασις τῶν ἐπὶ σηπεδόνι πυρετῶν.

Τῶν δυνάμεων ἰσχυρῶν οὐσῶν τὸν ἐπὶ σηπεδόνι πυρέττοντα φλεβοτομητέον αὐτίκα χωρὶς ἀπεψίας τῆς κατὰ γαστέρα, τῆς δυνάμεως δὲ ἀσθενούσης ἢ κωλυούσης τῆς ἡλικίας οὐ φλεβοτομήσεις. μετὰ δὲ τὴν κένωσιν τοῦ αἵματος ἐκκαθαίρειν χρὴ τὰ σεσηπότα δι' οὔρων καὶ γαστρὸς καὶ ἱδρώτων, εἰ δὲ αὐτόματά ποτε τὴν ὁρμὴν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ποιήσαιτο, καὶ δι' ἐμέτων· ἄλλως δὲ οὐ χρὴ παρὰ φύσιν ἐρεθίζειν. ἐκλεκτέον δὲ ὕλας, ὅσαι χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκαναὶ τὰς εἰρημένας κενώσεις ἐργάζεσθαι, καθάπερ ὅ τε τῆς πτισάνης χυλὸς καὶ

ιϛ' *Oribasius, Synops. VI 7; cf. Aëtius V 75*
ιζ' *Oribasius, Synops. VI 8; cf. Aëtius V 71, 76.*

4 τῶν πυρετῶν *om.* D  5 τινὰς τρέφειν] *e corr.* K: τινὰ στρέφειν BH, *e corr.* J, *mut. in* τινα τρέφειν A  7 βουβῶνι D  τῶν ἰατρῶν] D: τὸν ἰατρόν ABCFGHJK  9 παροξυσμοῦ] πυρετοῦ D  10 προσήκειν G  14 προηγήσασθαι CDFG, *e corr.* J  ἀπὸ] D: μὴ ἀπὸ ABCFGHJK, μὴ *del.* CK  οὔτε DF  15 καύσεως F  οὔτε BDF  18 ἔχωσι] D: ἔχουσι ABCFGHJK  γὰρ] γὰρ καὶ D  τῶν] τὸ τῶν BK  23 ἐπὶ τῶν τοιούτων πυρετῶν D  26 τῆς *(alt.)*] D: *om.* ABCFGHJK  28 χρὴ] δεῖ D  29 αὐτομάτως D  30 ποιήσαιντο D  31 ὅσαι] αἳ καὶ D

τὸ μελίκρατον ὀξύμελί τε καὶ ἀπόμελι καὶ ἡ τοῦ cελίνου ῥίζα· μὴ διαχωρούcηc δὲ τῆc κοιλίαc κλύζειν μελικράτῳ. δι' ἐλαίου δὲ ὅλον τὸ cῶμα, πρὶν μὲν κενῶcαι, μανοῦν οὐ χρή, κενώcαντα δὲ ἐγχωρεῖ μανοῦν χλιαρὰν ἔχοντι τὴν θερμαcίαν, ὁποῖόν ἐcτι τὸ διὰ τοῦ χαμαιμήλου. ἐν τούτῳ τῷ καιρῷ καὶ οἶνοc πινόμενοc ὑδατώδηc ἁπάcαc κινεῖ τὰc ἐκκρίcειc καὶ λουτρὸν εὔκρατον ἐκ γλυκέοc ὕδατοc· ἀλλ' ὅταν ἀνθίcτηται τὸ μέγεθοc τοῦ πυρετοῦ, οὔτε οἴνῳ χρηcτέον οὔτε λουτρῷ οὔτε ἀλείμμαcιν ἀραιωτικοῖc, ἀλλὰ τὸ ψυχρὸν ὕδωρ ἐν τούτοιc τοῖc πυρετοῖc πινόμενον ἐπιτηδειότατον, εἰ μή τι κωλύει καὶ τοῦτο. εἰ μὲν οὖν αἱ δυνάμειc ἰcχυραὶ τύχοιεν οὖcαι πᾶcαι καὶ ὁ πυρετὸc διακαέcτατοc καὶ τὰ τῆc πέψεωc ἐναργῆ cημεῖα, τὸ ψυχρὸν διδόναι θαρροῦντα· εἰ δὲ καὶ εὔcαρκοc εἴη καὶ ἡ κατάcταcιc θερμὴ καὶ ξηρά, κἂν εἰc κολυμβήθραν αὐτὸν ἐμβάληc ψυχράν, οὐ βλαβήcεται. μετρίου δὲ ὑπάρχοντοc τοῦ πυρετοῦ καὶ τῶν δυνάμεων ἰcχυρῶν ἅμα τοῖc τῆc πέψεωc cημείοιc ὠφελεῖ τοὺc τοιούτουc τὰ βαλανεῖα καὶ ἡ τοῦ οἴνου πόcιc, ὅcα τε τῶν ἀλειμμάτων μανωτικά.

## ιη'. Περὶ τριταίων διαγνώcεωc.

Ὁ μὲν τριταῖοc πυρετὸc ἔκγονοc ὑπάρχων τῆc ξανθῆc χολῆc κινουμένηc εὐθὺc κατ' ἀρχὰc ῥῖγοc οὐκ ἀγεννὲc ἐπιφέρει διαφέρον τοῦ τεταρταϊκοῦ ῥίγουc τῷ κεντεῖcθαι δοκεῖν καὶ τιτρώcκεcθαι τὸν χρῶτα· ἐν δὲ τοῖc τεταρταίοιc ἡ εἰcβολὴ κατάψυξιν ἔχει cφοδράν, τῶν δὲ ἀμφημερινῶν οὐδὲ προηγεῖται ῥῖγοc, ἀλλὰ περιψύχονται μόνον. ἔcτι δὲ ἐν τοῖc τριταίοιc καὶ τάξιc ἀκριβὴc τῶν cφυγμῶν. ἐπιφέρει δὲ δίψοc κατὰ τὰc ἀκμὰc cφοδρὸν ὁ τριταῖοc καὶ διακαίει τὸν ἄνθρωπον καὶ μικρὸν ὕcτερον ἀκμάζει, καὶ τὸ θερμὸν ὁμαλῶc ἐκτέταται πάντη. εἰ δὲ ἐπιβάλλοιc τὴν χεῖρα, κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀπαντᾷ θερμαcία πολλὴ καὶ δριμεῖα καὶ οἷον μετὰ ἀτμοῦ τινοc ἀναφερομένη, νικᾶται δὲ ὀλίγον ὕcτερον ὑπὸ τῆc χειρὸc ἐπιμένοντοc· πιόντοc δὲ αὐτίκα δὴ μάλα πλῆθοc ἄνειcιν ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματοc ἀγγέλλον ἱδρῶταc. ἔμετοc δὲ ἐπιφαίνεται χολῆc, ἢ γαcτήρ που κατέρρηξε, καὶ οὐροῦcι χολώδη. ἐπὶ τούτοιc εἰc ἀπυρεξίαν παύεται τὸν χρόνον τοῦ παροξυcμοῦ

ιη' *Oribasius, Synops. VI 9; cf. Aëtius V 79*

2 τὸ δὲ ὅλον *Or* 3 μὲν] *Or*: μὴ BK, *del.* C, *in ras.* J, *supra scr.* F, *mut. in* ἢ DG: μὶ H: *om.* A κενώcαντι D: κενώcανταc B 4 χλιαρὰν ἔχοντι] τοῖc χλιαρὰν ἔχουcι D 6 γλυκέωc ABHJK 9 κωλύῃ CGHK: -ει *in ras.* J αἱ] *Or*: καὶ ABHJK: ἡ D: *om.* CFG 9. 10 δύναμιc ἰcχυρὰ τύχοι οὖcα D 10 πᾶcαι *om.* D 12 ἐμβάληc] -ηc *in ras.* J: ἐμβάλοιc D: ἐμβαλεῖc F: ἐμβάλληc G 17 Περὶ *om.* DJ τριταίου D διάγνωcιc DH 19 ἀγενὲc BCFHJ διαφέρων ABK, *corr.* K 22 ἀφημερινῶν ACF 25 παντί CFG, *in ras.* J[3], *corr.* C[2] 26 ἐπιβάλοιc DHJ, *corr.* J[3]: ἐπιβάληc C 28 ἐπιμένοντοc] ἐπιμένοντοc τοῦ κάμνοντοc CFG: τοῦ κάμνοντοc *add.* B[2]J[3] πιόντι D δὲ *(alt.)*] δὲ τοῦ κάμνοντοc *Or* 29 μάλιcτα D ἄνειcι θερμοῦ ἀτμοῦ AD ἀγγέλλον] -λλ- *e corr.* B: *corr. ex* ἀγγέλλων G: ἀποτελῶν ἀγγέλλων F: ἄγγελον H: προαγγέλον K 30 δὲ] τε D ἢ] καὶ ἡ D

ποιηcάμενος ὡρῶν οὐ πλειόνων δυοκαίδεκα. τὸν μὲν οὖν ἐντὸς τῶν δεκαδύο ὡρῶν παυόμενον ἀκριβῆ τριταῖον ὠνομάcαμεν· ὅcτιc δ᾽ ἂν ἔχοι πολυχρονιώτερον τούτου τὸν παροξυcμόν, ἐκεῖνον ἁπλῶc τριταῖον καλοῦμεν· ὅcτιc δ᾽ ἂν ἐπὶ πλεῖcτον μὲν ἐκτεταμένον τὸν παροξυcμόν, ὀλίγον δὲ τὸ διάλειμμα, τοῦτον αὖ πάλιν ὠνομάcαμεν ἐκτεταμένον τριταῖον.

### ιθ΄. Θεραπεία τριταίου.

Τὸν ἀκριβῆ τριταῖον, ὡc ἂν ὑπὸ ξανθῆc χολῆc γινόμενον, ὑγραίνειν τε καὶ ψύχειν καὶ τὸ μὲν εἰc γαcτέρα cυρρέον κενοῦν δι᾽ ἐμέτων τε καὶ κάτω, τοῖc οὔροιc δὲ καὶ τοῖc ἱδρῶcι ποδηγεῖν. τὴν μὲν οὖν γαcτέρα μαλακοῖc κλύcμαcι κινεῖν, τὰ δὲ οὖρα προτρέπειν cελίνου τε καὶ ἀνήθου τοῖc πόμαcιν ἐναποβρέχοντα, καί, ἤν coι cημεῖα πέψεωc φαίνηται, θαρρῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι. λουτρὰ δὲ δι᾽ ὕδατοc θερμοῦ ποτίμου, καὶ μήτε νίτρου μήτε ἁλῶν μήτε νάπυοc ἐν τοῖc λουτροῖc προcπάττειν, ἀλλ᾽ ὅτι μάλιcτα θερμὸν ἔλαιον περιχέαc ἐμβιβάζειν· τοὺc δὲ φιλολούτρουc οὐδὲ εἰ δὶc λούοιc, ἁμαρτάνοιc ἄν, εἰ δὲ καὶ πέψεωc cημεῖα τῆc νόcου φαίνοιτο, κἂν εἰ πλεονάκιc λούοιc, οὐκ ἂν ἁμάρτοιc. οἴνου δέ, πρὶν μὲν πέττεcθαι τὸ νόcημα, παντάπαcιν εἴργειν, ἀρξαμένου δὲ πέττεcθαι λεπτὸν καὶ ὑδαρῆ καὶ ὀλίγον τήν γε πρώτην διδόναι. cιτία τε, ὅcα ὑγραίνει τε καὶ ψύχει, χρήcιμα· ἀπέχειν δὲ μέλιτοc καὶ νάπυοc καὶ ταρίχουc καὶ τῶν φύcει θερμῶν. 1

ταῦτα μὲν ἐπὶ τῶν πάλαι, καὶ οὐδὲν θαυμαcτόν, ἐν γυμναcίοιc μᾶλλον καὶ τροφῆc ἐνδείᾳ τῶν τότε διαιτωμένων ἀνθρώπων· νῦν δὲ τῆc τάξεωc ἀντεcτραμμένηc ἐπίμικτοc φλέγματι ὡc ἐπὶ τὸ πλεῖcτον εὑρίcκεται ἡ χολή· τοιγαροῦν οἱ πλεῖcτοι τῶν τριταίων ἢ χωρὶc γίνονται ῥίγουc, ἢ κομιδῆ cμικρὸν αὐτοῖc γίνεται τὸ ῥῖγοc. καὶ τὰ τῆc θεραπείαc δὲ διαλλάττουcιν· οὔτε γὰρ λουτρὸν οὐδέ τιc ἁδροτέρα τροφὴ πρὸ πέψεωc ἁρμόζει τοῖc τριταΐζουcιν, ὅ,τι μὴ δι᾽ ἄρτου τε ψιχῶν καὶ ᾠῶν καὶ τῶν παραπληcίων. 2

ιθ΄ *Oribasius, Synops. VI 10; cf. Ad Eunap. III 3. Aëtius V 80*
22—29 *additamentum Pauli*

1 οὐ *om.* AHK, *ins.* B$^{2}$J$^{3}$ πλειόνων] πλειόνων ἢ DF τὸν] τὸ AJ, *corr.* J 3 ἔχῃ C: ἔχει F τούτων D: τοῦτον CG ἁπλοῦν CFG, *e corr.* J$^{3}$ 4 μὲν] CDFG: *om.* ABHJK ἐκτεταμμένον BJ 7 τριταίων J 8 γιγνόμενον] ABDK: γινόμενον CFGHJ 9 τε] τε δεῖ D 11 κενοῦν D 12 πόμαcι μὲν ἀποβρέχοντα ABHJK 13 δὲ δι᾽] διὰ BHK 14 μήτε *(tert.)*] D: μὴ ABCFGHJK 16 ἁμάρτοιc K 17 τῆc νόcου *om.* D ἐμφαίνοιτο D 18 ἁμάρτηc CFG 20 τε] δὲ H 22 παλαιῶν J καὶ οὐδὲν] οὐδέ γε D$^{3}$ 23 μᾶλλον] ὡc μάλιcτα D νυνὶ D$^{3}$ 26 γίγνεται AJ: ἐcτι D τὰ] κατὰ CFG, *corr.* C τὴν θεραπείαν F 28 ὅτι μηδὲ ἄρτου *mrg.* D$^{3}$ τε *om.* B: τε καὶ F

## κʹ. Θεραπεία νόθων τριταίων.

Λούειν ἐπὶ τῶν νόθων τριταίων οὐκ ἀγαθὸν κατ' ἀρχάς, ἀλλ' ἡνίκα ἂν ἤδη φαίνηται τὰ σημεῖα τῆς πέψεως, οὔτε καθ' ἡμέραν τρέφειν, ἀλλ' ἀρκεῖ παρὰ μίαν. ἡσυχία δὲ καὶ θάλψις τῶν καθ' ὑποχόνδριον αὐτοῖς συμφέρει καὶ ῥοφήματα εὔπεπτα καὶ κλύσματα τῆς κάτω γαστρὸς μὴ πάνυ μαλακά· καί, εἰ αἵματος ἀφαιρέσεως χρεία, μηδὲ τοῦτο παραλιπεῖν. ἡ δὲ ὅλη τῆς διαίτης κατάστασις οὐ ψύχουσα καὶ ὑγραίνουσα τὸ σύμπαν, ἀλλὰ καὶ τοῦ τμητικωτέρου τρόπου προσεπιλαμβανέσθω· μάλιστα δὲ ἂν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισάνης χυλὸς ἐμβαλλομένου πεπέρεως ἢ ὑσσώπου ἢ ὀριγάνου καὶ στάχυος νάρδου. καὶ μελικράτῳ δὲ πεπέρεως ἐμβάλλων καὶ ἕψων δίδου πίνειν, καὶ τὰ ἄλλα δέ, ὅσα οὔρησιν κινεῖ, πλὴν τῶν σφοδρῶς θερμαινόντων τε καὶ ξηραινόντων· μάλιστα δὲ τοῦ ἀψινθίου διδόναι μετὰ τὴν ἑβδόμην ἡμέραν. καὶ μὲν δὴ καὶ ὀξύμελι πολλοὺς ὤνησε πινόμενον καί τι τῶν ἐπιεικῶν ὑπηλάτων. ὁ δὲ ἐπὶ τοῖς σιτίοις ἔμετος τοῖς ἐν τούτῳ τῷ πυρετῷ χρονίζουσι χρησιμώτατος.

## καʹ. Τεταρταίων διάγνωσις.

Ὁ τεταρταῖος τὴν εἰσβολὴν ποιεῖται μετὰ πολλῆς καταψύξεως ἅτε ἐκ ψυχροῦ χυμοῦ τῆς μελαίνης χολῆς τὴν γένεσιν ἔχων· ἀλλὰ καὶ τὸ θερμὸν καὶ διακαὲς οὐκ ἔχει τοῦ πυρετοῦ καθάπερ ὁ τριταῖος, ἀλλ' οὐδὲ χολῆς ἔμετος παρακολουθεῖ. ἐπὶ τούτοις εἰ λεπτὰ καὶ λευκὰ καὶ ὑδατώδη τὰ οὖρα τυγχάνοι, τεταρταῖος ἂν εἴη ὁ πυρετός. ἐξαίρετον δέ ἐστι τεταρταίου γνώρισμα μικρὸς καὶ ἀραιὸς ὁ σφυγμός. καὶ φθινοπώρου δὲ μάλιστα τὴν ἀρχὴν ἴσχουσι τοῖς πλάνησιν ἐπιγινόμενοι πυρετοῖς, καὶ ποτὲ μὲν εἰς τὸν διὰ τετάρτης καθίστανται μάλιστα τύπον, ἔσθ' ὅτε δὲ καὶ διὰ πλειόνων ἡμερῶν κατὰ περιόδους τινὰς παροξύνονται.

## κβʹ. Θεραπεία τεταρταίων.

Τοὺς τεταρταῖον νοσοῦντας πράως ἄγειν μήτε φάρμακον μηδὲν ἰσχυρὸν προσάγοντας μήτε κένωσιν, εἰ μή τι ἄρα σφόδρα φαίνοιτο

κʹ *Oribasius, Synops. VI 11; cf. Aëtius V 81* καʹ *Oribasius, Synops. VI 12; cf. Aëtius V 83* 23—27 *cf. Galenus, De cris. II 4* κβʹ *Oribasius, Synops. VI 13; cf. Ad Eunap. III 4. Aëtius V 84*

3 φαίνεται BHK οὔτε] οὔτε δὲ D 4 δὲ] τε DK ὑποχονδρίων CG: γρ. τῶν καθ' ὑποχονδρίων *mrg.* D 5 εὔπεπτα] εὔ- *in ras.* BJ[3]: σύμπεπτα HK 6 τοῦτον B παραλείπειν K 7 καὶ] μόνον καὶ D 9 δὲ ἂν] δ' ἂν D: δὲ ABCFGHJK ἁρμόζοι D, -οι *in ras.* τῆς *om.* B 11 ἐμβαλὼν CD 15 ὁ δὲ] οὐδὲ K 16 χρήσιμος D 17 τεταρταίου D 18 ὁ] ὁ δὲ D 19 ἐκ] ἐκ τοῦ K 21 λευκὰ καὶ λεπτὰ AFJ 23 μακρὸς D, *corr.* D[3] καὶ] καὶ μέγας καὶ AK: καὶ βραδὺς καὶ H: καὶ *post ras. 8 litt.* B: καὶ *ras. 3 litt.* καὶ J 24 δὲ *om.* D ἐπιγινόμενοι] CD: ἐπιγινομένοις FGHK, -ς *eras.* AB: ἐπιγιγνόμενοι *seq. ras. 1 litt.* J γρ. πυρετοί *mrg.* D[3] 28 τεταρταίου *in ras.* D 29 τεταρταῖον] DF, *e corr.* J: τεταρταίῳ ABCGHK νοσοῦντας] νοσοῦντας πυρετῷ K 30 προσάγοντες ἰσχυρὸν K φαίνοιτο σφόδρα D φαίνοιτο *om.* K

πλεονάζειν αἷμα, ἡνίκα χρὴ φλεβοτομεῖν. δίαιταν δὲ ἄφυσον καὶ χρηστὴν προσάγειν καὶ λαπάττειν τὴν γαστέρα διὰ τῶν συνήθων· εἰ δὲ μηδὲν ἀνύει ταῦτα, κλύσμασι χρῆσθαι, κατ᾿ ἀρχὰς μὲν μαλακοῖς, ὕστερον δὲ δριμέσιν. χοιρείων δὲ κρεῶν εἴργειν αὐτοὺς καὶ πάντων, ὅσα γλίσχρα καὶ βραδύπορα, καὶ τῶν ψυχόντων καὶ ὑγραινόντων ἐδεσμάτων πάντων. οἴνῳ δὲ χρῆσθαι λεπτῷ καὶ λευκῷ καὶ συμμέτρως θερμῷ. ταρίχει δὲ καὶ νάπυι χρῆσθαι καὶ δι᾿ ἡμερῶν τινων τοῦ διὰ τριῶν πεπέρεων λαμβάνειν ἢ τοῦ Διοσπολιτικοῦ φαρμάκου· καὶ εἰ πεπέρεως δὲ μόνου σὺν ὕδατι λαμβάνοιεν καθ᾿ ἑκάστην ἡμέραν, ὀρθῶς ἂν ποιοῖεν. εἰ δὲ ἐν ἀκμῇ τοῦ νοσήματος ὁ κάμνων εἴη, τότε χρὴ διαιτᾶν λεπτότατα, εὐθὺς δὲ καὶ ἡσυχάζειν κελεύειν εἰς μακρὸν καὶ τῶν σπλάγχνων προνοεῖν διὰ τῶν μαλαττόντων καὶ χαλώντων· ἐφεξῆς δὲ τοῖς οὐρητικοῖς φαρμάκοις χρῆσθαι. καὶ εἰ τὰ τῆς πέψεως σημεῖα φαίνοιτο, θαρρεῖν τηνικαῦτα καὶ τοῖς τοὺς μέλανας χυμοὺς κενοῦσιν οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ πλεονάκις, μετὰ δὲ σφοδρὰν κάθαρσιν καὶ τοῦ δι᾿ ἐχιδνῶν φαρμάκου διδόναι καὶ τῶν ἄλλων, ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς, ἐν οἷς ἐστι καὶ τὸ σύνηθες ἡμῖν ἁπάντων δοκιμώτατον δι᾿ ὀποῦ τοῦ Κυρηναϊκοῦ λαμβανόμενον.

## κγ΄. Ἀμφημερινοῦ διάγνωσις.

Ὁ δὲ ἀμφημερινὸς οὐδαμῶς μετὰ ῥίγους εἰσβάλλει κατὰ τὴν πρώτην ἡμέραν, ἀλλὰ προήκοντος τοῦ χρόνου περίψυξις μᾶλλον ἢ ῥῖγος γίνεται· δυσεκθέρμαντος δέ ἐστι καὶ πολυχρονίαν ἔχει τὴν ἀνάβασιν, οὐ μὴν οὐδὲ διακάει τοὺς κάμνοντας οὐδὲ πολὺ καὶ πυκνὸν ἀναπνεῖν ἀναγκάζει οὐδὲ ἐκφυσᾶν ἢ πίνειν ψυχρόν. γίνονται δὲ καὶ φλεγματώδεις ἔμετοι, καὶ ὅσα διὰ γαστρὸς ἐκκενοῦται, ψυχρότερα καὶ ὠμότερα καὶ ὑδατωδέστερα ἐν τούτοις τοῖς πυρετοῖς εὑρήσεις· καὶ ἱδροῦσιν ἥκιστα περὶ τὰς πρώτας ἡμέρας οὐδ᾿ εἰς ἀπυρεξίαν ἔρχονται. καὶ ὠχρόλευκος δὲ τούτοις ἡ χροιά, τὰ δὲ οὖρα λεπτὰ καὶ λευκὰ ἢ παχέα καὶ θολερὰ καὶ ἐρυθρά.

κγ΄ *Oribasius, Synops. VI 14; cf. Aëtius V 85*

1 πλεονάζειν] πλεονάζειν τὸ D   5 πάντων *om.* AJ   6 λευκῷ καὶ λεπτῷ CF   7 δὲ] τε D   χρῆσθαι *om.* D   τινων] D: *om.* J: τριῶν ABCFGHK   8 μόνον ABHJ   11 κελεύειν] CDGB²J²: κελεύει ABJK: κελεύη H: κελεύεις F   12 χαλόντων BCFGJ, *corr.* CJ   δὲ] *in ras.* D: *om.* F   διουρητικοῖς CDFG   13 θαρρεῖν] θαρρῶν D: καθαίρειν *Or*   17 ἐστιν K, -ν *eras.* G: ἐστην H   δι᾿] τὸ λαμβάνον D   18 λαμβανόμενον *om.* D   21 χρόνου] χρόνου ἀλλὰ F   23 διακάει] διακαίει *Or*: διακαεῖς ABCFGHJK: ποιεῖ διακαεῖς D   24 ἢ] ἢ ὀρέγεσθαι D   26 ἥκιστα] ὡς ἥκιστα D   27 περὶ] περί γε *in ras.* D   οὐδ᾿] καὶ οὐδὲ D   28 λευκὰ καὶ λεπτὰ D

## κδ΄. Θεραπεία ἀμφημερινῶν.

Θεραπεύοντες δὲ ἀμφημερινὸν ὀξυμέλιτι χρώμεθα κατὰ τὰς πρώτας ἡμέρας καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις, καὶ τὸ σύμπαν σοι τῆς διαίτης εἶδος τμητικὸν ἔστω. περὶ δὲ τὴν ἀκμὴν χρὴ προνοεῖσθαι τῆς γαστρός, μάλιστα δὲ τοῦ στόματος αὐτῆς, κἄπειτα καὶ ἐμεῖν ἀπὸ ῥαφανίδων καὶ σιτίων κελεύειν καὶ τοῖς φλέγμα κενοῦσιν ὑπηλάτοις κεχρῆσθαι.

## κε΄. Περὶ ἠπιάλου πυρετοῦ καὶ ῥίγους ἀνεκθερμάντου.

Τὸ ὑαλῶδες φλέγμα ψυχρότατον ὑπάρχον ἅπαντος φλέγματος, εἴπερ ἄσαπὲς ἔτι μένον ἐν ὅλῳ πλεονάσει τῷ σώματι, τὸ ἀνεκθέρμαντον ἐργάζεται ῥῖγος ἄνευ πυρετοῦ· ἐπὶ γὰρ τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν ἡ σῆψις ὡς μάλιστα τὴν πυρεκτικὴν ἀνάπτει θερμασίαν. εἰ δὲ σαπείη, δι' ὅλου μὲν ἑαυτοῦ σηπόμενον, ὅπερ ἐστὶ σπάνιον διὰ τὴν ἄμετρον ψῦξιν, ἀμφημερινοῦ παραίτιον γίνεται, ἡμισαπὲς δὲ γινόμενον οὐ δι' ὅλης αὐτοῦ τῆς οὐσίας ὁμαλῶς, ἀλλὰ τινῶν μὲν μορίων σηπομένων, τινῶν δὲ μενόντων ἀσαπῶν, τὸν ἠπίαλον ἐργάζεται πυρετόν, καθ' ὃν ἅμα ῥιγοῦσί τε καὶ πυρέττουσιν· τὰ μὲν ἀσαπῆ τοῦ χυμοῦ μόρια δι' ὅλων ἐνεσπαρμένα τῶν φλεβῶν ἢ καὶ τοῦ λοιποῦ σώματος τὸ ῥῖγος ποιεῖ, τὰ δὲ σεσηπότα τὸν πυρετὸν ἀνάπτει. λέγεται δὲ ἠπίαλος ἢ ἀπὸ μεταφορᾶς τῆς ἁλός, λέγω δὲ τῆς θαλάσσης, ἠπίας μὲν φαινομένης, χαλεπῆς δὲ κατὰ τὰς ταραχὰς αὐτῆς ὑπαρχούσης, ἢ παρὰ τὸ ἠπίως ἀλεαίνειν, ὅπερ ἐστὶ θερμαίνειν. καὶ οὗτος οὖν ὁ πυρετὸς τοῦ γένους ὢν τῶν ἀμφημερινῶν ὡς ὑπὸ φλέγματος γιγνόμενος τῇ ἐκείνων ὑπάγεται θεραπείᾳ κατ' εἶδος, πλὴν ὅτι τοσούτῳ τοῦ λεχθέντος ἀμφημερινοῦ θερμοτέρων τε καὶ τμητικωτέρων χρῄζει βοηθημάτων, ὅσῳ καὶ τὸ φλέγμα ψυχρότερον ἐκείνου τυγχάνει. τοῦ δὲ ἠπιάλου τὸ ἀνεκθέρμαντον ῥῖγος ἔτι μᾶλλον δεῖται τῶν θερμαινόντων· τὸ γοῦν διὰ τῶν τριῶν πεπέρεων καὶ τὸ διὰ καλαμίνθης ἔτι τε τὸ

κδ΄ *Oribasius, Synops. VI 15; cf. Ad Eunap. III 5. Aëtius V 86*
κε΄ *cf. Galenus, De diff. febr. II 6; Aëtius V 87*

ABCDEFGHKM(P)

1 ἀμφημερινοῦ θεραπεία J: ἀφημερινῶν θεραπεία F  ἀμφημερινοῦ DK: ἀφημερινῶν C  2 δὲ] δὲ τὸ D: *om.* K  ὀξύμελι K  3 καλῶς . . . δυναμένοις] κινοῦσι καλῶς D  4 σοι *om.* CFG  τμητικὸς A: τμητικώτερον J  5 καὶ *om.* DJ  6 ῥεφανίδων C  κενοῦσιν] *corr. ex* κινοῦσιν D  7 *post* κεχρῆσθαι *add.* κατὰ πολὺ, ἕως οὗ παυθῇ B[3]  8 ἀνεκθερμάντων BHJ, *comp. ambig.* DG  9 παντὸς D  10 πλεονάσει] DFP, *in ras.* J: πλεονάσῃ ABCGH  13 αὐτοῦ D  14 ἀφημερινοῦ CF, *ut solent*  γιγνόμενον A: γενόμενον FP  15 μορίων] μορίων αὐτοῦ D  17 ὃν] *corr. ex* ὃ J  *in* τὰ *inc.* E *(hinc J neglexi)*  μὲν] μὲν οὖν D: μὲν γὰρ P  17. 18 μόρια τοῦ χυμοῦ E  18 φλεβῶν] χυμῶν D: *ante* φλεβῶν *del.* χυμῶν H  λοιποῦ] ὅλου D  20 δὲ *(alt.)*] δὴ DFP  θαλάττης DFG  23 γινόμενος EFHD[3]  24 κατ' εἶδος *om.* A  26 ἐκείνων D  27 *in* δεῖται *inc.* M  28 τὸ γοῦν] τοιγαροῦν CG: τοιγαροῦν τὸ F  τῶν *om.* EFP, *postea ins.* M  τε] δὲ CFP

διὰ τοῦ ὀποῦ τοῦ Κυρηναϊκοῦ τούτοις ἁρμόσει καὶ τὰ διὰ καστορίου τε καὶ τῶν ὁμοίων σκευαζόμενα βοηθήματα. πλατικωτέραν δὲ τὴν ἴασιν εὑρήσεις τούτων ἐν τῷ περὶ ῥίγους ἀμέτρου καὶ ψύξεως κεφαλαίῳ με΄. καὶ οἱ λιπυρίαι δὲ καὶ τυφώδεις, ὅσοι τε παρὰ τοὺς εἰρημένους λέγονται πυρετοί, τοῦ γένους ὄντες τῶν εἰρημένων καὶ τὰς ἐπ᾽ ἐκείνων εἰρημένας τε καὶ λεχθησομένας ἀπαιτοῦσι θεραπείας.

## κϛ΄. Περὶ συνεχῶν πυρετῶν.

Συνεχεῖς ὁμογενεῖς εἰσι πυρετοὶ τῶν διαλειπόντων ἑκάστῳ, τριταίῳ μὲν ἀκριβεῖ καῦσος, ἀμφημερινῷ δὲ ὁ καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, οὕτω δὲ καὶ τεταρταίῳ ὁ διὰ τετάρτης. ὅ τε γὰρ ἀκριβὴς καῦσος πάντα τὰ ἄλλα φυλάττων ἀκριβοῦς τριταίου γνωρίσματα μόνῳ τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν μήτε εἰς ἀπυρεξίαν παύεσθαι διενήνοχεν, ὅ τε καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος ὁμοίως πάντα ἔχει τὰ γνωρίσματα τοῖς ἀκριβέσιν ἀμφημερινοῖς, τῷ μὴ παύεσθαι δὲ εἰς ἀπυρεξίαν διαφέρει τοῦ ὁμογενοῦς ἀμφημερινοῦ· κατὰ ταὐτὰ δὲ καὶ ὁ διὰ τετάρτης μὲν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, ὁμογενής ἐστι τῷ τεταρταίῳ. συνεχὴς μὲν οὖν ἐστι πυρετὸς ὁ εἰς ἀπυρεξίαν πρὶν τελέως λυθῆναι μὴ παυόμενος· ὅταν δὲ μηδὲ παρακμή τις φαίνηται, τοῦ γένους μέν ἐστι καὶ οὗτος τῶν καυσωδῶν, ὀξύτητι δὲ αὐτῶν διενήνοχεν.

## κζ΄. Διάγνωσις καὶ θεραπεία συνεχῶν πυρετῶν.

Τῶν συνεχῶν πυρετῶν ἡ μὲν γένεσις ἐξ αἵματός ἐστιν ὁτὲ μὲν ζέσαντος μόνον, ὁτὲ δὲ καὶ σαπέντος ἐπ᾽ ἐμφράξει· διόπερ ὁ παροξυσμὸς αὐτοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους εἷς ἐστιν. σημεῖα δὲ σφυγμοὶ μέγιστοι καὶ σφοδροὶ καὶ ταχεῖς καὶ πυκνοὶ καὶ ὁμαλεῖς, οὐ δακνώδεις, οὖρα δὲ τῶν κατὰ φύσιν οὐ πάνυ τι ἀπολειπόμενα. ἴασις δέ ἐστι διὰ φλεβοτομίας ἄχρι λειποθυμίας· μὴ φλεβοτομηθέντες δὲ οἱ τοιοῦτοι πυρέττοντες εἰς ἔσχατον ἥκουσι κίνδυνον. εἰ δὲ διά τι κωλυθείημεν κενῶσαι διὰ φλεβοτόμου, τοῖς ἄλλοις δεῖ χρῆσθαι βοηθήμασι τοῖς ἐκφράττουσι καὶ τὸ πλῆθος κενοῦσι καὶ πραΰνουσι τὸ ζέον τῶν πυρετῶν.

κϛ΄ *Oribasius, Synops. VI 16; cf. Aëtius V 77* κζ΄ *cf. Aëtius V 70, 73* 22—26 *cf. Galenus, Meth. med. IX 4* 26 *sqq. Oribasius, Synops. VI 17*

1 ἁρμόζει DF: ἁρμόττει M: ἁρμόσσει P τὰ] τὸ AEH 2 πλακτικωτέραν E: πλατυτέραν P 3 τούτων εὑρήσεις DP καὶ ψύξεως] καταψύξεως M 4 με΄] CDFG, *in ras.* AE: λζ BHKMP τιφώδεις CGM 9 ἀφημερινῷ CFM ἑκάστην] ἑκάστην μὲν D: *om.* F 11 τὰ *om.* K: *del.* M 12 ἀκριβοῦς] τὰ τοῦ ἀκριβοῦς D 14 ὅμοια D πάντα *om.* CFG τοῖς] πάντα τοῖς CFG 16 κατὰ] *corr. ex* καὶ J: καὶ F δὲ *om.* A 20 αὐτοῦ D *post* διενήνοχεν *add.* καὶ λέγεται σύνοχος πυρετός A[2] 21 συνεχῶν] E, *e corr.* B: συνόχων ACDFGHKM: *mrg.* συνεχῶν γρ. εἰς τὸ ἕτερον βιβλίον D[3] 22 συνεχῶν] ABD: συνόχων CEFGHKM, *e corr.* A 23 ὁ *om.* CFG 24 ἀπ᾽ ἀρχῆς] CDGJ[3]: *om.* ABFHKMP 25 ὁμαλοί ACDEF, *e corr.* G οὐ] καὶ D 30 τοῦ πυρετοῦ D

ὅταν δέ ποτε ἐπ’ αὐτῶν ἴδηϲ τὰ τῆϲ πέψεωϲ τῶν χυμῶν ϲημεῖα, καὶ μήτε ἐν κυρίῳ μορίῳ φλεγμονή τιϲ ἢ ὄγκοϲ οἰδηματώδηϲ ἢ ϲκιρρώδηϲ ᾖ μήτε τι μόριον ψυχρόν, ὡϲ εἰϲ αὐτὸ καταϲκῆψαι τὴν βλάβην, θαρρῶν δίδου τὸ ψυχρόν, καὶ μάλιϲτα εἰ ψυχροπότηϲ ὁ κάμνων εἴη.

## κη΄. Καυϲωδῶν διάγνωϲιϲ.

Τοῖϲ καύϲοιϲ παρακολουθεῖ ϲυμπτώματα γλῶϲϲα μὲν ξηρὰ καὶ παχεῖα καὶ μέλαινα, δῆξιϲ δὲ τῆϲ γαϲτρὸϲ καὶ ὑποχωρήματα ὠχρὰ καὶ δίψα ϲφοδρὰ καὶ ἀγρυπνία, ποτὲ δὲ καὶ παραφροϲύνη.

## κθ΄. Καυϲωδῶν θεραπεία.

Τῶν δύο τούτων ἀναγκαῖόν ἐϲτι τὸ ἕτερον γενέϲθαι, εἰ μέλλοι λυθήϲεϲθαι τελέωϲ, ἢ ἐκκριθῆναι τοὺϲ χολώδειϲ χυμοὺϲ ἢ ϲβεϲθῆναι. ἐκκρίνονται μὲν οὖν διὰ ἱδρώτων ἢ ἐμέτων ἢ τῆϲ κάτω γαϲτρόϲ, ϲβέννυνται δὲ διὰ ψυχροῦ πόϲεωϲ, ᾗ διὰ παντὸϲ ἐθεραπεύϲαμεν ἡμεῖϲ τοὺϲ καύϲουϲ. διαιτᾶν δὲ τοὺϲ καυϲουμένουϲ οὔτε ἐφ’ ὕδατοϲ μόνου προϲῆκεν οὔτε ἐπὶ μελικράτου μόνου, ἀλλ’ ὑδαρὲϲ μελίκρατον ἑφθὸν διδόναι· δεῖ γὰρ τοὺϲ οὕτω νοϲοῦνταϲ ἐπὶ μόνων τῶν πομάτων διαιτᾶϲθαι. λουτρὸν δὲ τοῖϲ καυϲωδῶϲ νοϲοῦϲιν ἐκείνοιϲ ἁρμόϲει μόνοιϲ, ὅϲοι χωρὶϲ ὄγκου φλεγμονώδουϲ ἢ ἐρυϲιπελατώδουϲ· ἐὰν δὲ καὶ πέψεωϲ ἔχωϲι γνωρίϲματα, πολὺ μᾶλλον αὐτοῖϲ ἁρμόϲει. τοῖϲ δὲ δι’ ἁλυκὸν χυμὸν καῦϲον νοϲοῦϲιν οὐχ ἁρμόϲει· τούτουϲ δὲ καὶ χυλῷ πτιϲάνηϲ τρέφειν προϲήκει.

## λ΄. Πυρετοῦ ἐπὶ ἐρυϲιπελατώδει διαθέϲει διάγνωϲιϲ καὶ θεραπεία.

Τοὺϲ ἐπὶ ἐρυϲιπελατώδει τῶν περὶ τὰ ϲπλάγχνα διαθέϲει πυρετοὺϲ διαγνωϲτέον μὲν ἔκ τε τῆϲ ἐγχωρίου ζέϲεώϲ τε ὑπερβαλλούϲηϲ καὶ ὀδύνηϲ ϲφοδρᾶϲ ἔτι τε δίψηϲ καὶ καύματοϲ ἀμέτρου καὶ ἁπλῶϲ εἰπεῖν τῶν τῆϲ ϲηπομένηϲ ϲὺν αἵματι βραχεῖ δριμυτάτηϲ χολῆϲ ϲημείων. θεραπεύειν δὲ τόνδε τὸν τρόπον· ἀπέχεϲθαι μὲν χρὴ βαλανείου τὸ πάμπαν, ὕδατι δὲ ψυχρῷ κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοϲήματοϲ χρηϲτέον

κη΄ *Oribasius, Synops. VI 18; Aëtius V 78* κθ΄ *Oribasius, Synops. VI 19; cf. Aëtius V 78* λ΄ *cf. Aëtius V 89.* 28 *sqq. Oribasius, Synops. VI 20*

1 αὐτοῦ A 3 ϲκιρρώδηϲ] ϲκιρώδηϲ D: ϲκληρώδηϲ AE: ϲκηρώδηϲ καὶ ϲκληρώδηϲ F: ϲκίροϲ BGKM: ϲκίρροϲ CH 6 παρακολουθείη B: παρακολουθεῖ μὲν A 7 τραχεῖα *Or* 8 δὲ *om.* HKM, *postea add.* B 11 ἢ *(pr.)*] DF: *om.* ABCEGHKM 12 διὰ] δι’ D: ἢ διὰ C 14 οὔτε] D: οὐδὲ ABCEFGHKM 15 οὔτε] D: οὐδὲ ABCEFGHKM ἑφθὸν] αὐτοῖϲ ἑφθὸν D 18 ὅϲοι] D: οἳ ABCEGHKM: ἢ F ἐὰν] εἰϲίν, ἐὰν D 19 ἔχουϲι BKM: ἔχουϲην H ἁρμόζει *in ras.* D: ἁρμόϲει *mrg.* D[3] 20 καῦϲον νοϲοῦϲιν] CDGA[3]B[2]: καύϲῳ νοϲοῦϲιν HKM: καυϲονοϲοῦϲιν ABE: καύϲωνοϲ νοϲοῦϲιν F ἁρμόζει D[3] τούτοιϲ CFGM, *corr. in scrib.* C 22 διαθέϲει] DE: *om.* ABCFGHKM διάγνωϲιϲ καὶ θεραπεία] DE: θεραπεία καὶ διάγνωϲιϲ ABCFGHKM 25 τε *(pr.) om.* D, *eras.* G 28 δὲ *om.* F χρὴ] δεῖ H

ἀγωνιστικῷ, τουτέστι ψυχροτάτῳ, ἐν ἀρχῇ δὲ οὐ χρηστέον, ἀλλ' ἔξωθεν ἐπιτιθέναι τὰ ψύχοντα καί, εἰ μηδὲν ἀνύcει, καὶ εἴcω τοῦ cώματος ἀναγκάζειν λαμβάνειν. μάλιστα δὲ αὐτοῖς ἁρμόττουσιν αἱ θριδακίναι καὶ τὰ ταύταις ἰσοδύναμα· ἔξωθεν δὲ καὶ αὐτὸς μὲν ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος, ἀλλὰ καὶ ἀειζῴου, ὅσα τ' ἄλλα ψύχοντα. κάλλιστον δέ, ᾧ μάλιστα χρώμεθα· τὸ γὰρ ὑγρὸν ἐκθλίψαντες τῶν ψυχόντων τινὸς ἐμβάλλομεν ὅλμῳ μετὰ ἀνδράχνης, εἶτα κόψαντες ἐκπιάζομεν, ἐπὶ δὲ τῆς χρήσεως ὀλίγον ἀλφίτου μίξαντες καὶ ἀναδεύσαντες ἐν ὕδατι ψυχρῷ τοῦτο ψυχράναντες, ὀθόνιον δὲ δίπτυχον ἐν αὐτῷ δεύσαντες, ἐπιτείνομεν ἔξωθεν αὐτὸ κατὰ τῶν ὑποχονδρίων οὐκ ἐῶντες χρονίζειν, ἀλλ' ἕτερον ψυχρὸν ἐπιτιθέντες, μίγνυμεν δὲ ἐνίοτε καὶ ἔλαιον ὀμφάκινον.

## λα'. Ἑκτικῶν πυρετῶν διάγνωσις.

Ἑκτικὸς πυρετὸς οὐκ ἐν τοῖς ὑγροῖς καὶ ἐν τῷ πνεύματι συνίσταται μόνον, ἀλλ' ἤδη καὶ τοῖς στερεοῖς. ἀνώδυνος δέ ἐστι, καὶ νομίζουσιν οἱ πυρέσσοντες μηδὲ πυρέττειν ὅλως· οὐδὲ γὰρ αἰσθάνονται τῆς θερμασίας ἁπάντων αὐτοῖς ὁμοίως ἐκτεθερμασμένων τῶν μορίων. διττὸν δέ ἐστιν εἶδος τῶν ἑκτικῶν πυρετῶν. οἱ μὲν γὰρ ἐπὶ καυσώδεσι πυρετοῖς ὡς τὰ πολλὰ γίνονται ἤτοι μηκυνθεῖσιν εἰς τοσοῦτον, ὡς ἐκδαπανῆσαι τῷ χρόνῳ τὴν ἰκμάδα τοῦ τῆς καρδίας σώματος, ἢ καὶ μενούσης ἔτι συχνῆς· οἱ δ' ἔτι μενούσης τῆς ὑγρότητος γινόμενοι τὸ σῶμα τῆς καρδίας καταλαμβάνοντες ἐντεῦθεν ἀνάπτονται. ἡ μὲν δὴ μία γένεσις αὐτῶν εἴρηται· κατάλοιπος δέ ἐστιν, ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσι τὴν πρώτην γένεσιν ὁμοίαν ποιησάμενοι τοῖς ἐφημέροις ἐπὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ πλείονι μετ' ἐγκαύσεως ἅμα γενομένῳ. τούτους μὲν οὐ χαλεπόν ἐστιν ἰᾶσθαι, τοὺς δὲ ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικνουμένους ἀδύνατόν ἐστιν ἰᾶσθαι. ὁ μὲν δὴ συνεμπίπτων τῷ μαρασμῷ πυρετὸς ἑκτικὸς ἑτοιμότατός ἐστι γνωσθῆναι· ὀφθαλμούς τε γὰρ κοίλους ἀμέτρως θεάσῃ καὶ λήμας κατ' αὐτοὺς ἐμφερομένας ξηρὰς καί τινα αὐχμώδη διάθεσιν, ἀπολωλὸς δὲ καὶ τῆς χρόας αὐτῶν τὸ

λα'. *Oribasius, Synops. VI 21; cf. Aëtius V 92*

3 ἁρμόζουσιν D  4 ταύταις τὰ D  μὲν] *e corr.* B: *supra scr.* M  5 ψύχοντα] ψύχοντά ἐστι D  κάλλιστον] *Or*: καλλίστῳ ABDEHKM: κάλλιστα FGP: κάλιστα C  6 ᾧ μάλιστα] *Or*: ὡς μάλιστα ABCEFGHKMP: πάντων D  τὸ] τῷδε τὸ D  7 ἐκπιέζομεν D  8 ἀλφίτου] *mut. in* ἄλφιτον E  9 δὲ] τε D  δίπτυχον *om.* E  10 αὐτῷ CG  11 ἐπιτιθέντες] αὖθις ἐπιτίθεμεν D  14 ἑκτικὸς] ὁ ἑκτικὸς C  ἐν *(alt.) om.* H  15 καὶ *(pr.)*] κἀν *Or*  δέ] τε D  16 πυρέττοντες D  οὐδὲ] D: οὔτε ABCEFGHKM  19 μηκυνθέντων D: μηκυνθεῖσιν *mrg.* D[3]  23 γέννησις B  δέ] D: *om.* ABCEFGHKM  24 εἰσβάλωσι D: εἰσβάλωσιν CH: εἰσβαλοῦσι F  γέννησιν B  25 γινομένῳ D  26 οὐ] οὖν D  χαλεπῶς F  ἰᾶσθαι] ἠᾶσθεν H: ὁ ἀσθενῶν F  27 ἐστιν ἰᾶσθαι *om.* D  τῷ *om.* D  28 γνωρισθῆναι E  29 ἐμφαινομένας D  30 δὲ καὶ] τε D: καὶ F  χροιᾶς E: χρώας B

ζωτικὸν ἄνθος, καὶ τὸ μέτωπον ξηρὸν καὶ περιτεταμένον, καὶ μέντοι καὶ μύουσιν ὡς τὰ πολλὰ καθάπερ ὑπνώττοντες· ἔστι δὲ οὐχ ὕπνος τὸ πάθος, ἀλλ' ἐγρηγόρσεως ἀδυναμία. καὶ κρόταφοι συμπεπτωκότες εἰσίν, καὶ τί γὰρ ἄλλο ἢ ὀστᾶ καὶ δέρμα μόνον εἰσίν; καὶ εἰ γυμνώσας ἐπισκέπτοιο τὰ κατὰ τὴν γαστέρα, δόξει σοι μήτε τῶν ἐντέρων μήτε τῶν σπλάγχνων μηδὲν ἀποσώζεσθαι καὶ τὸ ὑποχόνδριον ἀνεσπάσθαι σφοδρῶς. καὶ τὸ δέρμα δὲ αὐτοῖς ἐσχάτως καρφαλέον ἐστίν, ὁ σφυγμὸς ἰσχνὸς καὶ πυκνὸς καὶ σκληρός. ἡ δὲ θερμασία κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀμαυρά, μετ' ὀλίγον δὲ τό τε δριμὺ καὶ διαβρωτικὸν ἐνδείκνυται. μέχρι μὲν οὖν τοῦ σώζεσθαί τι τῆς ὑγρασίας ἑκτικὸς μόνον πυρετός ἐστιν, ὅταν δὲ εἰς κίνδυνον ἥκῃ τοῦ μηκέτι εἶναι τῆς τοιαύτης ὑγρότητος μηδέν, ἀκριβὴς ἤδη μαρασμὸς συνίσταται.

## λβ'. Ἑκτικῶν πυρετῶν θεραπεία.

Οἱ ἑκτικῷ πυρετῷ νοσοῦντες εὐθὺς ἐξ ἀρχῆς τρέφεσθαι δέονται διὰ τὸ δακνῶδες τῶν χυμῶν· μέγιστον δὲ ἴαμα ἡ ὑγραίνουσα δίαιτα. χρὴ οὖν ὅτι μάλιστα διὰ πτισάνης χυλοῦ καὶ χόνδρου ῥοφημάτων θρέψαντα καὶ ἄρτου τι προσεπιδιδόντα θεραπεῦσαι πόσει ψυχροῦ τὸν κάμνοντα μεμετρημένως, ὅταν μήτε φλεγμονή τις αὐτῷ συνῇ μήτε σῆψις χυμῶν. καὶ εἰ μεγάλην ἔσεσθαι στοχάζοιο τὴν βλάβην, ἐπισχεῖν μὲν δεῖ τὴν δόσιν τοῦ ψυχροῦ, τοῖς δὲ ἔξωθεν ἐπιτιθεμένοις ψυκτηρίοις ἰάμασι χρῆσθαι· καὶ βαλανεῖα δὲ τοῖς οὕτω κάμνουσιν ἐπιτήδεια κατὰ πάντα καιρόν.

## λγ'. Περὶ ἡμιτριταίων.

Τοῦ μὲν τριταίου μετὰ ῥίγους εἰσβάλλοντος, τοῦ δὲ ἀμφημερινοῦ χωρὶς ῥίγους, ὁ μικτὸς ἐξ ἀμφοῖν φρίκην ἐπιφέρει, ῥίγους μὲν ἔλαττόν τι πρᾶγμα, μεῖζον δὲ περιψύξεως, ὅπερ κεραννυμένων γίνεται τῶν ἄκρων· οὐκοῦν οὐδὲ ἀπὸ τρόπου τοὔνομα τῷ τοιούτῳ πυρετῷ τὸν ἡμιτριταῖον ἔθεντο. διττὸς δὲ ὁ τρόπος τῆς γενέσεως αὐτῶν,· ἤτοι συνελθόντων εἰς ἕνα τῶν δύο παροξυσμῶν ἢ εὐθέως ἐξ ἀρχῆς ἀνακεκραμένων ἀλλήλοις ἀμφοτέρων. ὅταν μὲν οὖν ὁ τριταῖος ἐπικρατῇ, φρικωδέστερος ὁ πυρετὸς γίνεται καί τι καὶ ῥίγους προσλαμβάνει κατὰ

λβ' *Oribasius, Synops. VI 22; cf. Aëtius V 93* λγ' *Oribasius, Synops. VI 23; cf. Aëtius V 82*

3 καὶ κρόταφοι] οἱ κρόταφοί τε D 4 εἰσίν *(pr.)*] *om.* D: εἴσω CFG, *mrg.* B²: εἰσί E ὀστέα D 5 δείξει E 6 ἀνασπᾶσθαι E: ἀνέσπασται D 7 ἐστίν] ἐστὶ καὶ CFG 9 εἰσβολὴν M τε *om.* D, *supra scr.* M 10 τοῦ . . . τι] τι σώζεται D μόνον] *supra scr.* M: μόνον ὁ D 11 ἥκῃ] ἴοι D 12 *mrg.* ὑγρασίας E 14 ἑκτικὸν πυρετὸν D 16 χρὴ] D: δεῖ ABCEFGHKM ὅτι] DF: ἢ ὅτι ABCEGHKM 17 τι] *Or*: τε ABEHKM: δὲ CDFG προσεπιδόντα D θεραπεύειν D 19 καὶ εἰ] εἰ δὲ D, *mrg.* καὶ εἰ 23 ἡμιτριταίου AB 25 ἐπιφέρει] ADEH: ἐμφέρει BCFGKM 26. 27 τῶν ἄκρων γίνεται D 27 οὐκοῦν] οὐδὲν οὐκοῦν K 29 ἕνα] *mut. in* ἓν C

τὴν ἐπισημασίαν· εὐθὺς δὲ ὁ τοιοῦτος θερμότερός τέ ἐστι καὶ καυσωδέστερος καί τινα χολῆς ἔμετον ἢ διαχώρησιν ἢ ἰκμάδα φέρει. θατέρου δὲ τοῦ φλεγματώδους πλεονεκτοῦντος ἐπικρατοῦσι μὲν αἱ ψύξεις τῶν ἄκρων, ὀλίγαι δέ εἰσιν αἱ φρῖκαι, οὐ μὴν οὐδὲ διψώδεις εἰσὶν οὐδὲ καυσώδεις. ἐπειδὰν δὲ ἴσοι κατὰ τὸ μέγεθος ὑπάρχωσιν ὅ τε τριταῖος διαλείπων καὶ ὁ ἀμφημερινὸς συνεχής, ἡ μὲν εἰσβολὴ τοῦ παροξυσμοῦ μετὰ φρίκης γίνεται. καὶ ἡνίκα μὲν ἂν ὁ ἐκ τοῦ φλέγματος ἐπικρατῇ, συστολαὶ γίνονται καὶ φρῖκαι· εἰ δὲ ὁ θερμότερος ἐπικρατήσει, ἀθρόως ἐκθερμαίνονται. τοιοῦτος μέν τίς ἐστιν ὁ ἀκριβὴς ἡμιτριταῖος ἐξ ἰσοσθενοῦς κράσεως δυοῖν πυρετοῖν γινόμενος, τριταίου διαλείποντος καὶ ἀμφημερινοῦ συνεχοῦς. ὁ δὲ οὐκ ἀκριβὴς ἤτοι τὸν χολώδη πλείονα κέκτηται ἢ τὸν φλεγματώδη· ὃς δὴ καὶ μᾶλλόν ἐστιν εὐίατος ἑτοίμως δυναμένου τοῦ ἥττονος νικᾶσθαι χυμοῦ ὑπό τε τῆς τοῦ πλείονος ἐπικρατείας καὶ τῆς ἀπὸ τῆς τέχνης ἐπικουρίας· εἰ μὲν γὰρ ἐπικρατέστερον εἴη τὸ φλέγμα, τοῖς ἐπὶ ἀμφημερινοῦ λελεγμένοις μάλιστα κεχρήμεθα βοηθήμασιν, εἰ δὲ ἡ ξανθὴ χολή, τοῖς ἐπὶ τριταίου, καθόλου πρὸς τὸ κατεπεῖγον ἐνιστάμενοι μηδὲ θατέρου παντάπασιν ἀμελοῦντες.

## λδʹ. Περὶ τῶν πανδήμων νοσημάτων.

Πανδήμους καὶ κοινὰς νόσους τὰς πολλοῖς ἅμα συμπιπτούσας ὀνομάζουσιν, ὧν ὥσπερ ἡ γένεσις οὕτως καὶ ἡ αἰτία κοινή. κοινά τε οὖν ἐδέσματα πονηρὰ τίκτουσι νοσήματα κοινὰ καὶ ὕδατος μοχθηροῦ πόσις ταλαιπωρίαι τε ἄμετροι καὶ πόνοι συνήθεις ἐκλειφθέντες ἔνδειαί τε καὶ πλησμοναὶ λιμοῦ κατασχόντος ἢ εὐθηνίας γενομένης· καὶ χωρίων δὲ φύσεις κοινὰ νοσήματα πολλάκις ἐπήνεγκαν, ἐνίοτε μὲν ἑλωδῶν, ἐνίοτε δὲ ἐχόντων βάραθρον παρακείμενον ἀναθυμίασιν δηλητηριώδη καὶ πονηρὰν ἀναπέμπον. ταῦτα μὲν οὖν οὐ συνεχῶς εἴωθεν συμπίπτειν, ὁ δὲ περιέχων ἡμᾶς ἀὴρ τρέπει τὰς κράσεις ἤτοι θερμότερος ἀμέτρως ἢ ψυχρότερος ἢ ξηρότερος ἢ ὑγρότερος γινόμενος. τοῖς μὲν γὰρ ἄλλοις αἰτίοις οὔτε πάντες ἅμα περιπίπτομεν οὔτε δι' ὅλης ἡμέρας ὁμιλοῦμεν, ὁ δὲ περιέχων ἡμᾶς ἀὴρ ἔξωθέν τε περικέχυται πᾶσι καὶ ἕλκεται διὰ τῆς εἰσπνοῆς· ἀναγκαῖον οὖν συνδιατίθεσθαι ταῖς κατὰ τὴν

12—17 ? λδʹ *Oribasius, Synops. VI 24; Ad Eunap. III 1. cf. Aëtius V 94*

5 ὑπάρχωσιν] ADE: ὑπάρχουσιν BCFGHKM τε] D: *om.* ABCEFGHKM 6 μὲν *om.* D 7 ἐπικρατεῖ F: ἐπικρατήσῃ AEM 8 ἐπικρατήσει] DFJ: ἐπικρατήσῃ ABCEGKM: ἐπικρατῇ H 9 ὁ] D: *om.* ABCEFGHKM 10 πυρετοῖν] D: πυρετὸς ABCEFGHKM 12 δὴ *om.* D 13 τε *om.* M 15 χρησόμεθα P 16 ἐπὶ] ἐπὶ τοῦ M 17 ἐπιστάμενοι E μηδὲ] καὶ μηδὲ D 18 τῶν *om.* E 19 πολλὰς FD[3] ἅμα] ἅμα καὶ κατὰ ταὐτὸν D 20 ὧν *om.* HKM, *mrg.* B[2] 21 νοσήματα] D: τοιαῦτα νοσήματα ABCEFGKM: νοσήματα τοιαῦτα H πόσις] *mut. in* πόσεις D 22 ἐκλείποντες *in ras.* D 23 γεναμένης KM 24 ἐπήνεγκαν πολλάκις D 25 βάραθρον ἐχόντων E 26 ἀναπέμποντος CFG, *corr.* C οὐ] D *Or Ad Eunap*: *om.* ABCEFGHKM *Or Synops* 28 γιγνόμενος AEFG 30 τε *om.* D 31 οὖν] D: δὲ ABCEFGHKM

κρᾶcιν ἐξαλλαγαῖc αὐτοῦ τὰ τῶν ζῴων cώματα. ὁ γοῦν γινώcκων οὐ προγνώcεται μόνον τὰc γενηcομέναc νόcουc ἐξ ἑκάcτηc τῶν καταcτάcεων, ἀλλὰ καὶ κωλύcει γενέcθαι ταῖc τοῦ περιέχοντοc ἀμέτροιc κράcεcιν τὴν ἐναντίαν ἐπιτεχνώμενοc δίαιταν. ὅcα μὲν οὖν ἐγγὺc τοῦ νοcεῖν ἐcτι cώματα νόcον τινὰ διὰ τὴν οἰκείαν δυcκραcίαν, ταῦτα ὑπὸ τῆc ὁμοίαc τοῦ περιέχοντοc ἡμᾶc ἀέροc κράcεωc ἐξελέγχεται, τὰ δ᾽ ἐναντίωc κεκραμένα τῷ περιέχοντι πρὸc τῷ μηδὲν ἀδικεῖcθαι γίνεται βελτίω τὴν ἀμετρίαν τῆc κράcεωc τῆc ἐναντίαc ἀμετρίαc κολαζούcηc· καὶ ὁ γινώcκων τοῦτο τὴν ὑγείαν φυλάξει τοῖc cώμαcι τἀναντία προcάγων, ποτὲ μὲν ἀναψύξεcι χρώμενοc, εἰ οὕτωc τύχοι, ποτὲ δὲ θερμάcμαcιν, ὕδατοc μὲν ἐπαγωγαῖc ἀναψύχων καὶ ἀργίαιc καὶ τροφῶν ἐνδείαιc καὶ πόcεωc πλεοναcμοῖc, τῇ δὲ cκέπῃ θερμαίνων καὶ πόνοιc καὶ cιτίῳ πλείονι καί ποτε ἐλάccονι. καὶ πυρὰν δέ τιc ἀνακαίων πολλὰ δύναιτο ἂν μεταβάλλειν ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν τὸν ἀέρα τέωc ὑγρὸν ὄντα, καθάπερ ποιῆcαί φαcιν Ἄκρωνα τὸν Ἀκραγαντῖνον.

## λε΄. Ἐκ τῶν Ῥούφου περὶ λοιμοῦ.

1 Πάντα ἂν γένοιτο ἐν λοιμῷ τὰ δεινότατα, καὶ οὐδὲν ἀποκεκριμένον ὥcπερ καθ᾽ ἕκαcτον νόcημα· καὶ γὰρ παραφροcύναι γένοιντ᾽ ἂν καὶ χολῆc ἔμετοι καὶ ὑποχονδρίων ἐντάcειc καὶ πόνοι καὶ ἱδρῶτεc πολλοὶ καὶ ψύξειc ἀκραίων καὶ διάρροιαι χολώδειc, λεπταί, φυcώδειc, καὶ οὖρα ὑδατώδη, λεπτά, χολώδη, μέλανα, ὑποcτάcειc κακὰc ἔχοντα καὶ ἐναιωρήματα οἷα δὴ κάκιcτα, ἀπὸ ῥινῶν cτάξειc, καύματα ἐν θώρακι, γλῶccαι καταπεφρυγμέναι, διψώδειc, ἄcηροι, ἄγρυπνοι, cπαcμοὶ βίαιοι καὶ ἄλλα πολλὰ πονηρά. εἰ δέ τιc cυνίδοι μέλλοντα ἥξειν λοιμὸν προcέχων ταῖc τε ὥραιc πονηραῖc οὔcαιc καὶ τοῖc ἐπιτηδεύμαcιν εἰc ὑγείαν οὐ cυμφέρουcιν ζῴοιc τε ἄλλοιc προαπολλυμένοιc, ὅταν ταῦτα ἐνθυμηθῇc, προcέτι κἀκεῖνο ἐνθυμοῦ, ποταπὴ μὲν ἡ παροῦcα ὥρα,

λε΄ *Oribasius, Synops. VI 25; Aëtius V 95*

1 γιγνώcκων A, *ut solet* 3 ἀμέτροιc] ἀέροc D 5 cώματοc FG 7 κεκραμμένα BEFHK τῷ *(alt.)*] ADEKM: τὸ BCFGH 9 ὑγίειαν CGHM τὰ ἐναντία D 10 οὕτω D θερμαcίαν M 11 μὲν *om.* A καὶ *(alt.)*] ἢ D 13 πλείονι] πλείονι χρώμενοc D ποτε] *mut. in* ποτῷ D: ποτῷ *Or Ad Eunap* ἐλάττονι E πυρὰν] *mut. in* πυρὰ J: πυρρὰν KM ἀναγκαίων EH πολλὴν D³, *mrg.* πολλὴν | πολλὰ δύναιτ᾽ D 14 τὸν ἀέρα *om.* A 15 φαcὶ ποιῆcαι D Ἄκρονα CFGH 16 τῶν] τοῦ CFGM 18 παραφροcύνη F γένοιντ᾽] ADE: γέννοιντ᾽ C: γένοιτ᾽ BFGHKM 19 ἐντάcειc] *corr. ex* ἐνcτάcειc ABM: ἀναcπάcειc D, ἐντάcειc *mrg.* D³ 20 ψῦξιc BFKM ἀκραίων] CFG: ἀκρέων ABEHKM: ἄκρων D λεπταί] λεπταὶ καὶ CDFG, καὶ *add.* B² 21 ὑδατώδη καὶ λεπτὰ καὶ χολώδη καὶ μέλανα καὶ ὑποcτάcειc D 22 ἐναιωρήματα] CDF, *e corr.* G: ἐνεωρήματα ABEHKM cτάξειc] αἵματοc cτάξειc D καῦμα D 23 διψώδειc ... ἄγρυπνοι] ἀγρυπνίαι διψώδειc D ἄcηροι] *mut. in* ἄcητοι E³: ἄcιτοι *in ras.* K 24 πολλὰ] δὲ D εἰ δέ τιc *om.* D 24 cυνίδοι] J: cυνίδει AE: cυνίδῃ H: cυνείδῃ BCFGKM: cυνίδοι δ᾽ ἄν τιc D λοιμὸν] τὸν λοιμὸν E 26 ὑγείαν] BDK: ὑγίειαν ACFGHM οὐ *om.* A ὅταν] ὅταν δὴ D 27 ἐνθυμηθεὶc BK

ποταπὸν δὲ τὸ σύμπαν ἔτος· ἐντεῦθεν γὰρ τὰς διαίτας εὑρήσεις ποιεῖσθαι κάλλιστα· οἷον δὴ τῆς μὲν ὥρας, εἴπερ ἦν ὀρθῶς γιγνομένη, ξηρᾶς ὑπαρχούσης νῦν ὑγρᾶς γεγενημένης ἀνάγκη ταῖς διαίταις ἐπιξηραίνειν, ἵνα τὸ ὑπερβάλλον ὑγρὸν ἀναλίσκηται. ἐπιμελητέον δὲ καὶ γαστρός, οἷς δ' ἂν ἡ ἄνω κοιλία φλέγμα ἔχῃ, ἐμέτοις κενοῦν, οἷς δ' ἂν τὸ αἷμα ὑπερβάλλῃ, φλέβα τέμνειν· ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν οὔρων κάθαρσις καὶ ὅσαι ἄλλαι καὶ ἡ κατὰ πᾶν τὸ σῶμα. εἰ δὲ καὶ καυσούμενος ὁ 2
κάμνων εἴη καὶ ἡ φλὸξ ἄχρι στήθους, οὐκ ἂν εἴη ἀπὸ τρόπου ψυκτήριά τε τοῖς στήθεσι προσάγειν καὶ τὸ πόμα ψυχρὸν προσφέρειν μὴ κατὰ μικρὰ προσφέρων (ἀνακαίει γὰρ πλέον), ἀλλ' ἀθροῦν, ὥστε σβέσαι τὴν φλόγα. εἰ δὲ ὁ καῦσος ἔχοι τὰ ἔνδον, ἀκραῖα δὲ ψυχθείη, καὶ τὸ δέρμα ἐπιπολῆς ψυχρόν, καὶ ὑποχόνδριον συντείνοιτο, ἡ γαστήρ τε τὰς συντήξεις τὰς μὲν ἄνω πέμποι, τὰς δ' αὖ κάτω, ἀγρυπνία τε ἐνείη καὶ παραφροσύνη καὶ γλώσσης τραχύτητες, τούτοις θερμασμάτων δεῖ, ὥστε ἑλκυσθῆναι τὸ θερμὸν πάντῃ τοῦ σώματος, καὶ εἰ δή τινι ἄλλῳ τρόπῳ οἷόν τε ἀνάγειν τὸ θερμὸν κάτωθεν πρὸς τὰ ἔξω. χρηστέον δὲ καὶ τούτῳ προποτίσματι· ἀλόης μέρη $\overline{β}$, ἀμμωνιακοῦ θυμιάματος μέρη $\overline{β}$, σμύρνης μέρος ἕν, τοῦτο λειώσαντες ἐν οἴνῳ εὐώδει δοτέον ὅσον κυάθου ἥμισυ, δηλονότι καθ' ἡμέραν. οὐκ οἶδα, φησὶν ὁ Ῥοῦφος, ὅστις μετὰ τούτου τοῦ ποτοῦ οὐχ ὑπερδέξιος ἐγένετο τοῦ λοιμοῦ. ταῦτα μὲν ὁ Ῥοῦφος· ὁ δὲ Γαληνός φησιν πρὸς τὰς λοιμικὰς σηπεδόνας Ἀρμενιακὴν βῶλον πινομένην, ὁμοίως δὲ καὶ τὴν δι' ἐχιδνῶν θηριακήν, μεγάλως ὠφελεῖν. ἀμέλει κατὰ τὸν ἐν Ῥώμῃ λοιμόν, φησίν, ὅσους μηδέτερον τούτων ὠφέλησε, πάντες ἀπέθανον.

## λς'. Περὶ τῶν ἐπὶ πλήθει χυμῶν ὠμῶν συγκοπτομένων.

Ἄρχονταί τινες πυρέττειν πάμπολύ τι πλῆθος ὠμῶν χυμῶν ἠθροι- 1
κότες ἅμα τῷ κεκακῶσθαι τὸ στόμα τῆς γαστρός. ἐμπεφύσηται τούτοις

16—20 ? 21 Γαληνός] *De simpl. medic. IX 1 p. 191, cf. Ad Pison. de theriac. 16* λς' *Oribasius, Synops. VI 26; cf. Aëtius V 96*

2 δὴ τῆς μὲν] τῆς D γινομένη BD 3 νῦν] νῦν δὲ D ταῖς διαίταις] καὶ τὴν δίαιταν D 4 ἀναλίσκεται AFJ 5 ἔχοι D 6 ὑπερβάλλοι G, *comp.* C: ὑπερβάλοι D φλέβα] *e corr.* G: φλέγμα F 8 στήθους] στήθους ἀνίοι *Or* οὐκ ἂν εἴη] ἀνίοι οὐκ D 9 τὸ *om.* DM 10 μικρὸν DF προσφέρων . . . πλέον *om.* D ἀθρόως D 11 ὁ] ὁ μὲν D ἀκραῖα] F: ἄκρεα ACEGHKM: ἄκρα P, *e corr.* B: τὰ ἄκρα D 12 καὶ] εἴη καὶ D: καὶ τὸ AE τε] D: *om.* ABCEFGHKM 13 τὰς *(pr.) om.* M πέμποι] D: πέμπει ABCEGHKM: πέμπων F δ' αὖ] CFGP, *e corr.* B: δ' οὖν HKM: δὲ ADE εἴη D 16 οἷόν τε] $C^2$: ἐὼν τε $D^3$: *om.* ABCEFGHKMP: γρ. καί· εἰ δή τινι ἄλλῳ τρόπῳ ἀνάγειν τὸ θερμὸν κάτωθεν πρὸς τὰ ἔξω *mrg.* $D^3$ κάτωθεν] ἐκ τοῦ βάθους D 17 τούτῳ] P: τούτῳ τῷ D: τοῦτο ABCEFGHKM προποτίσματι] DP: προπότισμα ABCEFGHKM 18 τοῦτο] τούτῳ CG, *corr.* $C^3$: ταῦτα F 19 καθ'] μεθ' $D^3$ οἶδα] οἶδα γάρ D 20 τοῦ *(alt.) om.* M 20. 21 ταῦτα μὲν ὁ Ῥοῦφος *om.* D 22 Ἀρμενιακὴν] τὴν ἀρμενιακὴν D: ἀρμενιακὸν F: ἀρμένιον C *et e corr.* G *seq. ras.* πινόμενον CF, *e corr.* G 25 ὠμῶν] DE: *om.* ABCFGHKM 26 χυμῶν ὠμῶν D 27 ἅμα] ἅμα δὲ D τούτοις] *post ras. 2 litt.* M

τὸ ὑποχόνδριον, ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν τὸ στόμα τῆς γαστρός ἐστι, καὶ ἡ χροιὰ τοῖς μὲν ἐπὶ τὸ λευκότερόν τε καὶ ὑδαλεώτερον ἐκτρέπεται, ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον. οὐδενὶ τῶν τοιούτων αἵματος ἀφαίρεσις ἄνευ μεγίστης εἴωθεν γίνεσθαι βλάβης. καίτοι δέονταί γε κενώσεως, ἀλλ᾽ οὔτε φλεβοτομίαν οὔτε κάθαρσιν φέρουσιν, οἱ δὲ καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. θεραπεύειν οὖν αὐτοὺς χρὴ διὰ τρίψεως· ἄρχεσθαι δὲ εὐθὺς ἐν ἀρχῇ τῆς νόσου προσήκει, τὸ μὲν πρῶτον ἀπὸ τῶν σκελῶν ἄνωθεν κάτω διὰ σινδόνων μετρίως τραχυτέρων, ἐφεξῆς δὲ καὶ ὅλας τὰς χεῖρας ἄνωθεν κάτω· ἐπειδὰν δὲ ἱκανῶς τὰ κῶλα φαίνηται θερμά, καὶ φόβος ᾖ κοπώδους συναισθήσεως, ἐλαίῳ χαλαστικῷ χρηστέον, ἀπέχεσθαι δὲ τῶν στυφόντων. χειμῶνος δὲ ὄντος καὶ διαφορητικῷ χρηστέον, οἷόν ἐστιν τὸ Σικυώνιον ἔλαιον καὶ τὸ χαμαιμήλινον, τρίψαντας δὲ ἐπὶ πλεῖστον τὰ κῶλα μετὰ ταῦτα χρὴ τὸ μὲν ἔλαιον ἀπομάττειν, ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην καὶ ταύτην ἀνατρίβειν ὁμοίως, εἶτα αὖθις ἐπὶ τὰ σκέλη μετιέναι κἀκ τούτων αὖθις ἐπὶ τὰς χεῖρας, εἶτα ἐπὶ τὴν ῥάχιν, ὅλης τῆς ἡμέρας τοῦτο πράττον-
2 τας. ἐπιτηδειότατον τούτοις ἐστὶ μελίκρατον ἐνεψηθέντος ὑσσώπου, καὶ χρὴ μήτε σιτίον αὐτοῖς μήτε ῥόφημα μήτε ὕδωρ διδόναι μήτε ἐπιτρέπειν ὅλως πίνειν δαψιλές, ἀλλ᾽ ἀρκεῖσθαι τῷ μελικράτῳ μόνῳ κατὰ τὰς τρεῖς τὰς πρώτας ἡμέρας ἐκ διαδοχῆς τρίβοντας. εἰ δὲ τόνου μετρίως ἔχοι, καὶ μὴ καλῶς τὰ κατὰ γαστέρα διεξίοι, κλύζεσθαι θαρροῦντα· εἰ δὲ πλέον τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττωμάτων ἐπὶ τὴν γαστέρα γίνοιτο, τὴν μὲν πρώτην ἐπὶ πλέον ἕψειν τὸ μελίκρατον (ἧττον γὰρ ὑπάγει), φερομένης δὲ ἐπὶ πλέον μηδὲ οὕτως μὲν ἱστάναι, διδόναι δὲ ἀντὶ τοῦ μελικράτου πτισάνης χυλόν· εἰ δὲ ἐπιμένοι φερόμενα τῷ ἐκ χόνδρου ῥοφήματι τρέφειν. ἐὰν δὲ δι᾽ ἀρρωστίαν ἐκ τοῦ σφυγμοῦ καταμάθωμεν καταπεπτωκυῖαν τὴν δύναμιν, ἄρτον ἐξ οἴνου διδόναι κεκραμένου προσήκει μήτε γαστρὸς μήτε ἥπατος φλεγμαινόντων· ὡς, εἴ γε φλεγμαίνοιεν ὠμῶν χυμῶν πεπληρωμένου τοῦ σώματος, ἀνέλπιστος ὁ κάμνων ἔσται. ἐὰν δὲ αἴσθῃ ποτὲ παχεῖς ἱκανῶς εἶναι τοὺς χυμούς, ὀξύμελι δίδου διὰ παντὸς ἀντὶ τοῦ μελικράτου· εἰ μὲν δὴ θέρος εἴη καὶ ψυχροπότης ὁ κάμνων, ψυχρὸν τούτῳ διδόναι τὸ ὀξύμελι, χειμῶνος δὲ ὄντος θερμόν. ἐναντιώτατα τούτοις ἐστὶ βαλανεῖα. εἰ δὲ συγκοπτομένων ἔτι κληθείης, ἀφλεγμάντων ὄντων, ὧν

2 τε *om.* CFG  ὑδαρέστερον D  3 τῶν] οὖν τῶν D  5 ὑποφέρουσιν D  7 χρὴ *om.* M  9 δὲ *(pr.)*] CDFG: *om.* ABEHKM  11 ἀπεχομένους D  δὲ *(pr.) om.* DK  13 τρίψαντες FK  πλέον D  15 ἱέναι D  16 εἶτα] εἶτα πάλιν D  21 ἔχει CF  τὰ] *supra scr.* B²: *om.* F  κλύζεσθαι (*supra add. comp.* ειν) θαρροῦντας D, *corr. mrg.* D³  22 πλείω CFG  23 γίγνοιτο ADEK  24 μηδὲ οὕτως] μὴ δεόντως M  ἱστάναι] ἱστᾶν αὐτήν D  26 τῷ] τοῖς D: καὶ τῷ CG: καὶ τὸ F  ῥοφήμασι D  27 καταπεπτωκυῖαν] DF: καὶ μεταπεπτωκυῖαν M: μεταπεπτωκυῖαν ABCEGHK  28 κεκραμένου διδόναι D  προσήκει *om.* A  32 θέρος] D, *corr. ex* θερμὸς K: θερμὸς ABEHM: θέρος ἐστὶ καὶ θερμὸς CFG  ὁ κάμνων καὶ ψυχροπότης CFG  διδόναι τούτῳ D  τοῦτο CG  23 ἐστὶ] ἐστὶ τὰ D

εἶπον, μορίων διδόναι μὲν ἄρτου μὴ πολὺ δι᾽ οἴνου, εὐθέως δὲ ἐπὶ τὴν τρῖψιν ἰέναι καὶ χρῆcθαι κατὰ τὸν εἰρημένον τρόπον. ἐφ᾽ ὧν δὲ διὰ ξανθὴν χολὴν ἀδικήcαcαν τὸ cτόμα τῆc γαcτρὸc ἡ cυγκοπὴ γίνεται, ψυχρὸν δεῖ παραλαμβάνειν τὸ ποτὸν προcφέροντα τὸν οἶνον λεπτὸν καὶ κιρρὸν καὶ παλαιόν.

## λζ΄. Περὶ τῶν ἐπὶ λεπτοῖc χυμοῖc cυγκοπτομένων.

Τοὺc δὲ ἐπὶ λεπτοῖc χυμοῖc cυγκοπτομένουc θεραπευτέον ἐναντίωc τοῖc εἰρημένοιc· καὶ γὰρ τὰ διαγνωcτικὰ cημεῖα τούτοιc εὑρήcειc ἐναντία. τρέφειν οὖν κατὰ βραχὺ cυνεχῶc. καὶ τούτουc δὲ ἀνιάτωc ἔχειν νομιcτέον, ὅταν ἧπαρ αὐτῶν ἢ κοιλία φλεγμαίνῃ καμνούcηc ἤδη τῆc δυνάμεωc. ἐπὶ τῶν τοιούτων διαθέcεων ἡ νεκρώδηc ἐν τῷ προcώπῳ κατάcταcιc ἐν τάχει γίνεται. τὸ μὲν δὴ τρέφειν ἀναγκαῖον, ὁμοίωc δὲ καὶ τὸ πυκνοῦν τὴν ἐπιφάνειαν, ὥcπερ τῶν προτέρων ἀραιοῦν, καὶ ψυχρὸν τὸν ἀέρα ποιητέον καὶ ἀλειπτέον αὐτοὺc τοῖc cτύφουcι καὶ τροφὰc δοτέον οὐ πάνυ διαρρεούcαc· δοτέον οὖν ἄρτον τε καὶ τὰ διὰ χόνδρου ῥοφήματα καὶ ὀπώραc αὐcτηρὰc καὶ δυcφθάρτουc αὐτάc τε καθ᾽ ἑαυτὰc καὶ μετ᾽ ἄρτου. ἐπιτήδειοc τούτοιc ὁ ὑδατώδηc οἶνοc εὐθὺc ἐξ ἀρχῆc ἐπὶ τοῖc cιτίοιc παραλαμβανόμενοc.

## λη΄. Περὶ τῶν ἄλλων προφάcεων, ἐφ᾽ αἷc γίνονται cυγκοπαί.

Εἰcὶ δὲ καὶ ἄλλαι προφάcειc, ἐφ᾽ αἷc cυγκόπτονται, τέccαρεc, ἄλγημα cφοδρόν, ἀγρυπνία, κένωcιc ἄμετροc, ἐπὶ δὲ τῶν παραπαιόντων καὶ ἡ κίνηcιc ἔcτιν ὅτε. πέμπτην δέ, εἰ βούλει, προcτίθει τὴν δυcκραcίαν τῶν ἀρχῶν· τάχιcτα μὲν οὖν ἀπώλεια γίνεται τῆc καρδίαc παθούcηc, ἐφεξῆc δὲ τοῦ ἐγκεφάλου, βραδὺ δὲ τοῦ ἥπατοc.

## λθ΄. Περὶ ὀδύνηc.

Ἡ μὲν οὖν ναρκώδηc ὀδύνη διὰ ψυχρὰν γίνεται διάθεcιν, ὁ δὲ 1
cφυγματώδηc πόνοc ἴδιόc ἐcτι μεγάληc φλεγμονῆc· ἐὰν δὲ ὡc ὑπὸ cκόλοποc ἐμπεπαρμένου ἢ ὡc ὑπὸ τρυπάνου τιτρᾶcθαι νομίζῃ, παχέοc ἐντέρου τὸ εἶδοc τῆc ὀδύνηc ἐcτίν· ὁ δὲ νυγματώδηc cυνίcταται περὶ

λζ΄ *Oribasius, Synops. VI 27; cf. Aëtius V 98* λη΄ *Oribasius, Synops. VI 28; cf. Aëtius V 99* λθ΄ *Oribasius, Synops. VI 29; cf. Ad Eunap. III 12. Aëtius V 100*

1 ἄρτον μὴ πολὺν D 2 καὶ χρῆcθαι] κεχρῆcθαι CG, *corr.* C² 3 ἀδικήcαcα E 4 δεῖ] δὴ B: χρὴ D τὸν *om.* D 7 θεραπεύcειc D 8 τούτοιc *om.* E 10 ὅταν] ὡc ἂν D φλεγμαίνῃ] CJP: φλεγμαίνοι ABDEGHKM: φλεγμαίνουcα F 11 τῶν τοιούτων] CFG: τούτων τῶν ABDEHKMP ἡ] *supra scr.* D³ 12 γίγνεται D: γίνεται D³ 14 καὶ *(alt.)*] καὶ τὰc C 15 ῥεούcαc E οὖν] δὲ E διὰ] διὰ τοῦ K 17 τούτοιc] δὲ τούτοιc E 20 προφάcειc] cυγκοπαί E, *mrg.* γρ. προφάcιc 22 ἔcτι D ὅτε *om.* D πέμπτον A 23 τάχει B, *corr. mrg.* B² 24 βραδὺ] CDFGH: βραχὺ ABEKMP 26 Ἡ] εἰ E οὖν] δὴ D

τοὺς ὑμένας. ὁ δὲ διαΐσσων πόνος συμβαίνει ταῖς σφοδροτάταις οὐχ ἑτεροκρανίαις μόνον, ἀλλὰ καὶ ταῖς κεφαλαίαις· ἔστι δὲ διαΐσσων, ὅταν ὥσπερ ἀπὸ ῥίζης ἀρχόμενος τοῦ πρωτοπαθοῦντος μορίου φέρηται ταχέως εἰς τὰ παρακείμενα. διατείνοντες δέ εἰσιν ἑκατέρωσε τῶν νεύρων οἱ πόνοι, διότι καὶ τείνεται πρὸς ἄμφω τὰ πέρατα, ἥκιστα δὲ εἰς πλάτος ἐκτεταμένους ἔχει τοὺς πόνους τὰ νεῦρα. τονώδεις δὲ καὶ ναρκώδεις ἐπιφέρει τοὺς πόνους ὁ ὑπὸ τῷ δέρματι τεταγμένος ὑμήν, οἱ δὲ μεταξὺ τῆς σαρκὸς οἷον διασπωμένους· εἰσὶ γὰρ πολλοὶ καὶ ἀνωμάλως ἐμφυόμενοί τε καὶ περιλαμβάνοντες αὐτήν. οἱ δὲ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων βύθιοί τέ εἰσιν αὐτῶν τε τῶν ὀστῶν ἐπάγουσι
2 φαντασίαν ὡς ὀδυνωμένων. ὅταν οὖν μηδὲν ἔξωθεν αἴτιον τῆς ὀδύνης φαίνηται γινόμενον, ἐπίσκεψαι τὴν προηγησαμένην δίαιταν, εἰ εἴη ἀργοτέρα παρὰ τὸ ἔθος, ἢ σιτίοις ἐχρήσατο πλείοσιν ὁ ἄνθρωπος πολυτρόφοις, ἢ συνήθης ἔκκρισις ἐπεσχέθη· εἰ γάρ τι τούτων ἢ καὶ πάντα φαίνοιτο, πλῆθος αἴτιόν ἐστι τῆς ὀδύνης, καὶ ὅτι τάχιστα κένωσον τὸν ἄνθρωπον· οὕτω γὰρ ἐξέσται σοι μετὰ πάσης ἀσφαλείας τοῖς ἀποκρουομένοις τὰ ῥεύματα κατὰ τῶν ὀδυνωμένων χρῆσθαι μερῶν. εἰ μὲν οὖν αἵματος πλῆθος εἴη τὸ διατεῖνον, φλέβα τμητέον αὐτίκα μεγάλην τὴν ἐγγὺς τοῦ πάσχοντος μορίου, κακοχυμίας δὲ μόνης ἐνοχλούσης καθαρτέον· συνελθόντων δὲ ἀμφοῖν ἀμφοτέραις χρήσῃ ταῖς κενώσεσιν φλεβοτομήσας πρότερον. εἰ δὲ τούτων γενομένων ἐπιμένοι τὸ ἄλγημα, δῆλον δήπου κατὰ τὸ πεπονθὸς μόριον ἐσφηνῶσθαι τὸ λυποῦν· εὔδηλος δὲ καὶ ἡ θεραπεία τοῖς διαφορητικοῖς ἐσομένη φαρμάκοις. ὡσαύτως δὲ καὶ τὰς διὰ φυσῶδες πνεῦμα γινομένας ὀδύνας ἰασόμεθα προσλιπαροῦντες ἐπὶ αὐτῶν μᾶλλον τοῖς λεπτύνουσιν ἐδέσμασιν ἐνέμασί τε καὶ καταπλάσμασιν καταιονήσεσι τε καὶ πυριάσεσιν ἀραιοῦντες τὸ περιέχον αὐτὸ σῶμα. εἰ δὲ ὄγκος βαρύνων ἢ θλῶν ὀδύνην ἐργάζοιτο, τὸν ὄγκον ἰατέον. εἰ δὲ διὰ δακνῶδες ὑγρόν, ἐναντιώτατα τούτοις ἐστὶ τὰ λεπτύνοντα καὶ θερμαίνοντα· ἄνηθον ἐναφεψημένον ἐλαίῳ ἀνώδυνον καὶ ὑπνοποιὸν ὑπάρχει, καὶ μᾶλλον τὸ χλωρὸν τοῦ ξηροῦ.

2 ταῖς] *eras.* D   ὅτε F   3 φέρεται FG   4 παρακείμενα] CDFG: περικείμενα ABEHKM   ἑκατέρως CFG, *corr.* C[2]   5 οἱ πόνοι] P: πονοίη ADEGHKM: πονοίει B: πονείη CF   διότι] *Or*: *om.* ABCDEFGHKM: ὥστε P   τείνοιτο D   δὲ] τε D   εἰς] εἰς τὸ D   6 ἔχοι D   7 τεταγμένος] HK: τεταμένος ACDEFGMP, *e corr.* B   οἱ] *Or*: ὁ ABCDEFGHKMP   δὲ] τε D   8 διασπωμένους] P: διασπωμένης ABCDEFGHKM   καὶ] τε καὶ D   9 ἐκφυόμενοι CDFG, ν *supra add.* C[3]   τε *om.* D   προκειμένων K   11 οὖν] μὲν οὖν D   12 εἰ] P, *e corr.* K: εἰ δὲ ABCDEFGHKM: εἰ γὰρ *codd. Or*   εἴη] ἡ B, *corr. mrg.* B[3]   ἀβροτέρα CGJ[3]: ἀδροτέρα F   13 ἢ] ἢ εἰ D   πλείοσιν *om.* CH, πλείοσι *mrg.* C[2]   ὁ ἄνθρωπος πλείοσι F   14 περισχεθῇ E, *mrg.* γρ. ἐπεσχέθη   18 πλῆθος αἵματος D   φλέβα τμητέον] D: φλεβοτομητέον ABCEFGHKM   21 γινομένων E   ἐπιμένει CFJ   24 φυσῶδαις E: φυσώδεις CG, *corr.* C[2]   γενομένας E   ἰασώμεθα CFK   26 τε] CDFG: *om.* ABEHKM   ἀραιοῦντας EHKM   27 ἐργάζεται ACFG   29 ἄνηθον] ἄνηθον οὖν *Or*: οὖν *supra add. m. 1* D   ἐναφηψημένον D, *ut solet*   ἐλαίῳ] ἐλαίῳ προσενεκτέον D   30 ὑπνωτικὸν ὑπάρχον D

## μʹ. Περὶ συντήξεως.

Ὅταν ἐκκρίνηταί τι διὰ γαστρὸς οὐκ ἐκ τῶν ἐδηδεσμένων καὶ πεπεμμένων, ἀλλ᾿ ἐκ τοῦ σώματος εἰς αὐτὴν καταρρέοντος χυμοῦ παραπλησίου μὲν ὄντος τῇ συνεχῶς ἐμουμένῃ καὶ διαχωρουμένῃ ξανθῇ χολῇ, διαφέροντος δὲ αὐτῆς τῇ τε δυσωδίᾳ καὶ τῷ πυρρότερον φαίνεσθαι τὸ διαχώρημα καὶ πάχος ἔχειν γλοιῶδες, ἐνίοτε δὲ καὶ ἐλαιῶδες, τότε πιμελώδης σὰρξ καὶ νεοπαγὴς ὑπὸ πυρετοῦ διακαοῦς ἀναλύεται καὶ τήκεται· χρονίζοντος δὲ τοῦ κακοῦ καὶ αὐτῶν ἀποτήκεταί τι τῶν στερεῶν. ἐπὶ τούτου τοῦ πονηροτάτου πυρετοῦ ψυχροῦ πόσις ἔστιν ἀπὸ γῆς ψυχροτάτης (τοιαῦτα δὲ εἶναι χρὴ καὶ τὰ καταπλάσματα) καὶ ἐπιθέματα ψύχοντα κατά τε τοῦ θώρακος ἐπιτιθέμενα καὶ τῶν ὑποχονδρίων καὶ ἐμψύχουσαι τροφαὶ διδόμεναι.

## μαʹ. Περὶ τῆς ἐν πυρετοῖς ἀγρυπνίας.

Ὑπερβαλλόντως δὲ ἀγρυπνούντων σκέλη καὶ χεῖρας δεσμεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ᾿ ὃν ἐπὶ τὸν ὕπνον εἰώθασι τρέπεσθαι, κελεύομεν καὶ ἐγρηγορέναι διοίγειν τέ ποτε ἢ μῦσαι ἀναγκάζομεν τὰ βλέφαρα, μέχρις ἂν ἱκανῶς κάμωσιν, εἶτα ἐξαίφνης λύομεν τοὺς δεσμοὺς καὶ τὸν λύχνον αἴρομεν ἡσυχίαν τε πολλὴν εἶναι κελεύομεν. ἰσχυρῶς δὲ ἐγκειμένης τῆς ἀγρυπνίας ἐν ἀνέσει τοῦ παροξυσμοῦ προκλυστέον τὸ πρόσωπον ἀφεψήματι κωδυῶν μελαινῶν καὶ ὀσφραντέον μήκωνος λευκῆς κέλυφος φώξαντα καὶ τρίψαντα, καὶ μανδραγόρου ῥίζης λεάνας ἴσον μετ᾿ οἴνου καὶ ῥοδίνου μάγμα ποιήσας κατάπλασσε τὸ μέτωπον ἑρπύλλῳ τε μετὰ μελιλώτου ἐν γλυκεῖ ἑψημένῃ (τούτῳ δὲ καὶ ἐν παροξυσμοῖς χρηστέον), ἢ λείας κωδύας ἀναλαμβάνοντες ἄρτῳ μετὰ ῥοδίνου ἢ κηρωτῆς καταπλάσσομεν. καὶ ἡ τροφὴ δὲ περιεργοτέρα πως ἔστω· συμβαλλέσθω γὰρ τοῖς ῥοφήμασι κωδύας λευκῆς σπέρματος ὅσον κοχλιάρια

μʹ *Oribasius, Synops. VI 30; cf. Ad Eunap. III 6. Aëtius V 90*
μαʹ *Oribasius, Synops. VI 31—32. Aëtius V 115—116*

2 ἐκκρίνεται CG 3 πεπεμμένων] CDFG: πεπωμένων AEKM: πεπομένων BH (*supra -o- ras.* B) 5 τῷ] D: τὸ ABCEFGHKM πυρρότερον] CD: πυρότερον ABEGHKM: πυρῶδες F 6 ἔχειν] D: ἔχων BK: ἔχον ACEFGHM γλοιῶδες] D$J^3$: γλυῶδες ABCEGHKM: γλιῶδες F τότε] τότε ἡ EHM 9 γῆς] πηγῆς $C^2$, *e corr.* $J^2$, *Or* 10 ψυχροτάτης] ψυχροτάτης ἐπιτηδεία D ἐπιθέματα] τὰ ἐπιθέματα F *et* K?: ἐπιθέματά τε M 12 καὶ ... διδόμεναι] (τ)ὰς δὲ τοιαύτας ἐμψυχούσας δοτέον D, *corr. mrg.* $D^3$ ἐμψύχουσαι] *supra add.* αἱ $B^3$: αἱ ψύχουσαι C 13 πυρετῷ CEF, *comp.* G 14 δὲ] δὲ καὶ A 16 ἀνοίγειν E: διανοίγειν AD τέ] ADE: δέ BCFGHKM ποτε] πολλάκις D ἢ μῦσαι] καὶ μύειν D: εἰ μύσειεν *Or* 17 κάμωσιν] D: κάμνωσιν ABCEFGHKM 20 κωδιῶν CFG λευκῆς] λεπτῆς AE: *ante* λευκῆς *del.* λεπτῆς K 21 κελύφου D φρύξαντα D: σφύξαντα C, ω *supra add.* $C^2$ ῥίζης] -ς *eras.* G: δὲ ῥίζης D 22 μάγμα] ABKM: μέγμα E: μῆγμα FG: μίγμα C: σμῆγμα D: μάλαγμα *Or*, *e corr.* C μάγμα ... ῥοδίνου *(24) om.* H κατάπλαττε D: κατάπλασε G: κατάπλασσαι M 23 ἡψημένῳ D τοῦτο CFG 24 κωδίας CF, *ut solent* ἀναλαμβάνον E: ἀναλαμβάνων D 25 καταπλάσομεν CG: κατάπλαττε D συμβαλέσθω CF 26 γὰρ] δὲ M σπέρμα D ὅσον] ὄγκον? K

τρία, τοῖς δὲ λαχάνοις συνηδυνέσθω μήκωνος μελαίνης, εἰ μὲν εἴη, φύλλα χλωρὰ ὅσον τοῖς τρισὶ λαβεῖν δακτύλοις, εἰ δὲ μή, τρεῖς ἢ τέσσαρες κωδύαι ξηραὶ συναφεψηθεῖσαι ἐξαιρέσθωσαν· εἰ δὲ μηδ᾽ οὕτως κατενεχθεῖεν, περιχριέσθωσαν ὀπῷ μήκωνος ἢ μανδραγόρου χυλῷ. καὶ τὸ διὰ τῶν κωδυῶν δὲ συντιθέμενον ἔλλειγμα, καὶ μάλιστα τὸ διὰ τοῦ ἑψήματος, πινόμενον ὅσον κοχλιαρίου ἢ ἑνὸς ἡμίσεως ποσὸν εἰς ὕπνον πολλάκις ἔτρεψεν. ἐφ᾽ ὧν δὲ μή ἐστιν εὐπλήρωτος ἡ κεφαλή, χρηστέον ἐπὶ τῶν ἀγρυπνούντων ἐν παρακμαῖς καὶ θυμιάματι τοιῷδε· φύλλου ἀμώμου, κόστου, ζαρναβῶν ἀνὰ 𐅻 ᾱ, καρποβαλσάμου λι. ᾱ, στύρακος [ἀμώμου], ἀμμωνιακοῦ, βδελλίου Σκυθικοῦ, μανδραγόρου ῥίζης, ὀποῦ μήκωνος, θυμία ἐπὶ τῶν κυπαρισσίνων ξύλων.

### μβʹ. Θεραπεία καταφορᾶς.

Ἀποσπογγίζειν δεῖ τὸ πρόσωπον ὀξυκράτῳ γαλακτώδει καὶ διακρατεῖν εὐτόνως τὰ ἄκρα, ὀσφραντὰ δὲ προσαγέσθω τὰ τμητικὴν ἔχοντα δύναμιν, καὶ ἐν ταῖς ἀνέσεσι σικυαζέσθωσαν ἐνεργῶς κατὰ μεταφρένου καὶ ῥάχεως. ἐπιμενούσης δὲ τῆς νόσου καὶ πταρμικὰ ἐν ἀνέσει τῶν παροξυσμῶν προσαγέσθω. ἔστω δὲ καὶ ἡ τῶν σιτίων ὕλη τμητικὴ καὶ διαιρετική, καθὰ κἀν τοῖς ὑγιεινοῖς ἐλέγομεν.

### μγʹ. Θεραπεία τῆς ἐν πυρετοῖς κεφαλαλγίας.

Κεφαλαλγίας ὀχλούσης ἐν πυρετοῖς μετὰ τὴν προσήκουσαν τῶν περιττῶν κένωσιν κατὰ τὰς τῶν παροξυσμῶν παρακμὰς ἀλοιφῇ τῆς κεφαλῆς χρηστέον πρῶτον τῷ κοινῷ ἐλαίῳ ὠμοτριβεῖ ἢ ῥοδίνῳ μιγνυμένου αὐτῷ καὶ ὄξους ἐλαχίστου, θέρους μὲν καὶ καυσώδους πυρετοῦ ψυχρῷ, χειμῶνος δὲ καὶ μὴ καυσώδους θερμῷ ἢ χλιαρῷ, ἐνεψείσθω δέ ποτε τῷ ἐλαίῳ καὶ ἑρπύλλου καὶ πολυγόνου χυλός, ἐν θέρει δὲ καὶ κωδύαι ἢ μήκων, ὥσπερ αὖ χειμῶνος πευκεδάνου τὸ σύμμετρον. μενούσης δὲ τῆς ὀδύνης ἐπὶ τοῦ μετώπου (κἂν τύχῃ βρέγμα ψιλὸν ὄν, καὶ τοῦτο) καταπλαστέον ἐκ παλαιοῦ ἀλφίτου καὶ πολυγόνου ἢ ἐξ ἄρτου

4—7 *cf. Aëtius V 133* μβʹ *Oribasius, Synops. VI 33. Aëtius V 117*
18 ἐλέγομεν] *I 99* μγʹ *cf. Galenus XI 61 sqq.; Aëtius V 115, VI 42*

1 συνεκζεέσθω D 3 μηδὲ οὕτω D 4 χυλῷ] DFC²: χυλόν ABCEGHKM 6 κοχλιάριον D ἢ *om.* AD ἑνὸς] ἑνὸς ἢ C, *e corr.* G: ἓν D ἡμίσεος CHM, *corr. ex* ἡμίσεως G: ἥμισυ D 7 μή] *mut. in* οὐκ K 8 τῷδε D 10 ἀμώμου *om.* DE βδελλίου] βδελίου BFH: ἑλενίου K 11 θυμίαμα K ἐπὶ] *e corr.* M 16 δὲ] D: *om.* ABCEFGHKM 17 προσαγέσθωσαν EFD³ 19 πυρετῷ CE, *comp.* G: τοῖς πυρετοῖς F 21 περιττῶν] πυρετῶν AE 21. 22 τῆς κεφαλῆς] BCDFGKM, *corr. ex* τῇ κεφαλῇ H: τὴν κεφαλὴν AEC² 22 χριστέον *e corr.* AC² πρώτῳ AC, *corr. ex* πρῶτῳ G μιγνυμένου] CDFG: μεμιγμένου ABEHKM 23 μὲν] μὲν ὄντος D 24 ἐνεψείσθω] CEG: ἐνηψήσθω D: ἐνεψήσθω ABFHKM 26 κωδύα D αὖ] οὖν D 27 βρέγμα] τὸ βρέγμα D ὄν] *supra add.* C²: ὧν *sed* ω *eras.* G: ὂν τριχῶν D 28 καὶ] CDG: καὶ τοῦ ABEFHKM

ὁμοίως καὶ ῥόδων ἢ ὀλίγης μυρσίνης ἢ τῆς ἑρπύλλου· τοὺς δὲ καὶ γλήχων παραπλακεῖσα μᾶλλον ἐκούφισεν, ἔστι δὲ ἐφ᾽ ὧν καὶ πυρώδους τῆς αἰσθήσεως οὔσης ψύλλιον τῷ ἀλφίτῳ συμμιχθὲν ὤνησεν ἢ καὶ καθ᾽ ἑαυτὸ ἰξοποιηθὲν ἐν τῇ ἑψήσει καὶ συνεχῶς ἐξαλλαττόμενον καὶ κορίαννον ὁμοίως σὺν ἀλφίτῳ· καὶ ἀλόη δὲ σὺν ὄξει καταχρίεται καὶ σμύρνα καὶ ἀμμωνιακὸν ὁμοίως καὶ κροκόμαγμα. τοὺς δὲ σφυγματώδεις πόνους πήγανον καὶ ἡδύοσμον σὺν τῷ ἄρτῳ διαπνεῖ παρασταζομένου καὶ ῥοδίνου. ἀνυπείκτου δὲ πρὸς τὰ εἰρημένα τοῦ ἀλγήματος ὄντος πρῶτον ψιλῶσαι δεῖ τὴν κεφαλὴν ἐν χρῷ, εἶτα λιπαρωτέραις ἐμβροχαῖς δι᾽ ὅλης αὐτῆς χρηστέον, ἔπειτα σικύας προσενεκτέον τῷ ἰνίῳ καὶ τὰ ἄκρα διαδετέον τε καὶ διαψηλαφητέον· ἀγαθαὶ δὲ καὶ βδέλλαι προστιθέμεναι. εἰ δέ τι καταρροϊκὸν ἢ κόρυζα προσγενομένη τὴν κεφαλαλγίαν ἀνάπτοιεν, τοῖς πρὸς ταῦτα κατὰ τὸν οἰκεῖον τόπον ἀναγραφησομένοις χρηστέον βοηθήμασιν· εἰ δὲ ἀπὸ τῶν περὶ τὸν στόμαχον χωρίων ἀναθυμιάσεις φερόμεναι τὴν κεφαλὴν βλάπτοιεν, καὶ τούτων προνοητέον, ὡς ὑποτέτακται.

## μδ΄. Περὶ τῆς περὶ τὸν στόμαχον ἐπιμελείας.

Εἰ μὲν ἄρρωστος ὁ στόμαχος εἴη, τοῖς τονοῦν δυναμένοις ἐπιπλάττειν, οἷα τὰ διὰ τῶν φοινίκων ἐστὶν καὶ οἴνου καὶ ἀλφίτων καὶ κρόκου καὶ μαστίχης καὶ ἀλόης, ἐπιβρέχειν τε τοῖς δι᾽ ἀψινθίου καὶ μηλίνου καὶ μαστιχίνου καὶ νάρδου καὶ οἴνου, καί, εἰ ἐκκαίοιντο, μιγνύναι τι τῶν ἐμψυχόντων, οἷον κολοκύντης τε τὸν χυλὸν καὶ τῆς θριδακίνης καὶ τῆς ἀνδράχνης καὶ τοῦ στρύχνου καὶ τῆς σέρεως καὶ τοῦ ὄμφακος (οὗτος μέν γε οὐ ψύχει μόνον ἀλλὰ καὶ στύφει). εἰ δὲ φλεγμονῶδές τι περὶ τὰ σπλάγχνα φαίνοιτο, καὶ τῶν χαλαστικῶν τινα προσπλεκτέον, ταῖς μὲν ἐπιβροχαῖς ἐλαίου τε καὶ χαμαιμηλίνου καὶ κυπρίνου καὶ στεάτων ὄρνιθος ἢ χηνὸς καὶ βδελλίου ἢ ἀμμωνιακοῦ καὶ τῶν παραπλησίων, τοῖς δὲ καταπλάσμασι σελίνου τε σπέρματος καὶ τήλεως ἀλθαίας τε καὶ χαμαιμήλων ἄνθους, καὶ ἁπλῶς σύνθετον ἐχέτωσαν δύναμιν ἔκ τε τῆς χαλαστικῆς καὶ λεπτομεροῦς καὶ πικρᾶς καὶ τῆς στυφούσης.

μδ΄ *cf. Aëtius V 105* 18—24 *cf. Galenus XI 54*

1 τῆς] καὶ D 2 παραπλακεῖσα] *corr. ex* παρατραπεῖσα C, *mrg.* παραπλακεῖς $C^{2}$: περιπλακεῖσα F: *mut. in* παραπλακεῖς ἃ G μᾶλλον] τὸ μᾶλλον C ἐξεκούφισεν D πυρώδους] CDFG: πυρρώδους ABEHKM 4 ἐξαλλασσόμενον D 5 δὲ *om.* H 7 τῷ *om.* D καὶ *(alt.)*] τοῦ E, *mrg.* γρ. καί 9 δεῖ] δὴ CG ἐγχρῷ CFG: ἕως χρωτός D 10 ἄκρα] ἄκρα δὲ D 11 τε *om.* CFG 15 ἀναβλάπτοιεν C καὶ . . . προνοητέον *om.* K 17 τῆς] τῆς τῶν CG, *in ras.* B 18 μὲν] μὲν οὖν D 18. 19 καταπλάττειν D 19 τὰ διὰ] D: *om.* A: διὰ BCEFGHKM ἐστὶ CF, -ν *eras.* BG: εἰσὶ D 20 ἀλόης καὶ μαστίχης E τε] δὲ EHM 21 ἐκκαίοιντο] D: ἐγκαίοιντο ABEHKM: ἐγκαίοιτο CFG 22 κολοκύνθης D τοῦ χυλοῦ D 24 οὗτος . . . καὶ στύφει] CDFG, *mrg.* $J^{3}$: *om.* ABEHKM 25 τι] CDFG$A^{3}$: τὸ ABEHK *et e corr.* M, *supra scr.* η 27 καὶ *(pr.)*] ἢ C 28 σπέρμα D τήλεως] τήλεως ἐμβλητέον D 29 χαμαιμήλου E ἄνθη D ἁπλῶς] ἁπλῶς εἰπεῖν CDFG 30 καὶ *(pr.)*] CDFG: *om.* ABEHKM στυφούσης] στυφούσης δυνάμεως D

## με΄. Περὶ τῶν ἐν πυρετοῖς ἀμέτρων περιψύξεων καὶ ῥιγῶν.

Τοῖς μὲν κριτικῶς γιγνομένοις ῥίγεσιν οὐ προσῆκεν ἀντιβαίνειν οὐδὲ ἐκλύειν τὸν ἀγῶνα· καὶ ἡ ἐξ ἱδρῶτος δὲ γιγνομένη περίψυξις ἑτοίμως ἀποκαθίσταται καὶ οὐδὲν παρενοχλεῖ· ἐπιμόνου δὲ τοῦ ῥίγους ἢ τῆς περιψύξεως οὔσης (ὑπὸ ψυχροτέρου δὲ καὶ πολλοῦ μάλιστα φλέγματος γίνεται) πρῶτον μὲν διασφιγκτέον τὰ κῶλα κατὰ πλείονας τόπους, ἔπειτα τὸ πρῶτον ἐπαλειπτέον ἐλαίῳ χαμαιμηλίνῳ ἢ κυπρίνῳ ἢ ἰρίνῳ· εἰ δὲ μείζονος δεήσοι, καὶ πεπέρεως ἐπιμικτέον τῷ ἐλαίῳ ἢ κάχρυος ἢ ἀδάρκης ἢ καστορίου, καὶ τρῖψιν μαλθακὴν τοῦ παντὸς παραληπτέον σώματος· πρὸς δὲ τὸ μὴ ῥᾳδίως ἀπορρεῖν τὸ ἐλαιῶδες οὐκ ἄτοπον καὶ κηροῦ ἐλάχιστον συντῆξαι. εἰ δὲ τὸ ῥῖγος ἀνεκθέρμαντον εἴη, καὶ τοῖς διὰ τούτων ἰσχυροτέροις ἀκόποις, οὐχ ἥκιστα δὲ καὶ δρώπαξι καὶ σιναπισμοῖς, χρηστέον καὶ ἑτέρας ἁρμοδίως πυρίας προσεπιμηχανητέον. καὶ τὰ δριμύτερα δὲ τῶν ὀσφραντῶν ἁρμόδια, καλαμίνθη, γλήχων, ὕσσωπον. προποτιστέον δὲ καὶ πρὸ τῆς σημασίας μελίκρατον, ἐν ᾧ ἐνήψηται πέπερι καὶ πήγανον· καὶ ὀποῦ δὲ τοῦ Κυρηναϊκοῦ ὅσον κέγχρου μέγεθος περιπεπλασμένον ἑφθῷ μέλιτι πρὸ δυοῖν ὡρῶν τοῦ παροξυσμοῦ δώσομεν· ὁμοίως καὶ ὀποῦ σιλφίου. καὶ τὸ ἐπὶ τῶν τεταρταίων δὲ δι᾽ ὀποῦ τοῦ Κυρηναϊκοῦ συντιθέμενον πολλοὺς ὤνησεν. καὶ εἰς ἔλαιον δὲ πλεῖστον θερμὸν ἐμβιβασθέντες δυσαπότριπτα ῥίγη ἀπετρίψαντο, ὥς φησιν Ἀρχιγένης· ὁ δὲ Γαληνὸς πρὸ τῆς ἐπισημασίας ἀνατρίβειν φησὶ τὸ δέρμα τῷ ἀβροτόνῳ ἢ καλαμίνθῃ ξηρᾷ ἢ κονύζης τοῖς φύλλοις τε καὶ τοῖς ἄνθεσιν ἢ κόστῳ ἢ πυρέθρῳ, ἑκατέρῳ τούτων σὺν ἐλαίῳ, καὶ ἢ οὐδ᾽ ὅλως ἢ γοῦν ἧττω ῥιγώσουσιν.

## μϛ΄. Περὶ ἱδρώτων.

1 Ἱδρῶτας τοὺς μὲν κριτικοὺς δέχεσθαι δεῖ ἕως αὐτάρκους κενώσεως καὶ συνεργοῦντας θάλψει συμμέτρῳ καὶ ἡσυχίᾳ, ὥστε μὴ ἀπομάσσειν τὸν ἱδρῶτα (ἄγει γὰρ ἄλλος ἄλλον), καὶ θερμῷ διακλύσματι καὶ καταρ-

με΄? 21 Γαληνὸς] *XI 800; XII 4, 35, 40, 110* μϛ΄?

1 πυρετῷ E 2 γινομένοις DM 3 ἡ] *om.* K: εἰ F γινομένη DFG: γενομένη C περίψυξις] πύρεξις M 4 τοῦ . . . οὔσης *(5)*] οὔσης τῆς περιψύξεως τοῦ ῥίγους D 5 δὲ *om.* F 6 διασφικτέον ACEH: διαφικτέον F 7 τόπους] DFG, *e corr.* B: τρόπους ACEHKM 9 παραλειπτέον CFG, *corr.* C[2] 10 τὸ *(pr.)*] τῷ ABEK 11 ἐλάχιστον] ὀλίγον D[3] 12 *ad* τοῖς *mrg.* γρ. καὶ τὸ . . . B[3] *euan.* δρώπαξι] *post ras.* M: δρόπαξι B: δρώπαξιν CFG 13 ἁρμοδίας ADEC[3] 14 ἁρμόδια] ἁρμόδη F: ἁρμόζει οἷον D 15 ἐπισημασίας D 16 ἐνέψηται AE: ἐνίψηται H 17 περιπεπλασμένον] CFG: περιπλαττόμενον D: πεπλασμένον BEHKM: πεπλασμένου A δυεῖν ABEM 18 ὀπὸν D τῶν *om.* F τεταρταίων] *corr. ex* τεταρταίου C: τεταρ̄ G: τετάρταις F 20 πλεῖστον] D: πλεῖον εἰς ABCEFGHKM ἀπερίψαντο CFG, *corr.* C[3] 21 δὲ] δέ γε D σημασίας E 22 φησὶ] *comp.* A, -ν *eras.* G: φασὶν H: κελεύει D τῷ *om.* D 23 τοῖς *om.* AE ἑκατέρων AE 24 γοῦν *om.* DF ἧττον J: ἧττον (σ supra) F: ἧττον φησι D 27 καὶ *om.* D 28 ἄλλος] CDFG: ἄλλος καὶ ABEHM: ἄλλως καὶ K

ροφήσει καὶ ὕπνῳ· καὶ οἱ ἀνετικοὶ δὲ τῶν ἱδρώτων ὁμοίαν τοῖς κριτικοῖς λαμβανέτωσαν τὴν συνεργίαν. τὰ μὲν οὖν τῶν ἱδρώτων ἀγωγὰ βοηθήματα κατὰ τὸ πρῶτον βιβλίον αὐτάρκως εἴρηται κεφαλαίῳ τεσσαρακοστῷ ὀγδόῳ. ἐπειδὰν δὲ οἱ ἱδρῶτες ἐπὶ πλέον προκόπτωσι, διὰ τοῦ ἀπομάσσειν καὶ κουφίζειν τὰ σκεπάσματα προσαναψύχειν· κοποῦσι γὰρ ὑπερεκπίπτοντες, ὥστε εἰς συγκοπὴν πολλάκις κατέστρεψαν. λεπτὸν οὖν ἔστω τὸ περιβόλαιον καὶ ἐμβεβρεγμένον καὶ ἀὴρ εὐψυχέστερος, καὶ ὕπνος καὶ ῥιπὶς παραλαμβανέσθω, καὶ μυρρίνη μέλαινα λεία ἐμπασσέσθω τῷ σώματι καὶ κηκὶς ὁμοίως, καὶ πίτυος φλοιὸς ἤλεκτρόν τε καὶ ἄλφιτα σὺν οἴνῳ στύφοντι κατὰ τῶν ἐπιδεχομένων μορίων ἐπιτιθέσθω, καὶ ἀποσπογγιζέσθω τὸ πρόσωπον δι' ὀξυκράτου. Ἀρχιγένης 2
δὲ καὶ ἄσβεστον καὶ τρύγα οἴνου κεκαυμένην ἐπί τε τούτων καὶ τοῦ ἀνεκθερμάντου παραλαμβάνει ῥίγους· ἄμφω γάρ, φησίν, ἀναθαλπόμενα ξηραίνεται· ἐπιβρέχειν δὲ καὶ τὰ μέσα κελεύει χυλῷ ἀρνογλώσσου ἢ κοριάννου ἢ ἀνδράχνης ἢ κράμβης, ἵνα περιπαγέντα τοὺς ἱδρῶτας ἀποστέγῃ. ἐν δὲ τοῖς ὕπνοις Κιμωλίᾳ ὕδατι διαλυθείσῃ πιαινόμενα ῥάκη ὑποβάλλεται μεταφρένῳ καὶ θώρακι. ἐπαλειπτέον δὲ τὸ ὅλον σῶμα ῥοδίνῳ ἢ μηλίνῳ ἢ μυρσίνῳ ἢ σχινίνῳ ἢ ταῖς διὰ τούτων κηρωταῖς· ἐπιτήδεια γὰρ τούτοις μᾶλλον τὰ λιπάσματα τῷ τοὺς ἀδήλους ἀποφράττειν πόρους κωλύοντα τὴν τοῦ ὑγροῦ διέξοδον. δῆλον δέ, ὅτι καὶ τροφὴ ξηροτέρα τούτοις ἁρμόττει καὶ οἶνοι συμμέτρως στύφοντες· τῶν δὲ πλειόνων πομάτων, καὶ μάλιστα τῶν ὑγροτέρων, καὶ συχνῶν δὲ διακλυσμάτων ἀπεχέσθωσαν. εἰ δὲ οἷόν τε, καὶ αἰώρας παραλαμβάνειν ἐν ψυχροτέρῳ καταστήματι, τὰ δὲ ἄκρα τούτοις ὡς μάλιστα ψυχέσθωσαν. τοὺς δὲ κατ' ἔκθλιψιν γινομένους ἱδρῶτας (οὗτοι δὲ ἢ ἐπ' ὀδύναις εἰσὶν ἢ ἐπὶ σπασμοῖς) διακρατήσει καὶ θάλψει τῶν ἄκρων καὶ ἀποψήσει διὰ ῥακιδίων ἐρεῶν κούφως θεραπεύειν.

## μζ'. Περὶ βηχὸς τῆς ἐν πυρετοῖς.

Βηχὶ τῇ ἐν πυρετοῖς, μάλιστα δὲ τοῖς μετὰ ῥίγους γινομένοις, ἀντιβαίνειν δεῖ· τῇ γὰρ ἐντάσει τῆς βηχὸς ἀπευθύνεται τὸ ὑποκλάζον τοῦ πυρετοῦ. δοτέον οὖν ὑπογλώττια ἐκ μέλιτος ἑφθοῦ παγέντος,

μζ' ?

1 ὕπνῳ] οἴνῳ MJ[2] ἀνετικοὶ] D: ἄνετοι ABCEFGHKM 3 κατὰ τὸ] *mut. in* ἐν τῷ C[2] πρώτῳ βιβλίῳ C κεφαλαίῳ] κεφαλαίῳ τῷ M 4 προκόπτουσι AM: προκόπτωσιν GH, -ν *eras.* D τοῦ] τὸ BF 5 ἀπομάττειν D 7 ἀὴρ] ὁ ἀὴρ AE εὐψυγέστερος BHKM: εὐψυχώτερος *e corr.* D 8 ἐμπασέσθω BCEGHKM: ἐμπαττέσθω D: ἐμπεσσέσθω F 14. 15 ἢ κοριάννου] *om.* D: ἢ κοριάνου *mrg.* D[3] 15 περιπαγέντας CDFG, *corr.* D 16 διαλυθεῖσα F ῥάκη] D: δρᾷ καὶ ABCEFGHKM 21 τούτοις] τούτους CG, *corr.* C[2] ἁρμόζει D 22 συχνῶν] τῶν συχνῶν D 23 λαμβάνειν CFG 25 γιγνομένους CFGH 26 διακρατήσει] καὶ διακρατήσει M ἀποψοφήσει CG, *e corr.* B; *corr.* G 28 τοῖς EFG 29 βηχὶ τῇ] βηξὶ ταῖς D τοῖς] ταῖς D: *om.* F γιγνομένοις CG: γινομέναις D: γινομένῃ F 30 ἐντάσει] DF: ἐνστάσει ABCEGHKM ὑποκλύζον FM, *corr.* M 31 οὖν] CDFG: δ' E: *om.* ABHKM

ὑποτιθέμενα δὲ τῇ γλώττῃ ὑποτήκεται καὶ διαλύει τὸ παραποδίζον τὴν εὔπνοιαν· ὁ καιρὸς δὲ αὐτῶν κατὰ τὰς ἀκμὰς τῶν παροξυσμῶν ἐστι καὶ μέχρι πρὸ ὀλίγου τῆς ἐπισημασίας. διδόσθω δὲ καὶ ὑδρόμελι ἄπεφθον· οἷς δὲ οὐχ ὑποπτεύεται τὸ νευρῶδες, χρόνου γεγενημένου δίδου θαρρῶν καὶ ὀξύμελι, εἰ δὲ μή, ὑσσώπου ἀφέψημα (τοῦτο καὶ τοῖς ῥιγοῦσι βοηθεῖ) καὶ καστόριον μὴ καυσώδους ὄντος τοῦ πυρετοῦ· καὶ τῷ νευρώδει τοῦτο συμβάλλεται. ἐκλείγματα δὲ διὰ πιτυΐδων καὶ στροβιλίων καὶ ἴρεως καὶ λινοσπέρμου καὶ τῶν πικρῶν ἀμυγδάλων καὶ κνίδης σπέρματος· τὰ δὲ πλεῖστα καὶ ταῖς τροφαῖς παραπλεκέσθω. καὶ τῆς ῥητίνης δὲ καὶ τῆς τερεβινθίνης ἐν ᾠῷ διδόναι. ἔξωθεν δὲ τῷ θώρακι καὶ τοῖς περὶ ἀρτηρίαν ἔριον τεθειωμένον ἐπιτιθέσθω· καὶ λίπους δὲ ἢ πηγάνινον ἔστω ἢ ἴρινον ἢ ἀνήθινον. καὶ διάδεσμος εὔτονος ἐπὶ μακρὸν δεθεὶς ἀκριβῶς ἐπέχει τὰς βῆχας, λέγω δὲ τῶν μέσων καὶ τῶν ἄκρων. οὐκ ἀλόγως δὲ βηχὸς ἕνεκα χρήσῃ καὶ ἀποφλεγματισμῷ, σταφίδι ἀγρίᾳ συμμασωμένῃ τῇ ἡμέρῳ ἢ σὺν τῇ μαστίχῃ. καὶ τὰ ἄκρα δὲ ἀνατρίβειν τε καὶ διαψηλαφᾶν καὶ διαδεσμεῖν, εἶτα πάλιν ἀπολύειν τὴν ἀνθολκήν. εἰ δὲ διὰ τὴν τοῦ πυρετοῦ δριμύτητα βὴξ ἐρεθίζοι, χρηστέον ἀναγαργαρίσματι δι' ὕδατος χλιαροῦ (καὶ ψυχρὸν δὲ πολλάκις ὤνησεν) καὶ δι' ὀξυκράτου καὶ φοινίκων ἀφεψήματος ἢ ῥόδων ἢ τῆς γλυκείας ῥίζης. καὶ τοῖς σπλάγχνοις δὲ ἢ καὶ τῇ καρδίᾳ αὐτῇ ἐπιρριπτέον τὰ μετρίως ἐμψύχοντα.

## μη΄. Περὶ πταρμοῦ.

Ἐνοχλοῦσι πταρμοὶ πλεονάκις ἐμπίπτοντες ἐν πυρετοῖς· καὶ γὰρ πληροῦσι τὴν κεφαλὴν καὶ τὴν δύναμιν ἐλέγχουσιν ἐνίοις καὶ αἷμα ἐκρηγνύουσι, καὶ ἄλλα ὀχληρὰ τοιαῦτα ἐπιφέρουσιν. ἀντιβαίνειν οὖν αὐτοῖς δεῖ. κατέχει δὲ ἐπιφερόμενον πταρμὸν διάτριψις τῆς ῥινὸς καὶ τοῦ μετώπου καὶ ὀμμάτων χάσμη τε καὶ τῆς ὑπερῴας τρῖψις σπουδαία, ἐρυγή, ἔντασις εἰς λαγόνα, μετεωρισμὸς τῆς κεφαλῆς, ἐπιστροφὴ ἐπὶ πλευράν, ψηλαφία τῶν ἄκρων μυῶν, λιπασμὸς μασητήρων, θερμοῦ [τοῦ]

μη΄ *Oribasius, Ecl. 47 (vol. IV 559)*

1 δὲ] γὰρ D 3 δεδόσθω D 5 καὶ *(pr.) om.* CFG τοῦτο . . . βοηθεῖ *(6) post* πυρετοῦ *lin. 6 coll.* D 6 καστορίου E 7 τοῦτο] γένει D ἐλίγματα D: ἐκλείμματα CG: ἐκλείματα F στροβίλων D 9 σπέρματα δὲ τὰ D παραπλεκέσθωσαν M καὶ *(alt.) om* M 10 ῥιτίνης ABEFHKM καὶ *om.* CG 11 καὶ *(alt.)*] D$^2$: καὶ ἢ ABCEFGHKM λίπος CD$^3$, *mrg.* ἢ λίπους δέ D$^3$: λιποῦσα F 13 ἀκριβῶς] ἄκρως CFG: *mrg.* γρ. ἄκρως ἐπέχει B ἄκρων καὶ τῶν μέσων D 14 καὶ ἀποφλεγματισμῷ] CDG: καὶ ἀποφλεγματισμοῖς F: *om.* ABEHKM σταφίδι] ποιεῖ δὲ καὶ σταφὶς D 15 σὺν *om.* D 17 βὴξ] ἡ βὴξ D ἐρεθίζοιτο D ἀναγαργαρίσμασι DF 18. 19 δι' ὀξυκράτου] ὀξύκρατον D 19 ἀφέψημα D 20 ἢ *om.* D καὶ *(alt.)*] *postea ins.* M 23 συμπίπτοντες D 24 ἐνίοις] ἐνίοις δὲ D 25 ὀχληρὰ . . . ἐπιφέρουσιν] CDFG: τοιαῦτα ἐπιφέρουσιν ὀχληρά ABEHKM 27 καὶ *(pr.)*] καὶ τῶν D 28 ἔντασις] CDEFG, *e corr.* B: ἔνστασις ABHKM εἰς *om.* KM 29 τοῦ *om.* D*Or*

ἐλαίου εἰς ὦτα ἔγχυσις, ἐπιδήματος θερμοῦ ὑπόθεσις τῷ γενείῳ· φυλάττεσθαι δὲ αἰφνιδίαν ἐξ ὕπνου διέγερσιν, καπνόν, κονιορτόν, τὰς δριμυτέρας ὀσμὰς πεπέρεως, καστορίου, νάπυος, ἡδυόσμου. προσηνὲς μήλου καὶ ἀλφίτου ὀσμὴ (ἀπαμβλύνει γὰρ τὴν ἔκπτωσιν τῶν πταρμῶν) οἵ τε ἐκ τῆς θαλάσσης καινοὶ σπόγγοι. γενομένης δὲ ὁρμῆς ἐπὶ τὸ πταρῆναι, μὴ διεξιόντος δὲ τοῦ πταρμοῦ, ἀνάσπασις τοῦ χείλους ἐπιτηδευέσθω καὶ συνεχὴς τῶν δριμυτέρων ὀσμῶν πεῖρα καὶ τῆς διανοίας ἄνεσις.

## μθ΄. Περὶ ἀνορεξίας.

Εἰ μὲν διὰ μοχθηροὺς χυμοὺς ἡ ἀνορεξία γίγνοιτο, δοτέον αὐτοῖς 1
ἐκεῖνα τῶν ἐδεσμάτων τε καὶ πομάτων, ἃ τοὺς τοιούτους χυμοὺς ἤτοι γε δι᾽ ἐμέτων ἀπορρύψαντα ἢ διὰ τῆς κάτω κοιλίας ἐκκρίνειν πέφυκεν ἢ ἐπικεράσαντα βελτίους ἐργάζεται· τὴν δὲ τούτων ὕλην ἔχεις ἐν τῷ πρὸ τοῦδε γράμματι πρώτῳ τῆς ὅλης ὑπάρχοντι πραγματείας. εἰ δὲ δι᾽ ἀρρωστίαν δυνάμεως ἀνορεκτοῦσιν, ἐπειδὴ πᾶσα δύναμις ἀρρωστεῖ διὰ δυσκρασίαν τῶν μορίων, χρὴ τὸ τῆς δυσκρασίας εἶδος διὰ τῶν ἐναντίων ἰᾶσθαι. τὸν μὲν οὖν ποικιλώτερον τῆς ἀνορεξίας λόγον ἐν τοῖς στομαχικοῖς κατὰ τὸ τρίτον βιβλίον ἀποδώσομεν· ἐπὶ δὲ τῶν πυρεσσόντων εὐθὺς κατ᾽ ἀρχὰς ὀσφραντοῖς πειρατέον ἀνακτᾶσθαι τὴν ὄρεξιν, μάλιστα δι᾽ ἀλφίτων ὕδατι δεδευμένων ἢ ὀξυκράτῳ ἢ κράματι ἤ τινος τῶν εὐωδῶν τε καὶ στυφουσῶν ὀπωρῶν ἀφεψήματι, ἀλείμματι δὲ προσηνεῖ καὶ ἀνατρίψει συμμέτρῳ τοῦ σώματος ὅλου καὶ ψηλαφίᾳ προσκλύσματι τε τοῦ προσώπου καὶ καταρροφήσει βραχέος ὕδατος. καὶ καθέσει δὲ δακτύλων σπαραχθεὶς ὁ στόμαχος ἐπεστράφη πως ἐπὶ τὸ προσενέγκασθαι σιτίον, καὶ μάλιστα χολώδους τινὸς ἢ ὀξώδους ἀνενεχθέντος. μετὰ δὲ τὰς πρώτας ἡμέρας καὶ καταπλάσμασιν ἔξωθεν ὁ στόμαχος ἐπιστρεφέσθω τοῖς διὰ φοινίκων, μήλων, οἰνάνθης, ἀψινθίου, ἀλόης. τρο- 2
φαὶ δὲ παρεσκευάσθωσαν πλείονες ἁπλαῖ τε καὶ σιτώδεις καὶ τῆς ἄλλης ὕλης ἐξαλλαγάς τινας ἔχουσαι, μὴ πόρρω μέντοι τῆς τῶν πυρετῶν ὑπάρχουσαι χρείας· ἐν αἷς καὶ ὀπωρῶν αἱ μὴ ῥᾳδίως ἀποξυνόμεναι μηδὲ ἄγαν γλυκάζουσαι, πέπειροι δέ, καὶ μὴ μέχρι κόρου, ἀλλ᾽ ὅσον μόνον εἰς τὰς ἄλλας τροφὰς ἐρεθῖσαι τὴν ὄρεξιν· παρέστωσαν δὲ τρεφομένοις αὐτοῖς οἱ προσηνέστατοι δυσωπεῖν καὶ ἐντρέπειν δυνάμενοι. ἀπηλλαγμένων δὲ τῶν πυρετῶν κἀν ταῖς ἀναλήψεσι παραμενούσης τῆς

9—17 *Oribasius, Synops. VI 35; cf. Aëtius IX 20* 13 *I 70—72* 18 *III 37*

1 ἐπιδέσματος D: πιλήματος *Or* ὑποθέσεις CG γενείῳ] ἰνίῳ *Or* τῷ] ὑπὸ τῷ D 4 μήλου] δὲ μήλου D 5 θαλάττης D καινοὶ] AD: κενοὶ BCEFGHKM γινομένης D 6 παραπταρῆναι AE: παρῆναι G μὴ] καὶ μὴ D δὲ *om.* D 7 συνεχὴς] D: συνεχῶς ABCEFGHKM 11 ἃ] ἃ καὶ K 12 ἀπορρύψαντα] *Or*: ἀπορρίψαντα ABKM: ἀπορίψαντα CEFGH: καθαίρειν D 18 πυρεττόντων D: πυρετόντων H 20 δι᾽] G: διὰ C: τῷ δι᾽ D: δὲ δι᾽ F: δὲ ABEHKM 21 δὲ] τε D 22 προσκλύσμασι AEF: προκλύσματι D 23 βραχέως ABH δὲ] δέ ποτε D 26 ἐπιστρεφέσθω] ἰατρευέσθω D 29 ἔχουσαι τινες (*mut. in* τινάς) D 31 δέ, καὶ] τε D μέχρι] μέχρι δὲ D 34 κἀν] καὶ D

ἀνορεξίας καὶ cίcαρον κάθεφθον μετ᾽ ὀξυμέλιτος καὶ θριδακίνη καὶ ἁλμάδες ἐλαῖαι καὶ κάππαρις καὶ τάριχος καὶ βολβοὶ καὶ πᾶν ὁτιοῦν πρὸς εὐστομαχίαν ἐπινοείcθω ἀναμιμνηcκομένων αὐτῶν κἀκείνων, ἐν οἷς ἐδέcμαcιν ὑγιαίνοντες μάλιστα ἐπλεόναζον, περίπατοί τε καὶ αἰῶραι καὶ ἀναφωνήσεις καὶ δρωπακισμοὶ καὶ τρίψεις καὶ γυμνάσια παραλαμβανέcθω καὶ προποτισμοὶ δι᾽ ἀψινθίου χυλίσματος ἢ ἀλόης· καὶ τοῦ σκιλλίνου δὲ ὄξους ὅσον μύστρον καταρροφούμενον σπουδαίως ἐνεργεῖ.

## ν΄. Περὶ βουλίμου.

Εἰ δὲ εἰς βούλιμον καταντήσοι τὰ τῆς ἀνορεξίας, λέγω δὲ τὴν ὑπερβάλλουσαν ἀτροφίαν, τούτους ἀνακτησόμεθα τοῖς τε ἄλλοις ὀσφραντοῖς καὶ ὑείοις κρέασιν ὀπτοῖς καὶ ἐριφείοις καὶ καθόλου πᾶσι τοῖς ὀσμὴν ἔχουσι κνισώδη, τῆς ὀξύτητος δηλονότι τῶν πυρετῶν παρεληλυθυίας· τά τε ἄκρα αὐτῶν διακρατεῖν δεῖ καὶ ἐγείρειν αὐτοὺς τάς τε σιαγόνας νύσσοντας καὶ τρίχας ἢ ὦτα ἀνατείνοντας, ἀνακτηθεῖσιν δὲ ἄρτον ἐν κράματι ἢ ἄλλο τι τῶν εὐαναδότων δοτέον.

## να΄. Περὶ κυνώδους ὀρέξεως.

Εἰ καὶ μὴ πάνυ τι κατὰ τοὺς πυρετοὺς τοῦτο γίνεται τὸ σύμπτωμα, ἀλλ᾽ ἔσθ᾽ ὅτε μετ᾽ αὐτούς, ἄλλως τε καὶ διὰ τὴν πρὸς ἀνορεξίαν συγγένειαν οὐ χεῖρον καὶ περὶ τῆς ἀμέτρου λέγειν ὀρέξεως ἀμφοῖν ἀμέτροιν ὑπαρχουσῶν. ἐπειδὴ τοίνυν ὑπὸ φλέγματος ὀξώδους μάλιστα τὸ πάθος γίνεται, τοῖς τοῦτο τέμνουσί τε καὶ ῥύπτουσι χρηστέον· τοιαῦτα δέ εἰσι μάλιστα τὰ γλυκέα καὶ ἁλμυρὰ καὶ ἄλλως σμηκτικὰ θερμαίνοντα. οἶνον [τε] οὖν αὐτοῖς χρὴ διδόναι δαψιλῆ τῶν ἱκανῶς θερμαινόντων· τοιοῦτοι δέ εἰσιν οἱ κιρροὶ τὴν χρόαν ἢ ἐρυθροὶ χωρὶς τοῦ στύφειν· μᾶλλον δὲ καὶ γλυκυτέρους δοτέον, κἂν μὴ διψῶσιν. χρὴ δὲ αὐτοῖς, ὅταν ἐπὶ τὸ ἄριστον ἀφίκωνται, πρῶτον μὲν διδόναι τὰ λιπαρά, καὶ τὰ ἄλλα δὲ πάντα δι᾽ ἐλαίου πολλοῦ σκευάζοντα μηδὲν αὐστηρὸν ἢ στῦφον ἔχοντα· ταῦτα γάρ, εἰ καὶ μὴ πρὸς αὐτὴν ἄντικρυς ἐνίσταται τὴν αἰτίαν, ἀλλὰ τὴν εἰς τὰ σιτία λύουσιν ἀκρατῆ ὁρμήν, ἡ δὲ τούτων ἔνδεια μειοῖ τὴν ἐν τῷ στομάχῳ τοῦ φλέγματος σύστασιν. καὶ ταρίχους δοτέον. μετὰ δὲ ταῦτα τῶν εἰρημένων οἴνων δαψιλῶς πινέτωσαν· πλείονι γὰρ χρόνῳ πραττόντων οὕτω παύεται.

ν΄ *Oribasius, Synops. VI 36; cf. Ad Eunap. III 10. Aëtius IX 6*
να΄ 16—23 *cf. Aëtius IX 21* 23—32 *Oribasius, Synops. VI 34, IX 10, 1—2; Ad Eunap. IV 83*

1 cίcαρον] *seq. ras.* B: |αρον A: cήcαμον D κάτεφθον DF 6 cκιλλιτικοῦ D[3] 9 καταντήcῃ CH: καταντίcοι K: καταντήcει F 10 ἀνακτηcώμεθα CEH 13 ἐπεγείρειν D 15 κράμματι CEG 17 καὶ *om.* K 18 ἄλλως τε] ἐπιcυμβαίνει D πρὸς *om.* M 20 ἀμέτρων CDFG 22 εἰcιν G: ἐcτι D τὰ] CDFG: *om.* ABEHKM cμηκτικὰ] τμητικὰ καὶ D 23 τε *om.* D οὖν *om.* H χρὴ . . . οἱ *(24) om.* D 24 κιρρὸν D ἐρυθρὸν D 25 γλυκυτέρους] τῶν γλυκυτέρων D 27 cκευάζονται FK, *corr.* K 28 ἐνίcτανται CDFG 31 δοτέον] δὲ δοτέον D

### νβ΄. Περὶ δίψης.

Τὴν μὲν πάνυ μικρὰν δίψαν γίνεσθαι νομιστέον διὰ ξηρότητα τῶν μορίων ἢ θερμότητα, δι' ὧν φέρεται τὸ ὑγρὸν ἐκ τοῦ στόματος εἰς τὴν κοιλίαν· καὶ ἴαμα τῆς μὲν ξηρότητός ἐστιν ὕπνος, τῆς δὲ θερμότητος ἐγρήγορσις. ἔνιοι μέντοι διψώδεις ἐξ οἴνου γίνονται καὶ διὰ τὴν τῶν ἐδηδεσμένων θερμότητα· καὶ ἴαμα τούτων ἐστὶ τὸ ψυχρὸν πόμα· μοχθηρῶν δὲ ἐπιθυμοῦσι ποτῶν ὥσπερ καὶ σιτίων ἀνάλογον τῇ κρατούσῃ κακοχυμίᾳ. δίψεσι δὲ ἀπαύστοις καταληφθέντας, ἐξ ὧνπερ καὶ ἀπέθανον, οἶδά ποτε φαγόντας ἐχίδνας διψάδας καὶ οἴνου παλαιοῦ μεθύσαντας καὶ τοὺς ἐν τῷ πλοίῳ τοῦ ὕδατος ἐπιλιπόντος, ὧν ὅσοι τῆς θαλάττης ἐτόλμησαν πιεῖν, ἀπέθανον. τὸ δὲ ἐν πυρετοῖς δίψος παρηγορεῖν πέφυκεν ἐμβροχὴ τῆς κεφαλῆς ψυχροτάτου ἐλαίου ἢ ῥοδίνου μετὰ κρουνισμοῦ γινομένη. κάλλιστα δὲ ποιεῖ πρὸς δίψος τὸ τῆς μελαίνης θρίδακος σπέρμα διαμασηθὲν καὶ ἡ γλυκύριζα λεγομένη καὶ τὸ τοῦ σικύου σπέρμα διακρατηθὲν ἐν τῷ στόματι. δίδου δὲ καὶ ἄδιψον καταπότιον τοῦτο· σικύου ἡμέρου < η̄, τραγακάνθης < δ̄, διάλυε τὴν τραγάκανθαν ᾠῶν ὠμῶν προσφάτων τῷ λευκῷ, καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τρίψας τῷ σικυοσπέρμῳ προλειωθέντι καὶ μαλάξας ἀνάπλαττε καταπότια καὶ ξήραινε ἐν σκιᾷ καὶ δίδου ἓν ὑπὸ τὴν γλῶσσαν κατέχειν, καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω. δίδου δὲ καὶ ἀπόβρεγμα καταρροφεῖν μήλων Κυδωνίων ἢ ἀπίων ἢ μεσπίλων ἢ ἑλίκων ἀμπέλου ἢ ῥοᾶς χυλοῦ.

### νγ΄. Περὶ γλώσσης τραχείας.

Ὑγραίνειν δεῖ τὴν τραχύτητα τῆς γλώττης ποιοῦντας διακρατεῖν λινοσπέρμου ἀφέψημα τοὺς κάμνοντας ἐν τῷ στόματι. βέλτιον δὲ ἐνεργεῖ μυξίον τῷ λινοσπέρμῳ συγκαθηψημένον· καὶ τὸν δάκτυλον δὲ ἐν τούτῳ τῷ χυλῷ βρέξαντες καὶ τὴν γλῶτταν ἀνατρίψαντες ἀποκλυζέσθωσαν ὕδατι καθαρῷ ἢ σπόγγῳ περιμασσέσθωσαν, εἶτα ῥοδίνῳ ἐπαλειφέσθωσαν. καὶ αὐτὸ δὲ τὸ ῥόδινον μέλιτι συμμιγὲν σπουδαίως ἐνεργεῖ καὶ ὁ τῆς ἀνδράχνης χυλὸς διακρατηθείς, καὶ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα μελικράτῳ μιγεὶς καλῶς ποιεῖ καὶ Δαμασκηνὰ καὶ μυσκλίου (τοῦτο δέ ἐστιν ἡ μύξα) τὰ ὀστέα διακρατούμενα καὶ τῇ γλώττῃ περικυλιόμενα

νβ΄ *Oribasius, Synops. VI 37—39; cf. Aëtius V 119* 15—22 *Aëtius V 119. Oribasius, Synops. III 184, IX 10, 20; Galenus XIII 145* νγ΄ *cf. Aëtius V 118* 23—32 *Oribasius, Synops. VI 43*

7 ποτῶν] D: ποιοτήτων ABCEFGHKM καὶ] γε καὶ D ἀναλόγων CG 10 τοὺς] τινας D ἐπιλιπόντας G: ἐπιλειπόντας C, *supra add.* ο C² 11 θαλάσσης DF, *e corr.* A 12 ψυχροτάτου] διὰ ψυχροτάτου D 14 γλυκεῖα ῥίζα καλουμένη D: λειχομένη *mrg.* B³ 16 τοῦτο *om.* D τὴν] δὲ τὴν D 17 ἐπίβαλε EF 18 τὸ σικυόσπερμα D προλειωθέντι *om.* D 19 ἓν] ε̄ D γλῶτταν BD 20 δίδου . . . ἀπίων *(21)*] *mrg.* D³ 22 ῥοιᾶς D χυλοῦ] ABCEFGH, *e corr.* D: χυλόν DKM 24 ποιοῦντα D 30 χυλὸς] δὲ χυλὸς D τῶν ὄψων D 31 μυσκλίου] μίσυ λεῖον D 32 μύξα] μύξα καὶ μύξαι ἢ μυξῶν D τὰ ὀστέα] ADEC²: τὰ ὀστᾶ BHKM: *om.* CFG καὶ . . . περικυλιόμενα *om.* D

καὶ θριδακίνης καυλίον. Ἀρχιγένης δέ φησιν· καὶ ὁ ἅλς ὁ Ἰνδικός, χρόᾳ μὲν καὶ συστάσει ὅμοιος τῷ κοινῷ ἁλί, γεύσει δὲ μελιτώδης, φακοῦ δὲ μέγεθος ἢ τό γε πλεῖστον κυάμου, διατρωχθεὶς σφόδρα καθυγραίνειν δύναται. ἐπὶ πλευρὸν δὲ κατακείσθωσαν· ξηραίνει γὰρ ἡ ὑπτία κατάκλισις. καὶ τὸ στόμα μυέτωσαν· τὸ κεχηνέναι γὰρ ἐξικμάζει. πταρμοὶ ἐπιτηδευθέντες καθυγραίνουσι τὰς γλώττας παντὸς ἄλλου ἐνδιαθετώτερον.

## νδʹ. Περὶ ναυτίας.

Ὅταν χωρὶς τοῦ προσενεχθῆναί τι ναυτιώδης ὁ κάμνων γίγνηται, πρόδηλον, οἶμαι, λογίσασθαι μοχθηροὺς χυμοὺς ἀνιᾶν τὴν γαστέρα. τινὲς δὲ σπαράττονται μέν, ἐμοῦσι δὲ οὐδὲν ἐν αὐτοῖς τοῖς χιτῶσιν ἀναπεπομένου τοῦ χυμοῦ. φλεγματώδεις μὲν οὖν ὄντας τοὺς χυμοὺς πέττειν χρὴ ἐν ἡσυχίᾳ φυλάττοντας τὸν ἄνθρωπον καὶ ἀσιτίᾳ καὶ ὕπνοις· τοὺς δὲ λεπτοτέρους ἔμετος ἐκβάλλει, ποτὲ μὲν ἐπὶ τῷ τῆς πτισάνης χυλῷ γενόμενος ἢ μελικράτῳ· ὅσοι δὲ γλίσχροι τέ εἰσι καὶ παχεῖς, τῶν λεπτυνόντων χρῄζουσιν, ὁποῖόν ἐστι τὸ ὀξύμελι καὶ τὰ ὅμοια. ὑγρότητος δὲ μοχθηρᾶς ἐν τοῖς χιτῶσιν ἀναπεπομένης ἡ διὰ τῆς ἀλόης πικρὰ χρήσιμος, τὰ στύφοντα δὲ βλάπτει γενναίως, ὥσπερ αὖ πάλιν ὑγρότητος οὔσης πολλῆς χωρὶς κακίας τὰ στύφοντα μὲν ὡς ὠφελιμώτατα, τὸ δὲ διὰ τῆς ἀλόης φάρμακον εἰς μαρασμὸν ἄγει. ψύξεως δὲ προσούσης τῇ ὑγρότητι μικτέον τοῖς στύφουσι καὶ τὰ θερμαίνοντα. σημεῖον δὲ τοῦ ψυχρὰν διάθεσιν εἶναι τὸ μὴ διψῆν μήτε καύματος αἰσθάνεσθαι.

## νεʹ. Περὶ χολεμεσίας.

Τοῖς χολὴν ἐμοῦσι κατάπλασμα προσενεκτέον διὰ φοινίκων, σιδίων, κηκῖδος ἡψημένων ἐν οἴνῳ ἢ ὀξυκράτῳ συλλεαινομένων ἄρτῳ· καὶ ἀκακία δὲ καὶ ὑποκιστὶς καὶ βαλαύστιον καὶ ῥοῦς συμπλεκέσθω τῷ καταπλάσματι. καὶ σικύα δὲ προσβαλλομένη μεγάλως ὠφελεῖ μετὰ φλογὸς πολλῆς. τὴν δὲ τροφὴν πολλάκις κατὰ βραχὺ δώσομεν. ἐπὶ δὲ τῶν

νδʹ *cf. Oribasius, Synops. IX 10, 6—10. Aëtius IX 10* 8—16 *Oribasius, Synops. VI 40* νεʹ *Oribasius, Synops. VI 41*

1 καυλόν CFG φησιν] FHK, *comp.* A, -ν *eras.* G: φησι BCEM: φησιν ὅτι D ὁ *(pr.) om.* EHM ἁλὸς CFG 2 χρόᾳ] ὅς ἐστι χρόᾳ D ὁμοίως CG γεύσει] τῇ γεύσει D 3 δὲ *om.* CDFG ἢ τό] CDFG: ἤτοι ABEHKM 5 τὸ *(alt.)*] *mut. in* τῷ G: τῷ C πταρμοί] πταρμοί τε D 9 τι] F: τι ἐμετικὸν D: *om.* ABCEGHKM γίγνηται] ADEM: γένηται F *Or*: γίνεται C: γίγνεται BGHK 11 χιτῶσιν] χιτῶσι (-ν *eras.* G) τῆς γαστρὸς CFG 12 ἀναπεμπομένου FH, *pr.* μ *eras.* AK: μ *supra add.* B οὖν *om.* F 15 ἢ] ποτὲ δὲ ἐπὶ D 17 ἀναπεμπομένης EFH, *pr.* μ *eras.* AK 18 αὖ] οὖν D 19 ὑγρότητος] ABDEK: ξηρότητος CFGHM, *corr.* C[2] ὡς *om.* D 20 διὰ *om.* E 22 μὴ] μήτε D: *om* E διψῆν] D, *in ras.* J[2]: διψεῖν ABCEGHKM: διψᾶν F 26 κηκίδων C ἑψημένων CF ἄρτῳ] CDFG: ἄρτων ABEHKM 27 ὑποκιστὶς] ὑποκυστὶς CD, *in ras.* G: ὑποκυστίδος ABEFHKM: ὑποκυσθὶς *e corr.* J 29 κατὰ] τε καὶ κατὰ D

χολὴν μέλαιναν ἐμούντων καὶ φυσωμένων τὸν στόμαχον σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους ἐντίθει ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε.

### νϛ'. Περὶ λυγμῶν.

Ὁ λυγμὸς γίνεται ἢ διὰ πλήρωσιν ἢ διὰ κένωσιν ἢ δριμέων χυμῶν δακνόντων τὸν στόμαχον, ὧν ἐμεθέντων παύεται· πολλοὶ δὲ καὶ τὸ διὰ τριῶν πεπέρεων μόνον λαβόντες, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον, λύζουσιν. ὅτι δὲ καὶ διαφθείροντές τινες τροφὴν λύζουσι, τῶν γινωσκομένων ἐστί. καὶ ῥιγώσαντες δὲ πολλοὶ λύζουσιν. ἔμετον μὲν οὖν εὑρήσομεν αὔταρκες ἴαμα τῶν διὰ πλῆθος ἢ δῆξιν λυζόντων, θερμασίαν δὲ τῶν διὰ ψῦξιν· ὅταν δὲ ὑπὸ πληρώσεως ὑγρῶν γένηται λυγμός, βιαίας δεῖται κενώσεως. τοῦτο δὴ ὁ πταρμὸς ἐργάζεται· τοὺς δὲ ἐπὶ κενώσει λυγμοὺς οὐκ ἰᾶται πταρμός. διδόναι δὲ τοῖς λύζουσιν πήγανον μετ᾿ οἴνου ἢ νίτρον ἐν μελικράτῳ ἢ σέσελι ἢ δαῦκον ἢ κύμινον ἢ ζιγγίβερ ἢ καλαμίνθην ἢ νάρδον Κελτικήν. ταῦτα τῶν ἐπὶ διαφθορᾷ σιτίων ἢ ἐπὶ ψύξεσιν ἢ ἐπὶ πληρώσει βοηθήματα· τοῖς δὲ ὑπὸ πλήθους λύζουσιν ἢ ἐπὶ ψυχροῖς καὶ γλίσχροις χυμοῖς καστόριον δίδου πίνειν δι᾿ ὀξυκράτου· καὶ κατὰ τοῦ δέρματος δὲ ἐπιτιθέμενον ὠφελεῖ ἅμα Σικυωνίῳ ἢ παλαιῷ ἐλαίῳ. ἁρμόζει καὶ τὸ σκιλλητικὸν ὄξος ἢ ὀξύμελι πινόμενον· καὶ κατοχὴ πνεύματος μεγάλως ὀνίνησιν.

### νζ'. Περὶ τῆς ἐν πυρετοῖς ἐπεχομένης τε καὶ φερομένης κοιλίας.

Τὰ μὲν προτρέποντα τὴν ἐπιξηραινομένην κοιλίαν ἐν τῷ πρώτῳ λέλεκται γράμματι, εἰς ὅσον ἐχρῆν. ἐπειδὴ δὲ καὶ ὑγραίνεσθαι συμπίπτει ταύτην ἐν πυρετοῖς, ἐνταῦθα λεκτέον· πολλοὶ γὰρ οὐ κατὰ τὸν τοῦ πυρετοῦ λόγον, ἀλλὰ διὰ μόνον τοῦτο τὸ σύμπτωμα διεφθάρησαν. ἐν ἀρχῇ μὲν οὖν δέχεσθαι δεῖ τὰ κομιζόμενα μηδὲν ἀντιβαίνοντας ἀπὸ διαφθορᾶς καὶ ἀπεψίας φερόμενα· πέρα δὲ τοῦ μετρίου τῆς κενώσεως γιγνομένης ἐπέχειν προσήκει. καὶ εἰ μὲν δριμύτερα φέροιτο, δεῖ τὰ προσφερόμενα εὔχυμά πως εἶναι καὶ ἄλλως παχύτερα· τοιαῦτα δέ ἐστι τὰ διὰ χόνδρου καὶ πτισάνης ῥοφήματα· καὶ λουτρὰ δὲ τούτοις μετὰ τὴν τοῦ νοσήματος πέψιν ἐπιτήδεια. ὅταν δὲ φλεγματωδέστερα καὶ

νϛ' *cf. Aëtius IX 5* 4—15 *Oribasius, Synops. VI 42* 13—19 *Oribasius, Synops. IX 10, 3—5* 16—19 *Galenus XII 339—340* νζ' ? 24 γράμματι] *I 72*

1 στόμαχον] στόμαχον καὶ τὰ ἔντερα καὶ τὴν κοιλίαν D 3 κατάπλαττε D: κατάπλασσαι M *et e corr.* G 7 εὐθὺς D 8 τινες τροφὴν] τροφήν τινες C: τινες τὴν τροφὴν D: τὴν τροφὴν K: τινες F 9 μὲν *om.* EM οὖν *om.* F 11 γίνηται D 12 δὴ] δὲ BC δέ] οὖν δεῖ D 13 λύζουσι ADEF, -ν *eras.* BC 14 οἶνον CG, *corr.* C² 15 διαφθοραῖς D: διαφορὰν F 16 πλῆθος CFGM 17 ἢ] D: *om.* ABCEFGHKM 18 ἢ] ADE: *om.* BCFGHKM 18. 19 ἐλαίῳ παλαιῷ D 19 σκιλλητικὸν] *mut. in* σκιλλιτικὸν D: σκλητικὸν *e corr.* B 21 πυρετῷ E τε *om.* D 22 κοιλίας] DE: γαστρός ABCFGHKM 27 ἀπὸ] *supra add.* ὑ D 29 γινομένης ADE

περιρρέοντα φέρηται, τοὐναντίον ξηρότερά τε εἴη καὶ θερμότερα τὰ σιτία, ἐφ' ὅσον ἐγχωροῦσιν οἱ πυρετοί· τοιαῦτα δέ ἐστι τὰ δι' ἀρτυμάτων θερμαντικῶν σκευαζόμενα. λουτρῶν δὲ τούτους ἀφεκτέον, εἰ μή τι ἕτερον ἐκβιάζοιτο. ἀτονούσης δὲ τῆς πεπτικῆς δυνάμεως τοῖς στύφουσιν ἐδέσμασί τε καὶ βοηθήμασι χρηστέον, ἐδέσμασι μέν, ἐν οἷς μάλιστα ῥοιῶν ἢ μήλων ἢ ἀπίων ἢ μεσπίλων ἐμβέβληται, ἢ καὶ τούτοις αὐτοῖς, καὶ οἴνῳ λεπτῷ εὐόσμῳ στύφοντι, βοηθήμασι δὲ τοῖς διὰ καταπλασμάτων, δι' ἀλφίτου καὶ φοινίκων καὶ ἀψινθίας ῥόδων τε καὶ μύρτων καὶ τῆς ὁμοειδοῦς τούτοις ὕλης. σκεπτέον δέ, ἐν ποίοις μάλιστα μορίοις ἐπιθετέον τὰ καταπλάσματα, λέγω δὴ τοῖς περὶ τὸν στόμαχον ἢ τῇ κάτω κοιλίᾳ· ἔσθ' ὅτε δὲ καὶ περὶ τὴν ὀσφὺν ἐπιτίθεμεν. τὰς αἱμαλωπώδεις δὲ τῶν ἐκκρίσεων ἀναστέλλει τὰ διὰ λιβάνου καὶ ἐπιξηραίνει ἢ γῦρις ἴση λιβάνῳ ἢ μάννη ἢ οἴνῳ φυραθεῖσα ἢ ὀξυκράτῳ. τὴν δὲ δριμυτέραν ὑγρασίαν καὶ ἐνέματι ἀπογλυκαίνειν, ὁτὲ μὲν αὐτῷ τῷ ὕδατι, ὁτὲ δὲ πτισάνης χυλῷ ἢ χόνδρου ἢ ὀρύζης ἢ τράγου, οὐχ ἅπαξ ἀλλὰ πολλάκις· ἐν ὑστέρῳ δὲ παραπλεκτέον καὶ ῥόδα ξηρὰ ἢ μύρτα, ἔσθ' ὅτε καὶ κηκῖδας. καὶ ᾠὸν ἅμα ῥοδίνῳ καὶ οἴνῳ λεπτῷ στύφοντι ἢ ῥόδων ἀφεψήματι ἐνιέμενον ἢ καὶ τῇ ἕδρᾳ προστιθέμενον ἀπαμβλύνει τὰς εἰς τὴν ἔκκρισιν προθυμίας. συχνῆς δὲ γινομένης τῆς ἐξαναστάσεως ἀγάθιον ἐγκείσθω προστετυπωμένον τῇ ἕδρᾳ ἀπὸ θερμῶν στυμμάτων.

## νη'. Περὶ στάξεως αἵματος καὶ τῆς ἀπὸ ῥινῶν αἱμορραγίας.

Ἐπειδὴ ἡ μὲν στάξις δηλοῖ πλῆθος ἐν ὅλῳ τῷ σώματι ἢ ἐν τῇ κεφαλῇ κατὰ ἔκθλιψιν γινομένη ἢ διὰ πύκνωσιν, ἡ δὲ πλείων ἔκκρισις ἱκανή ἐστι χαλάσαι καὶ μειῶσαι τὸ πλῆθος, κατὰ λόγον δέ ἐστι ποιεῖσθαι αὐτὴν ἐκεῖθεν, ὅθεν ἡ φύσις ὥρμησε, ταῦτα ἐννοήσας ἐτόλμησα ἐπὶ τῶν τεταρταίων ἀποστάξεων διὰ τύφης, ὡς ἔθος, τρῶσαι τὰ ἐν τοῖς μυξωτῆρσιν ἀγγεῖα· δεῖ δὲ μὴ ἀρκεῖσθαι ὀλίγῃ ῥύσει, ἀλλὰ πρὸς τὴν δύναμιν ἀφαιρεῖν. τὰς δὲ αὐτομάτους ἐν πυρετοῖς διὰ ῥινῶν αἱμορραγίας κριτικῶς μὲν γινομένας δέχεσθαι, ἀμέτρως δὲ φερόμενον τὸ αἷμα πειρᾶσθαι στέλλειν. διαδεσμευέσθω οὖν πρῶτον εὐτόνως τὰ ἄκρα, καὶ μετέωρον ἔχων τὴν κεφαλὴν ἐσχηματίσθω ὁ νοσῶν· δοκεῖ δὲ καὶ

νη' *cf. Aëtius V 124*  22—29 *Oribasius, Synops. VI 47*

1 περιρέοντα BCFGH, *mut. in* περιρρέοντα M: περριρέοντα E  φαίνηται D  εἴη] εἰσι A: ἔστω D  3 τούτους] DFG, *e corr.* BC, *comp.* οις *supra add.* D: τούτοις ABEHKM  7 εὐόσμῳ] καὶ εὐόσμῳ καὶ D  8 δι'] τῶν δι' D: καὶ F  ἀλφίτων BFH  13 ἢ *(pr.)*] παιπάλη ἀλφίτου ἢ D: ἢ παιπάλη *ins.* C[3], *similia supra add.* M[3]  ἴση] ἢ ἴση *e corr.* B  ἢ οἴνῳ] ADEKMC[3]: οἴνῳ BCFGH  15 ἢ τράγου *om.* D  16 ἀλλὰ] ἀλλὰ καὶ D  περιπλεκτέον CFG  17 ὅτε] ὅτε δὲ DE: ὅτε δ A  κηκῖδες D: κικῖδας EFG  ᾠὰ D  18 ἐνιέμενα D  προστιθέμενα D  19 γιγνομένης AE: γενομένης FM  20 ἀγάθιον] πτυγμάτιον D  23 πλῆθος] τὸ πλῆθος CFG  ἢ] *om.* G, *supra scr.* C  24 ἢ] *om.* FG, *supra scr.* C[3]  ἔκκρισις] κένωσις E, *mrg.* γρ. ἔκκρισις  25 δέ] πάντως D  26 ὅθεν *om.* B  30 γιγνομένας D: γενομένας F  32 ὁ] οὖν ὁ K

τῆς πόσθης ἡ διάδεσις ἰδίως ἐπέχειν τὰς ἐκ ῥινῶν αἱμορραγίας. μὴ ἀπομυσσέσθω δὲ μηδὲ ἐρεθιζέτω τὸν τόπον, ἐάτω δὲ θρόμβον ἀποπήγνυσθαι· σπόγγῳ δὲ ἡ ῥὶς ἀποψυχέσθω ἐν ὀξυκράτῳ βραχέντι, καὶ σφηνίσκος ἐκ ῥάκους ὑποβαλλέσθω τῷ αἱμορραγοῦντι μυξωτῆρί τινι τῶν ἰσχαίμων χρισθέντος φαρμάκων. τὴν δὲ τούτων ὕλην καὶ τὴν ἄλλην θεραπείαν ἐν τοῖς κατὰ τόπους πεπονθότας κατὰ τὸ μετὰ τοῦτο βιβλίον ἱκανῶς ἐκθησόμεθα.

## νθ΄. Περὶ λειποθυμίας.

**1** Τοῖς μὲν ἐπὶ χολέραις καὶ διαρροίαις καὶ ταῖς ἄλλαις πολλαῖς καὶ ἀθρόαις κενώσεσιν ἐκλυομένοις ὕδωρ τε ψυχρὸν προσραίνειν καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν καὶ ἀνατρίβειν τὸ στόμα τῆς γαστρὸς καὶ κελεύειν ἐμεῖν σπαράττειν τε τὸν στόμαχον ἤτοι δακτύλων ἢ πτερῶν καθέσεσιν. ἀλλὰ καὶ δεσμεῖν πλείοσι δεσμοῖς ἰσχυρῶς, ὅταν μὲν διὰ τῶν κάτω μορίων αἱ κενώσεις γίγνοιντο, τὰς χεῖρας, ὅταν δὲ διὰ τῶν ἄνω, τὰ σκέλη. προσεπινοεῖν δὲ τοῖς αἱμορραγοῦσι καὶ ἀνάρροπον ἀνωδύνως σχῆμα καὶ σικύαν ἐπιβλητέον ἐπὶ τἀναντία τῶν κενουμένων ἀντισπῶντας μόρια. ἰᾶται δὲ καὶ οἶνος ὕδατι κεκραμένος τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις, εἰ μὴ φλεγμονὴ σπλάγχνων ἢ κεφαλῆς ἄλγημα σφοδρὸν ἢ παρακρουστικόν τι πάθος ἢ πυρετὸς καυσώδης ἐν ἀπέπτῳ νοσήματι κωλύοι· μεγάλας γὰρ ἐπὶ τούτων ὁ οἶνος ἐργάζεται βλάβας. καὶ εἰ μὲν θέρος εἴη καὶ θερμῆς κράσεως καὶ ψυχροπότης ὁ κάμνων, ψυχρὸν δοτέον, εἰ δὲ τἀναντία, θερμόν. τοῖς δὲ διὰ πλῆθος ἱδρώτων λειποθυμοῦσι πυκνοῦν τὸ δέρμα, καθὼς ἔμπροσθεν εἴρηται, καὶ πνευμάτων ψυχρῶν εἰσόδους ἐπινοεῖν. τοῖς δὲ εἰς τὴν γαστέρα ῥεύμασιν οὐδὲν τούτων ἁρμόζει, πλὴν ἐν αὐτῇ τῇ γαστρὶ καὶ τῷ στομάχῳ τὰ τονοῦντα προσφέρειν. καὶ λούειν δὲ τούτους· λουτρὰ γὰρ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτηδειότατα, τὰς δὲ αἱμορραγίας καὶ τοὺς ἱδρῶτας δεινῶς παροξύνει. τοὺς δὲ ἐπὶ πλήθει λειποθυμοῦντας οἴνου **2**
τε καὶ τροφῆς ἀπέχειν καὶ λουτρῶν, εἰ πυρέττοιεν· πόμα δὲ μελικράτου διδόναι ἢ θύμον ἢ ὀρίγανον ἢ γλήχωνα ἢ ὕσσωπον ἔχοντος ἐναφεψημένον· ἐπιτήδειον δὲ τούτοις καὶ τὸ ὀξύμελι. εἰ δὲ διὰ μοχθηροὺς χυμοὺς λειποθυμοῖεν ἐν τῷ στομάχῳ περιεχομένους, κελεύειν ἐμεῖν ἐξ ὑδρελαίου καθέσει δακτύλων ἢ πτερῶν· εἰ δὲ μὴ δύναιντο ἐμεῖν, ἔλαιον

6 βιβλίον] *III 24, 8* νθ΄ *cf. Galenus XI 50—58; Oribasius, Synops. VI 45—46; Ad Eunap. III 7. Aëtius V 102—111* 23 ἔμπροσθεν] *cap. 46, 2*

1 διάδεσις] CDGKMA[s], *e corr.* B: διάθεσις AEFH ἐκ ῥινῶν] *corr. ex* ἐκκινῶν C: ἐκκρίνων BH 2 θρόμβους D 3 δὲ] τε D 4 τῷ] ADEF: δὲ τῷ BCGHKM 5 χρισθέντος] *scripsi*: χρισθέντι ABEFHKM, *e corr.* C: χρησθέντι CG: χρισθεὶς J: διαχρισθεὶς D 6 τοῖς] τοῖς περὶ τῶν D τόποις K: τόπον H κατὰ τὸ . . . βιβλίον *om.* D 20 κωλύοι] *corr. ex* κωλύει M: κωλύει CFG μεγάλην D ἐπὶ *om.* D βλάβην D 22 τὰ ἐναντία D 24 δὲ *om.* D γαστέρα] γαστέρα δὲ D 25 ἐν *om.* D 26 τούτοις CFG: τούτους δεῖ D 29 μελίκρατον D: μελικράτῳ F 30 ἢ *(pr.) om.* D ἔχον D: ἔχοντες F ἐναφηψημένον D 31 μοχθηρούς] πονηροὺς M

ὅτι κάλλιστον αὐτοὺς ποτιστέον. τοῦτο μέν γε καὶ διὰ γαστρὸς κάτωθεν πολλάκις κενοῖ· καὶ τὸ ἀψίνθιον δὲ τούτους ὀνίνησιν. εἰ δὲ δι᾽ ἀρρωστίαν ἐκλύοιντο τοῦ στομάχου, τοῖς τονοῦν αὐτὸν δυναμένοις χρηστέον, ὡς ἔμπροσθεν ἐν τῷ περὶ αὐτοῦ κεφαλαίῳ λέλεκται, καὶ τὰ ἄκρα ανατρίβειν καὶ τοὺς μὲν ἐκκαιομένους ἐπὶ λουτρὸν ἄγειν, τοῖς δὲ κατεψυγμένοις τοῦ διὰ τριῶν πεπέρεων διδόναι καὶ αὐτοῦ τοῦ πεπέρεως. τοὺς δὲ ἐπὶ θερμασίᾳ πλείονι ἢ δι᾽ ἔγκαυσιν ἢ διὰ τὸ ἐν βαλανείοις χρονίσαι λειποθυμοῦντας ἰάσῃ τό τε ψυχρὸν ὕδωρ προσραίνων καὶ πρὸς ἄνεμον τρέπων καὶ τρίβων τὸν στόμαχον καὶ οἶνον διδοὺς καὶ τροφάς. εἰ δὲ διὰ μέγεθος φλεγμονῆς ἢ κακοήθειαν πυρετοῦ λειποθυμοῖεν ἐν ταῖς καταβολαῖς καὶ καταψύχοιντο, τὰ κῶλα τρίβειν ἰσχυρῶς καὶ θάλπειν καὶ διαδεῖν ἐγρηγορέναι τε κελεύειν καὶ τροφῆς ἀπέχειν· ταῦτα δὲ καὶ πρὸ τοῦ παροξυσμοῦ πρακτέον. τοῖς δὲ διὰ ξηρότητα λειποθυμοῦσι πρὸ δυεῖν ἢ τριῶν ὡρῶν τοῦ παροξυσμοῦ τροφὴν ἐπιδοτέον ἢ χόνδρου χυλὸν ἢ ἄρτον ἐξ ὕδατος ἅμα ῥοιᾶς κόκκοις ἢ μήλοις ἢ ἀπίοις. εἰ δὲ μέγας ὁ κίνδυνος ἐλπίζοιτο, καὶ οἴνου δοτέον· καὶ τοῖς ἐξαίφνης δὲ λειποθυμήσασιν οὕτω πρακτέον. καὶ πανταχοῦ δεῖ τὴν αἰτίαν λογίζεσθαι, δι᾽ ἣν ἡ λειποθυμία γίνεται, καὶ πρὸς ταύτην ἐνίστασθαι, ποτὲ δὲ καὶ τοῦ συμπτώματος μᾶλλον φροντιστέον κίνδυνον ἢ καὶ θάνατον ἀπειλοῦντος.

## ξ΄. Θεραπεία τῆς περὶ τὸ ἱερὸν ὀστοῦν ἑλκώσεως.

Καὶ τοῦτο τὸ πάθος τοῖς πυρετοῖς μάλιστα τοῖς χρονίοις συμπίπτει διὰ τὸν τῆς ἀνακλίσεως χρονισμόν. ἡνίκα μὲν οὖν ἄρχεται ἐνερευθὴς ὁ τόπος γίνεσθαι, κύκλον ἐξ ἐρίου ποιήσαντες εὐμεγέθη ὑποθήσομεν τῷ τόπῳ, μετὰ ταῦτα δὲ ῥοδίνην ἢ μυρσίνην κηρωτὴν ποιήσαντες ἔχουσαν λιθάργυρον ἢ ψιμύθιον ἐπιθήσομεν. φλεγμονῆς δὲ γενομένης ἄρτῳ καταπλαστέον μετὰ στρύχνου ἢ πολυγόνου ἢ ἀρνογλώσσου ἢ ἁπαλῆς κράμβης. εἰ δὲ νομώδης ἕλκωσις εἴη, φακῇ καταπλασσέσθωσαν μετὰ σιδίων.

4 κεφαλαίῳ] *cap. 44* ξ΄ *Oribasius, Synops. VI 44; cf. Aëtius V 127*

2 τούτους] CDFGH: τούτοις ABEKM 5 ἐκκαιομένους] D: ἐγκαιομένους ABCEFGHKM 6 τοῦ *(pr.)*] D: τὸ ABCEFGHKM 7 ἢ *(pr.) om.* D ἔκκαυσιν D 8 τό τε ψυχρὸν] ψυχρόν τε D: τὸ ψυχρὸν F 10 φλεγμονῆς μέγεθος D κακοήθειαν] D: κακοπάθειαν ABCEFGHKM 14 δυεῖν] ABEHKM: δυοῖν CDFG 17 δεῖ] δὴ CG: δὲ F 25 μυρσινίνην D 26 γινομένης K 28 καταπλαττέσθωσαν D: καταπλασέσθωσαν E

# Γ΄

## Κεφάλαια τοῦ τρίτου βιβλίου.

Ἐν τούτῳ τῷ βιβλίῳ τρίτῳ τῆς πραγματείας ὑπάρχοντι περὶ τῶν κατὰ τόπους πεπονθότας παθῶν ὁ λόγος ἐστὶν ἀρχόμενος μὲν ἀπ' ἄκρας κεφαλῆς, τελευτῶν δὲ ἐν ἄκροις τοῖς ποσίν.

α΄. Περὶ ἀλωπεκίας καὶ ὀφιάσεως καὶ φαλακρώσεως.
β΄. Οὐλοποιὰ καὶ βάμματα τριχῶν.
γ΄. Περὶ τῶν κατὰ τὸ δέρμα τῆς κεφαλῆς παθῶν.
δ΄. Περὶ κεφαλαλγίας.
ε΄. Περὶ κεφαλαίας καὶ ἡμικραίρας.
ϛ΄. Περὶ φρενίτιδος.
ζ΄. Περὶ φλεγμονῆς ἐγκεφάλου.
η΄. Περὶ ἐρυσιπέλατος ἐγκεφάλου.
θ΄. Περὶ ληθάργου.
ι΄. Περὶ κατόχου ἤγουν ἀγρύπνου κώματος.
ια΄. Περὶ μνήμης ἀπωλείας καὶ λογισμοῦ καὶ κάρου καὶ μωρώσεως.
ιβ΄. Περὶ σκοτωματικῶν.
ιγ΄. Περὶ ἐπιληψίας.
ιδ΄. Περὶ μελαγχολίας καὶ μανίας καὶ ἐνθεαστικῶν.
ιε΄. Περὶ ἐφιάλτου.
ιϛ΄. Περὶ λυκάονος ἢ λυκανθρώπου.
ιζ΄. Περὶ τῶν ἐρώντων.
ιη΄. Περὶ ἀποπληξίας καὶ ἡμιπληγίας ἤτοι παραλύσεως.
ιθ΄. Περὶ σπασμῶν.
κ΄. Περὶ τετάνου καὶ τῶν τούτου διαφορῶν.
κα΄. Περὶ τρόμων.
κβ΄. Ὀφθαλμικά.
κγ΄. Ὠτικά.
κδ΄. Περὶ τῶν τῆς ῥινὸς καὶ τῆς ὀσφρήσεως παθῶν.
κε΄. Πρὸς τὰ κατὰ τὸ πρόσωπον.
κϛ΄. Περὶ τῶν κατὰ τὸ στόμα παθῶν.
κζ΄. Περὶ συνάγχης καὶ τῶν ταύτῃ παρακειμένων, ἐν ᾧ καὶ περὶ τῶν ἀπαγχομένων ἢ ἄλλως πως πνιγομένων.
κη΄. Περὶ κορύζης καὶ κατάρρου καὶ ἀρτηριακῶν καὶ βηχός.
κθ΄. Περὶ ὀρθοπνοίας, ἄσθματος καὶ δυσπνοίας.
λ΄. Περὶ περιπνευμονίας.
λα΄. Περὶ αἵματος πτύσεως.
λβ΄. Περὶ ἐμπύων καὶ φθίσεως.
λγ΄. Περὶ πλευρίτιδος.
λδ΄. Περὶ τῶν τῆς καρδίας παθῶν.
λε΄. Περὶ τῶν κατὰ τοὺς μασθούς.
λϛ΄. Πρὸς τὰς τῶν μασχαλῶν δυσωδίας καὶ συνιδρώσεις.
λζ΄. Περὶ τῶν κατὰ τὸν στόμαχον καὶ τὰ ὑποχόνδρια καὶ τὴν γαστέρα.
λη΄. Περὶ ἐμπνευματώσεως γαστρός.
λθ΄. Περὶ χολέρας καὶ διαρροίας.

2 κεφάλαια] ἀρχὴ E 3 τῆς] τῆς ὅλης D 4 μὲν *om.* C 5 ἐν . . . ποσίν] εἰς ἄκρους τοὺς πόδας D 12 ἡμικραίρας] ἡμικρανίας D 15 ἐγκεφάλου] DF(G?): ἐν ἐγκεφάλου B: ἐγκεφάλῳ A: ἐν ἐγκεφάλῳ CEHKM 20 καὶ μωρώσεως *om.* D 24 ἐνθεαστικῶν] FG: ἐν$^{θ}$ E: ἐνθειαστικῶν ABCDHKM 27 τῶν *om.* E 28 ἡμιπληξίας ADE 29 παρέσεως D 33 τρόμου CFG 34 περὶ ὀφθαλμικῶν B 36 καὶ] DE: τε καὶ ABCFGHKM 37 *post* παθῶν *add.* καὶ περὶ (περὴ G$^{2}$) αἱμοραγίας (ἑμοραγίας G$^{2}$) ἐκ ῥινῶν CG$^{2}$, *idem omisso* παθῶν F (αἱμορραγίας) 38 τὸ *om.* D 48 περιπνευμονίας] CDEFG, *in ras.* B: πνευμονίας AHKM 50 καὶ φθίσεων E: *om.* CFG 53 μασθούς] CFG: μαστούς ABDEHKM

μ′. Περὶ λειεντερίας καὶ κοιλιακῆς διαθέσεως.
μα′. Περὶ τεινεσμοῦ.
μβ′. Περὶ δυσεντερίας.
μγ′. Περὶ κωλικῶν.
μδ′. Περὶ εἰλεοῦ.
με′. Περὶ τῶν κατὰ τοὺς νεφροὺς καὶ τὴν κύστιν παθῶν.
μϛ′. Περὶ τῶν τοῦ ἥπατος παθῶν.
μζ′. Περὶ καχεξίας.
μη′. Περὶ ὑδέρων.
μθ′. Περὶ σπληνός.
ν′. Περὶ ἰκτέρου.
να′. Περὶ προπτώσεως ὀμφαλοῦ.
νβ′. Πρὸς τὸ ἀνήβους καὶ ἀγενείους ἐπὶ πολὺ μένειν καὶ πρὸς τὰς τῶν αἰδοίων καὶ διδύμων φυλακάς· ἐν ταὐτῷ δὲ καὶ ψίλωθρα.
νγ′. Περὶ βουβωνοκήλης καὶ ἐντεροκήλης καὶ ὑδροκήλης.
νδ′. Περὶ φλεγμονῆς διδύμων καὶ ὀσχέου καὶ πρὸς ἕτερα αὐτῶν πάθη.
νε′. Περὶ γονορροίας καὶ ὀνειρωγμοῦ.
νϛ′. Περὶ σατυριάσεως.
νζ′. Περὶ πριαπισμοῦ.
νη′. Περὶ ἀπράκτων μορίων.
νθ′. Αἰδοιικὰ καὶ ἑδρικά.
ξ′. Περὶ τῶν κατὰ τὴν μήτραν παθῶν, καὶ πρῶτον περὶ ἐμμήνου καθάρσεως.
ξα′. Περὶ ἐποχῆς ἐμμήνων.
ξβ′. Περὶ ὑπερκαθάρσεως καὶ αἱμορραγούσης ὑστέρας.
ξγ′. Περὶ γυναικείου ῥοῦ.
ξδ′. Περὶ φλεγμονῆς ὑστέρας καὶ παρεγκλίσεως.
ξε′. Περὶ ἀποστήματος ὑστέρας.
ξϛ′. Περὶ ἑλκώσεως ὑστέρας.
ξζ′. Περὶ καρκίνου.
ξη′. Περὶ σκίρρου καὶ σκληρωμάτων.
ξθ′. Περὶ μύλης.
ο′. Περὶ ἐμπνευματώσεως.
οα′. Περὶ ὑστερικῆς πνιγός.
οβ′. Περὶ προπτώσεως ὑστέρας.
ογ′. Περὶ φίμου ἐν ὑστέρᾳ.
οδ′. Μὴ κυισκομέναις θεραπεία.
οε′. Περὶ ῥαγάδων καὶ κονδυλωμάτων καὶ αἱμορροΐδων.
οϛ′. Περὶ δυστοκίας.
οζ′. Περὶ ἰσχιάδος.
οη′. Περὶ ποδάγρας καὶ ἀρθρίτιδος.
οθ′. Πρὸς χίμετλα καὶ τὰ ἐν πέλμασι καὶ πτέρναις.
π′. Πρὸς ἥλους καὶ τύλους.
πα′. Περὶ τῶν περὶ τοὺς ὄνυχας.

8 *post* παθῶν *add.* καὶ περὶ σκληρίας καὶ περὶ διαβήτου (βόου F) ὡσαύτως καὶ περὶ αἱμοραγίας (αἱμορραγίας F) ἀποτηνε$^{μ}$ (καὶ ἀτονίας F) CF; *idem habuit* G², *sed ex parte recisum* 14 περὶ *om.* K 15 πρὸς τὸ] περὶ τοῦ D 17. 18 ἐν ταὐτῷ δὲ *om.* D 21 διδύμου D ὀσχέων B 22 πάθη αὐτῶν D
27 *post* ἑδρικά *add.* καὶ περὶ αἱμοροΐδων (αἱμορροΐδων F: ἐμωρροΐδων G) CFG 29 ἐμμήνων D 32 ὑπερκαθάρσεων D καὶ *om.* CG(F) 35 παρεγκλίσεως] DK, *e corr.* E: παρεγκλήσεως ABCEGH: παρακλήσεως M: παρεκύσεως F 40 σκίρρου] σκίρου BCDFGHM, *ut solent*: σκήρου K: σκείρου A *et corr. ex* κείρου E σκιρωμάτων D 45 ἐν ὑστέρᾳ *om.* D 46 *et* 47—48 *permutant* ABCDEFGHKM 46 μὴ] περὶ μὴ EK κυισκομένων J: κυισκομένοις F θερα$^{π}$ E 48 καὶ αἱμορροΐδων *om.* H 51 καὶ ἀρθρίτιδος *om.* H
55 Περὶ *om.* E

## α΄. Περὶ τῶν κατὰ τὰς τρίχας παθῶν.

### Περὶ ἀλωπεκίας καὶ ὀφιάσεως καὶ φαλακρώσεως. 1

Καθάπερ τῶν φυτῶν ἔνια μὲν ὑγρότητος ἐνδείᾳ φθείρεται ξηραινόμενα, τινὰ δὲ ὑγροῖς ἀλλοτρίοις ἑαυτῶν, οὕτω κἀπὶ τῶν τριχῶν γίνεσθαι συμβαίνει· δι' ἔνδειαν μὲν γὰρ ὑγρῶν ἡ φαλάκρωσις πέφυκε γίνεσθαι, διὰ μοχθηρίαν δὲ χυμῶν ἀλωπεκία καὶ ὀφίασις σχήματι μόνον διαφέρουσα τῶν ἄλλων, ὅτι παραπλήσιον ὄφει τὸ βεβλαμμένον φαίνεται μόριον· τὰς δὲ ἀλωπεκίας ἐκ τοῦ συνεχῶς ταῖς ἀλώπεξι τοῖς ζῴοις γίνεσθαι τὸ πάθος ὠνόμασαν. ἐκ τῆς χρόας οὖν τοῦ δέρματος τὸν πλεονάζοντα στοχαζόμενοι χυμὸν τῇ διὰ καθαρτικοῦ πρότερον φαρμάκου χρησόμεθα κενώσει κἄπειτα τοῖς τοπικοῖς ἀποθεραπεύσομεν βοηθήμασιν. εἰ μὲν οὖν ἐπὶ τὸ μελάντερον ἢ λευκότερον ἡ χροιὰ παρατραπείη, διὰ τῆς ἱερᾶς ἀντιδότου καθαίρομεν φλέγματός τε καὶ τοῦ μελαγχολικοῦ χυμοῦ κενωτικῆς ὑπαρχούσης· εἰ δὲ ἐπὶ τὸ ὠχρότερον, τὰ διὰ τῆς ἀλόης καταπότια δώσομεν· ἑκάστου δὲ τούτων τὴν γραφὴν ἐν τῷ περὶ συνθέτων φαρμάκων εὑρήσετε λόγῳ. μετὰ δὲ τὴν κένωσιν τοῦ ὅλου σώματος ἀποφλεγματισμῷ χρηστέον οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις δι' ὄξους καὶ νάπυος καὶ μέλιτος· ἄμεινον δέ, εἰ ἀποβραχείη τῷ ὄξει καὶ ὀρίγανον ἢ γλήχων ἢ θύμος ἢ ὕσσωπον. κἀπὶ τῶν ἄλλων δὲ τῶν περὶ τὴν κεφαλὴν παθῶν τῇ αὐτῇ χρηστέον μεθόδῳ πρῶτον τὸν πλεονάζοντα κενοῦντας χυμὸν ἢ διὰ καθάρσεως ἢ καὶ διὰ φλεβοτομίας, εἰ καὶ αἵματος εἴη πλεονασμός, εἶθ' οὕτως ἐπὶ τὴν τοπικὴν χωρεῖν ἐπιμέλειαν.

### Περὶ ἀλωπεκίας. 2

Ἐκνιτρώσας καὶ ὀθονίῳ τραχεῖ καὶ μᾶλλον ἐρεῷ ἐκμάξας καὶ ἀνατρίψας ἄχρις ἐρεύθους περιστερεῶνι ἐν ἡλίῳ σὺν ὄξει τριβέντι κατάχριε

α΄ *Galenus XII 381 sq.; cf. Aëtius VI 55—56* α΄ 1 *cf. Oribasius, Synops. VIII 22; Ad Eunap. IV 5* 16 λόγῳ] VII 8; 5, 1 α΄ 2 *cf. Oribasius, Synops. VIII 23; Ad Eunap. IV 5*

ABCDEGHKM(F*a*)

1 *om.* CFG*a*, *mrg. sup.* E 2 περὶ] ἤτοι περὶ D 4 δὲ *om.* M αὐτῶν M 5 μὲν *om. a* γὰρ *om.* CEFGM 5. 6 γίνεσθαι πέφυκε D 6 ἀλωπεκία] ἡ ἀλωπεκία τε D μόνῳ H: μὲν A 7 τῶν ἄλλων *om. a* 8 ἀλώπηξι DF τοῖς ζῴοις *om. a* 10 χυμὸν στοχαζόμενοι A 12 περιτραπείη CFG, *corr.* C² 13 καθάρομεν CFG 16 εὑρήσετε] BDME³, *e corr.* A: εὑρήσεται ACEFGHK: inuenies *a* 17 ἀποφλεγματισμῷ] gargarismo *a* καὶ] CDFGK: *om.* ABEHM*a* 18 ἐναποβραχείη D: infusum sit *a* 19 καὶ *om.* D 21 καὶ] *comp. incert.* E: *om.* DJM*a* 21. 22 εἰ καὶ] εἴπερ D 22 χωροῦντας D 25 τραχεῖ] καὶ ῥάκει D καὶ *(sec.)*] *om.* F; *fort. scr.* ἢ • μαλλῷ D ἐρεῷ] BCGHM, *mut. in* ἐριέῳ K: ἐρίῳ AE: ἐρέας D: ἰρέῳ F 26 ἄχρι B: μέχρις C

ἢ ἀλκυόνιον τὸ τραχύτατον καύϲαϲ καὶ λειώϲαϲ ϲὺν ἐλαίῳ ἀπὸ λύχνου κατάχριε ἢ καλάμου ῥίζαν ἢ φλοιὸν ἀμυγδαλῆϲ πικρᾶϲ καύϲαϲ ἐλαίῳ ἢ ϲτέατι ἀρκείῳ ἀναλαβὼν κατάχριε. μέτρια μὲν οὖν ταῦτα· ἰϲχυρότερα δὲ τὰ δι᾿ εὐφορβίου καὶ θαψίαϲ καὶ ἀδάρκηϲ ἐλαίῳ δαφνίνῳ ἐκλειωθέντα ἢ ὑγρᾷ πίττῃ.

Ἄλλο. ἐχίνων θαλαϲϲίων τὰ ὄϲτρακα καύϲαϲ ϲὺν ϲτέατι ἀρκείῳ ἀναλάμβανε καὶ χρῖϲον προεκνιτρώϲαϲ τὸν τόπον.

Ἄλλο. πεπέρεωϲ, προβατείαϲ κόπρου ξηρᾶϲ, ἐρυϲίμου, εὐζώμου ϲπέρματοϲ ἀνὰ < δ̅, ἐλλεβόρου λευκοῦ < γ̅, μυῶν ἀφόδων < α̅· ἀναλάμβανε χολῇ ταυρείᾳ ἢ τραγείᾳ ἢ ὑείᾳ.

**3** Φάρμακον τὸ διὰ θαψίαϲ πρὸϲ πάντα χρόνια πάθη.

Εὐφορβίου, θαψίαϲ, δαφνίνου ἀνὰ ℔ α̅, θείου ἀπύρου ℔ ∟΄, ἐλλεβόρου ℔ ∟΄, κηροῦ ℔ ϛ̅, δαφνίνου ἢ κικίνου παλαιοῦ ἐλαίου τὸ ἀρκοῦν· ἐπὶ τῶν ἰϲχυροτέρων καὶ καρδαμώμου ℔ α̅, ἀλκυονίου κεκαυμένου ℔ α̅. οὐ μόνον πρὸϲ ἀλωπεκίαν, ἀλλὰ καὶ πρὸϲ πᾶϲαν χρονίαν ποιεῖ κατάψυξιν. ἁπανταχοῦ δὲ τῇ προεκνιτρώϲει καὶ ἀνατρίψει χρηϲτέον ἐπὶ τῶν ἀλωπεκιῶν, καὶ ϲυνεχῶϲ ἀποξυράϲθωϲαν· πολλοὺϲ γὰρ οἶδα διὰ μόνηϲ τῆϲ ἀνατρίψεώϲ τε καὶ ϲυνεχοῦϲ ἀποξυρήϲεωϲ τριχοφυήϲανταϲ.

**4** Πρὸϲ φαλακρώϲειϲ καὶ τριχῶν αὔξηϲιν, ἐκ τῶν Κρίτωνοϲ.

Λαγωῶν κοιλίαϲ ε̅ ξηράναϲ ἐπιμελῶϲ φρῦγε ἐν ἀγγείῳ ὀϲτρακίνῳ, πρὸϲ τούτοιϲ λάμβανε τὸ τρίτον μυρϲίνηϲ ἀκρεμόνων, ἀκακίαϲ καρποῦ, ἀκακίαϲ χυλοῦ, κυνοϲβάτου τὸ ἴϲον, ἀδιάντου ℔ γ̅· ταῦτα πάντα κόπτε καὶ ϲῆθε λεπτῷ κοϲκίνῳ, εἶτα ἐπιβαλὼν ϲτέατοϲ ἀρκείου λι. δ̅ καὶ φώκηϲ τὸ ἴϲον ἀνάκοπτε καὶ ἀνελόμενοϲ εἰϲ πυξίδα μολυβδίνην φύλαττε, ἐπὶ δὲ τῆϲ χρείαϲ ἄνιε, ᾧ θέλειϲ ἡδύϲματι.

**5** Διαφυλακτικὰ τριχῶν.

Πολυτρίχου μέροϲ α̅, λαδάνου μέρη β̅, οἴνῳ καὶ μυρϲίνῳ ἐλαίῳ ἀναλάμβανε καὶ χρῶ.

6—7 *cf. Galenus XII 401* 12—14 *cf. Galenus XII 393* α΄ 4 *Galenus XII 438* 27—28 *cf. Oribasius, Synops. VIII 24; Galenus XII 430*

1 καὶ λειώϲαϲ *om.* D 5 λειωθέντα D 6 ἄλλο BEKM, *ut semper fere: om.* C 6 ἐχίνων ... τόπον *(7)*] *om.* FG, *mrg.* C² ϲυϲτέατι BKM 8 ἄλλο *om.* FG πεπέρεωϲ *om.* D 9 < *(sec.)*] δραγμὰϲ ABM μυείων D α̅] IIII *a* 10 *seq. interpolatio in* BHKM 11 πάντα] πάντα τὰ D: *om. a* 12 ℔ ∟΄ *om.* D*a* 13 ℔ ∟΄] *om.* D: ana ∻ I et S *a* ℔ ϛ̅] et *a*: ἀνὰ ℔ ϛ̅ D δάφνηϲ D: *om.* FG ἐλαίου *om.* CDFG 14 ἐπὶ] ἐπὶ δὲ D καὶ *om.* D ℔ α̅ *om. a* κεκαυμένου] κε^κ M: *om.* D ℔ *(alt.)*] ana ∻ *a, ut saepe* 15 ἀλλὰ] ποιεῖ ἀλλὰ D ποιεῖ *om.* D 16 πανταχοῦ D 18 τριχοποιήϲανταϲ A 19 φαλάκρωϲιν D 20 ἀνδρόμαχοϲ *mrg. add.* E² ε̅ *om.* F*a*, *eras.* E φρῦξον D 21 μυρϲίνηϲ] τῆϲ μυρϲίνηϲ E 22 τὸ *om.* H 23 καὶ *(pr.)*] τε καὶ D λι.] ⫽ C: οὐ⫽ G: ℔ F 24 ἀνάκοπτε] ἅμα κόπτε D 25 ἄνιε] J, *e corr.* E: ἄνειε ABCEFGHKM: ἑνοῦ D θέληϲ H: ἂν ἐθέληϲ D ἡδύϲματι] ἡδύϲματι καὶ χρῶ D 26 προφυλακτικὰ D 27 ἡρακλεί ταραντέου *mrg.* E

Ἄλλο. ἀνεμώνης τὸ ἄνθος τρίψας μετὰ ἐλαίου κατάχριε· τὸ δὲ αὐτὸ καὶ μελαίνει.

Ἄλλο. περιστερεῶνα τὸν ὄρθιον cὺν ταῖς ῥίζαις ξηράνας καὶ κόψας cῆθε λεπτῷ κοσκίνῳ καὶ μίξας ἐλαίῳ, ὥςτε γλοιοῦ cχεῖν πάχος, εἰς ἀγγεῖον χαλκοῦν ἀπόθου, καί, ὅταν τακῇ, χρῶ ἀντ' ἐλαίου ὁμοίως.

### Ὕδωρ αὐξητικὸν τριχῶν, τὸ δὲ αὐτὸ καὶ μελαίνει. 6

Ὕδατος ὀμβρίου ξε ϛ̄, ῥοῦ Ἀλεξανδρινοῦ ξε γ̄, πολυτρίχου Γο δ̄, βράθυος Γο δ̄, λαδάνου Γο ᾱ, μυρςίνης Γο ᾱ, κολοκύνθης ξηρᾶς Γο ᾱ· ἔα βρέχεσθαι ἐν ἀγγείῳ ὑαλῷ ἐπὶ ἡμέρας κ̄ κινῶν δὶς τῆς ἡμέρας σπάθῃ δᾳδίνῃ, τῇ δὲ ἐπιούσῃ καταβάπτων εἰς τὸ ὑδάτιον τὸν κτένα χρῶ καθ' ἑκάστην ἡμέραν. καὶ τὸ σπέρμα δὲ τῆς ἀλθαίας ἐν βαλανείῳ σμώμενον διαφυλάττει τὰς τρίχας καὶ αὔξει· ὁμοίως δὲ καὶ τὸ ἔλαιον ἀλειφόμενον, ἐν ᾧ ἡψήθη ἢ συνετέθη αὐτὸ τὸ σπέρμα τῆς ἀλθαίας.

### Λεπτυντικὰ τριχῶν. 7

Συκῆς φύλλων, ἀμπέλου ἀγρίας λευκῆς τῶν φλοιῶν, κισήρεως, ὀστράκων κηρύκων, γῆς Κιμωλίας ἀνὰ μνᾶν μίαν· πάντα ἐμβαλὼν εἰς καινὴν ὠμὴν χύτραν καὶ πηλῷ περιπλάσας ὄπτα ἐν κεραμίῳ καὶ τρῖβε ἐπιβαλὼν ἀφονίτρου μνᾶν ∠', κηκῖδας ὀμφακίνας λ̄, καὶ λειώσας ἀνελόμενος χρῶ.

Ἄλλο. ἀφονίτρου μνᾶς ζ̄, κισήρεως ὀπτῆς μνᾶς δ̄, στυπτηρίας σχιστῆς, ἴρεως ξηρᾶς, μυρσίνης ἀγρίας μελαίνης, κόμμεως, βρυωνίας ῥίζης ἀνὰ ⟨ δ̄, θέρμων ὠμῶν ἀληλεσμένων χοῦ τὸ τέταρτον· χρῶ ἀλιπής.

### Πρὸς ῥεούσας τρίχας. 8

Ἀλόην σὺν οἴνῳ μέλανι αὐστηρῷ ἐπίχριε ἢ πορφύρας πώματα σὺν ἐλαίῳ ἑφθὰ ἢ σμύρναν καὶ λάδανον σὺν οἴνῳ καὶ μυρσίνῳ ἢ σπυράθους καύσας ἐπ' ὀστράκου λείου μετ' ἐλαίου ἐπίχριε προξυρήσας.

1—5 *cf. Galenus XII 435* α' 7 *cf. Oribasius, Synops. VIII 25; Ad Eunap. IV 7*

4 ἐλαίου CFG 5 ἀντὶ D 6 μελαίνειν BKM 7 ϛ̄] et *a* Γο δ̄ *om.* D*a* 8 Γο *(pr.)*] ἀνὰ Γο D*a* Γο *(sec.) om.* CDFG*a* Γο *(tert.) om.* CDFG*a* Γο *(quart.)*] ἀνὰ Γο CDFG*a* 9 ὑαλίνῳ CG: ὑελίνῳ DF 10 ὕδωρ D τὸν κτένα] D, *e corr.* J: καθ' ἕνα ABCEFGHKM: *om. a*: τὸ κτένιον κτένιζε *mrg.* F² καθ'] καὶ οὕτω ποίει καθ' D 12 τὸ *om.* D 13 αὐτὸ *om.* D 15 τῶν φλοιῶν] *a*: τὸν φλοιόν ABCDEFGHK: τὸ φλοιόν *e corr.* M: τοῦ φλοιοῦ *e corr.* J κισήρεως] καὶ σίρεως D 16 ὄστρακα D εἰς . . . ἐπιβαλὼν *(18) om.* D 17 καινὴν] AEH*a*: κένην BCFGKM ὠμὴν] -μ- *e corr.* B: ψχὴν HKM 18 afronitri *a*: νίτρου D μνᾶν ∠'] τε καὶ D κηκῖδος D ὀμφακίνας λ̄] καὶ ὀμφακίνου λ' ζ̄ D καὶ *om.* D λειάνας CFG: λεάνας D ἀνελόμενος] CDFG: ἑλόμενος ABEHKM: *om. a* 20 afronitri *a* μνᾶς δ̄] μ/β̄ D 21 κόμμεως] DM, *e corr.* B: κόμεως ACEFGHK*a* 22 χοῦ] CFG: χο B²: χυ BEHKM: χυ A: sucum *a*: χο/ μίξας D 23 ἀλιπής] *om.* D: ἀλιπῶς F: securus *a* 26 ἑφθῷ D μυρσινίνῳ D σπαράθους A*a* 27 ἐπίχριε] καὶ ἐπίχριε D

## β΄. Οὐλοποιὰ καὶ βάμματα τριχῶν.

1 Ἐκ τῶν Κλεοπάτρας [οὐλοποιῶν].

Προαποσμηξάμενος τὴν κεφαλὴν σπονδυλίου ῥίζῃ χριέσθω τὰς τρίχας μετὰ ἀκράτου.

Ἄλλο. ξυρήσας τὴν κεφαλὴν καὶ σμήξας λαβὼν στροβίλιον νέον κατάκαυσον, ἕως γένηται σποδός, καὶ ἐμβαλὼν εἰς θυΐαν λείου παρεπιχέων μύρον μύρσινον ἄχρι μέλιτος πάχους καὶ οὕτως ἄλειφε τὴν κεφαλήν.

Ἄλλο. μύρτων καὶ σεύτλου τὸ ἴσον· χρῶ μετ᾽ ἐλαίου σμώμενος.

Ἄλλο. κηκῖδας κ̅, ἀδιάντου < β̅· χρῖε θαλάσσῃ ἄχρι μέλιτος πάχους, προσμήξας δὲ τὴν τρίχα οὔρῳ ἢ κονίᾳ καὶ ἀποκλύσας θερμῷ ὕδατι χριέσθω τῷ φαρμάκῳ ἐπὶ ἡμέρας β̅, συσχόντα δὲ αὐτὸ τῇ τρίτῃ ἀποπλύνειν τε καὶ ξηράναντα ἀλείφειν μυρσίνῳ. τοῦτο ἁπαλὴν καὶ οὐλὴν καὶ μέλαιναν ποιεῖ τὴν τρίχα, οὐλοτέρα δὲ ἔσται, ἐὰν προξυρήσας χρήσῃ.

2 Προφυλακτικὰ πολιῶν καὶ ἕτερα μελαντικά.

Ἐλαίου ὀμφακίνου ξ γ̅, νάρδου στάχυος < α̅, ὄνυχος ἀρωματικοῦ < δ̅, σχοίνου ἄνθους < δ̅· ἕψε μετὰ τοῦ ἐλαίου, καὶ χωρὶς ἔστω ἀκακίας χυλοῦ F α̅ οἴνῳ διαλυθεῖσα καὶ λειανθεῖσα ἐπιμελῶς· ὅταν δὲ τοῦ ἐλαίου τὸ τρίτον ὑπολειφθῇ, τοῦτο διήθει καὶ μίξας τῇ ἀκακίᾳ ἀνελοῦ εἰς ὑδρίσκην καὶ χρῶ συγχρίων καθ᾽ ἡμέραν.

Ἄλλο. καρύων χλωρῶν τοῦ φλοιοῦ F γ̅, πρίνου ῥίζης F γ̅, οἴνου μέλανος ξ γ̅· ἕψε εἰς τρίτον καὶ ἐκθλίψας τὸ γενόμενον ἀνάκοπτε ἐλαίῳ μυρσίνῳ ξ α̅. ἡ χρῆσις καθ᾽ ἡμέραν.

3 Ὕδωρ μελαντικὸν τριχῶν.

Κηκῖδος ξ α̅, ῥοῦ βυρσοδεψικοῦ ξ β̅, μύρτων μελάνων ξ β̅, κύπρου τῶν φύλλων τὸ ἴσον, κινάρας χειροπληθές, μυκῶν καπνέων τὸ ἴσον,

β΄ *cf. Aëtius VI 58—60* 22—24 *Alexander Trall. I 453*

1 καὶ βάμματα *om. a* 2 *om. a* οὐλοποιῶν] οὐ- *e corr.* G: *om.* DEF 3 προαποσμήξας D 5 στρόβιλον CD: στρόβηλον G: στρόβυλιν F 6 ἕως] ἕως οὗ D θυείαν D: θύαν AEFH 7 μύρον] ῥέον F: *om. a* μυρσίνινον D 9 τεύτλου E τῷ ἴσῳ ABEM*a*: τὸ ἴσον μίξας D 10 ἄλλο *om.* C*a* θαλάσσῃ *om.* F*a* ἄχρι *om.* F 11 δὲ *om. a* 12 τῇ … μυρσίνῳ *(13) om.* B 13 τε] τε δεῖ D μυρσινίνῳ D ἁπαλὴν] *rursus a* 15 χρίσῃ M: χρίσῃς *corr. ex* χρήσῃς D 16 ἕτερα *om. a* 17 ναρδοστάχυος CDFG 18 < *(pr.)*] δραγμὰς ABM < δ̅ *(pr.) om.* D*a* < *(alt.)*] ἀνὰ < D*a* ἕψει *e corr.* D μετὰ τοῦ] BFGHK: μετὰ ACE: μετ᾽ D 18. 19 χ͡υ ἀκακίας D 19 χυλοῦ] *comp.* ABEHM: χυλὸν K οἴνου K λεανθεῖσα D: λιανθεῖσα CG 22 F γ̅ *(pr.) om.* AD*a* F *(alt.)*] ἀνὰ F AD*a* 23 ἕψε] *e corr.* B: ἕψει D τὸ γενόμενον] *om. a*: τὸ γινόμενον D 24 μυρσινίνῳ D ἡ χρῆσις] ἡ χρίσις KM, *corr.* M: καὶ ἡ χρῆσις ἔστω D: *utere a* 26 ξ β̅ *(pr.)*] *om.* DF: ξ α̅ CG ξ *(tert.)*] ἀνὰ ξ D κύπρου] *mut. in* κυπέρου D: κίτρου F: *cipressi a* 27 τὸ ἴσον τῶν φύλλων A μυκῶν] ABDEGKM: μύκωνος H: μήκων CF: μήκωνος J: μυκήτων B[s] καπνίων D

ὕδατος λακκέου ℥ ιβ̄· προβρέξας πολλὰς ἡμέρας ἕψε εἰς τρίτον, εἶτα κατάχριε προσμήξας· καὶ ξηρανθείσας τὰς τρίχας κατάχριε Κιμωλίας ὀξυβάφῳ ἑνί, ἀσβέστου τῷ ἴσῳ, ταῦτα δὲ χυλῷ τεύτλων ἡψημένων διαλύσαντας ἐπιχρίειν, εἶτα ἐπάνω ἐπιτιθέναι σκέπης χάριν τεύτλου φύλλα, καὶ ὅταν ἱκανῶς διαστήσῃ, ἀποπλυνέσθω ἐν βαλανείῳ.

Πυρρὰς τρίχας βάψαι καὶ ξανθὰς ποιῆσαι. **4**

Λαβὼν σμύρνης μέρος ᾱ, ἁλὸς ἄνθους μέρος ᾱ, λείου ἐπιμελῶς καὶ ποιήσας γλοιοῦ πάχος προσμήξας τὴν κεφαλὴν ἐπίχριε τῷ φαρμάκῳ καὶ ἔα νύκτα καὶ ἡμέραν καὶ τότε ἀπονίψασθαι κέλευε.

Ἄλλο. θέρμους ὠμοὺς σὺν ὕδατι κατάχριε.

Ἄλλο. λιθαργύρου ‹ ᾱ, Κρητικῆς γῆς ‹ δ̄, ἀσβέστου ‹ ς̄· ὕδατι ποιῶν γλοιοῦ πάχος κατάχριε καὶ προσβαλὼν σεύτλου φύλλα ἐπὶ δύο ἢ τρεῖς ἡμέρας ἀπόπλυνε.

Τρίχας μελαίνας ξανθὰς ποιῆσαι. **5**

Τρύγα οἴνου βαλὼν εἰς γλοιὸν βαλανείου καὶ ποιήσας πάχος κηρωτῆς χρίου, ὅταν μέλλῃς καθεύδειν, καὶ εἰς τὸ πρωὶ γίγνονται.

Ἄλλο. κυπέρου φύλλα βρέξον ἐν χυλῷ στρουθίου καὶ χρῶ τῷ ἀποβρέγματι.

Βαφὴ χρυσοειδής. **6**

Στυπτηρίας ‹ ς̄, σανδαράχης ‹ ς̄, κρόκου ‹ β̄, θάψου, ᾗτινι οἱ βαφεῖς χρῶνται, ἣν οἱ Ῥωμαῖοι ἐρβαρωβίαν καλοῦσιν, ‹ η̄, κονίας πιλοποιητικῆς ‹ δ̄· ἕψε κονίαν καὶ θάψον συγκεκομμένην, καὶ ὅταν τὸ ἥμισυ λειφθῇ, ἔκθλιψον τὸ ὑγρὸν καὶ διάλυε τούτῳ στυπτηρίαν καὶ σανδαράχην καὶ κρόκον, εἶτα βάλε ἐν ἀγγείῳ ὑελίνῳ· ἐπὶ δὲ τῆς χρήσεως κατάπλασσε προσμήξας, ὅταν δὲ συμπίῃ, ἀπόπλυνε τῷ διὰ τῆς τήλεως καὶ κριθῆς καὶ κυμίνου ὕδατι προαλείψας χλιαρῷ, ὅσον ἐξαρκεῖ, ἐπιβάλλων καὶ σάπωνος τὸ αὔταρκες.

Ἄλλο. τρύγα οἴνου κεκαυμένην καὶ ἔλαιον βαλάνινον ὁμοῦ συμμίξας ἐπίχριε τὰς τρίχας.

6—26 *Alexander Trall. I 455*

1 λακκίου D ιβ̄] β̄ D ἔψει D, *ut semper fere* 2 κατάχριε *(pr.) om.* D προσμήξας . . . κατάχριε *om.* K ξηράνας D *ante* Κιμωλίας *ins.* ἄλλο DE[3] 3 ὀξυβάφῳ . . . δὲ] et calcem equaliter in *a* ἑνί] ἕνου D: ἐν CF *et seq. ras.* G ἀσβέστῳ F τῷ ἴσῳ] *corr. ex* τὸ ἴσον C: τὸ ἴσον DF: τῷ ἴσων H σεύτλων D, *ut solet* ἡψημένων . . . ἐπιχρίειν *(4)*] διαλύσας ἡψημένα ἐπίχρισον D 4 ἐπιτιθέναι] ἐπίδησον D 6 πυρὰς AEFKM, *e corr.* B: ὥστε πυρρὰς D: ad rufos *a* 11 Ἄλλο *om.* A κριτικῆς BHKM γῆς κρητικῆς D ‹ *(sec.)*] δραχμὰς H: ∻ *a* ‹ *(tert.)*] *incertum* K: δραχμὰς F: ∻ *a* ς̄] *in ras.* A: Δ^ς *mut. in* ᾱ E: δ̄ J ὕδατι] ὕδατι μίσγων καὶ D 12 τεύτλου AE 14 ἄλλο *praemittunt* CG τρίχας] ὥστε τρίχας D: ad capillos *a* μελαίνας] DM: μέλανας ABCEFGHK 16 γίνονται D: *om. a* 19 χρυσειδής KM 20 ‹ ς̄ *(pr.) om.* D*a* ‹ *(sec.)*] ἀνὰ ς̄ D*a* ς̄] β̄ A: ᾱ ς̄ H κρόκου ‹ β̄ *om.* D θαψίου AE 21 ἐρβαροβίαν D: ἐρβαλοβίαν H καλοῦσι BDEFK 23 τούτ̄ G: τούτων CF: τούτοις D 24 βάλλε CG: ἔμβαλε *in ras.* B χρίσεως AEFH 25 κατάπλαττε D ἀπόπλυνε τῷ] ἀποπλυνέτω ADEKM 28 Ἄλλο *om.* D*a* βαλάνινον] ADEB[3]*a*: βάλανον BCFGKM: βάλον H σμίξας D: ἀμίξας H

Ἄλλο. cάπωνα Γαλλικὸν cὺν ὕδατι cμάcθω καθ' ἕκαcτον βαλανεῖον.

Ἄλλο cφόδρα καλόν. ῥοῦ ἐρυθροῦ ξ α̅ ∟′, κηκίδων λι. α̅ ∟′, ἐλυδρίου Γ° β̅, βοτάνης χρυcιζούcης, ἣν Ῥωμαῖοι ῥωβίαν καλοῦcιν, Γ° β̅, πολυτρίχου δεcμὰc β̅, ἀψινθίου δεcμὴν α̅, θέρμων λελεπιcμένων κυ β̅, ὕδατοc ξ ζ̅· πάντα βαλὼν εἰc ἀγγεῖον ὑελοῦν ἔα βρέχεcθαι ἐπὶ ἡμέραc θ̅ κινῶν δὶc τῆc ἡμέραc. ἐπὶ δὲ τῆc χρήcεωc cειρῶν τὸ αὔταρκεc καὶ τούτῳ cπόγγον βρέχων ἀνάτριβε τὰc τρίχαc καὶ καθυγράναc ἔαcον cυμπιεῖν, ὅταν δὲ ξηρανθῇ, ἀπόνιπτε cάπωνι θερμῷ ὕδατι λυθέντι.

7 Τρίχαc λευκὰc ποιῆcαι.

Φλόμου λευκῆc τὸ ἄνθοc καῦcον καὶ ὄξει δεῦcον καὶ μίcγε εἰc τὸ cμῆγμα.

Ἄλλο. φλόμου καρποῦ < α̅, cτυπτηρίαc < α̅, ῥεφάνων φλοιοῦ < α̅· κόψον καὶ μῖξον ταυροκόλληc < δ̅.

## γʹ. Περὶ τῶν κατὰ τὸ δέρμα τῆc κεφαλῆc παθῶν.

1 Περὶ πιτυριάcεωc.

Ἡ πιτυρίαcιc λεπτῶν καὶ πιτυροειδῶν cωμάτων ἐκ τῆc ἐπιφανείαc τῆc κεφαλῆc ἢ καὶ τοῦ ἄλλου cώματόc ἐcτιν ἀπότηξιc χωρὶc ἑλκώcεωc, γίνεται δὲ κακοχυμίαc ἀνενεχθείcηc παρὰ τὴν κεφαλὴν ἢ φλέγματοc ἁλμυροῦ ἢ χολώδουc καὶ μελαγχολικοῦ αἵματοc. μετὰ τὴν κένωcιν οὖν τοῦ παντὸc cώματοc, ὡc εἴρηται, χρηcτέον ταῖc ὑπογεγραμμέναιc δυνάμεcιν. Κιμωλίαν προβρέξαc ὕδατι μῖξον cεύτλου χυλὸν καὶ κατάχριε καὶ ἔα, ἕωc ἀποξηρανθῇ, εἶτα ἀποκλύcαc λείου λιβανωτὸν cὺν οἴνῳ καὶ ἐλαίῳ καὶ διάχριε, τῇ δὲ ὑcτεραίᾳ cταφίδα ἀγρίαν cὺν ἐλαίῳ κατάχριε.

Ἄλλο. νίτρου, cφέκληc, μυροβαλάνων ἀνὰ λι. α̅, cταφίδοc ἀγρίαc λι. α̅ ∟′· τὴν κεφαλὴν cμῆχε οἴνῳ αὐτὸ λύcαc, εἰ δὲ τὸ ἄλλο cῶμα

9—13 *Alexander Trall. I 457* γʹ 1 *cf. Aëtius VI 66* 15—19 *Alexander Trall. I 457* 20 εἴρηται] αʹ 1 21—24 *Alexander Trall. I 459*

1 *om.* D γαλικὸν ABEHKM 2 ξ α̅ ∟′ *om.* D λι.] ἀνὰ ξ D: ο̂ G: 8 F: Γ° C ∟′ *(alt.) om.* DH ἐλυδρίου] CDFG: κελυδρίου ABEKM*a*: καλύδριc H 3 ἣν] ἣν οἱ ADE ῥοβίαν DFH 4 δεcμὰc] D: δέcμα ABCEGHKM: δέcμια F δεcμὴν] D: δεcμʹ BHKM: δέcμοc A: δέcμον E: δέcμηc CFG κυ β̅ *om.* CFG 5 ὑελοῦν] *om.* C: ὑέλινον D 6 cειρῶν] cύρων *e corr.* J: τηρῶν D: trahens *a* 7 τοῦτο CG cπόγγῳ EF: cπόγγων A 8 cυμπίνειν ABE, *corr.* B 9 τρίχαc] ὥcτε τρίχαc D: ad capillos *a* 12 καρποῦ] ABEHKM: καρπὸν CDFGB² < α̅ *(pr.) om.* D*a* < α̅ *(sec.) om.* DF*a* ῥεφάνου CG: ῥαφάνου D < *(tert.)*] ἀνὰ < DF*a* 13 ταυροκόλληc] D: ταυρόκολλον C*a*: ταυρόκολον ABEGHKM: ταυρόκωλον F 15 Περὶ] καὶ πρῶτον περὶ D 17 ἢ *om. a* ὅλου F ἀπότεξιc H*a*, *e corr.* J 18 δὲ] δὲ καὶ CFG ἀναχεθείcηc D *supra add.* υ παρὰ] περὶ D *et comp.* C 19 καὶ] ἢ D 20 cώματοc, ὡc εἴρηται *om.* D 21 καὶ κατάχριε *om. a* 22 ἕωc] ἕωc ἂν D 23 τῇ . . . κατάχριε *(24)*] *om.* FG, *mrg.* C² (ἀγρίαν cταφίδα) 25 cπέκληc D 26 α̅ *om. a* αὐτὸ] ταῦτα D δὲ] γε D

κνηςμὸν ἔχοι, ξηρόν. πρὸς δὲ τὰς ὑγροτέρας πιτυριάςεις ἅλμῃ ἀπόκλυζε ἢ θέρμων ἀποζέματι. τούτου πεῖραν ἔςχον πολλήν.

### Πρὸς ψυδράκια καὶ ἐξανθήματα τῆς κεφαλῆς. 2

Ψυδράκια μέν εἰςι μικραὶ ὑπεροχαὶ φλυκτίςιν ὅμοιαι ὑπερέχουςαι τῆς ἐπιφανείας· τὰ δὲ ἐξανθήματα ἐπιπόλαιαι ἑλκώςεις εἰςὶν ὑπέρυθροι καὶ τραχεῖαι· ἀμφότερα δὲ θεραπεύεται δυνάμεςι ταῖς ὑποτεταγμέναις. λιθαργύρου < δ̄, ψιμυθίου < δ̄, ςτυπτηρίας < β̄, πηγάνου φύλλων χλωρῶν < β̄· ὄξει καὶ μυρςίνῳ ἐλαίῳ ἐκλειώςας κατάχριε.

Ἄλλο. πήγανον καὶ ςτυπτηρίαν λεάνας μετὰ μέλιτος χρῖε προξυρήςας τὴν κεφαλήν. ἐὰν δὲ ἀφίςταται τῆς κεφαλῆς τὸ δέρμα, ἐλαίας φύλλα ἑφθὰ μετὰ μέλιτος κατάπλαςςε.

Ἄλλο. λιθαργύρου, ψιμυθίου ἀνὰ < ιβ̄, θείου ἀπύρου < η̄· κηρωτῇ μυρςίνῃ ἀναλάμβανε.

### Πρὸς τὰ ἐν τῇ κεφαλῇ ἑλκύδρια πυκνὰ καὶ ἐρυθρὰ μικραῖς παραπλήςια θηλαῖς, ἀφ᾽ ὧν ἰχῶρες ἀποτήκονται. 3

Προξυρήςας τὴν κεφαλὴν καὶ ὕδατι καὶ νίτρῳ προαποςμήξας θείῳ ἀπύρῳ μετὰ οὔρου ἀνθρωπείου λείῳ χρῶ ἢ μελαντηρίαν ςὺν ὄξει κατάχριε.

### Περὶ ἀχώρων καὶ κηρίων. 4

Ἕν τι τῶν ἐν τῷ δέρματι τῆς κεφαλῆς γιγνομένων παθῶν ἐςτιν ὁ καλούμενος ἀχὼρ λεπτοῖς πάνυ τρήμαςι τὸ δέρμα κατατιτρῶν, δι᾽ ὧν ἰχὼρ ἀποδίδοται γλίςχρος· ὅμοιον δὲ αὐτῷ πάθος κατὰ τὴν ἰδέαν ἐςτίν, ὃ καλοῦςι κηρίον, ἐπειδὴ τὰς κατατρήςεις ἔχει μείζονας ὑγρότητος μελιτώδους περιεκτικὰς παραπληςίως τοῖς τῶν μελιττῶν κηρίοις. ἡ γένεςις δὲ αὐτοῖς ἐκ νιτρώδους καὶ ἁλμυροῦ φλέγματός ἐςτιν. διαιτάςθωςαν τοίνυν εὐχύμῳ τροφῇ παντὸς δριμέος καὶ ἁλμυροῦ ἀπεχόμενοι, καὶ μάλιςτα, εἰ φλεγμονῶδες εἴη τὸ πάθος, καὶ μετὰ τὴν προςήκουςαν τοῦ περιττεύοντος κένωςιν ξυρήςας τὰς τρίχας πυρία δὶς ἢ

1—2 *Alexander Trall. I 459* γ´ 2 *Alexander Trall. I 459, 461; cf. Aëtius VI 68* γ´ 3 *Alexander Trall. I 461; cf. Aëtius VI 70* γ´ 4 *cf. Oribasius, Synops. VIII 28; Ad Eunap. IV 12*

1 ἔχει CDF πρὸς δὲ τὰς] τὰς δὲ D 2 ἔςχον] habe *a* 4 φλυκταίναις D 5 ἐπιπόλαιοι D 6 δυνάμεςι] ταῖς δυνάμεςι D 7 < δ̄ *(pr.) om.* DF*a* < *(sec.)*] ἀνὰ < DF*a* < β̄ *om.* D*a* πηγάνου . . . β̄ *(8)*] *om.* FG, *mrg.* C[2] 8 <] ἀνὰ < D*a* μυρςινίνῳ D λειώςας D 9 Ἄλλο . . . χρῖε *om.* K καὶ *om. a* ἐπίχριε CFG 10. 11 φύλλα ἐλαίας D 11 κατάπλαττε E 12 < *(pr.)*] ϝ DM τοῦτο ἄριςτον *mrg.* D[3] 14 πυκνὰ] τὰ πυκνὰ D μικραῖς] καὶ μικραῖς D μικραῖς . . . θηλαῖς *(15) om. a* 15 θηλαῖς παραπλήςια D ἀποτήκονται] KM: ἀποτίκονται BH: ἀποτίκτονται CDFGJ[3]: ἀ͞π AE 16. 17 θεῖον ἄπυρον D 17 λείῳ] θείου A: λειώςας D 21 ὁ] καὶ ὁ C 22 ὧν] ὃ CFG, *corr.* C 24 παραπληςίας D μελιςςῶν D κηρίοις] DJ, *e corr.* B: κηρίων ACEFGHKM 25 νιτρώδους καὶ *om. a* 26 τοίνυν] οὖν D παντὸς] semper *a* 27 φλεγματῶδες CFG

τρὶς ἢ καὶ πλεονάκις ὕδατι θερμῷ ἐναφεψημένης μυρςίνης ἢ βάτου ἢ φακοῦ ἢ πικρῶν θέρμων ἢ ἀςπαράγου ῥίζης. ὅταν δὲ πλείονες ἰχῶρες ῥέωςι, κατάπλαςςε φύλλοις ἰτέας μεθ᾽ ὕδατος ἢ φακῷ. χρίςματα δὲ Κιμωλία γῆ ἢ Κρητικὴ ἢ Cαμία ἢ πομφόλυξ ἢ ςπόδιον ἢ λιθάργυρος ἢ καδμία ἢ χάρτης κεκαυμένος ἢ καὶ τὸ διὰ τοῦ χάρτου ξηρίον, ἅπαντα δι᾽ ὄξους. ςμήγματι δὲ χρηςτέον τῷδε· θείου καὶ περδικιάδος βοτάνης καὶ ςάπωνος τὸ ἴςον. ςύνθετα δὲ ταῦτα· λιθαργύρου ⟨ ῑϛ, πηγάνου φύλλων ⟨ η̄, ςταφίδος ἀγρίας ⟨ δ̄, χαλκάνθου ⟨ β̄· ὄξει καὶ μυρςίνῃ γλοιῶδες ποιήςας ἐπίχριε.

Ἄλλο. ςάνδυκος ⟨ δ̄, ςμύρνης ⟨ δ̄, θείου ἀπύρου ⟨ β̄, μάννης ⟨ δ̄· ςὺν ἐλαίῳ παλαιῷ κατάχριε.

5 Πρὸς ἀχῶρας τοὺς ἰχωρροοῦντας.

Ἕλκυςμα ἢ μολύβδαιναν λειώςας ἔμπλαςςε.

Ἄλλο πρὸς ἀχῶρας καὶ τὰς διύγρους ψώρας. ῥοδοδάφνης τῶν ῥόδων ℔ δ̄, θείου ἀπύρου ℔ δ̄, πίςςης ὑγρᾶς ℔ γ̄, πίςςης ξηρᾶς ℔ γ̄, κηροῦ ℔ ϛ̄, ἐλαίου μυρςινάτου τὸ ἀρκοῦν· ἐπὶ δὲ τῶν παιδίων γάλακτι ἐκλύςας κατάχριε.

6 Περὶ ςύκων.

Cῦκα ὀνομάζουςι βλαςτήματα ἑλκώδη, ςτρογγύλα, ὑπόςκληρα, ἐνερευθῆ, οἷς ἀκολουθεῖ καὶ ὀδύνη· φύεται δὲ ταῦτα τὸ μὲν πλεῖςτον ἐν κεφαλῇ, κἂν τῷ δὲ ἄλλῳ ςώματι. ἄριςτον ἐπὶ τούτων φάρμακον ςτυπτηρία ςχιςτὴ καὶ χαλκοῦ ἄνθος ὀπτὸν καὶ ταυρόκολλα ἴςα μετὰ λεπίδος χαλκοῦ διπλαςίας· τρίβων δὲ μετ᾽ ὄξους κατάχριε. ἀγαθὸν δὲ καὶ τῶν μαινίδων αἱ κεφαλαὶ κεκαυμέναι καὶ βολβοὶ ἑφθοὶ καὶ τέφρα μετ᾽ ὄξους μιχθεῖςα.

1 τρὶς] CDFG*a*: καὶ τρὶς ABEHKM καὶ] *supra scr.* K: *om.* DF*a* πλεονάκις] πλεονάκις τῆς ἡμέρας CDFG*a*, *mrg.* J[3] ἐναφηψημένης D ἢ βάτου *om.* AE 1. 2 facu aut rubi *a* 2 ἢ πικρῶν ... φακῷ *(3) om.* DK*a* θέρμων πικρῶν AE 3 κατάπλαττε E 4 κιμωλίας γῆς D *postea add.* μ̊ε/ κρητικῆς D: κριτικὴ BEHKM, *corr.* E ςαμίας D ςπόνδιον CFG 5 καδμεία D τοῦ *om.* D 6 ςμήγματα D χρηςτέον τῷδε] ἔςτω τάδε D θείου] D: θύου F: θείῳ ABCEGHKM*a* 7 ⟨] μ̊ε AE*a*, *corr.* E[3] ῑϛ] ῑβ CGJ[3] 8 δ̄] ῑδ D χαλκάνθης CE: χαλκάν^θ G μυρςίνῳ D *supra add.* νι 9 γλυῶδες CEG, *corr.* E[3] 10 ⟨ δ̄ *(pr.) om.* D*a* ⟨ *(sec.)*] ἀνὰ ⟨ D*a* 12 πρὸς ἀχῶρας] *om.* *a*: ἄλλ^ο/ *e corr.* A ἰχωρροοῦντας] *e corr.* J: ἰχωρορροῦ^τ D: ἰχωροῦντας ABCEFGHKM: ἰχωροοῦντας *e corr.* E 13 ἕλκυςμα] ulcera *a* ἔμπλαςε F: ἔμπαςςαι G: ἔμπαςςε C: cataplasma *a*: κατάπλαςςε D 14 Ἄλλο *om.* ADH πρὸς ἀχῶρας *om.* CEFG*a* καὶ *om.* *a* ψώρας] δὲ ψώρας CFG 15 ℔ δ̄ *(pr.) om.* D*a* ℔ *(sec.)*] ἀνὰ ℔ D*a* ℔ γ̄ *(pr.) om.* D*a* ℔ *(quart.)*] ἀνὰ ℔ D*a* 16 ἐπὶ . . . κατάχριε *(17)*] *mrg.* C[2] παίδων G 19 βλαςτήματα] lesiones *a* 20 οἷς] καὶ D καὶ *om.* D 21 δὲ] *om.* ED*a*, *eras.* K ἄλλῳ] ἄλλῳ δὲ DE[2]*a* ἐπὶ] οὖν ἐπὶ D 22 ἄνθους ὀπτοῦ D ταυροκόλλης D 25 χριςθεῖςα D

Πρὸς τὰ ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ γενείου συκώδη ἐξανθήματα τὸ ξηράφιον. 7

Μίσυος < β̄ L′, χαλκίτεως < β̄ L′, λεπίδος χαλκοῦ < ᾱ, στυπτηρίας σχιστῆς < ᾱ· λουσαμένῳ ἐπιτίθει δαψιλὲς τὸ ξηρίον καὶ ἔα, τῇ δὲ ἑξῆς πάλιν λουσαμένου ἀποσπογγίσας ἐπιτίθει· πίπτει γὰρ ἐφελκὶς παχυτάτη· καὶ πάλιν ταῖς ἑξῆς αὐτὸ ποίει. χωρὶς οὐλῆς ὀλίγαις ἡμέραις ἀφυγιάζει· ἅπτεται δὲ οὐ μικρῶς τὸ φάρμακον.

Πρὸς φθεῖρας τοὺς ἐν τῇ κεφαλῇ. 8

Θέρμων ἀποβρέγματι καθηψημένων ἐν ὕδατι σμᾶσθαι κέλευε ἢ σταφίδα ἀγρίαν ἢ σανδαράχην καὶ ἄμφω λειώσας μετὰ ἐλαίου παλαιοῦ ἢ ὄξους ἐπίχριε ἢ πεπέρεως ὀλίγου, ὥστε μὴ ἑλκῶσαι, σὺν ἐλαίῳ ἢ κισσοῦ χυλῷ σὺν μέλιτι ἢ Σινωπίδι μετ᾽ ὄξους ἢ κεδρίᾳ ἢ ὑγρᾷ πίσσῃ μετὰ στυπτηρίας ἢ δαφνίδων πιέσματι ἢ ἐλαίῳ ῥαφανίνῳ. ἐγὼ δὲ τὴν ἀγρίαν σταφίδα σὺν ὄξει καὶ ἐλαίῳ λειώσας καὶ χρίσας ἀεὶ ἐπέτυχον.

## δ′. Περὶ κεφαλαλγίας.

1 Ἡ κεφαλαλγία τῶν χαλεπωτάτων οὖσα συμπτωμάτων ποτὲ μὲν ἐπὶ ποιότητι δυσκράτῳ μόνον γίνεται, ποτὲ δὲ καὶ διὰ χυμῶν περιουσίαν, ἄλλοτε δὲ καὶ διὰ τὸ συναμφότερον, ἔσθ᾽ ὅτε δὲ καὶ διὰ προκαταρκτικὴν αἰτίαν, οἷον ἔγκαυσιν ἔξωθεν ἢ ψῦξιν ἢ μέθην ἢ πληγήν. σφοδρόταται μὲν οὖν αἱ κεφαλαλγίαι κατὰ τὰς δραστικὰς γίνονται ποιότητας, καὶ μάλιστα τὴν θερμήν· αἱ δὲ διὰ ξηρότητα τὸ σφοδρὸν οὐχ ὁμοίως ἔχουσιν· ἡ δὲ ὑγρὰ ποιότης παντάπασίν ἐστιν ἀνώδυνος, ὅσον ἐφ᾽ ἑαυτῇ, πλὴν εἰ μὴ μετὰ θέρμης ἢ ψύξεως ἢ πλήθους χυμῶν οὖσα τύχοι. περὶ μὲν οὖν τῆς ἐπὶ πυρετῷ γινομένης κεφαλαλγίας ἐν τῷ πρὸ τοῦδε περὶ πυρετῶν γράμματι λέλεκται, περὶ δὲ τῶν ἄλλων νῦν λέγωμεν.

Περὶ τῶν ἐπὶ ἐγκαύσει. 2

Τῶν ἐπὶ ἐγκαύσει κεφαλαλγούντων καὶ τὸ δέρμα θερμὸν τῇ ἁφῇ καὶ ξηρότερον εὐθὺς φαίνεται κατὰ τὴν πρώτην ἐπιβολήν, καὶ τοὺς

γ′ 8 *cf. Oribasius, Synops. VIII 27; Ad Eunap. IV 11. Aëtius VI 67* δ′ *cf. Aëtius VI 40—47, 51* δ′ 1 *cf. Alexander Trall. I 465—467* 25 γράμματι] *II 43* δ′ 2, 4, 5, 7, 8 *cf. Oribasius, Synops. VIII 17; Ad Eunap. IV 1* 27—p. 138, 2 *Galenus XII 505; cf. Alexander Trall. I 467*

20 ABCDEGHKMQ(F*a*)

2 ξηράφιον] J, *e corr.* B: ξυράφιον ACDEFGHKM 3 < β̄ L′ *(pr.) om.* F*a* < *(sec.)*] ἀνὰ < F*a* < ᾱ *om.* D 4 <] ἀνὰ < D δαψιλῶς F ξυρίον F: ξιρίον M 5 λουσαμένῳ D 6 ταὐτὸ D: idem *a* χωρὶς] καὶ χωρὶς D ὀλίγαις] ἐν ὀλίγαις D 8 τὰς E 10 *supra* καὶ *add.* ἢ D: *fort.* ἢ καὶ 11 ἢ *(sec.)*] et *a* ὀλίγου] *corr. ex* ὀλίγον D *post* ὥστε *ins.* δὲ D 12 χυλὸν D σίνηπι D ἢ *(sec.)*] ἢ χρῶ D ἢ *(tert.)*] CDFGB²*a*: *om.* ABEHKM πίττῃ D 13 ῥεφανίνῳ CG δὲ *om. a* 17 μόνον δυσκράτῳ E 20 *in* -δρόταται *inc.* Q μὲν] αὗται μὲν Q κατὰ] ὅσαι κατὰ D: αἳ κατὰ F 22 ἐστὶ παντάπασιν D 26 λέγωμεν] AQ: λέγομεν BCDEFGHKM*a* 27 *om.* D 29 φαίνεται εὐθὺς D

ὀφθαλμοὺς ἐρυθροὺς ἴςχουςι, χαίρουςι δὲ καὶ τοῖς ψυχροῖς προςαντλήμαςί τε καὶ ἀλείμμαςι καὶ ὠφελοῦνταί γε πρὸς αὐτῶν. ἡ δὲ θεραπεία τούτοις ἁρμόςει μὲν καὶ ἡ ἐπὶ τῶν ἐπὶ πυρετῷ κεφαλαλγούντων εἰρημένη· χρονιζούςης δὲ τῆς κεφαλαλγίας χρηςτέον τοῖς ὑπογεγραμμένοις καταπλάςμαςιν (ἁρμόζει μετώπῳ καὶ κροτάφοις προςαγόμενα)· ἄρτος δι' ὀξυκράτου καὶ ῥοδίνου, ἔςθ' ὅτε ςὺν ἀμυγδάλοις ἢ ῥόδοις, ἢ τοῖς ξηροῖς ἢ ἁπαλοῖς, ἢ ςὺν ἡδυόςμῳ μετὰ γλήχωνος μιςγομένων ἢ ἄρτος μετὰ περςικοῦ φύλλων. ποιεῖ καὶ ὤκιμον λεῖον ςὺν ὄξει καὶ ῥοδίνῳ ἢ κιςςοῦ κόρυμβοι ἑφθοὶ ἐν ὄξει, ςυλλεανθέντες δὲ ῥοδίνῳ, ἢ ἑρπύλλου δι' ὕδατος ἀφεψήματι μίςγειν πύρινον ἄλευρον ἢ καρδάμωμον φρυγὲν καὶ λεανθὲν ὄξει καὶ ῥοδίνῳ ἢ ζύμη μετὰ ῥοδίνου ἢ ἶρις ξηρὰ μετ' ὄξους. ςυνεχῶς δὲ ἀλλαςςέςθω ἕκαςτον αὐτῶν· ἀπρακτεῖ γὰρ χρονίςαντα.

3 Τροχίςκος πρὸς κεφαλαλγίαν ἐπὶ θερμῇ δυςκραςίᾳ.

Κρόκου < ιε̅, χαλκάνθου < ι̅, ςτυπτηρίας < ις̅, ςμύρνης < ζ̅, ὀμφακίου < γ̅, χαλκίτεως < γ̅, κόμμεως < γ̅, οἴνου αὐςτηροῦ τὸ ἀρκοῦν· χρῶ ςὺν ὀξυκράτῳ. εἰ δὲ καὶ ἀγρυπνία προςείη, τῶν ὑπνωτικῶν τι πρόςπλεκε.

4 Περὶ τῶν ἐπὶ ψυχρᾷ δυςκραςίᾳ κεφαλαλγούντων.

Τοῖς ἐπὶ ἐγκαύςει κεφαλαλγοῦςιν ὑπεναντίως ἔχει τά τε ςημεῖα καὶ ἡ θεραπεία τῶν ἐπὶ ψύξει· καὶ γὰρ ἀςύμπτωτον καὶ ἄχρουν ἐςτὶν αὐτῶν τὸ πρόςωπον, καὶ τοῖς ψυχροῖς οὔτε χαίρουςιν οὔτε πρὸς αὐτῶν ὠφελοῦνται· βεβαιώςει δὲ καὶ τούτων ἥ τε δίαιτα καὶ τὰ λοιπὰ ςύςτοιχα τὴν διάγνωςιν. ἀλοιφὴ μὲν οὖν ἔςτω πηγάνινον ἢ δάφνινον ἢ ἴρινον ἢ νάρδινον ἢ καὶ τοῦ βαλςάμου ὁ ὀπός, καὶ μάλιςτα, εἰ καὶ παχύτερα καὶ γλίςχρα περιττώματα εἴη· δεῖ δὲ χρίειν αὐτῶν κατὰ τοῦ μετώπου

3 εἰρημένη] *II 43* δ' 3 *Alexander Trall. I 471—473* δ' 4 *cf. Alexander Trall. I 475—477* 18—21 *Galenus XII 511*

1 ἴςχουςιν HQ προςαντλήμαςίν EQ 2 ἀλείμμαςιν EQ γε] τε Q ἡ *om.* D θεραπεία δὲ DF 3 ἐπὶ τῶν] *supra* ἐπὶ *add.* π̔ Q: περὶ τῶν CDFG, *mrg.* B: ἐπὶ H: *om.* B ἐπὶ *(alt.)*] *supra scr.* KE²: ἐν D πυρετῶν KM, -ν *eras.* B: πυρετὸν H 5 ἁρμόζει] ἁρμόζει δὲ D προςαγόμενα] mixta *a* 6 ἢ τοῖς] *mut. in* ἤτοι E 7 ἢ *(pr.)*] ἢ καὶ τοῖς D μιςγομένη Q ἄρτος] DQ: ἄρτῳ ABCEGHKM*a*: ἄρτου F 8 καὶ *(alt.)*] ἢ καὶ D ἢ . . . ῥοδίνῳ *(9) om.* K 9 ἐν] ςὺν Q ςυλλεανθέντες] ADE: ςυνλιανθέντες Q: soluti *a*: ςυλλεανθὲν BKM: ςυνλεανθὲν CG: ςυνελαιανθὲν *e corr.* F: ςυλαιαθὲν H δὲ] ἢ D ἑρπύλου BDM 10 μίςγε Q: mixta *a* καρδάμῳ FGQ, *corr.* Q: καρδαμώμῳ C, *corr.* C²: κάρδαμον H 11 λειανθὲν CFG ἢ *(pr.)*] ποιεῖ δὲ καὶ D 12 ἀπρακτεῖ γὰρ χρονίςαντα *om.* AE*a* 14 ιε̅] DQJ: ε̅ ABCEFGHKM*a* χαλκάν(θ) G: χαλκάνθης CF ι̅] ις̅ CG, *e corr.* F: ε̅ D πτηρίας G ζ̅] ζ̅ χ^τ *(h. e.* χαλκίτεως) Q ὀμφακίου *om.* F 15 < γ̅ *(pr.) om.* DFQ*a* χαλκίτεως *om.* Q χαλκίτεως . . . γ̅ *(tert.)*] *om.* FG, *mrg.* C² < γ̅ *(sec.) om.* DQ*a* κόμμεως] D: κώμεως Q: κόμεως AC²EHK: κόμεος BM: comeos *a* < *(tert.)*] ἀνὰ < DQ*a* χρῶ] ποίει D 16 τῶν] BCDFHKMQ: καὶ τῶν AEC²*a* προςλάμβανε D 18 ἐπ' CFGQ τε] *eras.* K 19 καὶ ἡ θεραπεία] DQ: *om.* ABCEFGHKM*a* 21 βεβαιώςει] βεβαίως εἰ BKM: βεβαίως ἔχει B³ 22 πηγάνινον ἢ] DQE²*a*: πηγανίνη ἢ CG: πηγανίνη BEFHKM: πιγανίνη A 23 βαλςάμου] ὀποβαλςάμου D 24 αὐτῶν] CFGE³: αὐτὸν ABDEHKM*a*

καὶ τοῦτο, καὶ ὅσα διὰ πεπέρεώς τε καὶ εὐφορβίου σκευάζεται. διδόναι δὲ καὶ οἶνον λεπτομερῆ καὶ κινήσει κεχρῆσθαι κελεύειν καὶ λουτροῖς θερμοῖς καί ποτε καὶ τῷ ἀπὸ ῥεφανίδων ἐμέτῳ. ἐφ' ὧν δὲ ποιότης ἐστὶν ἄνευ πλήθους χρονίζουσα, κέχρησο καὶ τῷδε τῷ φαρμάκῳ· πεπέρεως λευκοῦ 〈 β̄, κροκομάγματος 〈 β̄, εὐφορβίου προσφάτου 〈 η̄ L', κόπρου περιστερᾶς 〈 ᾱ L', ὄξους δριμυτάτου τὸ ἀρκοῦν· ἐπίχριε τὸ πάσχον μέρος προανατρίβων τὸν τόπον.

5 Περὶ τῶν ἐπὶ χολώδει χυμῷ κεφαλαλγούντων.

Τὰ μὲν σημεῖα παραπλήσια τοῖς ἐπ' ἐγκαύσει, προσέρχεται δὲ αὐτοῖς δῆξίς τε πλείων καὶ ὠχρότης προσώπου καί ποτε καὶ τοῦ στόματος ἐκπίκρωσις. ἡλικίαις δὲ μᾶλλον ἀκμαστικαῖς καὶ κράσεσι θερμοτέραις καὶ βίῳ φροντιστικῷ καὶ τοῖς χολὴν συνάγουσι ξανθὴν τοῦτο τὸ πάθος εἴωθεν συμβαίνειν. λουτροῖς τε οὖν εὐκράτοις ἐπὶ τούτων καὶ ἀλείμμασιν καὶ ὑδαρεῖ πόματι χρηστέον, καὶ ἡ σύμπασα δίαιτα ὑγροτέρα τε καὶ εὔχυμος παραλαμβανέσθω. κενωτέον δὲ τὸν χολώδη χυμὸν [ἢ] ἀψινθίου ἀποβρέγματι ἢ διὰ τῆς ἀλόης καὶ αὐτῆς τῆς πικρᾶς ἀντιδότου καθ' ἑαυτὴν ἢ καὶ σὺν ὀλίγῃ σκαμμωνίᾳ ἢ διὰ τῶν διὰ τῆς ἀλόης καταποτίων· ἐπιχριστέον δὲ τὸ μέτωπον ἢ τῷ κροκώδει τροχίσκῳ ἢ τῷ τριγώνῳ ἤ τινι τῶν παραπλησίων.

Περὶ τῆς κατὰ συμπάθειαν κεφαλαλγίας.

6 Εἰ μὲν ὅλῳ τῷ σώματι συμπάσχοι ἡ κεφαλή, τούτου προνοητέον πρός τε τὴν δυσκρασίαν καὶ πρὸς τὴν κρατοῦσαν ὕλην ἐνισταμένους, καί, εἰ μὲν εἴη πλῆθος, καὶ μάλιστα κατὰ τὰς φλέβας, φλεβοτομήσομεν, εἰ δὲ μᾶλλον ποιότης, καθαρτικῷ χρησόμεθα φαρμάκῳ· εἰ δὲ μορίῳ συμπάσχοι, οἷον ἥπατι ἢ γαστρὶ ἢ στομάχῳ, τούτοις βοηθητέον, θερμῆς μὲν ἐν αὐτοῖς ὑποκειμένης δυσκρασίας ἄρτον ἐξ ὑδαροῦς οἴνου παρασχόντας καὶ τὰ διὰ χόνδρου ῥοφήματα καὶ τὰς ἔξωθεν μετρίως ἐμψυχούσας τε καὶ τονούσας ἐπιβροχάς, ὡς ἔμπροσθεν εἴρηται· εἰ δὲ διὰ

δ' 5 *Galenus XII 558* δ' 6 *Galenus XII 559* 28 ἔμπροσθεν] δ' 2

1 τούτῳ D: τοῦτον Q 2 χρῆσθαι CG: χρεῖσθαι F 3 ῥεφανίδων] BCEGHMQ: ῥαφανίδων ADFK ἐμείτω K 5 〈 β̄ *(pr.) om.* DQ*a* 〈 *(alt.)*] ἀνὰ 〈 DQ*a* προσφάτου *om.* Q*a* 6 περιστερῶν Q: columbino *a*

ἐπίχριε] τούτῳ ἐπίχριε D 8 χυμῶν BEFK, *corr.* B: χ^υ Q 10 πλεῖ^ω C: πλείω G καὶ *(tert.) om. a* 11 ἐκπίκρανσις D 13 εἴωθεν] BEHKMQ: εἴωθε ACDFG ἐπὶ τούτων *om. a* ἀλείμμασιν] CGHKQ, -ν *eras.* B: ἀλείμμασι ADEFM 14 ὑδαρεῖ] -εῖ *in ras.* G: ὑδαρὶ Q: ὑδαρέσι D πόμασι D: πόμασιν Q 15 ἢ] CDFGQ: *om.* ABEHKM*a* ἀψινθίου] CDFE³: ἀψιν^θ GQ: ἀψινθίας ABEHKM 16 διὰ] τῷ διὰ D καὶ] ἢ καὶ DQ: aut *a* 17 καὶ *om. a* ὀλλίγης σκαμμωνίας Q ἢ *(alt.)*] Q*a*: *om.* ABCDEFGHKM διὰ *(alt.)*] *om.* AEFQ*a*: *supra scr.* H 21 τοῦτο CFGM 22 ἐνισταμένου AE, *corr.* E³ 23 φλεβοτομήσωμεν BHKMQ, *corr.* M: φλεβοτομητέον D

24 χρησώμεθα BCHKMQ, *corr.* M 26 μὲν] μὲν οὖν D ὑποκει^β̄μένης ἐν^ᾱ αὐτοῖς E παρέχειν D 27 καὶ *(pr.)*] ἢ καὶ M 28 ἐμβροχάς D

γλίcχρους τε καὶ παχεῖc χυμοὺc ἐν τῷ cτομάχῳ περιεχομένους κεφαλαλγοῖεν, καὶ τούτους ἐκμοχλεύcομεν ὀξύμελι πίνειν παρέχοντεc τό τε ἁπλοῦν καὶ τὸ Ἰουλιάνιον, καὶ τοῖc δι᾽ ὑccώπου τε καὶ ὀριγάνου καὶ τοῖc τούτων ἔτι θερμοτέροιc τε καὶ τμητικωτέροιc καὶ τῷ ἀπὸ ῥεφανίδων ἐμέτῳ χρηcτέον ἐπιβροχαῖc τε θερμοτέραιc καὶ καταπλάcμαcιν.

## 7 Περὶ τῆc ἐξ οἴνου κεφαλαλγίαc.

Εἰ μὲν ἄπεπτοc ὁ οἶνοc ἔτι μένοι, κελεύειν ἐμεῖν ὕδωρ πεπωκόταc χλιαρόν· εἰ δὲ καὶ μετὰ πέψιν κεφαλαλγοῖεν, τοῖc ἐμψύχουcι καὶ ἀποκρουcτικοῖc χρηcόμεθα, οἷόν ἐcτι τὸ ῥόδινον καθ᾽ ἑαυτό τε καὶ cὺν ὄξει ἢ χυλῷ κιccοῦ ἢ κράμβηc· καὶ αὐτὰ δὲ τὰ φύλλα τῆc κράμβηc ἀποβραχέντα θερμῷ καὶ περιτεθέντα τῇ κεφαλῇ καὶ δεθέντα φυcικῶc ἀντιπάcχει τῇ μέθῃ· δεῖ δὲ καὶ ἐcθίειν ἀποζεcθεῖcαν τὴν κράμβην. καὶ ἡ φακῆ τούτουc ὀνίνηcι καὶ μάλιcτα τοὺc ὑγροτέραν ἔχονταc τὴν γαcτέρα, καὶ ἄλικα δὲ καὶ ῥοιὰc καὶ μῆλα καὶ ἀπίουc ἐcθιέτωcαν καὶ ὑδροποτείτωcαν.

## 8 Περὶ τῆc διὰ πληγήν.

Τοὺc δὲ διὰ πληγὴν κεφαλαλγοῦνταc, εἰ μὴ παντάπαcιν ἐπιπολαίωc ἐπλήγηcαν, φλεβοτομήcομεν αὐτίκα καὶ ταῖc καταλλήλοιc ἐμβροχαῖc ἐν τῇ κεφαλῇ χρηcόμεθα ἐλαίῳ τε γλυκεῖ διαβρέχοντεc ἐρίοιc τε περιcκέποντεc αὐτὴν οἴνου τε τούτουc καὶ cιτίων ἁδροτέρων ἀπέχοντεc, καὶ μάλιcτα, εἰ πυρέττοιεν, καὶ τὸ cύμπαν ὡc πρὸc φλεγμονὴν τῶν νευρωδῶν, καὶ μάλιcτα τῶν μηνίγγων, ἁρμοcόμεθα· εἰ δὲ καὶ τραῦμα γεγονὸc εἴη, καὶ τοῦτο προcηκόντωc θεραπεύcομεν.

## 9 Μάλαγμα πρὸc κεφαλαλγικούc.

Κηροῦ < ζ̄, ἀμυγδαλίνου ἐλαίου ℔ γ̄, τερεβινθίνηc < η̄, ἰοῦ ξυcτοῦ, Κιμωλίαc, χαλκίτεωc ἀνὰ < δ̄, κιcήρεωc < γ̄, χαλκοῦ κεκαυμένου, λεπίδοc cτομώματοc ἀνὰ < β̄· ἐὰν δὲ δοκῇ cκληρότερον εἶναι, ἀμυγδαλίνῳ ἀναμάλαccε.

δ′ 7 *cf. Alexander Trall. I 481* δ′ 8 *Galenus XII 523*

2 ἐκμοχλεύcωμεν ABKM*a*, *corr.* M 3 Ἰουλιάνειον D τοῖc] CDFGQE$^3$, *e corr.* B: τοὺc AEHKM*a* 4 τοῖc] D: *om.* ABCEFGHKMQ τε *om.* ACFQ καὶ τμητικωτέροιc *om.* *a* ῥεφανίδων] CEFGQ: ῥαφανίδων ABHKM *et supra add.* δὲ D 5 καὶ] τε καὶ Q 7 μένει CF πεπωκόταc] DKMQ: πεποκόταc ABCEGH: potatum *a* 8 ψύχουcι D 9 αὐτὸ QJ 10 δὲ *om.* *a* 11 βραχέντα D τῇ κεφαλῇ] CDFGQE$^3$: τὴν κεφαλὴν ABEHKM καὶ *(alt.)*] ἢ D περιδεθέντα D 12 ἀντιπράττει D τὴν κράμβην ἀποζεcθεῖcαν D 13 ἡ *om.* DQ φακῆ] φακῆ δὲ D: φακῆν Q τούτοιc EFH 14 ἄληκα D: ἀλ . . . Q δὲ *om.* *a* μῆλα] μέcπιλα D 15 *post* ὑδροποτείτωcαν *add.* τοὺc δὲ προcφα̅ ἄννιcοc διαρμο . . . ιc Q 16 τῆc] *corr. ex* τὴν C$^2$: τοὺc FGJ *post* πληγὴν *add.* κεφαλαλγίαc ED: κεφαλαλγοῦνταc J 17 δὲ *om.* E 18 καταλλήλοιc] *om.* *a*: κατ᾽ ἀλλήλουc ABEM, *corr.* E$^3$ 18. 19 περὶ τὴν κεφαλὴν D 20 οἴνῳ *mut. in* οἴνων D: οἶνο H τούτοιc HQ 23 εἴη γεγονόc D 24 κεφαλαλγικούc] AEHKM*a*: κεφαλαλγίαν CDFG, *e corr.* BQ 25 ἐλαίου ἀμυγδαλίνου Q ℔] κ̊ Q τερεβιν$^{θ}$ DG, *ut saepe* 26 ἀνὰ . . . χαλκοῦ *om.* D 27 cτομώματοc] *e corr.* D: cτόματοc BHKM δοκῇc K

## ε΄. Περὶ κεφαλαίας καὶ ἡμικραίρας.

1 Τούτων τῶν παθῶν ἑκάτερον παραμόνιμός ἐστι τῆς κεφαλῆς ὀδύνη παροξυνομένη ἐπί τε ψόφοις καὶ κραυγαῖς καὶ λαμπρῷ φωτὶ καὶ οἰνοποσίᾳ καὶ τοῖς πληροῦσι τὴν κεφαλὴν ὀσφραντοῖς, δοκοῦσί τε πλήττεσθαι τὴν κεφαλήν, οἱ μὲν ἅπασαν, οἱ δὲ κατὰ θάτερον μέρος, οὓς καὶ ἡμικρανικοὺς ὀνομάζουσι· καὶ οἷς μὲν ἡ διάθεσις ἔνδον ὑπάρχει τοῦ κρανίου, ὁ πόνος εἰς τὰς τῶν ὀφθαλμῶν ῥίζας διήκει, οἷς δὲ ἔξωθεν, περὶ αὐτὸ τὸ κρανίον ὀδυνῶνται. τὰ μὲν οὖν μετὰ βάρους ἀλγήματα πλῆθος δηλοῖ, τὰ δὲ μετὰ δήξεως ἢ χυμῶν ἢ ἀτμῶν δριμύτητα, τὰ δὲ μετὰ σφυγμοῦ φλεγμονήν, τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ, πνεύματος λεπτοῦ καὶ φυσώδους πλῆθος, εἰ δὲ μετὰ σφυγμοῦ, φλεγμονὴν ὑμενώδους σώματος, εἰ δὲ μετὰ βάρους, πλῆθος ἐντὸς τῶν ὑμένων ἰσχόμενον· εἰ δέ που καὶ σαπεὶς ὁ χυμὸς θερμότερος γένηται, καὶ σὺν πυρετῷ κεφαλαλγοῦσι· πυρέττουσι δὲ τοὐπίπαν καὶ οἱ διὰ φλεγμονὴν ὀδυνώμενοι. πληθωρικοῦ τοίνυν τοῦ παντὸς ὑπάρχοντος σώματος τὴν φλέβα τέμνειν ἀφορῶντας τῇ δυνάμει καὶ κλύσμασι χρῆσθαι δριμυτέροις· εἰ δὲ πλεονάζειν ἔτι τὸ αἷμα φαίνοιτο, καὶ διὰ ῥινῶν ἀναστομώσαντας φλέβα κενωτέον αὐτούς, ὅσον αὔταρκες εἶναι δόξει, εἶτα τὴν ἱερὰν ὀξύναντας δοτέον κἄπειτα χρηστέον τοῖς ἀποφλεγματισμοῖς καὶ ταῖς διὰ τῶν ῥινῶν κενώσεσι διὰ τῶν ἐρρίνων, οἷόν ἐστι τοῦ ἐλατηρίου ὁ χυλὸς μετὰ γάλακτος ἐγχεόμενος ἤγουν καὶ ξηρὸν τὸ ἐλατήριον ἐμφυσώμενον καὶ τῆς κυκλαμίνου ὁ χυλὸς καὶ τοῦ πράσου. σύνθετα δὲ ταῦτα·

### 2 Ἔρρινον πρός τε χρονίας κεφαλαλγίας καὶ ὀφθαλμίας καὶ πρὸς ἐπιληπτικούς.

Μελανθίου < η̄, ἁλὸς ἀμμωνιακοῦ < δ̄, ἐλατηρίου < δ̄· τρίψας ἀνάλαμβανε Σικυωνίῳ ἐλαίῳ ἢ ἰρίνῳ ἢ κυπρίνῳ, ὥστε κηρωτῆς ἔχειν πάχος, καὶ παράπτου τῶν μυκτήρων.

### 3 Ἔρρινον ἐμφυσητόν.

Κυκλαμίνου ξηρᾶς < η̄, νίτρου ἐρυθροῦ < δ̄, ἐὰν δὲ ἀντὶ νίτρου ἐλατήριον ἐμβάλοις, ἔτι βέλτιον· ἐμφύσα διὰ καλαμίδος.

ε΄ 1 *Galenus XII 562 sqq.; cf. Oribasius, Synops. VIII 18—19; Ad Eunap. IV 2—3. Aëtius VI 48—50, 52—53* ε΄ 2 *Alexander Trall. I 493* ε΄ 3 *ib. I 495*

1 κεφαλαλγίας D ἡμικρανίας DQ 3 παροξυνομένη *om.* D καὶ λαμπρῷ] παροξυνομένη λαμπρῷ τε D 6 ἡμικρανιακοὺς D 8 βάρος ABH KM, *corr.* B 9 ἀτμῶν ἢ χυμῶν D ἢ ἀτμῶν *om. a* 11 φυσῶδες D σφυγμῶν Q 15. 16 σώματος ὑπάρχοντος D 16 τὴν δύναμιν D 19 ὀξύναντας] *e corr.* E: ὀξύναντες Q *et in ras.* B: acutam *a* διδόναι DQ 20 τῶν *(pr.) om.* D οἷός Q 21 ἤγουν] ἢ D: *om. a* 25 ἐπιληπτικά AE 26 μελανθίου] ἐλατηρίου < δ̄ μελανθίου D < δ̄ *om. a* ἐλατηρίου < δ̄ *om.* D < *(tert.)*] ana < *a* 29 ἐμφυσητόν *om. a* 30 ξηροῦ D 31 ἐμβάλῃς CF: ἐμβάλλοις AE διά] οὖν διὰ D

Κέχρηсο δὲ καὶ ἐπιθέμαсι κατὰ τῆс κεφαλῆс καὶ χρίсμαсιν ἐπὶ τῶν χρονιωτέρων τοῖсδε·

4 Ἐπίθεμα πρὸс κεφαλαίαс.

Ἰρίνου μύρου, πευκεδάνου, καсτορίου ἀνὰ < ᾱ, δαφνίδων < β̄, πηγάνου ἀκρεμόνων < δ̄· ἀναλάμβανε κηρωτῇ ῥοδίνῃ καὶ ξυρήсαс τὴν κεφαλὴν ἐπιτίθει καθ' ὅληс αὐτῆс. γυνὴ δέ τιс ἐπὶ τῶν ἡμικρανικῶν καὶ τούτῳ χρωμένη θαυμαсίωс ηὐδοκίμει· τὴν ῥίζαν τοῦ ἀγρίου сικύου χλωρὰν εἰс λεπτὰ κατακόπτουсα καὶ ἀψινθίαν ἧψει ἐν ὑδρελαίῳ ἕωс τακηρώсεωс καὶ τῷ μὲν ὑδρελαίῳ θερμῷ μετρίωс κατηόνει τὸ πεπονθὸс μόριον, τὴν δὲ ῥίζαν καὶ τὴν ἀψινθίαν τρίβουсα λεῖα κατέπλαττεν αὐτό, καὶ τούτῳ μόνῳ τούс τε сὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ ἡμικρανικοὺс ἐθεράπευсεν.

Ἐὰν δὲ παροξυсμὸс ἐπιγένηται μέγιсτοс, ὡс μὴ δύναсθαι φέρειν τὴν ὀδύνην, κέχρηсο καὶ τοῖс παρηγορεῖν καὶ μεταсυγκρίνειν δυναμένοιс, οἷον τοῦτο·

5 Χρῖсμα πρὸс κεφαλαίαν.

Ὀποῦ πευκεδάνου < ῑς̄, ὀποῦ μήκωνοс, ἀνίсου, ὑοсκυάμου, κρόκου, сμύρνηс, сκαμμωνίαс ἀνὰ < β̄· ὄξει ἀναλάμβανε καὶ ποίει τροχίсκουс· ἐπὶ δὲ τῆс χρείαс сὺν ὄξει ἢ ὀξυκράτῳ κατάχριε τοὺс διὰ παχεῖс χυμοὺс ἢ πνεῦμα φυсῶδεс ὀδυνωμένουс. καὶ δρώπακι δὲ καὶ сιναπιсμῷ χρηсτέον καὶ τῷ διὰ θαψίαс τροχίсκῳ. καὶ τὸ διὰ τοῦ γραφικοῦ μέλανοс τῶν πάνυ θαυμαζομένων ἐπὶ τῆс αὐτῆс αἰτίαс ἐсτίν, ᾧ χρηсτέον ἐπὶ τούτων, ὡс ἐν τῷ περὶ сυνθέτων εἰρήсεται. καὶ τοῦτο δὲ θαυμαсτὸν πρὸс τοὺс διὰ παχὺν καὶ γλίсχρον χυμὸν ἡμικρανικούс· εὐφορβίου μέροс ᾱ καὶ καсτορίου τὸ ἴсον ἀναλαβὼν ὕδατι ἐντίθει εἰс τὸ οὖс τὸ κατὰ τὸ ἀλγοῦν μέροс καὶ εἰс τὸ βαλανεῖον εἰсιέναι κέλευε καὶ ὀλίγον διατρίψανταс οὕτω λαμβάνειν αὐτὸ καὶ λούεсθαι сυνήθωс. οὕτω μὲν πεπείραται· οὐκ ἄτοπον δὲ καὶ εἰс ἔλαιον αὐτὰ ἀναλαβόντα ἐνстάζειν

1—6 *Alexander Trall. I 495* 13—20 *ib. I 495—497; cf. Galenus XII 557, 580* 23 εἰρήсεται] *VII 19* 23—27 *Alexander Trall. I 505*

6 ABCDEGHKM(F*a*)

1 epithimate *a* 3 ἐπίθετον AE*a* κεφαλαίαν E: *comp.* A: κεφαλαλγίαν D*a* 4 μύρου ἰρίνου Q < *(pr.)*] δραχμῆс BM 6 ἡμικρανικῶν] des Q: ἡμικρανιακῶν D καὶ *om.* D*a* 7 θαυμαсτῶс D 8 κατατέμνουсα D καὶ] μετ' D ἀψινθίαс D 9 τακερώсεωс D κατηόνει] κατηόνα D: κατεώνει ABFK(M?): καταιώνει CG: κατεόνι H: καταιόνει E 10 λεῖα] λίαν H: valde *a* αὐτόν A 11 τοῦτο μόνον A ἄνευ] τοὺс ἄνευ D ἡμικρανιακοὺс D 12 ἐθεράπευсεν] -с- *eras.* E: ἐθεράπευεν DF 14 καὶ μεταсυγκρίνειν *om. a* 15 οἷον] οἷόν ἐсτι(ν) DK 16 κεφαλαλγίαν DF 17 ῑς̄] ς̄ D 19 χρήсεωс D τοὺс] τοὺс δὲ DE 20 δὲ] BC(F?)GHKM: *om.* ADE*a* 21 χρηсτέον] θεραπευτέον D: utendum autem *a* τὸ] *mut. in* τῷ G: τῷ ACE*a* γραφικοῦ] γραφικοῦ δὲ BDH 22 τῶν πάνυ θαυμαζομένων] est enim mirabile *a* ἐсτίν *om. a* ᾧ] ὥсτε D 23 τούτων] τούτοιс B 24 ἡμικρανιακούс D 25 καὶ *om.* CDE*a* τὸ *(tert.) om.* K 27 διατρίψαντοс BCGHKM 28 αὐτὸ D

εἰς τὸ οὖς. καὶ ἡ εἰς ἰσχιαδικοὺς ἀναγραφομένη καὶ τοὺς χρονίως κεφαλαλγοῦντας καὶ ἡμικρανικοὺς τέλεον ἀποπαύει.

### Πρὸς ἡμικρανίαν χρονίαν. 6

Σκόρδων < δ̄, κηροῦ < β̄, ὀξυγγίου παλαιοῦ < β̄, κανθαρίδων < β̄· ἑσπέρας ἐμπλάσας ἔασον ἐννυκτερεῦσαι, ἕωθεν δὲ ῥήξας τὴν φλύκταιναν παρύγρῳ ἀποθεράπευε.

Ἄλλο. δαφνίδων λελεπισμένων < β̄, πηγάνου φύλλων < β̄, νάπυος < ᾱ· ὕδατι διεὶς κατάπλασσε.

τοῖς δὲ ὑπὸ ψυχρῶν αἰτίων ἐνοχλουμένοις ὠφελιμώτατόν ἐστιν, ὥστε πολλάκις ἅπαξ καταχρισθὲν πρὸ βαλανείου ταχέως ἐξιᾶσθαι τὸ πάθος, ὥστε μετὰ λουτρὸν ὑγιεῖς γενέσθαι παντελῶς, τοῦτο· ἐλαίου Σαβίνου λι. ᾱ, κηροῦ ℥ γ̄, εὐφορβίου ℥ ᾱ· τούτῳ κατάχριε τὸ ἥμισυ μέρος τοῦ μετώπου κατὰ τοῦ κροταφίτου δηλονότι μυός. ἐφ᾽ ὧν δὲ μὴ πολλὴ ψῦξίς ἐστι, κηκῖδος καὶ κροκομάγματος τὸ ἴσον οἴνῳ ἐκλειώσας κατάχριε. τοῖς δὲ ὑπὸ θερμῶν ἀτμῶν ἢ χυμῶν κεφαλαλγοῦσιν μὴ πρόσφερε τὰ δι᾽ εὐφορβίου.

### Ἀποφλεγματισμὸς κεφαλαίας καὶ ἡμικρανίας. 7

Νάπυος ἐκλελειωμένου καὶ κεχυλισμένου ὄξει καὶ μέλιτι ℥ ῑδ̄, σταφίδος ἀγρίας < δ̄, πυρέθρου < δ̄· κόψας σήσας καὶ μίξας ἐν ἡλίῳ ἀνακογχυλίαζε. εἰ δὲ διὰ χολώδη χυμὸν ἤ τινα δυσκρασίαν ἡ κεφαλαία χρονίζοι, τοῖς ἔμπροσθεν ἐν τῷ περὶ κεφαλαλγίας εἰρημένοις χρηστέον. ἐπιμενούσης δὲ καὶ μετὰ ταῦτα τῆς ἀλγηδόνος καὶ μήτε σικυῶν μήτε βδελλῶν παραλειφθεισῶν, ὑποπταζομένης δὲ διὰ τῶν ἀρτηριῶν τῆς ἀναδόσεως, οὐδὲν ἄτοπον καὶ τῇ ὄπισθεν τῶν ὤτων ἀρτηριοτομίᾳ χρή-

9—13 *Galenus XII 597 sq.*  14 *ib. 593*  15—16 *ib. 598*
21 ἔμπροσθεν] δ´ *3—5*

1 καὶ *(pr.)*] *om.* G: *mrg.* $C^2$  ἡ] *(sc.* θεραπεία) *om.* GH: *mrg.* $C^2$: τὰ D*a*  εἰς] *om.* GM: *supra scr.* $E^3$: *mrg.* $C^2$: καυστικὴ δὲ βοτάνη πρὸς F: πρὸς D  ἀναγραφομένη] δὲ ἀναγραφόμενα ἡμικρανιακοὺς D  καὶ *(alt.) om.* AE*a*  χρονίους CFG  2 καὶ ἡμικρανικοὺς *om.* D  τέλειον ACE  4 scordi *a*  < β̄ *(pr.) om.* D*a*  ὀξυγγίου] στέατος D  < β̄ *(sec.)*] *om.* D: ana ʒ II *a*  < *(tert.)*] ἀνὰ < D  6 πάρυγρον H: πανύγρῳ ABD: cum humidis *a*  7 Ἄλλο *om.* A*a*  < β̄ *(pr.) om.* DF*a*  < *(alt.)*] ἀνὰ < DF*a*  8 ᾱ] IIII *a*  κατάπλαττε D  9 ἐστιν] ἐστι τοῦτο D  11 ὥστε] καὶ D  μετὰ] μετὰ τὸ D  ὑγιεῖς] AEHKM: ὑγιὲς F: ὑγιὴς BC*a et in ras.* G: ὑγιῆ D  γενέσθαι . . . τοῦτο] τὸν πάσχοντα δείκνυσθαι D  12 Σαβίνου] σησαμίνου D  τοῦτο CGM  13 κατὰ . . . μυός] et timpus *a*  τοῦ *(alt.)*] D$E^2$: *om.* ABCEFGHKM  15 ἢ χυμῶν *om.* AE*a*  16 τὰ] τὸ CG  17 ἡμικραίρας E  18 λελειωμένου D  καὶ κεχυλισμένου *om. a*  ὄξους *e corr.* J  μέλιτος DJ: μελι^τ E  ιδ] IIII *a*  19 < δ̄ *(pr.) om.* D*a*  < *(alt.)*] ἀνὰ < D*a*  σείσας EGK, *e corr.* A, *corr.* $E^2$: σίσας H  καὶ μίξας] K: μίξας D: μήξας *e corr.* B: καὶ HM: μῖξον καὶ ACEFG*a*  ἀνακογχύλιζε CGM, *corr.* M: ἀποφλεγμάτιζε D  20 χολώδεις χυμοὺς D  21 χρονίζει CF  εἰρημένῳ AE  23 ὑποπταζομένης] *e corr.* A: *mut. in* ὑποτοπαζομένης $E^3$: ὑπο^το^παζομένης D: ὑποσταζομένης CF: submissa *a*  δὲ] τε D

cαcθαι· ἐπὶ δὲ τῶν ὑγροτέρων καὶ αὐτοφυῆ λουτρὰ καλῶc ἂν παραληφθείη.

## ϛʹ. Περὶ φρενίτιδοc.

Ἡ φρενῖτιc φλεγμονὴ τῶν μηνίγγων ἐcτίν, ὁτὲ μὲν καὶ αὐτοῦ τοῦ ἐγκεφάλου cυμφλεγμαίνοντοc, ὁτὲ δὲ παρὰ φύcιν θερμαcίαc cυcτάcηc ἐν αὐτῷ. αἴτιον δὲ τοῦ νοcήματοc ἢ τὸ αἷμα πλεονάcαν ἢ ξανθοχολικὸc χυμόc, ποτὲ δὲ καὶ ἡ ξανθὴ χολὴ ὑπεροπτηθεῖcα εἰc τὴν μέλαιναν μεταπεcοῦcα, ὅτε καὶ χαλεπωτάτη ἡ φρενῖτιc γίνεται· ἔcτιν ὅτε καὶ τῷ διαφράγματι cυμπάcχων ὁ ἐγκέφαλοc διὰ τῶν καταcπειρομένων ἐν αὐτῷ νεύρων τὸ πάθοc ὑπομένει. ἡ δὲ κατὰ τὰc ἀκμὰc τῶν διακαεcτάτων πυρετῶν ἥ τε κατὰ cυμπάθειαν τοῦ cτομάχου cυνιcταμένη παρακοπὴ οὐδὲ φρενῖτίc ἐcτιν, ἀλλ᾿ αὐτὸ δὴ μόνον παραφροcύνη. παρέπεται δὲ τοῖc κυρίωc φρενιτικοῖc ἀγρυπνία μὲν ὡc ἐπίπαν, ἔcθ᾿ ὅτε δὲ καὶ ταραχώδηc ὕπνοc, ὡc ἐξανίcταcθαι καὶ ἀναπηδᾶν καὶ βοᾶν παρακοπτικῶc, τοὺc μὲν δι᾿ αἱματικὸν χυμὸν μετὰ γέλωτοc, τοὺc δὲ διὰ τὴν ξανθὴν χολὴν μετὰ θράcουc, ὥcπερ οὖν τοὺc διὰ τὴν μέλαιναν μανιωδῶc τε καὶ ἀκαταcχέτωc· ἐπιλανθάνονταί τε τῶν λεγομένων καὶ γιγνομένων ὑπ᾿ αὐτῶν καὶ τοὺc ὀφθαλμοὺc αἱματώδειc ἴcχουcι καὶ ἀνατρίβουcι, ποτὲ μὲν αὐχμῶνταc, ποτὲ δὲ καὶ δακρύονταc ἢ λημῶνταc, καὶ ἡ γλῶττα τραχύνεται, κἀκ τῆc ῥινὸc αἵματοc ἀποcτάξειc γίνονται καὶ κροκυδίζουcι καὶ καρφολογοῦcι. καὶ πυρέττουcιν ὀξέωc παρ᾿ ὅλον τοῦ νοcήματοc τὸν χρόνον ἐν βάθει κακοήθωc ἐμφωλεύοντοc τοῦ πυρετοῦ καὶ τοὺc cφυγμοὺc μικροὺc καὶ ἀμυδροὺc ἴcχουcι μετά τινοc καὶ cκληρότητοc· καὶ ἡ ἀναπνοὴ μεγάλη τέ ἐcτι καὶ ἀραιὰ τοῦ ἐγκεφάλου πρωτοπαθοῦντοc, εἰ δὲ κατὰ cυμπάθειαν τῶν φρενῶν ἡ φρενῖτιc γίγνοιτο, ἥ τε ἀναπνοὴ ἀνώμαλόc ἐcτι καὶ τὰ ὑποχόνδρια ἀναcπᾶται καὶ θερμαcίαν ἱκανὴν ἴcχουcιν, ὥcπερ αὖ τοῖc διὰ τὸν ἐγκέφαλον τὰ περὶ τὸ πρόcωπον θερμὰ καὶ ὕφαιμα καὶ πλήρειc τὰc φλέβαc ἔχοντα. εἰ δὲ καὶ φλεγματικὸc χυμὸc ἀναμιχθείη τῷ χολώδει, καθάπερ τὴν αἰτίαν οὕτω καὶ τὴν ὀνομαcίαν κέκτηται cύνθετον· ἄγρυπνον γὰρ κῶμα προcαγορεύεται, καθόλου μὲν χολώδουc κατακρατοῦντοc χυμοῦ· φρενιτίζουcι γὰρ οἱ τοιοῦτοι ἀγρυπνοῦντεc· τοῦ δ᾿ αὖ φλεγματώδουc κωματωδῶc αὖθιc καταφέρονται. οἱ δὲ παλαιότεροι τοῦ Γαληνοῦ κάτοχον τοῦτο προcηγόρευον.

ϛʹ *cf. Alexander Trall. I 509 sqq.; Aëtius VI 2*   33—34 *cf. Galenus IX 189*

1 ἐπὶ . . . παραληφθείη] *om.* G: *mrg.* C² παραλειφθείη AE*a*, *corr.* E² 2 *seq.* ἄλλο πρὸς ἡμικρανίαν. εὐφορβίου, γῆc ἐντέρων, μετ᾿ ὄξουc ἀναλαβὼν τὸ ὀδυνώμενον μέροc ἐπίχριε ἢ καθ᾿ ὅλου τοῦ μετώπου A, *mrg.* B *(ad p. 143, 18 sq.)* 7 εἰc] καὶ εἰc D, καὶ *supra add.* E² 8 ἔcτιν] ἔcτι δ᾿ D 12 ἀλλ᾿ αὐτὸ] ἀλλὰ τὸ CFG, *corr.* C 14 δὲ *om.* CFG καὶ βοᾶν *om.* D 15 τοὺc *(pr.)*] τοῖc E τοὺc *(alt.)*] τοῖc AE 16 οὖν] *om.* A: et *a* τοὺc] *om.* E: τοῖc *supra scr.* E² 17 τε *(pr.) om.* K καὶ *(alt.)*] τε καὶ BHK*a*, τε *supra add.* M γινομένων D 19 καὶ *(pr.) om.* CFG 20 γλῶccα CFG γίγνονται AHM 23 καὶ *(tert.) om.* D 25 γένοιτο D 27 αὖ *om.* D*a* 29 χυμὸc] ὁ χυμὸc K 30 οὕτω] ita nunc *a* γὰρ *om.* E 31 μὲν] γὰρ τοῦ μὲν D φρενιτίζουcιν DH, -ν *eras.* G 32 γὰρ] *om.* D: *eras.* JK δ᾿ αὖ] δὲ D κωματωδῶc αὖθιc] intercise *a* 33 ἀναφέρονται K

## Θεραπεία φρενίτιδος. 2

Εἴπερ ἡ δύναμις ἐπιτρέποι, φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος αὐτίκα καὶ συχνὸν ἀφαιρεῖν. εἰ δὲ παραφρονῶν ὁ κάμνων μὴ ἐπιδιδῷ τὴν χεῖρα, ἤ, κἂν ἐπιδῷ, δέος αἱμορραγίας εἴη μετὰ τὴν κένωσιν σπαραττομένης πολλάκις τῆς χειρὸς ἐκ τοῦ παρακοπτικῶς ταράττεσθαι τὸν κάμνοντα, τὴν ἐν μετώπῳ τέμνοντες ὀρθίαν φλέβα πρὸς ἅπαξ αὐτάρκως ἀφέλωμεν κλύσμασί τε χρησώμεθα καὶ τοῖς δι᾽ ὑδρελαίου ἢ ῥοδίνου σὺν τῷ χυλῷ τῆς πτισάνης ἐνέμασιν. ἀγρυπνίας δὲ κρατούσης ῥοδίνῳ ἢ καὶ ὀξυροδίνῳ τὴν κεφαλὴν ἀλείψομεν ἔστιν ὅτε θερμῷ προκαταντλοῦντες αὐτὴν ὕδατι καὶ τοῦ διὰ κωδυῶν φαρμάκου δώσομεν, εἰ μὴ ἡ δύναμις ἀσθενοῦσα κωλύοι. καὶ ἕτερα δὲ πρὸς ἀγρυπνίαν ἐκ τῶν ἔμπροσθεν εἰρημένων ἐνταῦθα μετενεκτέον. κατακείσθω δὲ ὁ κάμνων ἐν τόπῳ φωτός τε καὶ κράσεως συμμέτρως ἔχοντι καὶ ποικίλων τινῶν ἀπηλλαγμένῳ ζωγραφιῶν (ταρακτικὸν γὰρ τῶν τοιούτων), ἐν ᾧ τινες τῶν καταθυμίων φίλων εἰσίτωσαν καὶ προσφόρως ἐντυγχανέτωσαν, ποτὲ μὲν πρᾴως παρηγοροῦντες, ἔσθ᾽ ὅτε δὲ καὶ καταπλήττοντες αὐστηρότερον. τροφὴ δὲ τὸ μὲν πρῶτον ἔστω μελίκρατον, ἔπειτα δὲ χυλὸς πτισάνης καὶ τὰ διὰ χόνδρου ῥοφήματα μετά τινος τῶν ἡδέων πομάτων, οἷον ἀπομέλιτος ἢ ὑδροροσάτου ἢ ῥοδομήλου ἢ τοῦ γλυκέος ὑδρομήλου· τὸ γὰρ ἀπὸ Κιβύρας οἰνῶδες ὑδρόμηλον ἐν τοῖς μικροῖς ἀγγείοις φερόμενον παραιτητέον χείρονας οἴνου βλάβας ἐπὶ τῶν τοιούτων ἀπεργαζόμενον, καὶ μάλιστα ἐπὶ τῶν κατὰ τὴν κεφαλὴν καὶ πρὸ πέψεως. καὶ πλυτὸν ἐξ ὕδατος ἄρτον παράσχωμεν καὶ ἴντυβα καὶ θριδακίνας ἑφθάς (εἰ δὲ πολλὴ ζέσις εἴη, καὶ ὠμὰ ταῦτα δοτέον), καὶ τοῦ σικύου τὴν ἐντεριώνην καὶ πέπονος καὶ δορακίνων καὶ τῶν παραπλησίων. ὕδατος δὲ ψυχροῦ τούτους ἀφεκτέον, μάλιστα εἰ ἐκ συμπαθείας φρενῶν τὴν αἰτίαν τοῦ πάθους εὕροιμεν. εἰ δὲ τὸ οὖρον αὐτοῖς, ὡς εἰκός, διὰ τὴν παράνοιαν ἐπέχοιτο, ποιήσαντες ἀλέαν καταντλήσωμεν θερμῷ ὑδρελαίῳ τό τε ἦτρον καὶ τὴν κύστιν, κἄπειτα δι᾽ ἐπιθέσεως τῶν δακτύλων τῆς χειρὸς κατὰ τῶν τόπων ἐπερείδοντες προτρέψωμεν εἰς ἀπούρησιν, ἐπαλείψωμεν δὲ θερμῷ ἐλαίῳ τὸ λοιπὸν σῶμα κατακειμένων αὐτῶν· καὶ γὰρ ἐν ἀκινησίᾳ κατὰ τὸ ἐγχωροῦν διαφυλαττέσθωσαν, εἰ μὲν ζάπλουτοί τινες εἶεν, διὰ παίδων διακρατούμενοι, εἰ δὲ μή, δεσμοῖς περι-

11 ἔμπροσθεν] *II 41*

2 ἐπιτρέπει AC 3 ἐπιδίδωσι D: ἐπιδῷ M 4 εἴη] εἰ H 5 τῆς χειρὸς πολλάκις D 6 ἐν] ἐν τῷ M ὄρθιον D ἀφέλομεν CFG, *corr.* F 7 χρησώμεθα] M: χρησόμεθα ABCDEFGHK καὶ *om.* D 8 καὶ *om.* D*a* 9 ἀλείψωμεν BHK 10 κωδυῶν] κωδυῶν δὲ D 11 δὲ] *supra scr.* M πρὸς ἀγρυπνίαν *om. a* 14 ταρακτικὰ CD τῶν τοιούτων] τὸν τοιοῦτο H: τὸ τοιοῦτο EF: τὰ τοιαῦτα D: tales *a* 15 εἰσιέτωσαν D 17 πτισάνης] τῆς πτισάνης D 22 καὶ *(tert.) om. a* 23 ἐξ] δὲ ἐξ D 25 καὶ τῶν παραπλησίων *om. a* 26 τούτοις CG 28 *ad* ἀλέαν *mrg.* πυρί K καταντλήσομεν CD, *e corr.* M θερμῷ] θερμῷ ὕδατι καὶ D 30 κατὰ *om.* D τὸν τόπον CDFGK*a* προτρέψομεν BCDFM ἐπαλείψομεν CDF 31 ἐλαίῳ θερμῷ A 33 διακρατούμενοι διὰ παίδων D

cφιγγόμενοι· cυγκοπτικὴ γάρ ἐcτι τῆc δυνάμεωc ἡ ἄτακτοc κίνηcιc. καὶ δι᾿ ἄλλον δὲ τρόπον δεcμοῖc οἱ πόδεc διαcφιγγέcθωcαν προαπηντλημένοι καὶ ψηλαφάcθωcαν, ἀντιcπάcεωc ἕνεκα. εἰ δὲ μακρότερον καὶ δύcλυτον γίνοιτο τὸ πάθοc, τῶν μὲν καρωτικῶν ἀφεκτέον, προcπλέκειν δὲ ταῖc ἐμβροχαῖc τῆc κεφαλῆc τὰ διαφορεῖν πεφυκότα, οἷον ἡδυόcμου χυλὸν ἢ ἑρπύλλου ἢ καλαμίνθηc ἢ πηγάνου· καὶ ἐρρίνοιc δὲ τότε χρηcτέον. μετὰ δὲ τὴν ἑβδόμην, εἰ φλεγμαίνοι τὰ cπλάγχνα, τοῖc διὰ λινοcπέρμου καὶ τῆc ὠμῆc λύcεωc ἐν ὑδρελαίῳ καταπλάcμαcιν αὐτὰ παρηγορήcωμεν, ἔπειτα δὲ καὶ cικύαc κούφαc ἢ καὶ μετ᾿ ἐγχαράξεωc προcβάλωμεν αὐτοῖc τε τούτοιc καὶ ἰνίῳ καὶ ῥάχει. εἰ δὲ τὸ cῶμα λίαν αὐχμηρόν τε καὶ περικαὲc cτοχάcοιο, κἂν ἔτι πυρέττοιεν, καὶ λουτροῖc χρηcτέον δι᾿ ὕδατοc ποτίμου καὶ ἀλοιφῇ δαψιλεcτέρᾳ, καὶ οἴνου ἀποδοτέον λεπτοῦ καὶ ὀλιγοφόρου πρὸc ἀνάκτηcιν τῆc δυνάμεωc μηδαμῶc ὑφορωμένουc τὴν ἐξ αὐτοῦ γενηcομένην, ὡc εἰκόc, ἔκcταcιν· ἢ γὰρ οὐ γίνεται παρακμῆc οὔcηc ἢ καὶ γενομένη ῥᾳδίωc ἀποκαθίcταται. προκοπτούcηc δὲ τῆc παρακμῆc καὶ αἰώραιc χρηcτέον καὶ τῇ προcηκούcῃ ἀνακομιδῇ. τὰc δὲ τῶν φρενιτικῶν ἀναλήψειc ποιητέον φυλαττομένουc μέθαc, ὀργάc, cιτίων διαφθορὰc καὶ πρὸ πάντων ἡλιοκαΐαc.

## ζ΄. Περὶ φλεγμονῆc ἐγκεφάλου.

Φλεγμαίνων ὁ ἐγκέφαλοc οἰδεῖ πολλάκιc οὕτωc, ὥcτε καὶ τὰc ἐν τῇ κεφαλῇ ῥαφὰc διίcταcθαι, καὶ ὀδύνη δὲ μεγίcτη καὶ διαρκὴc παρέπεται καὶ ἄcη πολλή, ἔρευθόc τε κατὰ τοῦ προcώπου πολὺ cυνίcταται cὺν οἰδήματι, καὶ τὰ ὄμματα προπετῆ γίνεται, καὶ ἡ κεφαλὴ διογκοῦται. φλεβοτομεῖν οὖν τούτουc χρὴ καὶ κενοῦν ἀπ᾿ ἀγκῶνοc· δεῖ δὲ καὶ ἀπὸ ῥινὸc καὶ τῶν ὑπὸ τὴν γλῶccαν ἀγγείων κενοῦν τοῦ αἵματοc. χρῶ δὲ καὶ ταῖc πρὸc τὰc φλεγμονὰc κατὰ τῆc κεφαλῆc διαβροχαῖc καὶ καταπλάcμαcι τοῖc ὑγραίνειν καὶ πεπαίνειν δυναμένοιc.

## η΄. Περὶ ἐρυcιπέλατοc ἐγκεφάλου.

Γίνεται καὶ ἐρυcίπελαc ἐν ἐγκεφάλῳ, καὶ πάcχει ὁ κάμνων τάδε· ἀλγεῖ τὴν κεφαλὴν πᾶcαν καὶ δοκεῖ φλόγαc ἐν αὐτῇ εἶναι, καὶ τὸ

ζ΄ *Oribasius, Synops. VIII 10; Aëtius VI 25*
η΄ *Oribasius, Synops. VIII 11; Aëtius VI 26*

2 ἄλλων δὲ τρόπων A  δὲ *om. a*  παῖδεc AE, *corr.* E$^3$  προαπηντλημένοι] ACDFGJ, *e corr.* E: προαντλημένοι BK, *in ras.* M: προcαντλημένοι H: προαντλούμενοι E  5 οἷον] aut *a*  6 δὲ τότε *om. a*  7 φλεγμαίνει CF  8 καταπλάcμαcι ταῦτα D  9 παρηγορήcομεν CDF, *e corr.* M  δὲ *om. a*  ἢ . . . ἐγχαράξεωc *om. a*  10 προcβάλομεν CG, *e corr.* M  λίαν *om. a*  11 αὐχμηρότερον A  τε *om.* M  καὶ *(alt.) om. a*  12 δοτέον D: αὐτῷ δοτέον *in ras.* E$^2$  14 ὡc εἰκόc *om. a*  20 ὥcτε καὶ] D*a*: ὡc ABCEFGHKM  τὰc] *corr. in* τε B$^3$  20. 21 ἐν τῇ κεφαλῇ] τῆc κεφαλῆc DF$^3$*a*  21 καὶ *(pr.)*] ADE: καὶ ἡ BCFGHKM  ὀδύνη] ἰδόνηc H  δὲ *om.* D  καὶ διαρκὴc *om. a*  22 πολὺ] CDFG: πολὺc ABEHKM  ὄγκοc *mrg.* D$^3$  23 γίνονται D  24 οὖν] D*a*: *om.* ABCEFGHKM  τούτοιc FG  καὶ *(pr.)*] DJE$^2$: *om.* ABCFGHKM*a*  κενοῦν *om. a*  27 ὑγραίνειν] superius extraere *a*  29 καὶ *(pr.)*] δὲ καὶ CFG  ἐν] ποτε ἐν τῷ D

πρόσωπον τοῦ πάσχοντος ψυχρόν ἐστι καὶ ὕπωχρον, καὶ ξηραίνεται τὸ στόμα. φλεβοτόμει οὖν τὸν οὕτω πάσχοντα καὶ μάλιστα τὰς ὑπὸ τῆς γλώσσης φλέβας διαίρει καὶ πρόσφερε τὰ ψύχοντα, οἷς καὶ ἐπὶ τῶν ἄλλων ἐρυσιπελάτων χρώμεθα.

### θʹ. Περὶ ληθάργου.

1 Καὶ ὁ λήθαργος βλάβη τις ὑπάρχων τοῦ λογιστικοῦ τόπον μὲν ἔχει τὸν αὐτὸν τῇ φρενίτιδι, φημὶ τὸν ἐγκέφαλον, ὕλην δὲ τὴν ἐναντίαν· ἐπὶ φλέγματι γὰρ ὑγροτέρῳ καὶ ψυχροτέρῳ διαβρέχοντι τὸν ἐγκέφαλον γίνεται. παρέπεται δὲ τοῖς ληθαργικοῖς πυρετὸς βληχρὸς οὐ πάνυ δακνώδης μετὰ καταφορᾶς. οἱ δὲ σφυγμοὶ τούτοις μεγάλοι τε καὶ ἀραιοὶ καὶ κλονώδεις εἰσίν, ἡ ἀναπνοὴ δὲ ἄγαν ἀραιὰ καὶ ἀσθενής, ὑπνώδεις τε διὰ παντός εἰσι καὶ δυσέγερτοι καὶ δυσαπόκριτοι, κἂν ἐρωτηθῶσι, καὶ ἐπιλήσμονες καὶ παρανοοῦσι χασμῶνταί τε συχνῶς καὶ μένουσιν ἔσθ' ὅτε κεχηνότες ὡς ἐπιλανθανόμενοι μῦσαι τὸ στόμα· διαχωροῦσι δὲ διὰ γαστρὸς οἱ μὲν πλείους ὑγρότερα, τισὶ δὲ καὶ τοὐναντίον ἡ γαστὴρ ἀποξηραίνεται, καὶ οὐροῦσιν, ὁποῖα τὰ τῶν ὑποζυγίων· τινὲς δὲ καὶ τρέμουσι καὶ περιιδροῦσιν.

2 καὶ ὁ κάρος δὲ τῆς αὐτῆς ὢν ὕλης τῷ ληθάργῳ τούτου διαφέρει τῷ τὸν πυρετὸν ἡγεῖσθαι μὲν τοῦ κάρου καὶ σφοδρότερον εἶναι, ἕπεσθαι δὲ τῷ ληθάργῳ, καὶ τῷ τὸν μὲν κάρον καὶ ἑτέροις ἕπεσθαι συμπτώμασι (παροξυσμοῖς τε γὰρ ἐπιγίνεται πολλάκις πυρετῶν καὶ ἐπιληψίαις καὶ θλίψεσιν ἐγκεφάλου, ποτὲ μὲν ὀστέου πιλοῦντος ἐν κατάγμασι, ποτὲ δὲ τοῦ μηνιγγοφύλακος τὴν ἐμπροσθίαν τοῦ ἐγκεφάλου κοιλίαν), τὸν δὲ λήθαργον ἰδίαν τινὰ σύστασιν ἔχειν.

### Θεραπεία ληθάργου.

3 Ἐπιτρεπούσης μὲν τῆς δυνάμεως κἀνταῦθα τὴν φλέβα τέμωμεν, οὐ συγχωρούσης δὲ κλύσμασι χρησώμεθα δριμέσι κατακλίνωμέν τε ἐν οἴκῳ μείζονι σύμμετρον ἔχοντι φῶς καὶ τὴν κεφαλὴν ἐμβρέξωμεν ἐλαίῳ προσμίξαντες αὐτῷ καὶ καστόριον· τινὲς δὲ ἀντὶ τοῦ ἐλαίου ὀξυροδίνῳ

θʹ *cf. Alexander Trall. I 527 sqq.; Aëtius VI 3*

1 πάσχοντος] CDFG*a*: κάμνοντος ABEHKM 2 flebotomare *a* οὖν] D: τοίνυν ABCEFGHKM 2. 3 τῆς γλώσσης] γλώσσης M: τὴν γλῶσσαν ADE, *e corr.* F 3 φλέβας *om.* E diuidere *a* adducere *a* 5 *mrg.* D[3] 7 φημὶ] dico autem *a* 9 γίγνεται D 11 ἡ] καὶ B 12 τε] δὲ H*a* καὶ δυσέγερτοι *om.* A κἂν] ὅταν D 13 χασμῶνταί τε] καὶ χασμῶνται D: χασμῶνται F συχνῶς] συνεχῶς ACEM, *corr.* C: *om.* F μένωσιν CG 14 μῦσαι] τὸ μῦσαι M 15 δὲ *(pr.)*] τε D πλείους] πλείω οἱ δὲ D καὶ *om. a* 18 περὶ κάρου *praemitt.* CFG*a*, *mrg.* D δὲ *om.* D τούτῳ CDFG 19 τῷ] τὸ F: αὐτοῦ τῷ D 20 τῷ *(alt.)*] τῶν AE, *corr.* A[2] 21 παροξυσμοῖς] FJ, *e corr.* DC[2]E[2]: παροξυσμός ACGHKM*a*, *in ras.* B 26 τέμωμεν] *mut. in* τέμομεν GM: τέμνομεν F: τέμομεν C: τεμοῦμεν D 27 χρησόμεθα DF κατακλίνομέν FH, *e corr.* G: κατακλινοῦμεν D 28 φῶς] τὸ φῶς AE ἐμβρέξομεν CDF ἐλαίῳ] DJ*a*, *seq. ras.* E: ἐλαίῳ τε ABCFGHKM 29 προμίξαντες H: προσμίξομεν F

cὺν τῷ καcτορίῳ χρῶνται τονοῦντεc ἅμα καὶ θερμαίνοντεc διὰ τούτου τὴν κεφαλήν, τὸ δὲ λοιπὸν ἐπαλείφοντεc cῶμα, καὶ μάλιcτα τὰ ἄκρα, ἐλαίῳ παλαιῷ cὺν νίτρῳ ὀπτῷ ἢ πυρέθρῳ ἢ πεπέρει ἢ κόκκῳ Κνιδίῳ διαμύccουcιν· δυνατὸν δὲ καὶ κηρωτὴν ἐκ τούτων ἅμα καcτορίῳ ποιήcανταc χρῆcθαι. ὀcφραντὰ δὲ προcοίcομεν ὄξει λειώcαντεc θύμον ἢ ὀρίγανον ἢ γλήχωνα. χρίειν δὲ τὸ cτόμα καὶ τὰ περὶ τὸν οὐρανίcκον νάπυι τετριμμένῳ μετ᾽ ὀλίγου μέλιτοc πειρώμενον τὸ προcπλαccόμενον τοῖc δακτύλοιc διεκβάλλειν. εἰ δὲ προcδέχοιντο, καὶ ἀποφλεγματιcμῷ κέχρηcο ὀξυμέλιτι μετὰ ὑccώπου ἢ γλήχωνοc ἢ ὀριγάνου ἢ καὶ αὐτοῦ τοῦ νάπυοc· διδόναι δὲ πίνειν τινὸc τῶν ὀξυπόρων, καὶ μάλιcτα τοῦ Διοcπολίτου, ὅcον κοχλιάριον ἓν μετ᾽ ὀξυκράτου. ἐπὶ δὲ τῶν χρονιcάντων τρομωδῶν καὶ καcτορίου δοτέον ὅcον γράμματα δύο ἢ τρία· εἰ δὲ πλῆθοc εἴη χυμοῦ καὶ μή τι ἕτερον κωλύοι, καὶ cκαμμωνίαc ὅcον ἓν γράμμα τῷ καcτορίῳ προcπλέξομεν. ἐπιμένοντοc δὲ τοῦ πάθουc ξυρήcανταc τὴν κεφαλὴν πυριᾶν δεῖ διά τε ἁλῶν καὶ κέγχρων καὶ τῶν ὁμοίων ἐν μαρcίποιc· καὶ τοῖc cιναπιcμοῖc τε κατὰ τῆc κεφαλῆc καὶ τοῖc πταρμικοῖc χρῆcθαι, κἄπειτα cικύαc προcάγειν κατὰ τοῦ ἰνίου πῆ μὲν κούφαc μετὰ πολλῆc φλογόc, πῆ δὲ μετ᾽ ἐγχαράξεωc· τάc τε φυcικὰc ἐκκρίcειc cυνεχῶc ὑπομιμνήcκειν δεήcει τοῖc τε ἐνέμαcι καὶ τοῖc διουρητικοῖc, ἐμβρεχέcθω δὲ τὸ ἦτρον ἐλαίῳ πηγανίνῳ ἢ Cικυωνίῳ cὺν ὀλίγῳ καcτορίῳ. cυχνότερον δὲ ὑπομνηcτέον καὶ τὴν κατάποcιν τῷ θερμῷ ὕδατι ἐπιρραίνοντάc τι τῶν ἡδέων πομάτων, μάλιcτα τοῦ ἀπομέλιτοc, διὰ τῶν βομβυλιῶν. καὶ εἴ που περὶ τὰ μέcα εἴη τιc φλεγμονή, καὶ ταύτην θεραπευτέον διὰ τῶν ἐμβροχῶν τε καὶ καταπλαcμάτων· ταῖc δὲ ῥιcὶ προcάγειν νᾶπυ λειωθὲν ὄξει ἢ καcτόριον καυθέν. τρεφέcθωcαν δὲ πτιcάνηc ἢ βρόμου χυλῷ ἢ ἄλικοc cὺν ὀξυμέλιτι ἢ ἁλcὶν ἢ γλήχωνι, ποτὲ μὲν καθ᾽ ἡμέραν, ποτὲ δὲ καὶ διὰ μιᾶc. μετὰ δὲ τὴν τροφὴν διακρατητέον ἤγουν καὶ ἀνακλαcτέον τὰ ἄκρα ἐπὶ πολὺ καὶ κνηcτέον τὰ cκέλη καί ποτε καὶ τὰc ἐν αὐτοῖc τρίχαc ἐκτίλλειν πειρᾶcθαι βιαιότερον πρὸc τὸ διεγερθῆναι· καὶ φοινιγμοὶ δὲ μηρῶν τε καὶ cκελῶν πολλάκιc εὐχρηcτοῦcι. παρακμάcαντοc δὲ τοῦ πάθουc εὐθέωc αἰώραιc καταλλήλοιc χρηcτέον καὶ ἐπὶ βαλανεῖον ἀκτέον καὶ τὴν ἀναληπτικὴν ἀγωγὴν προcηκόντωc παραληπτέον.

1 διὰ τούτου καὶ θερμαίνοντεc D*a*  4 διαμύccουcι DF, -ν *eras.* B: διαμύcουcι M  ποιήcανταc] -αc *in ras.* E: ποιήcαντεc FGK  6 γλήχων CG, *comp.* D  8 τοῖc] φλέγμα τοῖc D  διεκβάλλειν] ἐκβάλλειν φλέγμα CFG
9 ὀξυμέλιτι] ποιεῖ δὲ ὀξύμελι D  11 ὅcον *om. a*  14 προcπλέξομεν] CDF: προcπλέξωμεν ABEGHKM*a*  15 ξυρήcανταc] D: ξυρήcαντεc ABCEFGHKM  ἄλλων DMH$^2$  16 μαρcίποιc] ADE: μαρcίπποιc BCFGHKM  τοῖc *om.* D  τε *om.* DF$^3$  17 τοῖc *om.* D  πταρτικοῖc *seq. ras.* B
18 δὲ] δὲ καὶ CDFG, *e corr.* B  τε] uero *a*  21 δὲ] τε H: *om.* F
22 τοῦ] τῶν D  23 ἀπὸ μέλιτοc D *et interced. ras.* E  βοβυλίων BGHK, *corr. mrg.* B$^2$  24 θεραπεύειν D  διὰ] διά τε D  τε *om.* D  25 νᾶπυ] ἢ νᾶπυ D  καυθέντα CDG  26 δὲ] διὰ B  χυλῷ] D*a*: χυλὸν ABCEFGHKM  ἄληκοc D: ἄλυκοc B: ἄλιcκον F  28 ἤγουν] ἢ D  ἐπὶ πολὺ *om.* D  29 cκέλη] cκέλη ἐπὶ πολὺ D  καὶ *(tert.) om. a*  ἐν αὐτοῖc *om. a*
30 πειρᾶcθαι *om. a*  δὲ *om. a*  32 καταλλήλοιc *om. a*  33 ἀγωγὴν] *om.* FG, *supra scr.* C$^2$  παραληπτέον] *corr. ex* παραλειπτέον C: προcπαραληπτέον F: προcπαραλειπτέον G

ι´. Περὶ κατόχου ἤγουν ἀγρύπνου κώματος.

Ἤδη μὲν ἐν τῷ περὶ φρενίτιδος λόγῳ τὴν cύcταcιν τούτου τοῦ 1
νοcήματος εἰρήκαμεν· τὰ δὲ cημεῖα καθόλου μὲν εἰπεῖν κοινά πώς εἰcιν τῆc τε φρενίτιδοc καὶ ληθάργου πρὸc τὴν ἐπικρατοῦcαν ὕλην ἐξαλλαττόμενα, κατὰ μέρος δὲ τάδε· καταλαμβάνεται ὁ κάμνων ὕπτιοc ἀποτεταμένοc καὶ ποτὲ μὲν ὕποιδόν τε καὶ πελιδνὸν ἔχων μετρίωc τὸ πρόcωπον, ὥcπερ τῶν ληθαργικῶν, ποτὲ δὲ καὶ ἔρευθοc αὐτοῖc ἐπανθεῖ, τό τε ἄνω βλέφαρον αὐτῶν ἀναcπᾶcθαι δοκεῖ καὶ ἐξέχειν, ὥcτε μηδὲ cκαρδαμύττειν δύναcθαι, οὐδαμῶc δὲ φαίνεται ἀναπνέων, ἀλλ᾿ ὡc ἀπονεκρωθεὶc κεῖται· τὸν δὲ cφυγμὸν ἴcχει μικρόν τε καὶ ἀμυδρὸν καὶ cφόδρα πυκνόν, τά τε οὖρα καὶ ἡ κοιλία ἐπέχεται ἤγουν ἐπ᾿ ὀλίγον φέρεται. καὶ οἱ μὲν μετρίωc ἔχοντεc ἐγχυθέντοc τινὸc ὑγροῦ καταπίνουcιν, οἱ δὲ κρατηθέντεc ἀνακόπτουcιν ἐπὶ τὰc ῥῖναc. τοὺc οὖν τοῦ φλέγματοc ἐπικρατοῦντοc τῆc χολῆc cυνιcταμένουc διακρινοῦμεν ἀπὸ τῶν ληθαργικῶν τῷ μήτε οἰδαίνειν μήτε πελιδνὸν ἴcχειν τὸ χρῶμα καθάπερ οἱ ληθαργικοί, πλὴν ἐπ᾿ ὀλίγον δή τι, καὶ ἐφιδροῦν μετρίωc. χαλεποὶ δὲ μᾶλλόν εἰcιν, οἷc ἀγρυπνία πολλὴ γίνεται καὶ τὰ οὖρα ἐπέχεται καὶ δύcπνοια ἐπιτείνεται καὶ ἐφιδροῦcιν, καὶ οἷc τὸ ποτὸν εἰc τὰc ῥῖναc ἀναρροιβδεῖται. εἰ δὲ γυνὴ πάcχουcα τύχοι, διακριθήcεται τῆc ἁλούcηc ὑcτερικῇ πνιγὶ ἔκ τε τοῦ κατὰ φύcιν ὁρᾶcθαι κειμένην καὶ τοῦ τῶν φθεγγομένων ἐπαιcθάνεcθαι καὶ τοῦ διεγείρεcθαί τε καὶ αὖθιc καταφέρεcθαι. ἔcτι δὲ ὅπου τὸν κάτοχον ἕτερόν φαcι παρὰ τὸ ἄγρυπνον κῶμα μηκέτι cύνθετον ἀλλ᾿ ἁπλῆν τινα τὴν αἰτίαν ἔχον· ψυχροτέραν γὰρ καὶ ξηροτέραν ὕλην ἐμφράξαcαν τὴν ὀπιcθίαν τοῦ ἐγκεφάλου κοιλίαν τὸ πάθοc ἐργάζεcθαι· ἐφ᾿ ᾗ καταλαμβανόμενοc ὁ κάμνων αἰφνιδίωc ἐπ᾿ ἐκείνου μένει τοῦ cχήματοc, ἐφ᾿ οὗ κατελήφθη, οἷον ἱcτάμενοc ἢ καθήμενοc ἢ μύων ἢ ἐμβλέπων· διὸ καὶ κατόχουc ἢ κατεχομένουc αὐτοὺc ἐκάλουν οἱ παλαιοί, κατοχὴν δὲ καὶ κατάληψιν τὸ πάθοc οἱ νέοι.

2 ἡ θεραπεία παραπληcία μὲν τοῖc εἰρημένοιc, ἐξαλλαττομένη δὲ παρὰ τὴν τῶν cυμπτωμάτων διαφοράν.

ι´ *cf. Aëtius VI 4* 2 λόγῳ] *supra p. 144, 26 sqq.*
27—29 *Galenus IX 189*

4 τε *om.* DH καὶ] καὶ τοῦ D ἐξαλλαccόμενα D 5 ὁ] δὲ ὁ BKM*a* 7 τῶν] τὸ τῶν D 8 τε] uero *a* αὐτοῖc D: αὐτὸν K ἀνεcπάcθαι D καὶ ἐξέχειν *om. a* 10 καὶ *(alt.)*] ualde et *a* 11 τε] uero *a* ἤγουν] ἢ D 13 ἀναρροιβδοῦcιν D 14 ἀπὸ] quidem a *a* 15 τῷ] τὸ CEFG, *corr.* E² ἔχειν D 16 ἐφιδροῦcι CDFG 17 πολλὴ] τε πολλὴ D 18 ἐφιδροῦcι EM, -ν *eras.* BD 19 ῥίζαc K τύχοι] τοῦτο τύχοι D 20 ὑcτερικῷ πνίγει D 21 λεγομένων *post ras. 1 litt.* D 22 ἔcτι δὲ ὅπου] εἰcὶ δὲ οἱ D 23 ἔχον] ἔχοντα D: ἔχων C: *om.* F ψυχροτέρα D 24 ξηροτέρα ὕλη ἐμφράξαcα D 25 ἐργάζεται DF ᾗ] ᾧ D*a* 26 κατελείφθη CGK, *e corr.* M 28 καὶ] uel *a* 28. 29 τὸ πάθοc οἱ νέοι] οἱ νεώτεροι τὸ πάθοc D 30 ἡ] ἡ δὲ D*a*

2 Θεραπεία κατόχου.

Καὶ νῦν οὖν τὴν φλεβοτομίαν χρὴ παραλαμβάνειν, καὶ μάλιστα ἐφ᾽ ὧν τὸ πρόσωπον ἐνερευθές ἐστι, τῆς δυνάμεως πάλιν ὑπαγορευούσης ἤγουν κλύσμασι κεχρῆσθαι, ποτὲ μὲν τοῖς διεγείρουσι τοῦ φλέγματος ἐπικρατοῦντος, ποτὲ δὲ τοῖς πραΰνουσι τῆς χολῆς πλεοναζούσης, ὡσαύτως δὲ καὶ τῇ τῶν ἄλλων βοηθημάτων ἀγωγῇ χρηστέον· καὶ τρέφειν ὡσαύτως ὁτὲ μὲν καθ᾽ ἡμέραν, ὁτὲ δὲ ὑπὲρ μίαν. ἔστι δὲ σφόδρα ἐπικίνδυνον τὸ πάθος, εἴ που διά τινα τροφῆς ἢ πόματος ἁμαρτάδα γένηται· ἐφ᾽ ὧν χρὴ ἐμεῖν ἀναγκάζειν αὐτίκα καὶ ἐπὶ συστολῆς φυλάττειν ἐρεθίζειν τε τὴν κοιλίαν τῇ τε διὰ κυμίνου ἢ πηγάνου τῶν σπλάγχνων ἐμβροχῇ κεχρῆσθαι. τοὺς δὲ διὰ μέθην ἁλόντας τῷ πάθει μετὰ τὸ λυθῆναι τὴν κραιπάλην ὑγροτέρᾳ θρεπτέον τροφῇ (τοιοῦτος δὲ ὁ χυλός ἐστι τῆς πτισάνης) καὶ τὴν κεφαλὴν ἐπιτέγγειν ταῖς καταλλήλοις ἀλοιφαῖς, εἰ μὲν θέρος εἴη, ψυχραῖς, εἰ δὲ χειμών, χλιαραῖς. εἰ δὲ μηδαμῶς ἡ κραιπάλη λυθείη, μηδὲ ἀνανήψῃ, ἀπαγορεύσαντα χρὴ μακρὰν ἀποφεύγειν.

## ια΄. Περὶ μνήμης ἀπωλείας καὶ λογισμοῦ καὶ κάρου καὶ μωρώσεως.

1 Ἡ τῆς μνήμης ἀπώλεια πῇ μὲν καθ᾽ ἑαυτὴν συμβαίνει, πῇ δὲ καὶ μετά τινος βλάβης τοῦ λογισμοῦ, καθάπερ καὶ ἡ τοῦ λογισμοῦ βλάβη καθ᾽ αὑτὴν πρότερον συμβαίνει, κἄπειτα ἐπακολουθεῖ ἡ τῆς μνήμης· ἀμφοτέρων δὲ πεπονθότων ἡ καλουμένη συνίσταται μώρωσις. αἰτίαν δὲ σχήσουσι καὶ νῦν τὴν συστᾶσαν δυσκρασίαν· ἀλλ᾽ εἰ μὲν ὑγρὰ μόνον εἴη, τῆς τε μνήμης καὶ τοῦ λογισμοῦ κάκωσιν οἴσει νωθρότητάς τε καὶ καταφορὰς καὶ ὕπνους μακροὺς καὶ βαθεῖς· εἰ δὲ μετὰ ψυχρότητος, κάρους τε καὶ ληθάργους. ὡσαύτως δὲ καὶ ἡ ξηρότης μόνη μὲν ἀγρυπνίας ἐπάγει, μετὰ δὲ θερμότητος παραφροσύνας τε καὶ φρενίτιδας. συνίστανται δὲ αὗται αἱ δυσκρασίαι ποτὲ μὲν κατὰ τοὺς χυμούς, ποτὲ δὲ κατὰ τὰς τοῦ ἐγκεφάλου κοιλίας ἢ κατὰ τὰ ἐν αὐτῷ ἀγγεῖα ἤγουν κατὰ τὴν παρεσπαρμένην ὑγρότητα ἢ κατ᾽ αὐτὸ τὸ τοῦ ἐγκεφάλου σῶμα ἢ καὶ τῶν κροταφιτῶν μυῶν τι τοιοῦτον παθόντων. εἰ δέ που συνεπιμιχθῶσιν ἑαυτοῖς οἱ χυμοί, καὶ τὸ πάθος τοιοῦτον οἴσουσι· πό-

ια΄ *cf. Aëtius VI 22—23*

3 ABCDEGHKMQ(F*a*)

1 κατόχου *om.* E 3 ἐστιν ἐνερευθές A πάλιν] *in* -λιν *inc.* Q 4 ἤγουν] ἢ D: *om. a* clisteribus uero *a* χρῆσθαι D διεγείρουσιν AHQ 5 πραΰνουσιν AH 6 ἀγωγῇ *om. a* 8 τινα *om. a* 9 ἐφ᾽ ὧν] οὓς D ἐμεῖν . . . αὐτίκα] μὲν εὐθὺς ἀναγκάζειν ἐμεῖν D 10 τε *(pr.)*] δὲ καὶ D ἢ] et *a* 12 θρετέον E: θεραπεύειν D δὲ *om.* Q 13 ἐστι] *in ras.* B: ἐπὶ HM, *corr.* M: *om.* D 14 χειμῶνος D 15 ἀνανήψῃ] *e corr.* E: ἀνανήψει F: ἀνανήψει ὁ κάμνων D: ἀνανήψοι *e corr.* J: ἀνανήψῃ ὁ κάμνων Q, *sed* ὁ κάμνων *del.* μακρὰν ἀποφεύγειν] *mrg.* C[2]: *om.* FG ἀποφυγεῖν DQ 18 Ἡ *om.* D αὐτὴν DQ 21 αἴτιον CFG 22 σχήσουσι] χρὴ D καὶ νῦν] κοινὴν *in ras.* E: ἐκείνην F τὴν] οἴεσθαι τὴν D 24 βαθεῖς καὶ μακρούς D 25 ἡ *om.* D 25. 26 ἐπάγει ἀγρυπνίας AE*a* 28 δὲ] *in ras.* B: *om. a* 30 τοιοῦτο Q: τοιούτῳ F: τοιοῦτο̄ G: τοιούτων BC 31 αὐτοῖς F: αὐτοῖς C: ἀλλήλοις D οἴσουσιν AEF

τερον δὲ ἁπλῆ ἢ σύνθετός ἐστιν ἡ δρῶσα δυσκρασία, ἐκ τῆς τῶν ἐκκρινομένων ἰδέας μαθήσῃ. ὅτι μὲν γὰρ ἡ τῆς μνήμης καὶ τοῦ λογισμοῦ ἀπώλεια ψύξεως ἔκγονος ὑπάρχει, ἴσμεν· εἰ δέ που καὶ μεθ᾿ ὑγρότητος ἢ ξηρότητος, μαθησόμεθα ἔκ τε τῶν ἐκκρινομένων καὶ τῆς τοῦ κάμνοντος ἕξεώς τε καὶ κράσεως καὶ τῆς τοῦ βίου διαγωγῆς ὥρας τε καὶ χώρας.

Θεραπεία. 2

Εἰ μὲν ψυχρά τις εἴη δυσκρασία, θερμαίνειν δεῖ, εἰ δὲ μεθ᾿ ὑγρότητος, καὶ ξηραίνειν, εἰ δ᾿ αὖ πάλιν μετὰ ξηρότητος, ὑγραίνειν τε ἅμα καὶ θερμαίνειν· ὡσαύτως δὲ κἀπὶ τῆς δυσκρασίας τῆς θερμῆς ψύχειν, εἰ δὲ καὶ ξηρότης εἴη, καὶ ὑγραίνειν, εἰ δὲ μεθ᾿ ὑγρότητος, ψύχειν ἅμα καὶ ξηραίνειν. ἐφ᾿ ὧν δὲ τὸν αἱματικὸν χυμὸν εὕροις πλεονάζοντα, φλεβοτομεῖν ἢ κλύσμασι χρῆσθαι δριμέσι κἄπειτα καὶ τῆς ἱερᾶς διδόναι καὶ ἀποφλεγματισμοῖς χρῆσθαι ἀλείμματά τε προσφέρειν ἐν τῇ κεφαλῇ τῷ ἐλαίῳ προσμίσγοντα τὰ ψύχοντα καὶ ξηραίνοντα, ῥόδα φημὶ καὶ μυρσίνας καὶ σχῖνον καὶ τὰ παραπλήσια· καὶ τοῦ ὅλου δὲ σώματος προνοεῖν. εἰ δὲ ἐξ ἐγκαύσεως εἴη καὶ κόπου, χρηστέον κατὰ τῆς κεφαλῆς τῇ δι᾿ ὀξυροδίνου ἐπιβροχῇ καὶ τῇ λοιπῇ ψυχρᾷ καὶ ὑγρᾷ ἀγωγῇ ἔν τε τοῖς ἄλλοις κἂν τῇ τροφῇ καὶ τοῖς πόμασιν. εἰ δέ που κάρος ἐπὶ τῇ μωρώσει ἢ τῇ ἐπιλησμοσύνῃ ἐπιγένηται, καὶ τούτου προνοητέον, ὡς ἔμπροσθεν ἐπὶ τῶν ληθαργικῶν ἐλέγομεν, ἔνθα καὶ τὴν διάκρισιν αὐτῶν ὑφηγήμεθα.

## ιβ΄. Περὶ σκοτωματικῶν.

Τὸ σκοτωματικὸν πάθος συνίσταται ψυχροῦ καὶ γλίσχρου χυμοῦ καταλαβόντος τὸν ἐγκέφαλον, ὅθεν ὑπὸ σμικρᾶς οὗτοι προφάσεως ἑτοίμως καὶ καταπίπτουσιν, ποτὲ μὲν στρεφόμενά τινα βλέποντες ἔξωθεν, οἷον τροχοὺς ἢ δίνας, ἢ καὶ αὐτοὶ στραφέντες, ποτὲ δὲ καὶ θαλφθέντες τὴν κεφαλὴν κινουμένων τῶν ἐν αὐτῇ χυμῶν ἢ καὶ τοῦ πνεύματος, ἔσθ᾿ ὅτε δὲ καὶ θλιβομένων τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου κατὰ τὰς ἀνατρήσεις τοῦ κρανίου ῥαγέντος· ἐφ᾿ ὧν καὶ σφοδραὶ ὀδύναι γίνονται. προηγεῖται δὲ τῶν μὲν κατὰ πρωτοπάθειαν τῆς κεφαλῆς 1

ια΄ 2 *cf. Oribasius, Synops. VIII 1*   20 ἔμπροσθεν] θ΄ 2   ιβ΄ *cf. Aëtius VI 7*   ιβ΄ 1 *cf. Galenus VIII 202 sqq.*

1 δρῶσα *om.* DF³ (*non* F)   3 ἔγγονος FHQ   που καὶ *om.* D   4 τε *om.* D   8 καὶ *om.* AE*a*   τε *om.* CFG   8. 9 καὶ ἅμα AE*a*   9 τῆς θερμῆς δυσκρασίας DQ   10 καὶ (*pr.*)] *om.* GQ, *del.* C²   καὶ (*alt.*) *om.* DQ   11 εὕροις] ADEGQ: εὕρῃς CF: εὕρεις BKM: εὕρις H   12 φλεβοτομίαις D   καὶ *om.* *a*   13 κεχρῆσθαι CG: κεχρεῖσθαι F   ἐν *om.* D   15 σχίνου KQ   δὲ *om.* *a*   16 προνοεῖσθαι D   καὶ] *om.* G, *supra scr.* C²   18 κἂν] καὶ EHQ*a*   19 ἐπιγίνεται Q: γένηται D: γέ|γένηται A   20 ἔμπροσθεν *om.* D   ἐλέγομεν] ἔμπροσθεν ἐλέγομεν D   21 ὑφηγησάμεθα D   25 καὶ *om.* CDFGM*a*   καταπίπτουσι CDFGM, -ν *eras.* B   ἐνστρεφόμενα CFGM²   τινα στρεφόμενα D   26 ἢ (*alt.*)] ποτὲ δὲ D   στρεφόμενοι D   ποτὲ . . . θαλφθέντες *om.* D   29 ἐκραγέντος D: κ^τγέντος Q: κατε(α)γέντος F   30 γίγνονται D   τῶν μὲν] τοῖς μὲν F: ἐπὶ μὲν D *postea add.* τῶν: hos *a*

πασχούσης ὀδύνη κατ᾽ αὐτὴν σφοδρὰ καὶ βάρος καὶ ἦχος τῶν ὤτων, καὶ βλάπτονται τινὲς μὲν τὴν ὄσφρησιν, τινὲς δὲ τὴν γεῦσιν· ὅσοις δὲ κατὰ συμπάθειαν τοῦ τῆς γαστρὸς στόματος ἐπακολουθεῖ, καρδιωγμὸς καὶ ναυτίαι συνέπονται.

### Θεραπεία.

2 Τοὺς σκοτωματικοὺς ἐν ἐπιθέσει μὲν γινομένους διεγερτέον τοῖς τε ἐπιτηδείοις ὀσφραντοῖς χρωμένους καὶ τρίψεσι καὶ τοῖς τοιούτοις, ἐν ἀνέσει δὲ τυγχάνοντας πρὸς ἀνασκευὴν τοῦ πάθους φλεβοτομητέον πρῶτον, εἶτα καθαρτέον τῇ ἱερᾷ, καὶ διαστήσαντας κλυστῆρι δριμεῖ χρηστέον κενταυρίου ἢ κολοκυνθίδος ἀφεψήματι. μετὰ δὲ τὰς τοιαύτας κενώσεις ἀμυκτέον τοπικῶς τὴν κεφαλὴν σικύαις κατὰ τοῦ ἰνίου μετ᾽ ἐγχαράξεως, καὶ μετὰ ταῦτα τοῖς ἀποφλεγματισμοῖς καὶ πταρμοῖς χρηστέον. ἐφ᾽ ὧν δὲ θέρμη τῆς κεφαλῆς καὶ τῶν ὤτων ἦχός ἐστιν, ὡς ἀτμῶν θερμοτέρων διὰ τῶν ἀρτηριῶν ἀναφερομένων, καὶ τὴν ἀρτηριοτομίαν παραληπτέον ὄπισθεν τῶν ὤτων, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται.

### ιγ΄. Περὶ ἐπιληψίας.

1 Ἡ ἐπιληψία σπασμὸς οὖσα τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν πῇ μὲν ἐν αὐτῷ τῷ ἐγκεφάλῳ συνισταμένην ἔχει τὴν αἰτίαν, πῇ δὲ ἐν ταῖς τούτου κοιλίαις ἁπάσαις· αὕτη δὲ ἐστιν ὁτὲ μὲν φλεγματικός, ὁτὲ δὲ μελαγχολικὸς χυμός. ἔτι τε καὶ διὰ τὸ τῆς γαστρὸς στόμα κατὰ συμπάθειαν γίνεται, καθάπερ ἐπὶ κωλικῶν, ὡς ἐν τῷ περὶ ἐκείνων εἰρήσεται λόγῳ, ἤγουν καὶ ἐξ ἀναδόσεως ἑτέρων μορίων αὔρας τινὸς ἀνερχομένης ψυχρᾶς πρὸς τὸν ἐγκέφαλον ὁτὲ μὲν ἀπὸ τοῦ σκέλους, ὁτὲ δὲ ἀπὸ τῶν τῆς χειρὸς δακτύλων· ὤφθη δέ ποτε καὶ ἀπὸ τῆς ὑστέρας ἐπί τινος γυναικός, καθ᾽ ὃν ἔγκυος ἐγένετο χρόνον, μετὰ δὲ τὴν ἀπότεξιν ἀπεπαύετο. γίνεται δὲ τὸ πάθος τοῦτο μάλιστα μὲν παιδίοις, καὶ τούτων ἔτι τοῖς νεογνοῖς, μετὰ ταῦτα δὲ τοῖς μειρακίοις τε καὶ ἀκμάζουσιν, ἥκιστα δὲ πρεσβύταις τε καὶ γέρουσι.

6—12 *Oribasius, Synops. VIII 4*   16 εἰρήσεται] *VI 4*   ιγ΄ *cf. Alexander Trall. I 535 sqq.; Aëtius VI 13—21*   18—25 *cf. Galenus VIII 193*   23 εἰρήσεται] *infra* μγ΄

1 πασχόντων D: πάσχουσιν Q   ὀδύνην AEH, *corr.* E   σφοδρὰ] *seq. ras. 1 litt.* E   4 συνέσωνται H: simul erunt *a*: συνάπτονται F   5 περὶ θεραπείας Q: θεραπεία σκοτωματικῶν E: περὶ σκοτωματικῶν F   6 ἐπιθέσει] *mut. in* ἐπιτάσει C²: ἐπιτάσει *in ras.* DA³: augmento *a*   γενομένους DQ: γιγνομένους F   9 διαστήσαντας] D: διαστήσαν^τ G: διαστήσαντες C *supra scr.* α: διαστήσαντα ABEFHKMQ: per interualla *a*   10 ἀφεψήματος CDG   12 καὶ πταρμοῖς] ABEHK: *om.* M, καὶ τοῖς πταρμοῖς *mrg.* M²: καὶ πταρμικοῖς CFG*a*: καὶ τοῖς πταρμικοῖς D   13 θέρμη] διὰ θέρμην D   τῶν *om.* D   15 ὄπισθεν] CDFG: ὄπιθεν ABEHKMQ   18 ἐπιλημψία Q*a*   21 φλεγματικός] φλεγματικὸς χυμός D   χυμός *om.* D   τε] δὲ CDFG: *om.* *a*?   22 γίγνεται Q *ante* ἐπὶ *ins.* καὶ B   23 ἤγουν] ἢ D: *om.* *a*   24 γίνεται *mrg.* K ψυχρᾶς ἀνερχομένης F   ψυχρᾶς *om.* D   ὁτὲ] ψυχρᾶς ποτὲ D   26 ἐγίνετο D   28 μὲν] μὲν ἐπὶ B   δὲ ταῦτα AD   29 τοῖς *om.* D   γέρουσιν AEHQ

προηγεῖται μὲν οὖν τῶν ἐπιληπτικῶν cώματος καὶ ψυχῆς τάcις ἀπροαίρετος καὶ δυcθυμία καὶ τῶν προcεχῶν λήθη καὶ ἐνυπνίων ὄψεις ταραχώδεις καὶ κεφαλαλγία καὶ πλήρωcις τῆς κεφαλῆς cυνεχής, ἐπ' ὀξυθυμίαις μάλιστα, ὠχρότης τε προcώπου καὶ γλώττης ἄτακτος κίνηcις· τινὲς δὲ καὶ καταδάκνουcιν αὐτήν. τῶν δὲ ἀπὸ cτομάχου καὶ παλμὸς αὐτοῦ τοῦ cτομάχου προηγεῖται καὶ κλόνος καὶ δῆξις, κἂν ταῖς ἀcιτίαις ἢ βραδυcιτίαις παροξύνονται. ἐνcτάντος δὲ ἤδη τοῦ cυμπτώματος κατάπτωcις αὐτοῖς αἰφνιδίως γίνεται καὶ cπαcμὸς καὶ ἄcημός τις ἔcτιν ὅτε ἀναβόηcις. ἐξαίρετον δὲ μάλιcτα cημεῖόν ἐcτιν αὐτῶν ὁ τοῦ cτόματος ἀφριcμὸς τῶν ἄλλων κοινῶς πως ὑπαρχόντων καὶ ἑτέροις νοcήμαcι· τιcὶ δὲ αὐτῶν καὶ οὖρον ἀκουcίως ἐκκρίνεται καὶ κόπρος, ἔcτι δὲ οἷς καὶ γόνος. ἐπί τινων μὲν οὖν ὀξύτατον ὑπάρχον τὸ πάθος ταχέως ἀπέκτεινε τῇ τε cυνεχείᾳ τῶν παροξυcμῶν καὶ τῇ τοῦ cυμπτώματος ἰcχύι, ἐπὶ δὲ τῶν πλειόνων εἰς μῆκος ἐκτείνεται, ὥcτε, εἰ μὴ λυθείη κατὰ τὴν ἥβην ἢ τὰς καθάρcεις ἢ τὰς κυήcεις, ἢ εἰ μετὰ τοῦτον cυcταίη τὸν χρόνον, ὡς τὰ πολλὰ cυναποθνήcκει, χωρὶς εἰ μὴ τῆς προcηκούcης ἰάcεως ἐπιτύχοι. διελέγχει δὲ τοὺς ἐπιληπτικοὺς θυμιώμενα ἄcφαλτος ἢ γαγάτης λίθος ἢ κέρας αἴγειον, ἐcθιόμενον δὲ ἧπαρ τράγειον, καὶ ἡ ὀcμὴ ὀπτωμένου τοῦ ἥπατος.

Θεραπεία.

2 Εἰ μὲν ἔτι βρέφος εἴη τὸ κάμνον, οὐδὲν δεῖ περιεργάζεcθαι· τῆς τε γὰρ ἡλικίας ἐπὶ τὸ χολωδέcτερόν τε καὶ ξηρότερον μεταβαλλούcης καὶ τῆς διαίτης ἐπὶ τὸ cωφρονέcτερον αὐτομάτως ὡς τὰ πολλὰ τὸ πάθος ἀποπαύεται· χρὴ δὲ τῆς διαίτης καὶ μόνον αὐτῶν τε τῶν βρεφῶν καὶ τῶν γαλούχων προνοεῖcθαι. μετὰ δὲ τὴν τῶν παιδίων ἡλικίαν τοὺς ἐμπεcόντας εἰς ἐπιληψίαν λιπαρῶς τε ἐμβρέχειν τὰ cπώμενα καὶ διαcτρεφόμενα μέρη διακρατεῖν τε καὶ ἀπευθύνειν, εἶτα διαcτήcαντας τὸ cτόμα ἐπικαθεῖναι δάκτυλον ἢ πτερὸν κεχριcμένον ἐλαίῳ ἰρίνῳ πρὸς τὸ κομίcαcθαι φλέγμα. χρὴ δὲ καὶ τοῖς ὀcφραντοῖς τὴν αἴcθηcιν ἐρεθίζειν, οἷον πευκεδάνῳ, Κυρηναϊκῷ ὀπῷ, ἀcφάλτῳ, κεδρίᾳ, πίccῃ· μετὰ δὲ τοὺς παροξυcμούς, εἰ μηδὲν κωλύοι, φλεβοτομίᾳ χρηcτέον ἀπ' ἀγκῶνος. μηδὲν δὲ ὑπείκοντος τοῦ παροξυcμοῦ τὰ μὲν ἄκρα cιναπιcμῷ

26 — p. 154, 17 *Oribasius, Synops. VIII 3*

31 ABCDEGHKM(F*a*)

1 μὲν *om. a* cωμάτων CFG τάcις] ADEFC², *e corr.* K: cτάcις BCGHKMQ*a* 2 καὶ *(tert.) om.* D ὄψις CFG*a* ταραχώδης CF*a* 3 κεφαλαλγίαι AEQ²*a*, κεφαλαλγίαν Q 6 καὶ κλόνος *om. a* κἂν] καὶ DE

8 ἐφνίδιος H: ἐξαιφνίδιος D: ἐξεφνι^δ Q καὶ ἄcημός *om.* D τις] τῆς *e corr.* Q: eis *a* ὅτε] ὅτε καὶ D 9 αὐτῶν ἐcτιν DQ 10 κοινῶν D 11 καὶ *(alt.)*] οἷς δὲ καὶ D 12 μὲν *om. a* 15 ἢ *(pr.)*] εἰς K τοῦτον] τούτων E*a*, *corr.* E²: το|τοῦτον *corr. ex* τούτων B: τοcοῦτον CFG 16 cυναποθνήcκειν DFG 17 διελέγχειν ABHKM τοὺς *om.* CFG 18 δὲ] τε D 19 ἡ *om.* D τοῦ *om.* D 25 παίδων DM 26 τε *om.* D τὰ] καὶ τὰ D 28 καταχριώμενον D 30 κεδρίᾳ] DQE²: κεδρέᾳ CG: κεδραίᾳ ABHKM 31 κωλύει DF*a*: *in* κω- *des.* Q 32 ὑπήκοντος BG*a*

καταληπτέον, cικύαν δὲ κολλητέον τοῖς ὑποχονδρίοις. μὴ γενομένης δὲ πρὸς ταῦτα ἀνοχῆς ὀλίγη μὲν ἐλπίς, ὅμως δὲ θαρcαλέως ὁ ἰατρὸς καστόριον βιαζόμενος ἐγχείτω τῷ cτόματι καὶ ὀπὸν Κυρηναϊκὸν μετὰ μέλιτος καὶ ὄξους καὶ δι᾽ ἕδρας ἐνιέτω κενταυρίου ἀφέψημα ἢ κολοκυνθίδος. τοὺς δὲ διαναστάντας ἐκ τῆς ἐπιληψίας μετὰ τὴν ἀνάληψιν τῇ διὰ τῆς ἱερᾶς καθάρcει κενωτέον. τοιαύτη μὲν δή τίς ἐστιν ἡ τῆς προσφάτου καὶ ὀξείας ἐπιληψίας θεραπεία· ἐφεξῆς δὲ ὅσα πρὸς ἀνασκευὴν τῆς κεχρονισμένης παραδώσομεν. χρὴ τοίνυν τοὺς πάσχοντας ἐν ὑδροποσίᾳ μὲν μακρᾷ συνέχειν, ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ φλεβοτομεῖν, εἰ μηδὲν κωλύει, καὶ διαλιπόντας τέσσαρας ἢ πέντε ἡμέρας ἀναλαμβάνειν τὸ σωμάτιον καὶ οὕτω καθαρτικῷ ὑποκενοῦν, μάλιστα μὲν δι᾽ ἐλλεβόρου μέλανος ἢ κολοκυνθίδος, εἰ δ᾽ οὖν γε διὰ σκαμμωνίας· δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου δίχα τῆς ἐντεριώνης κεκομμένου καὶ σεσησμένου ἐμπάσσειν μελικράτου κυάθοις πέντε ἢ ἓξ ἢ μέλιτι ἀπέφθῳ ἀναλαμβάνειν μετ᾽ ὀλίγου πεπέρεως, τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐκβαλόντας πληροῦν αὐτὴν ἔχουσαν τὴν ἐντεριώνην γλυκέος καὶ ἐᾶν ὅλην τὴν νύκτα, ἕωθεν δὲ κεράσαντα τὸ γλυκὺ διδόναι πίνειν· ἢ καὶ τῷ διὰ τοῦ λευκοῦ ἐλλεβόρου καθαρτηρίῳ χρηστέον· ἔστι δὲ τοῦτο δαφνοκόκκων καθαρῶν < η̄, πεπέρεως λευκοῦ < η̄, ἀλυπιάδος < η̄, εὐφορβίου < η̄, ἐλλεβόρου λευκοῦ < η̄· ταῦτα δίδου ἐν μιᾷ δόσει σὺν τῷ γλυκεῖ τῷ ἐν τῇ κολοκυνθίδι· καλῶς κενοῖ δι᾽ ἐμέτων. μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν λούειν αὐτούς, τῇ δὲ τρίτῃ σικυαστέον ὑποχόνδριά τε καὶ μετάφρενον μετ᾽ ἀμυχῶν, εἶτα διαστήσαντας ἱκανὰς ἡμέρας καὶ ἀναλαμβάνοντας τὸ σωμάτιον τῆς διὰ κολοκυνθίδος ἱερᾶς προσάγειν, εἶτα μετὰ τοῦτο σικυαστέον κεφαλὴν καὶ ἰνίον, τῇ δὲ ἑξῆς καταπλάττειν αὐτὸν ἄρτῳ ἡψημένῳ μὲν ἐν μελικράτῳ, συλλελειωμένῳ δὲ πικροῖς ἀμυγδάλοις ἢ ἑρπύλλῳ ἢ ἡδυόσμῳ ἢ καλαμίνθῃ ἢ πηγάνῳ, καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας· καὶ μετὰ ταῦτα ξυρᾶν μὲν τὴν κεφαλήν, καταχρίειν δὲ πευκεδάνου ὀπῷ σὺν ὄξει διειμένῳ, ᾧ σπονδύλιον ἐνήψηται· διαστήσαντα δὲ πάλιν καὶ ἀναλαβόντα τὸ σωμάτιον διδόναι τῆς διὰ κολοκυνθίδος ἀντιδότου ὀβολοὺς θ̄ ἐν μελικράτῳ καὶ διαστήσαντα

17—21 *Alexander Trall. I 555* 21—p. 155, 9 *Oribasius, Synops. VIII 3*

1 δὲ *(pr.)*] τε H 2 ἀνοχῆς] τινος ἀνοχῆς D ὀλίγη] D: ὀλιγίστη ABCEFGHKM*a* δέ *om.* M*a* 3 ἐγχείτω] DEFC[3]: ἐγχεῖ ABCGHKM: infundet *a* 5 ἐπιλήψεως CG 6 τοιαύτη] D: αὕτη ABCEFGHKM*a* δή] δέ F: *om. a* 8 κάμνοντας K 10 κωλύοι CDFG διαλειπόντας ACK 11 σῶμα D 12 εἰ] ἢ G 13 τὸ μὲν ἐλλέβορον D κεκομμένον D σεσησμένου] A: σεσησμένον D: σεσημμένου FGHM[2]: σεσημένου BCEKM 14 κυάθοις] ἐμβάλλοντας κυάθους D ἕξ] ζ̄ CG 15 ἐκβαλλόντας K: ἐκβάλλοντας DEHM, *corr.* M 16 τὴν] καὶ τὴν M 17 κεράσαντα *om. a* τῷ γλυκεῖ DE[2] ἢ *om.* D καὶ *om. a* 19 < η̄ *(tert.) om.* CDFG*a* 20 < η̄ *(pr.) om.* CDFG*a* < *(alt.)*] ἀνὰ < CDFG*a* 21 καλῶς] καλῶς γὰρ D 23 μετ᾽ ἀμυχῶν] *om. a*: μετὰ ἀμυχῶν D: μετὰ μυχῶν FG *et corr. ex* μετὰ χυμῶν C διαστήσαντα D 24 ἀναλαβόντας D σῶμα D 25 δὲ *om. a* 26 αὐτὸν] *om. a*: αὐτὴν *Or, e corr.* J μὲν *om.* K δὲ] *supra scr.* E[2] 27 καὶ *om.* F 29 πευκεδάνου] D*a*: πευκεδάνῳ ABCEFGHKM ὀπτῷ AF ᾧ] ἐν ᾧ D ἐμβέβληται D 30 intermittentes *a* ἀναλαβόντα] CDF: ἀναλαμβάνοντα ABEGHKM: resumentes *a* σῶμα D 31 θ̄] β̄ D διαστήσαντα] D: διαστήσαντας ABCEFGHKM*a*

ἡμέρας πάλιν διδόναι τῆς ἀντιδότου γ̄· εἶτα πταρμικοῖς χρῆσθαι καὶ μετὰ ε̄ ἢ ῑ ἡμέρας καστορίου διδόναι ἐν μελικράτῳ· καὶ διαστήσαντα πάλιν κλύζειν τῷ διὰ κενταυρίου καὶ κολοκυνθίδος· εἶτα τὴν ἱερὰν αὖθις διδόναι καὶ ἐφεξῆς ἀποφλεγματισμοῖς χρῆσθαι καὶ ἐρρίνοις, εἶτα τῷ σιναπισμῷ κατὰ τῆς κεφαλῆς· δεῖ δὲ καὶ δριμυφαγίαις ἐν καιρῷ χρῆσθαι. ὠφελεῖ δὲ τούτους καὶ ὀξύμελι τὸ σκιλλητικὸν καθ' ἡμέραν πινόμενον καὶ τὸ μέλι, ἐν ᾧ σκίλλα συνετάκη, ὅσον κοχλιάριον. δίαιτα δὲ τούτοις ἁρμόσει τμητικὴ καὶ λεπτύνουσα καὶ ἡ κάππαρις συνεχῶς ἐσθιομένη καὶ τάριχος· ἀπεχέσθωσαν δὲ κρεῶν τε καὶ ὀσπρίων καὶ οἴνου πλείονος ἀφροδισίων τε πλειόνων καὶ βαλανείων καὶ νάπυος καὶ τοῦ πίνειν εὐθὺς μετὰ λουτρόν, καὶ μάλιστα ἄκρατον οἶνον· κεχρήσθωσαν δὲ γυμνασίοις καὶ τρίψεσιν ὑστάτην τῶν ὅλων μορίων ἀνατριβόμενοι τὴν κεφαλήν.

## Περὶ τῶν ἀπὸ στομάχου. 3

Εἰ δὲ πρωτοπαθοῦντος τοῦ στομάχου γίγνοιτο τὸ πάθος, εὐπεψίας προνοοῦντα τὸν πάσχοντα δεῖ περὶ τρίτην ὥραν ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι ἐξ οἴνου κεκραμένου τῶν ἠρέμα στυφόντων καὶ λευκῶν. δίδου δὲ τούτοις τοῦ δι' ἀλόης φαρμάκου δίς που καὶ τρὶς ἐφ' ἑκάστου ἔτους. οἶδα δέ ποτε παιδίον, φησὶν ὁ Γαληνός, οὐδ' ὅλως ἐπιληφθέν, ἐξ οὗ τῆς ῥίζης τῆς γλυκυσίδης ἐφόρει (λέγει δὲ τὴν παιωνίαν) μέγα καὶ πρόσφατον ἐξαρτώμενον τῷ τραχήλῳ. καὶ τὸ ἀγαρικὸν δὲ τοὺς ἐπιληπτικοὺς ὀνίνησι σέσελί τε καὶ τοῦ σπονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα καὶ ἀριστολοχία στρογγύλη μεθ' ὕδατος πινομένη· βοηθεῖ δὲ μεγάλως τούτοις καὶ ἡ ἀπόσχασις τῶν σκελῶν συνεχῶς γινομένη.

## Περὶ τῶν ἀπό τινος μορίου. 4

Μέλλοντος μὲν γίνεσθαι τοῦ συμπτώματος, ἐπειδὰν αἴσθωνται τοῦ μορίου, ἐὰν ᾖ ποὺς ἢ χείρ, δεῖ βρόχῳ τὸ ὑπερκείμενον ἰσχυρῶς ἀπολαμβάνειν, ἐν δὲ ταῖς ἀνέσεσιν ἀποθεραπεύειν τῶν καυστικῶν τι φαρμάκων τῷ μορίῳ προσφέροντας, οἷόν ἐστι τὸ λεπίδιον ἢ τὰ διὰ κανθαρίδος καὶ τὰ παραπλήσια. καὶ τὸ Ἰουλιάνιον δὲ ὀξύμελι τοὺς ἐπιληπτικοὺς μεγάλως ὀνίνησι κατὰ μέρος ἐκμοχλεῦον τὴν ὕλην. μετὰ δὲ πάντα τὰ λεχθέντα καὶ θηριακὴ καὶ τὰ αὐτοφυῆ τῶν λουτρῶν χώραν ἔχουσι.

12—13 *Galenus XI 364* ιγ' 3 *Oribasius, Synops. VIII 3*
19 Γαληνός] *XI 859*

1 *post* ἡμέρας *ins.* γ̄ D διδόναι πάλιν D: rursus da *a* 2 ῑ] ζ̄ D 3 τῷ] D: τοῦ H: τὸ ACEFGKM *et seq. ras.* B αὖθις] statim *a* 4 ἐνρίνοις AH τῷ *om.* D 6 τούτοις KM 7 οἷον D 8 ἁρμόζει D*a* καὶ ἡ] ποιεῖ δὲ καὶ D κάππαρις] D*a*: κάππαρις δὲ K: κάππαρις οὖν E: κάππαρις γοῦν ABCFGHM 11 μετὰ] μετὰ τὸ DF 12 δὲ] δὲ καὶ D μορίων *om.* *a* 14 *om.* G 15 τὸ πάθος γίγνοιτο D 16 πάσχοντα] κάμνοντα D 17 κεκραμένου] *om.* *a*: κεκερασμένου D: κεκραμμένου EFH 19 ποτε παιδίον *om.* D οὐδ'] παιδίον οὐδὲ D 21 τοῦ τραχήλου D 26 γίνεσθαι] *om.* *a*: γίγνεσθαι A 27 δεῖ βρόχῳ] *e corr.* B: cum laqueo *a*: διαβρόχῳ ACDEFGHKM: διὰ βρόχων JE² 29 τὰ] τὸ F 30 ἰουλιάνειον D 31 ἐκμοχλεύειν AE*a*, *corr.* E²

παρ' ὅλον δὲ τὸν τῆς ζωῆς αὐτῶν χρόνον φυλαττέσθωσαν μάλιστα μὲν τὴν ἀπεψίαν καὶ τὸ τρέφεσθαι πρὸ πέψεως καὶ τὰ παχύχυμα τῶν ἐδεσμάτων καὶ τὴν βραδυσιτίαν καὶ τὴν ἐκχόλωσιν τήν τε πολυοινίαν καὶ τὸ πίνειν μετὰ λουτρόν, ὡς εἴρηται, μάλιστα τὸν ἄκρατον καὶ τοὺς πάνυ παλαιοὺς καὶ τοὺς παχεῖς οἴνους, καὶ τὰ δριμέα τῶν ὀσφραντῶν καὶ πληρωτικὰ τῆς κεφαλῆς καὶ τὸ ἀτενίζειν ἐξ ὕψους καὶ τὸ ἐγχρονίζειν ἐν βαλανείῳ καὶ τὴν ἔγκαυσιν τῆς κεφαλῆς.

## ιδʹ. Περὶ μελαγχολίας καὶ μανίας καὶ ἐνθεαστικῶν.

1 Ἡ μελαγχολία παραφροσύνη τίς ἐστιν ἄνευ πυρετοῦ ἐπὶ μελαγχολικῷ μάλιστα χυμῷ γινομένη κατειληφότι τὴν διάνοιαν, ποτὲ μὲν αὐτοῦ πρωτοπαθοῦντος τοῦ ἐγκεφάλου, ποτὲ δὲ τῷ ὅλῳ συμμεταβαλλομένου σώματι· καὶ τρίτον δὲ μελαγχολίας εἶδός ἐστιν, ὃ φυσῶδές τε καὶ ὑποχονδριακὸν καλοῦσιν, ἐπὶ φλεγμονῇ τῶν περὶ τὸν στόμαχον ὑποχονδρίων συνιστάμενον ποτὲ μὲν αὔρας τινὰς μοχθηράς, ποτὲ δὲ καὶ τῆς οὐσίας τοῦ χυμοῦ μέρος ἀναπεμπόντων πρὸς τὸν ἐγκέφαλον. σημεῖα δὲ κοινὰ μὲν ἁπάντων ὅ τε φόβος καὶ ἡ δυσθυμία καὶ ἡ μισανθρωπία καὶ τὸ δοκεῖν τοὺς μὲν ζῷά τινα εἶναι ἄλογα καὶ μιμεῖσθαι τὰς φωνὰς αὐτῶν, τοὺς δὲ σκεύη ὀστράκινα καὶ φοβεῖσθαι τὸ καταγῆναι, καὶ τοὺς μὲν ἐπιθυμεῖν τοῦ θανάτου, τοὺς δ' αὖ φοβεῖσθαι τὸ ἀποθανεῖν, καὶ τοὺς μὲν ἀεὶ γελᾶν, τοὺς δὲ κλαίειν· τινὲς δὲ καὶ δοκοῦσιν ὑπό τινων μειζόνων ἐφορᾶσθαι δυνάμεων καὶ προλέγειν τὰ ἐσόμενα καθάπερ ἐνθεάζοντες, οὓς καὶ ἐνθεαστικοὺς ἰδίως ὀνομάζουσιν. ἴδια δὲ σημεῖα τῶν μὲν διὰ συμπάθειαν ὅλου τοῦ σώματος μελαγχολικῶν τό τε κάτισχνον τοῦ σώματος καὶ μέλαν καὶ δασὺ καὶ τὸ ὅλον μελαγχολικὸν ἢ φύσει ἢ καὶ ἐξ ἐπικτήτου διά τινας φροντίδας ἢ ἀγρυπνίας ἢ μοχθηρῶν σιτίων προσφορὰς ἢ ἐπίσχεσιν αἱμορροΐδων ἢ καταμηνίων. τοὺς δὲ διὰ ὑποχόνδρια μελαγχολικοὺς ἀπεψίαι τε δηλοῦσι καὶ ὀξυρεγμίαι καὶ καῦμα καὶ βάρος αὐτῶν καὶ τὸ ἀνεσπάσθαι τὸ ὑποχόνδριον ἔσθ' ὅτε καὶ φλεγμαίνειν καὶ τοῖς ἀρξαμένοις, εἶτα μείζοσι γινομένοις ἀκολουθεῖν τὰ μελαγχολικὰ συμπτώματα καὶ ταῦτα κουφίζεσθαι ταῖς πέψεσιν ἢ ταῖς ἀποκρίσεσιν ἢ φύσαις πλείοσιν ἢ ἐμέτοις ἢ ἐρυγαῖς. μηδενὸς δὲ τούτων ἢ παντάπασιν ὀλίγων αὐτῶν γινομένων τὰ μελαγχολικὰ φαινόμενα σημεῖα πρωτοπαθεῖν δηλοῦσι τὸν ἐγκέφαλον,

4 εἴρηται] *p. 155, 11* ιδʹ *cf. Oribasius, Synops. VIII 6; Alexander Trall. I 591 sqq.; Aëtius VI 8—10*

1. 2 τὴν ἀπεψίαν μὲν μάλιστα M 3 καὶ τὴν ἐκχόλωσιν] D: *om. a*: καὶ τὴν ἐκμόχλωσιν BCGHKM: καὶ τὴν ἐκμόχλευσιν AEC[3], *e corr.* F 5 τοὺς *om.* DE 6 καὶ *(pr.)*] καὶ τὰ D καὶ τὸ *(alt.)*] ἢ καὶ D 9 Ἡ] ἡ μὲν E, *corr.* E[3] 11 ὅλῳ] ἄλλῳ D, *mrg.* γρ. τῷ ὅλῳ 16 πάντων D 17 τινα *om.* D 18 κατεαγῆναι AH 19 αὖ *om. a* τὸ] τοῦ BCFG 21 μειζόνων] κρειττόνων D ἐμφορεῖσθαι D 22 καὶ *om.* K 25 καὶ *om.* D[3]*a* 26 προσφορὰν D 27 διὰ] διὰ τὰ D: δι' M 28 ἀνασπᾶσθαι AB τὰ ὑποχόνδρια D 29 ὅτε] ὅτε δὲ D φλεγμαίνειν] φλεγμονὴ D: φλεγμαίνειν τούτοις F τοῖς] τούτοις D 30 κουφίζεται D 31 ἢ *(quater)*] et *a*

τοὐπίπαν ἐπὶ μελαγχολικῷ χυμῷ· εἰ δέ ποτε τῆς ξανθῆς χολῆς ὑπεροπτηθείσης εἰς μέλαιναν ἡ μεταβολὴ γένηται, τὴν καλουμένην οἷσει μανίαν, ἐφ' ᾗ θηριωδῶς ἐκμαίνονται, ὥστε καὶ τοὺς ἀμελέστερον προστυγχάνοντας αὐτοῖς διαχειρίζεσθαι.

Θεραπεία μελαγχολίας. 2

Τοὺς μὲν οὖν κατὰ πρωτοπάθειαν τοῦ ἐγκεφάλου μελαγχολικοὺς διά τε λουτρῶν συνεχῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς ἐκθεραπεύειν ἅμα τῇ κατὰ τὴν ψυχὴν προσηκούσῃ θυμηδίᾳ χωρὶς ἑτέρου βοηθήματος, ὅταν γε μήπω διὰ χρόνου μῆκος δυσεκκένωτος ὁ λυπῶν ᾖ χυμός, ὅτε καὶ ποικιλωτέρας καὶ ἰσχυροτέρας προσάγειν χρὴ τὰς ἰάσεις. καθαίρειν οὖν αὐτοὺς εὐθὺς ἐξ ἀρχῆς ἐπιθύμῳ ἢ ἀλόῃ· τούτων γὰρ εἰ καὶ ὀλίγον ἐφ' ἑκάστης ἡμέρας λαμβάνοιεν, ὠφελεῖ τὰ μέγιστα καὶ ἡσυχῇ ὑπάγει. καθήραντα οὖν, ὡς εἴρηται, διδόναι τοῦ ἀψινθίου, νῦν μὲν τῆς πόας βρέχων ἐν ὕδατι καὶ ἑψῶν ὅσον κυάθους δύο, νῦν δὲ τοῦ χυλοῦ ὅσον ἡμίδραχμον διατήκων ὕδατι συνεχῶς. καὶ ὄξους δὲ ἐπιρροφεῖν ὡς δριμυτάτου βραχὺ καθεύδειν μέλλοντα καὶ τὰ πολλὰ τῶν ὄψων εἰς τοῦτο ἀποβάπτοντα ἐσθίειν· ἄμεινον δὲ μεμῖχθαι τῷ ὄξει σκίλλης καὶ πολίου καὶ τῆς λεπτῆς ἀριστολοχίας. ὅταν δὲ ἐντύχῃς ἀρχομένῳ μὲν τῷ νοσήματι διὰ τὴν τοῦ ὅλου σώματος συμπάθειαν, ὡς εἴρηται, συνεστῶτι δὲ τῷ σώματι, πάντως ἀπὸ φλεβοτομίας ἀρκτέον, μετὰ δὲ τὴν φλεβοτομίαν ἀνακομισάμενον κάτω καθαίρειν τῷ διὰ Σικυωνίας καὶ τῷ διὰ τοῦ μέλανος ἐλλεβόρου. καὶ τὰς αἱμορροΐδας δὲ ἀναστομώσομεν καὶ καταμήνια προτρέψομεν, εἰ διὰ τὴν τούτων ἐπίσχεσιν εἴη γεγενημένον τὸ πάθος. ἀγαθαὶ δὲ καὶ αἱ διουρητικαὶ δυνάμεις καὶ αἱ τῶν ἱδρώτων καθάρσεις. εἰ δὲ διὰ τὴν τῶν ὑποχονδρίων κάκωσιν τὸ πάθος συνέστη, χρὴ καὶ τὴν τούτων ποιεῖσθαι φροντίδα καὶ πυριᾶν μὲν αὐτὰ διαβρέχοντας πηγάνου ἀφεψήματι καὶ ἀνήθου καὶ ἀψινθίου καὶ γλήχωνος καὶ ἄγνου σπέρματος καὶ δάφνης τοῦ καρποῦ (ταῦτα γὰρ καὶ τοὺς πόνους παρηγορεῖ καὶ τὰς φύσας μειοῖ), ἑψεῖν δὲ ἐν ἐλαίῳ καὶ καταπλάττειν· ἐχέτω δὲ καὶ τούτων τὰ καταπλάσματα καὶ τῶν πρὸς τὰς φύσας τὸ σέλινον ἢ τὸ ἄνισον ἢ τὸ κύμινον· οὐ χεῖρον δὲ καὶ κύπερον

ιδ' 2 *Oribasius, Synops. VIII 6* 19 εἴρηται] *p. 156, 11*

1 τοὐπίπαν *om. a* 2 οἷσει] ποιήσει DF³ 3 *supra* ἐφ' *scr.* ἐν D 5 μελαγχολίας *om.* EF 6 οὖν *om.* D 7 τε *(alt.) om.* A θεραπεύειν D 8 τὴν *om.* DH προσηκούσῃ *om.* D 9 γε] δὲ H*a* χυμὸς ᾖ AE*a* ὅτε] *mut. in* τότε F: tunc *a* 10 καὶ *(pr.)*] *om.* M: *supra scr.* C καὶ ἰσχυροτέρας *om.* C προσάγειν *om.* D ἰάσεις] ἰάσεις προσφέρειν D 11 εὐθὺς αὐτοὺς B, *sed corr.* εὐθὺς *om.* M 12 ὑπάγει] BD*a*: ὑπάγῃ C: ὑπάγοι AEGHKM: ἐπάγει F 13 καθήραντες F: καθήραν<sup></sup>τ G: *om.* D ὡς εἴρηται *om.* D διδόναι] δίδου δὲ καὶ D 14 ὅσον *(utr.) om. a* 15 δὲ *om. a* 16 βραχὺ *om. a* μέλλοντ<sup></sup>ας D: μέλλοντος F καὶ] uero *a* 17 ἀποβάπτοντα] AE*a*: ἀποβάπτοντ G: ἀποβάπτοντας BCDFHK: ἀποβάπτοντος M 21 κάτω] καὶ κάτω D τῷ *(utr.)*] τὸ CGM 22 αἱμορραγίας K δὲ *om. a* 24 δὲ] D: *om. a*: τε ABCEFGHKM καὶ αἱ *(pr.)*] D, *e corr.* J: καὶ ABCEFGHKM 26 ποιήσασθαι D βρέχοντας K: διαβρέχοντος F 27 ἀφέψημα K καὶ ἀνήθου . . . σπέρματος καὶ *(28) om.* K 28 γὰρ] δὲ D 30 καὶ *(pr.) om.* D τῶν] τι τῶν D 31 τὸ *(pr.)*] οἷον τὸ D

καὶ ἶριν καὶ λιβανωτίδα ἐμβάλλειν εἰς τὸ κατάπλασμα. ἐὰν δὲ ἐπὶ πολὺ προσκεῖσθαι ταῦτα καὶ δι᾽ ἡμέρας καὶ ἐδηδοκότι καὶ ἀσίτῳ· ὅταν δὲ ἀφέλῃς, ἄλλο τι σκέπασμα ἐπίβαλλε ἢ ἔριον πλατύ. καὶ σικύαις δὲ χρῆσθαι πρὸς μὲν τὰ πνεύματα κούφαις, πρὸς δὲ τοὺς πόνους καὶ τὰς φλεγμονὰς ἀποσχάζων. προσέχοντας δὲ τῇ θεραπείᾳ μηδὲ τοῦ νάπυος ἐπιλανθάνεσθαι, χρῆσθαι δὲ καὶ τοῖς δριμέσι σμήγμασι καὶ δρώπαξι κατά τε μεταφρένου καὶ τῆς γαστρός. ἐπὶ δὲ τῶν κεχρονισμένων κράτιστον βοήθημα καὶ ἡ διὰ τοῦ ἐλλεβόρου δι᾽ ἐμέτων κάθαρσις. δίαιτα δὲ πᾶσι τοῖς μελαγχολικοῖς εὔχυμος ἁρμόσει καὶ μετρίως ὑγραίνουσα φυλαττομένων αὐτῶν κρέα τε βόεια καὶ ἐλάφεια καὶ φακῆν καὶ κράμβας καὶ κοχλίας οἴνους τε παχεῖς καὶ μέλανας, καὶ ἁπλῶς ὅσα τὴν μέλαιναν χολὴν γεννᾷ.

**3** Θεραπεία μανίας.

Καὶ τοὺς μαινομένους παραπλησίως τοῖς μελαγχολῶσι θεραπεύσομεν· ἰδίως δὲ τῇ κεφαλῇ τούτων ῥόδινόν τε καὶ ὀξυρόδινον προσοίσομεν, καὶ διὰ τῆς πικρᾶς ἀντιδότου καθάρωμεν προφλεβοτομήσαντες αὐτοὺς καὶ βδέλλαις κατὰ τῆς κεφαλῆς χρησώμεθα. μάλιστα δὲ αὐτοὺς ὠφελεῖ ἱππομαράθρου ῥίζα καὶ τὸ σπέρμα πινόμενον ἐν ὕδατι καὶ βρυωνίας ῥίζης < ᾱ μεθ᾽ ὕδατος καθ᾽ ἡμέραν. εἰ δὲ μὴ πείθοιντο τὰ καθαρτικὰ φάρμακα πίνειν οἱ παραφρονοῦντες, καταμικτέον αὐτὰ λεληθότως ὁτὲ μὲν τοῖς ἐδέσμασιν αὐτῶν, οἷον βουκελλίοις ἢ ἰσχάσιν ἢ φοίνιξιν, ὁτὲ δὲ τοῖς πόμασιν. πρὸ δέ γε πάντων ἢ συνδεσμείσθωσαν ἐν τῇ κλίνῃ διὰ τὸ μὴ κακόν τι δρᾶν αὑτούς τε καὶ τοὺς προστυγχάνοντας ἢ αἰωρείσθωσαν ἐν κλινιδίῳ ἔνδοθεν γυργάθου τινὸς ἐξ ὕψους ἀπηρτημένῳ.

ιε΄. Περὶ ἐφιάλτου.

Τὸν ἐφιάλτην οἱ μὲν ἀπὸ ἀνδρὸς ὠνομάσθαι λέγουσιν ἢ ἀπὸ τοῦ φαντασιοῦσθαι τοὺς ἐν αὐτῷ γινομένους ὡς ἐφαλλομένου τινός· Θεμίσων δὲ διὰ τοῦ δεκάτου τῶν ἐπιστολικῶν πνιγαλίωνα προσωνόμασεν,

ιδ΄ 3 *cf. Oribasius, Synops. VIII 7*  ιε΄ *cf. Aëtius VI 12*

2 ἡμέρας] ἡμέρας καὶ νύκτωρ D  ἐδηδοκότι] DF, *e corr.* E: ἐδηδεδοκότι B: ἐδηδεκότι ACEGHKM  3 σκέπασμα *om.* AE  ἐπίβαλλε *om.* A  ἢ] *Or*: καὶ D: *om.* ABCEFGHKM*a*  πλατύ *om. a*  δὲ *om. a*  4 χρῆσθαι] D: χρὴ ABCEFGHKM*a*  5 ἀποσχάζοντας D: *caraxa a*  προσέχοντα E  7 τε] τοῦ CF, *e corr.* G  8 καὶ *om. a*  9 ἁρμόζει D  10 κράμβην D  11 τε] τε τοὺς D: τ$^{υ}$ H  12 γεννᾷ χολὴν D  14 θεραπεύσωμεν BEHKM, *corr.* M  15 προσοίσομεν] DF, *e corr.* M: *corr. ex* ποιήσομεν C: προσοίσωμεν ABEGHKM*a*  16 καθάρωμεν] *mut. in* καθάρομεν M: καθάρομεν CFG  17 χρησόμεθα CDG, *e corr.* M  18 ἱππομαράθου D  19 μὴ *om.* M  20 λεληθότας K  22 συνδεσμείσθωσαν] διακρατείσθωσαν ὑπό τινων παίδων ἢ δεσμείσθωσαν D  24 ἢ] ἢ καὶ D  ἔνδοθεν . . . τινὸς *om. a*  θυργάθου CG, *corr.* C: γυγάθου K: γαγάθου F  26 Περὶ] CEFG: περὶ τοῦ ABDHKM  27 οἱ *om. a*  ἀπὸ] *om.* K, ὑπὸ *mrg.*  ἀνδρὸς] ἀνδρός τινος D  ἢ] οἱ δὲ CG: οἱ δὲ καὶ D  29 ἐν τῷ δεκάτῳ D

ἴcωc ἀπὸ τοῦ πνίγειν. cυνίcταται δὲ περὶ τοὺc κραιπαλῶνταc καὶ cυνεχῶc ἀπεπτοῦνταc· τοῖc δὲ ἐν αὐτῷ γενομένοιc παρακολουθεῖ δυcκινηcία καὶ ναρκώδηc cυναίcθηcιc, παρὰ τοὺc ὕπνουc πνιγμοῦ φαντacία καὶ κατάληψιc ὡc ἐπιπεcόντοc τινὸc μετὰ τοῦ ἀδυνατεῖν προcεκβοᾶν ἢ φωνεῖν ἀcημάντωc· ἔνιοι δὲ φανταcιοῦνται καὶ ἀκούειν πολλάκιc τοῦ ἐπιπεcόντοc καὶ ἀφροδιcίων αὐτὸν ὀρέγεcθαι, φεύγειν δὲ τῶν δακτύλων cυναχθέντων. φυλακτέον οὖν τὸ δεινὸν ἀρχόμενον· χρονίcαc γὰρ καὶ cυνεχῶc νυκτὸc ἐπιπίπτων νόcημά τι τῶν μεγάλων, ἀποπληξίαν ἢ μανίαν ἢ ἐπιληψίαν, ἀγγέλλει, ὅταν ἐπὶ τὴν κεφαλὴν φέρηται ἡ αἰτία· ὅcα γὰρ οἱ ἐπιληπτικοὶ καθ' ἡμέραν, ταῦτα οἱ ἐφιαλτικοὶ πάcχουcι κοιμώμενοι. χρὴ οὖν τέμνοντα φλέβα καὶ καθάρcειc παραλαμβάνοντα κενοῦν τὸ ὅλον cῶμα τοῦ πάcχοντοc. μάλιcτα δὲ βοηθεῖ τούτοιc ὁ μέλαc ἐλλέβοροc, < ᾱ εἴ που cκαμμωνίαc μίcγοιc ὀβολοὺc γ̄ καί τινα τῶν εὐωδῶν, ἄνιcον, δαῦκον, πετροcέλινον· καὶ ἡ διὰ τῆc Cικυωνίαc δὲ ἱερὰ μεγάλωc βοηθεῖ· ἔcτι δὲ ἡ Ῥούφου. ἡ δὲ δίαιτα ἔcτω λεπτή, καὶ τὰ φυcώδη φυλάττεcθαι δεῖ· βοηθεῖ δὲ αὐτοῖc καὶ ὁ τῆc παιωνίαc καρπόc, κόκκουc δὲ πεντεκαίδεκα τοὺc μέλαναc τρίψαc μεθ' ὕδατοc πίνειν δίδου cυνεχῶc.

## ιϛ΄. Περὶ λυκάονοc ἢ λυκανθρώπου.

Οἱ τῇ λυκανθρωπίᾳ κατεχόμενοι νυκτὸc ἐξίαcι τὰ πάντα λύκουc μιμούμενοι καὶ μέχριc ἡμέραc περὶ τὰ μνήματα διατρίβουcι. γνωριεῖc δὲ τὸν οὕτω πάcχοντα διὰ τῶνδε· ὠχροὶ τυγχάνουcι καὶ ὁρῶcιν ἀδρανὲc καὶ ξηροὺc τοὺc ὀφθαλμοὺc ἔχουcι καὶ τὴν γλῶccαν ξηροτάτην, καὶ cίελον οὐδ' ὅλωc προχωροῦν αὐτοῖc· εἰcὶ δὲ καὶ διψώδειc, καὶ τὰc κνήμαc διὰ τὸ πολλάκιc προcπταίειν ἀνιάτωc ἡλκωμέναc ἴcχουcιν. τοιαῦτα μὲν τὰ γνωρίcματα· γινώcκειν δὲ χρὴ εἶδοc μελαγχολίαc εἶναι τὴν λυκανθρωπίαν, ἣν θεραπεύcειc κατὰ τὸν χρόνον τῆc ἐπιcημαcίαc

7—18 *Oribasius, Synops. VIII 2* ιϛ΄ *Oribasius, Synops. VIII 9; cf. Aëtius VI 11*

1 κραιπαλῶνταc] D*a*: κραιπάλωc ABCFGHKM: κραιπάλουc *e corr.* $E^2$: κραιπαλοῦνταc *in ras. min.* J 2 γινομένοιc DHM 3 παρὰ] π' D: περὶ CFG ὕπνουc] ὕπνουc τε D πνιγμοῦ] necationis enim *a* 4 ἐκβοᾶν D φωνεῖν] *e corr.* D: φωνὴν K*a* 6 ἀφροδιcίων ... ὀρέγεcθαι] πρὸc ἀφροδίcια παρ' αὐτοῦ ἐξορμᾶcθαι D αὐτῶν CFG δὲ] δὲ αὐτὸν D 7 χρονίcαν $E^3$ καὶ] CDFG: *om.* ABEHKM*a* 8 ἐπιπίπτων νυκτὸc CFG ἐπιπίπτον $E^3$ 11 τέμνονταc D κάθαρcιν D παραλαμβάνονταc D 12 τούτοιc βοηθεῖ D 13 εἴ που] δεῖ δέ που καὶ D μίcγειν D 14 ἄνιcον] οἷον ἄνιcον D 15 δὲ *om. a* βοηθεῖ] ὠφελεῖ D ἡ *(pr.)*] καὶ ἡ D ἔcτω δὲ ἡ δίαιτα D 16 φυλαττέcθωcαν D δεῖ *om.* D 17 δὲ] οὖν D V aut X *a* τρίβων τοὺc μέλαναc D 19 ἤτοι CFG 20 κρατούμενοι D ἐξίαcιν CGHK, -ν *eras.* B 22 δὲ *om.* A οὕτωc AE ἀδρανέcτατα *e corr.* D 23 ἔχουcι] D: *om.* ABCEGHKM*a*: καὶ οὐδὲ δακρύουcι θεάcῃ δὲ αὐτοὺc καὶ κοίλουc τοὺc ὀφθαλμοὺc F ξηροτάτην] τραχυτάτην CG: τραχεῖαν F 24 προχωροῦν] ἐcτὶ *(in ras.)* προχωροῦν D: προcχωροῦν ABCEFGHKM: habundat *a* 25 ἡλκωμέναc] ADFM$E^2$: εἱλκωμέναc CEGHK *et in ras.* B ἴcχουcιν] HK: ἴcχουcι DM, -ν *eras.* B: ἔχουcιν CEG: ἔχουcι AF 27 τῆc] CDEFG: τὸν A: τὸν τῆc HKM *et e corr.* B

τέμνων φλέβα καὶ κενῶν τοῦ αἵματος ἄχρι λειποθυμίας καὶ διαιτῶν τὸν κάμνοντα ταῖς εὐχύμοις τροφαῖς· κεχρήσθω δὲ τοῖς λουτροῖς γλυκέσιν. εἶτα ὀρῷ γάλακτος χρησάμενος ἐπὶ τρεῖς ἡμέρας κάθαιρε τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ καὶ δεύτερον καὶ τρίτον· μετὰ δὲ τὰς καθάρσεις καὶ τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρήσῃ καὶ τὰ ἄλλα παραλήψῃ, ὅσα ἐπὶ τῆς μελαγχολίας εἴρηται. ἐπερχομένης δὲ ἤδη τῆς νόσου τοῖς ὑπνοποιεῖν εἰωθόσιν ἐπιβρέγμασι χρήσῃ· καὶ ὀπίῳ δὲ χρῖσον τοὺς μυκτῆρας εἰς ὕπνον τρεπομένοις.

## ιζ΄. Περὶ τῶν ἐρώντων.

Τοῖς κατὰ τὸν ἐγκέφαλον πάθεσι τοὺς ἔρωτας προσάπτειν οὐδὲν ἄτοπον φροντίδας τινὰς ὄντας· ἡ δὲ φροντὶς πάθος ἐστὶ τῆς ψυχῆς ἐν κινήσει κοπιώδει καθισταμένου τοῦ λογισμοῦ. παρακολουθεῖ δὲ τοῖς ἐρῶσι τάδε· ὀφθαλμοὶ κοῖλοι, καὶ οὐ δακρύουσι, φαινόμενοι δὲ ὡς ἂν ἡδονῆς πεπληρωμένοι εἰσίν, κινεῖται δὲ αὐτοῖς καὶ τὰ βλέφαρα θαμινά, τῶν τε ἄλλων τοῦ σώματος μερῶν οὐ συμπιπτόντων μόνοι οὗτοι τοῖς ἐρῶσι συμπίπτουσι. σφυγμὸς δὲ τῶν ἐρώντων ἴδιος οὐδείς ἐστιν, ὥς τινες ᾠήθησαν, ἀλλ' ὁποῖος ὁ τῶν φροντιζόντων· ὁπότε δὲ εἰς ὑπόμνησιν ἔλθοιεν τοῦ ἐρωμένου ἤτοι δι' ἀκοῆς ἢ ὁράσεως, καὶ μάλιστα ἐξαίφνης, τότε συμβαίνει τοὺς σφυγμοὺς θορυβουμένης τῆς ψυχῆς ἀλλοιοῦσθαι μήτε τὴν κατὰ φύσιν ὁμαλότητα μήτε τὴν τάξιν ἀποσῴζοντας. τούτους μὲν οὖν δυσθυμουμένους καὶ ἀγρυπνοῦντας ἀγνοοῦντές τινες τὴν διάθεσιν ἀλουτίαις τε καὶ ἡσυχίαις καὶ λεπτῇ διαίτῃ κατέτηκον· ἐφ' ὧν ἐξευρόντες οἱ σοφώτεροι τὸν ἐρῶντα ἐπί τε λουτρὰ καὶ οἰνοποσίαν αἰωρήσεις τε καὶ θεάματα καὶ ἀκούσματα τὴν διάνοιαν ἀπάγουσιν. ἐνίοις δὲ καὶ φόβον ἐπαρτᾶν δεῖ· οἱ γὰρ σχολάζοντες ἀεὶ τῷ ἔρωτι δυσέκνιπτον ἔχουσι τὸ πάθος. χρὴ οὖν καὶ φιλονεικίας πρός τινας ἐπεγείρειν κατὰ τὰς ὑποθέσεις, ὧν προῄρηνται βίων ἕκαστοι, καὶ τὸ ὅλον ἐφ' ἑτέρας μετάγειν φροντίδας τὸν λογισμόν.

12—16 *Oribasius, Synops. VIII 8* 16—20 *cf. Galenus XIV 635, XVIII$^2$ 40* 21—27 *Oribasius, Synops. VIII 8*

1 καὶ *(pr.)*] DE$^2$: *om.* ABCEFGHKM*a* 2 κεχρῆσθαι D τοῖς *om.* D 3 εἶτα] ἢ τῷ D γάλακτος] τοῦ γάλακτος D κάθαιρε] *Or*: καὶ ABCDEFGHKM*a* 4 τῇ] τῆς DH, *corr.* H ἱερᾷ] E$^3$, *Or*: ἱερᾶς ABCDEFGHKM 5 διὰ τῶν] δι' DM 7 δὲ *om. a* χρῖσον] *Or*: χρεῖον E: χρήσῃ F: χρίων ABCDGHKME$^3$*a* 8 τρεπομένοις] τρέψεις τοὺς κάμνοντας D: conuerte *a* 9 τῶν *om.* DE 10 προσάπτειν καὶ τοὺς ἔρωτας D 11 ἐστὶ] τι D: *om.* F 12 ἐν] ἐστιν ἐν DF κοπώδει D 13 ὡς ἂν] donec *a* 14 καὶ *om. a* *ad* θαμινά *supra scr.* πυκνά K$^2$: σινεχῶς *mrg.* D$^3$ 15 τε *om. a* μερῶν τοῦ σώματος D 17 ὁ *om.* D 20 ἀποσῴζοντας] *Gal*: ἀποσῴζειν ABCEFGHKM*a*: φυλάττοντας D 21 μὲν *om. a* 22 ἀλουσίαις D 23 τὸν ἐρῶντα] ABDEHKMC$^2$*a*: τὸν ἐρώντων G: τῶν ἐρώντων CF: τὸν ἔρωτα *Or* 25 καὶ] CDFG: *om.* ABEHKM*a* 26 δυσέκνιπτον] D: δυσέκλειπτον ABCEFGHKM: difficile mobilem *a* καὶ *om. a* 27 ἐπαγείρειν B: ἐπεγχειρεῖν F προείρηνται ABCFGK, *corr.* K 28 φροντίδας μετάγειν E*a*

## ιη΄. Περὶ ἀποπληξίας καὶ ἡμιπληγίας ἤτοι παραλύσεως.

Τῆς μὲν κοινῆς ἀρχῆς τῶν νεύρων παθούσης κἀκ τοῦδε πάντων 1 τῶν κατὰ τὸ σῶμα μορίων ἀπολεσάντων τήν τε κίνησιν ἅμα καὶ τὴν αἴσθησιν ἀποπληξία τὸ πάθος καλεῖται μετὰ τοῦ καὶ τὰς ἡγεμονικὰς ἐνεργείας βεβλάφθαι· εἰ δὲ κατὰ θάτερον μέρος ἡ ἔμφραξις γένηται, ἡμιπληγία καὶ παράλυσις ὀνομάζεται. εἰ δὲ καθ' ἕν τι μόριον ἡ τοιαύτη συσταίη βλάβη, ἐκείνου τοῦ μορίου τὸ πάθος λεχθήσεται· φησὶ γοῦν Ἱπποκράτης „ἀπόπληκτον αὐτῷ τὸ σκέλος ἐγένετο.“ σώζεται οὖν ἐπὶ τῶν ἀποπλήκτων βραχεῖά τις ἀναπνοή, ἥτις, εἰ μὲν ἐπὶ πολὺ τῆς κατὰ φύσιν ἐνεργείας ἐκτραπείη, μεγίστην οἴσει τὴν διάθεσιν, εἰ δ' ἐπ' ὀλίγον, βραχεῖαν· χειρίστη δέ ἐστιν, ὅταν διαλιμπάνῃ ἢ καὶ μετὰ βίας μεγάλης προσγίνηται. συνίσταται δὲ τὸ πάθος ἀθρόως ψυχροῦ πληροῦντος φλέγματος τὰς κυριωτάτας τοῦ ἐγκεφάλου κοιλίας· εἰ δέ ποτε ἡ τοῦ νωτιαίου ἀρχὴ ἅπασα τὸ τοιοῦτο πάθοι, τὰ κάτω πάντα τοῦ προσώπου παραλυθήσονται, αὐτοῦ δὲ ἀπαθοῦς μένοντος, διότι τὴν αἴσθησιν καὶ τὴν κίνησιν τὰ ἐνθάδε ἀπ' ἐγκεφάλου δέχεται· εἰ δὲ κατὰ τοῦ ἡμίσεως, παραπληγία συνίσταται ἐκείνων τῶν μερῶν. εἰ δὲ ἡ ὄσφρησις πάθοι, ἤτοι τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου δυσκρασίαν ἀναδεξαμένων ἢ τῶν ἐν τοῖς ἠθμοειδέσιν ὀστοῖς πόρων φραχθέντων τὸ τοιοῦτον ἔσται. οἱ τοίνυν ἀπόπληκτοι κεῖνται ἄναυδοι ἀκίνητοί τε καὶ ἀναίσθητοι ἄνευ πυρετοῦ. προηγεῖται δὲ τοῦ πάθους κεφαλῆς ἀθρόον καὶ ὀξὺ ἄλγημα καὶ τῶν σφαγιτίδων φλεβῶν ἔπαρμα καὶ σκοτοδινία τῶν τε ὀφθαλμῶν μαρμαρυγαὶ καὶ ψῦξις ἄλογος τῶν ἄκρων παλμοί τε τοῦ σώματος ὅλου καὶ δυσκινησία καὶ ὀδόντων τρισμοὶ ἐν τῷ καθεύδειν, οὐροῦσί τε οἷον ἰώδη καὶ μέλανα ὀλίγα καὶ κριμνώδη τινὰ ἔχοντα ὑπόστασιν. συμβαίνει δὲ τὸ πάθος περὶ τὴν πρεσβυτικὴν ἡλικίαν ταῖς φλεγματικωτέραις κράσεσι καὶ διαίτῃ τοιαύτῃ· εἰ δέ που ἐν νεότητι καὶ θέρους ὥρᾳ συστῇ, μεγάλην δηλοῖ τὴν ἀνάγκην.

## Θεραπεία ἀποπληξίας καὶ ἡμιπληγίας ἤτοι παραλύσεως. 2

Τὸ τῆς ἀποπληξίας πάθος οὐδαμῶς ἢ σπανίως θεραπεύεται· θάνατον γὰρ ἀπειλεῖ σύντομον. εἰ δέ που καὶ λυθείη, τὰ πολλὰ μετὰ παραλύσεως μέρους τινὸς τοῦ σώματος ἀπαλλάττεται. τοὺς τοίνυν ὁπωσοῦν

ιη΄ 1—4 *cf. Aëtius VI 27—28* 2—20 *Galenus VIII 208 sqq.* 8 Ἱπποκράτης] *cf. Aphorism. VII 40* 20—21 *Galenus XIV 737*

1 ἡμιπληξίας DM 3 μορίαν CG, *corr.* C[2] 4 τοῦ καὶ] καὶ τοῦ C: καὶ F: καὶ *om. a* 5 ἡ *om.* D 6 ἡμιπληξία D 11 διαλιμπάνει BF 12 προσγίνηται] D: προσγίνεται ABCEFGHKM 14 τοιοῦτον CDE πάντα τὰ κάτω D 15 παραλυθήσεται AE αὐτοῦ . . . μένοντος *om.* D δὲ] *mut. in* γε E[3] τὴν] τήν τε D 16 τὰ ἐνθάδε *om. a* κατὰ] *mut. in* τὰ E: τὰ κατὰ H 17 ἡμίσεος D παραπληξία D ἐκείνων] ἐπ' ἐκείνων D 19 ἠθμοειδέσιν] *Gal.*: ἰθμοειδέσιν ABCEGKM: ἰσθμοειδέσιν DFHE[2]: mediis *a* ἐμφραχθέντων D 23 τῶν *(alt.)*] καὶ τῶν D 25 οἷον *om.* D 27 κράσεσι] τε κράσεσι D 29 ἀποπληξίας . . . παραλύσεως *om.* E ἡμιπληγίας] FGK: ἡμιπληξίας ABCDHM*a* ἤτοι] καὶ D*a* 31 τὰ πολλὰ *om. a* 32 τινος μέρους D

δυναμένους ἐξιαθῆναι χρὴ αὐτίκα φλεβοτομεῖν καί, εἴ που ἔνδοσίν τινα σχοῖεν, ἐπαφαιρεῖν μὲν τῇ αὐτῇ ἡμέρᾳ ἢ τῇ ἑξῆς, ὑπάγειν δὲ καὶ τὴν γαστέρα δριμεῖ κλυστῆρι ἅλμην καὶ μέλι μίσγοντας· εἶτα ἀλειφέσθωσαν ἐλαίῳ πολλῷ τεθειωμένῳ τὸ ὅλον σῶμα τήν τε κεφαλὴν τῷ χαμαιμηλίνῳ ἢ ἀνηθίνῳ ἐλαίῳ, ἐν ᾧ ἀφηψήθη σπονδύλιον ἢ καλαμίνθη. μελίκρατόν τε ἐνστάζειν καὶ ὀσφραντὰ προσάγειν, ὀποπάνακα ἢ σαγαπηνὸν καὶ χαλβάνην ἤγουν καστόριον. δεῖ δὲ καὶ βιαίως διανοίγοντας τὸ στόμα καθεῖναι δάκτυλον ἢ πτερὸν ἐλαιοβραχὲς ἐπὶ τῷ ἐκβάλλειν τὰ ἐγκείμενα· διαχρίειν δὲ καὶ τὴν ἕδραν τοῖς ἐπαγωγοῖς τῶν πνευμάτων, διδόναι τε μελίκρατον ἢ ὀξύμελι πιεῖν. χρησόμεθα τε καὶ ἀποφλεγματισμοῖς τοῖς διὰ θύμου ἢ ὀριγάνου σὺν ὄξει ἡψημένοις. ἐνδόσεως δὲ γενομένης παραληψόμεθα τὴν ἁπαλὴν καὶ εὐδιοίκητον καὶ χυλώδη τροφήν. τῆς ἀφωνίας δὲ ἐπιμενούσης καὶ τῆς δυνάμεως ἐπιτρεπούσης καὶ σικύας τῷ ἰνίῳ προσάξομεν μετὰ ἐγχαράξεως, εἰ δ' ἐνδέχοιτο, καὶ τοῖς ὑποχονδρίοις. κἄπειτα αἰωρείσθωσαν διὰ δίφρου ἢ φορείου ἢ τῆς κρεμαστῆς κλίνης. παραληπτέον δὲ καὶ τὰ πταρμικὰ συνεχέστερον καὶ τοὺς ἀποφλεγματισμούς. μετὰ δὲ τὴν τεσσαρεσκαιδεκάτην ἐπὶ τὰς λοιπὰς αἰώρας ἄξομεν. φροντίσομεν δὲ καὶ τῆς διαλέκτου, καὶ τὸ παλαιὸν ἀπόμελι δώσομεν μετὰ ψιχῶν ἢ ἄλικος, κἄπειτα δοτέον καὶ τῆς ἱερᾶς ὀλίγιστον. μετὰ δὲ μίαν καὶ εἰκοστὴν ἐπὶ βαλανεῖον ἄξομεν καὶ οἶνον ἁπαλὸν δώσομεν πιεῖν ἐπιρραίνοντες τῷ θερμῷ ὕδατι, καὶ τοῦ λοιποῦ διὰ βαλανείων καὶ ἀλειμμάτων τὰς ἀναλήψεις ποιώμεθα. διαγέτωσαν δέ, εἴπερ ἐγχωροῦν ἐστιν, ἐν παραθαλαττίοις τόποις.

3 Θεραπεία παρέσεως.

Εἰ δὲ πάρεσις εἴη ἄνευ πείσεως τῶν ἡγεμονικῶν ἐνεργειῶν πάντων τῶν μορίων ἢ ἐνίων, κἀνταῦθα χρὴ ἐκκενοῦν τὸν ἐνοχλοῦντα χυμόν, ὁποῖος ἂν εἴη, κἄπειτα διδόναι τῆς ἱερᾶς ἐχούσης καὶ καστορίου μέρος ἀρχομένους ἀπὸ ἡμίσεως δραχμῆς μετὰ ὀλίγου μέλιτος καὶ θερμοῦ ὕδατος ἀναλύοντας ἤγουν καθ' αὐτὴν προσπλέκοντας καὶ πεπέρεως

2—9 *Oribasius, Synops. VIII 5* 26 — p. 163, 5 *cf. Oribasius, Synops. VIII 13*

2 ἢ] et *a* 3 ἅλμη BC, *e corr.* G καὶ *om. a* μέλι] *Or, e corr.* DJ: μέλιτι ABCEFGHKM*a* 4 πολλῷ] παλαιῷ D 5 ἢ *(pr.)*] ἢ τῷ D ἀφεψήθη BCFGK 7 ἤγουν] ἢ DJ: ἢ τοῦ F καστορίου F ἀνοίγοντας D 8 καθιέναι D τῷ] τὸ CEGH ἐκβαλεῖν DFH ὑποκείμενα D 9 καὶ *om. a* ὑπαγωγοῖς D 10 τε *(pr.)*] δὲ καὶ D ἢ] et *a* πίνειν D χρησώμεθα ABEG*a* τε *(alt.)*] δὲ D: *om. a* 11 θύμον ABEHKM, *corr.* B ἢ] καὶ D ὀριγάνου] -ου *in ras.* B: ὀριγάνῳ FH ἡψημένοις] CDG: ἡψημένους AEKM: ἑψημένους BH: ἑψημένοις F 12 ἁπλῆν D 13 καὶ *(alt.) om. a* σικύαν D: σικύαις K 15 φορείου] DJ: φορίου ABCEFGHKM 17 τεσσαρισκαιδεκάτην BCFGKM: τεσαρισκαιδεκάτην H: ιδ̄ D 18 φροντίσομεν . . . διαλέκτου *om. a* διαλέκτου] *suspectum*: δι' ἠλέκτρου K 19 μετὰ . . . ὀλίγιστον *om.* D καὶ *om.* F*a* 20 ἁπαλὸν] παλαιὸν D 22 ποιησόμεθα D: facimus *a* 23 παραθαλασσίοις D 25 πείσεως] ABEG*a*: πήσεως CK: πίσεως H: πόσεως F: πειάσεως M: πτώσεως D 26 ἐκκενοῦν χρὴ D 28 ἡμίσεος D, *e corr.* E 29 ἤγουν] ἢ καὶ D καθ' ἑαυτὴν E: *om. a*

γράμματος τὸ ἥμιcυ, κἄπειτα διαcτήcαντας ἡμέρας δ̄ προcάγειν τελείαν δραχμὴν καὶ μετέπειτα μίαν καὶ ἡμίcειαν, εἶτα δύο καὶ τρεῖc, καὶ αὖθιc διαcτήcαντας τὰc αὐτὰc ἡμέρας προcφέρειν τέccαρας δραχμάc, εἴ γε οἷόc τε εἴη ὁ πάcχων λαμβάνειν, ἐπιβάλλοντας μέλιτοc κοχλιάριον ᾱ· ἐπὶ δὲ τὰ μόρια ἐπιτιθέναι τῶν διαφορητικῶν φαρμάκων τινὰ καὶ τῶν φοινίccειν δυναμένων cυνεπιβάλλοντας τούτοιc τοῦ καcτορίου ἢ πεπέρεωc ἢ πυρέθρου ἢ κάχρυοc ἢ εὐφορβίου. καὶ πρό γε τούτων ἐμβροχαὶ διὰ πηγανίνου ἐλαίου ἢ Cικυωνίου ἢ παλαιοῦ. τροφαὶ cιτώδειc, ῥοφηματώδειc ἢ ἄλλωc εὔπεπτοι καὶ ἀπέριττοι. cικύαι κολλάcθωcαν τοῖc παρεθεῖcι μέρεcιν, εἰ μὲν πολλὰ εἴη, μεμεριcμένωc, εἰ δ᾽ ὀλίγα, ὑφ᾽ ἕν· καταπλάccειν δὲ μετὰ τὰc cικύαc τοῖc διὰ πίccηc ἢ ῥητίνηc ἢ μάννηc. κάλλιcτα δὲ ποιεῖ ἀρτεμιcίᾳ cυνεψομένη καλαμίνθῃ καὶ κόνυζα καὶ νίτρον· ὕδωρ δὲ μεμίχθω ὀλίγον, καὶ αὐτὸ δὲ ἐν τῇ ἑψήcει ἀναλιcκέcθω. ἥ τε κοιλία αὖθιc ὑπαγέcθω διά τε ἀλόηc ἢ πολυποδίου ἢ cκαμμωνίαc ἢ τοῦ διὰ κολοκυνθίδοc πολτοῦ. λιπάcματά τε cύγχριcτα τοιαῦτα· ἔλαιον παλαιόν, ἐν ᾧ cκίλλα ἐνταριχεύεται ἐπὶ ἡμέρας μ̄ ὑφ᾽ ἡλίῳ· εἰ δὲ μὴ παρείη τοῦτο, ἕψειc ἐν ἐλαίῳ ℔ β̄ τῆc cκίλληc καὶ cυγχρίειc ἢ κάχρυ ὁμοίωc cκευάcαντα· μικτέον δὲ καὶ κηροῦ ℔ ᾱ ὑπὲρ τοῦ μὴ διαρρεῖν. εἰ δὲ καὶ χαλβάνηc καὶ καcτορίου καὶ εὐφορβίου καὶ ἀδάρκηc καὶ νίτρου προcλάβοι ἀνὰ ℔ ∟΄, φαρμακωδέcτερόν ἐcτιν. εὐθετεῖ δὲ ἀκριβῶc καὶ βατράχιοc βοτάνη ἐνεψομένη τῷ ἐλαίῳ ἐν ἡλίῳ ταριχευομένη. ποτήματα δὲ καcτορίου ὅcον < ᾱ, ὀποπάναξ κυάμου μέγεθοc καταπινόμενοc· θαυμαcτῶc δὲ ποιεῖ καὶ τὸ cαγαπηνὸν ὀρόβου μέγεθοc ἐν μελικράτῳ καὶ τὸ καcτόριον μετὰ ὀποπάνακοc· καὶ ὀποῦ δὲ Κυρηναϊκοῦ κέγχρου μέγεθοc ὠφελεῖ καὶ ἡ διὰ τριῶν πεπέρεων ἀντίδοτοc. χρηcόμεθα δὲ καὶ ἀκόποιc τοῖc θερμαίνουcι καὶ τοῖc ἀποφλεγματιcμοῖc. μετὰ δὲ τὴν τεccαρεcκαιδεκάτην ἁδροτέρωc δρῶμεν, καὶ γενομένηc πολλῆc ὠφελείαc ἐπὶ βαλανεῖον ἄξομεν· μετὰ δὲ τριακοcτὴν δρώπακα προcφέρειν χρὴ καὶ ἐπὶ βαλανεῖον ἄγειν καὶ τοῦ λοιποῦ

1 γράμμα M  διαcτήcαντας] BE²*a*: διαιτήcαντας ADEFHKM: διαιτήcαντεc CG  3 εἴ γε] si uero *a*  4 εἴη] D: sit *a*: ᾖ *e corr.* J: ἦν ABCEFGHKM  κοχλιάριον] κοτύλην D  5. 6 τῶν φοινίccειν δυναμένων] D: τοῖc φοινίccειν δυναμένοιc ABCEFGHKM  6 τοῦ *om.* CFG  8 τροφαὶ] τροφαὶ δὲ CDFG  9 ἢ] ἁρμόζουcιν ἢ D  ἄλλωc *om. a*  cικύαι] cικύαι τε D  10 παρεθεῖcιν CGD³  μέρεcιν] μορίοιc D  11 καταπλάττειν D  τὰc *om.* B  12 κάλιcτα M: μάλιcτα F*a*  13 καὶ *(alt.) om. a*  ἀναλιcκέcθω] M³, *e corr.* J: ἀναλυέcθω ABCDEFGHKM*a*  14 τε *(pr.)*] uero *a*  15 cύγχριcτα *om. a*  16 ἔλαιον παλαιόν] D: ἐλαίῳ παλαιῷ ABCEFGHKM*a*  17 ἕψειc ἐν ἐλαίῳ] εἰc ξ^ε ἐλαίου D  ℔ β̄] ADE*a*: β̄ ℔ CFG: δύο ℔ BHKM  καὶ] ἕψειν καὶ D  cυγχρίειν DJ  18 κάχρυοc DG: κάχριοc F: κάγχρυοc C  ᾱ] β̄ D  19 καὶ *(pr.) om. a*  20 ἔcται DF³*a*  21 βατράχιοc] βατράχιον D *postea add.* ἡ  ἐν] ἢ ἐν D: et in *a*  22 ποτίcματα D  καcτορίου *om.* D  ᾱ] ᾱ καcτορίου D *postea add.* καὶ  23 καταπινόμενον E, *e corr.* DH  καὶ τὸ . . . μελικράτῳ *(24)*] *om.* FG, *mrg.* C² (*om.* καὶ τὸ)  25 δὲ *om. a*  καὶ] δὲ καὶ ACE*a*  27 τὴν] καὶ τὴν B  τεccαρεcκαιδεκάτην] A: τεccαριcκαιδεκάτην BCFGHKM: ῑδ̄ D: ῑδ̄ ἡμέραν E  28 τριακοcτὴν] τὴν τριακοcτὴν K: τριακοcτὴν ἡμέραν D: λ̄ F  29 καὶ *(pr.)* . . . ἄγειν *om. a*

καταπλάσσειν τῷ νάπυι, ἐφ᾽ ὧν ἥ τε κίνησις καὶ ἡ αἴσθησις ἀπώλετο, προσέχοντας διὰ τὸ μὴ συναισθάνεσθαι, μὴ ὑπερκαυθῶσιν· ἐπὶ δὲ τῶν μετεχόντων αἰσθήσεως τοὺς φοινιγμοὺς μόνον δεῖ παραλαμβάνειν· χρὴ δὲ μετὰ τὸ οἰδῆσαι ἐπὶ λουτρὸν ἄγειν καὶ κηρωταῖς ἁπαλαῖς θεραπεύειν. καὶ τῷ ἀπὸ δείπνου δὲ κεχρήσθωσαν ἐμέτῳ καὶ τῷ ἀπὸ ῥαφανίδων αἰωρείσθωσάν τε διὰ δίφρου ἢ διὰ χειραμάξης ἢ διὰ ζευκτοῦ· ἀγέσθωσαν δὲ τοῦ λοιποῦ ἐπὶ τὰ αὐτοφυῆ λουτρά. δίαιτα δὲ ξηροτέρα καὶ ὀλιγοποσία καὶ τρῖψις ἁρμόσει· ξηροφαγείτωσαν γοῦν ἀνεχόμενοι τῆς δίψης, ἐφ᾽ ὅσον ἐγχωρεῖ.

4 Περὶ τῶν κατὰ χάλασιν ἢ κατάτασιν παρεθέντων.

Ἐπειδὴ τὰ παραλυθέντα μόρια ἢ συσπᾶται ἢ χαλᾶται, καὶ τοῦτο ἢ ἀπὸ πληρώσεως ἢ ἀπὸ κενώσεως, πάλιν προσέχειν χρὴ καὶ πῇ μὲν ἀφαιρεῖν τοῦ αἵματος, πῇ δὲ οὔ, κἄπειτα ἐπὶ μὲν τῶν κεχαλασμένων τοῖς χαλῶσι τὰ στύφοντα μιγνύειν καὶ τὴν τρῖψιν ἐπιτεταμένην ποιεῖσθαι, ἐπὶ δὲ τῶν ἐναντίων τοῖς χαλῶσι μόνον χρηστέον μετὰ τοῦ καὶ τρίβειν μαλθακῶς· ἐχέτω δὲ τὸ ἔλαιον ἐπὶ τῶν κεχαλασμένων συλλελειωμένον ὀλίγον νίτρου καὶ σφέκλης. καταντλείσθωσαν δὲ σφοδρῶς θερμῷ τῷ ὕδατι, καὶ μάλιστα διὰ θαλάσσης, ἐν ᾗ ἀφηψήθησαν δάφναι ἢ ἄγνου βλαστοὶ ἢ σάμψυχον ἤ τι τοιοῦτον· εἰ δὲ θέρος εἴη, καὶ νηχέσθωσαν ἐν τῇ θαλάττῃ. οἱ δὲ φοινιγμοὶ τούτοις μάλιστα ἁρμόζουσιν· τοιγαροῦν καὶ τυπτέσθω τὰ μόρια νάρθηξιν ἢ κνίδης κλάδοις. εἰ δὲ ἐπιμένοι ἡ παράλυσις, χρὴ τὴν μεταξὺ τῶν ἄρθρων κεχαλασμένην σάρκα ἐπισπασαμένους καίειν διαπείροντας καυτηρίοις μικροῖς καὶ λεπτοῖς, τοῖς δὲ συνηγμένοις ἐπιβάλλειν χρὴ συνεχῶς δρώπακα.

5 Περὶ τῆς ἐν ἑκάστῳ μορίῳ συνισταμένης παρέσεως.

Ἡ μὲν ἀπὸ διαιρέσεως νεύρου γινομένη τῶν μορίων πάρεσις ἀνίατός ἐστιν, ἡ δὲ ἀπὸ δυσκρασίας ἢ χυμοῦ τινος γινομένη βοηθεῖται, κοινῶς μὲν ταῖς εἰρημέναις δυνάμεσιν, εἰσὶ δὲ καὶ ἴδιαί τινες καθ᾽ ἕκαστον αὐτῶν, ἃς ὑποτάξομεν. ἐπὶ μὲν οὖν τῶν κυνικῶς σπωμένων ἐπίδεσις εἰς τὰ ἀντικείμενα παράγουσα διὰ τῆς φορβεᾶς προσαγορευομένης ἁρμόσει καὶ ἀφαίρεσις αἵματος ἀπὸ τῶν ὑπὸ τὴν γλῶτταν ἀγγείων καὶ

ιη´ 5 *cf. Aëtius VI 29—37*

1 καταπλάττειν D 2 διὰ] ἵνα μὴ διὰ D(*a*) μὴ *(alt.)*] C³E², *in ras.* J: *om.* ABCDEFGHKM*a* δὲ *om.* CFG*a* 5 καὶ τῷ *(alt.) om. a* 6 τε] τε καὶ M: autem *a* ἢ διὰ ζευκτοῦ *om. a* 7 δὲ *(pr.)*] τε D 8 ἁρμόζει DH, *corr.* H γοῦν] οὖν CD: autem *a* 9 ἐφ᾽ *om.* CFG 15. 16 τοῦ καὶ] BDEGH KM: καὶ τοῦ ACF: καὶ *om. a* 16 τὸ *om.* K 17 σπέκλης D 18 τῷ *om.* D θαλάττης D ᾗ] ᾧ D ἀφηψήθησαν] CDG: ἀφεψήθησαν ABEF HKM 19 ἢ *(pr.)*] *in ras.* B: καὶ F³*a* τοιοῦτον] τῶν τοιούτων CFG 20 θαλάσσῃ M ἁρμόττουσι μάλιστα D 21 τοιγαροῦν *om. a* τυπτέσθωσαν DM 23 καυτηρίοις] DEFG, *e corr.* BC: καυστηρίοις ABCHKM καὶ λεπτοῖς *om.* AE*a* 24 χρὴ] δεῖ D 25 μορίῳ *om. a* 26 μὲν] uero *a* 27 γενομένη AE: γιγνομένη H 29 κυνικῶς] *om. a*: κοινῶς D ἐπίδεσις] ἐπίδοσις *Aëtius*: ἐφίσης BCFGHKM: ἐπίσης AE*a*: ἐπίσεισις D *(post* π *ras. 1 litt.)* 31 ἁρμόζει D ἀφαίρεσιν ABEHK*a* ἀπὸ] ἐκ D

cικύαι κατὰ τοῦ πρώτου cπονδύλου καὶ ἀποφλεγματιcμοὶ καὶ διὰ ῥινεγχύτου καθάρcειc· εἰδέναι δὲ χρὴ οὐ τὴν φαινομένην παρατετράφθαι cιαγόνα τὴν παράλυcιν ἔχειν, ἀλλὰ τὴν ἀντικειμένην. καταπόcεωc δὲ παρεθείcηc cικύαc τῷ ἀνθερεῶνι κολλητέον καὶ διαχριcτέον τοῖc διὰ καcτορίου καὶ cαγαπηνοῦ καὶ ὀποῦ Παρθικοῦ· ὠφελεῖ δὲ καὶ ἀνακογχυλιcμὸc διὰ τῶν δριμέων. καὶ τῆc γλώττηc δὲ παρεθείcηc τὰc ἐν αὐτῇ φλέβαc τμητέον, cικυαcτέον τε τὸν ἀνθερεῶνα, καὶ ἀποφλεγματιcμοῖc χρῆcθαι διὰ νάπυοc καὶ γυμναcίοιc τῆc γλώττηc. τῶν δὲ φωνητικῶν παρεθέντων τῷ θώρακι προcφέρειν τὰ βοηθήματα, πνεύματόc τε κατοχῇ καὶ ἀναφωνήcει χρῆcθαι. ἐπὶ δὲ ὀφρύων καὶ βλεφάρων cυγχρίcματα ὁμοίωc ὠφελεῖ, ἐπὶ τέλει δὲ καὶ ἀναρραφή. κύcτεωc δὲ παρεθείcηc, εἴτε ἐπέχοιτο τὰ οὖρα εἴτε ἀκουcίωc ἐκκρίνοιτο, τῷ μὲν ἤτρῳ καὶ περιναίῳ τὰ φάρμακα προcενεκτέον, ἐνετέον δὲ τῇ ἕδρᾳ πηγάνινον ἔλαιον ἢ Cικυώνιον μετὰ βουτύρου καὶ καcτορίου, χαλβάνηc ἢ ὀποπάνακοc ἢ ὀποῦ cιλφίου· καὶ τῇ κύcτει δὲ παραπεμπόμενα ταῦτα διὰ τοῦ καυλοῦ μεγάλωc ὤνηcεν ἢ καὶ μόνα ἤρκεcεν. καὶ τὰ διὰ κενταυρίου δὲ καὶ κολοκυνθίδοc κλύcματα τοῦ ἐντέρου μετὰ Cικυωνίου χρήcιμα· εὐθετεῖ δὲ καὶ τὰ διουρητικὰ πινόμενα καὶ καcτόριον ὡcαύτωc. καὶ πρό γε πάντων καθετηριcτέον τοὺc μηδὲν ἀφουροῦνταc, ἐγκαθιcτέον δὲ καὶ καταπλαcτέον τοῖc χαλαcτικοῖc. τοὺc δὲ ἀπροαιρέτωc ἐκκρίνονταc cτυπτικῶc ἀκτέον διὰ τῶν τονούντων βοηθημάτων, τροφαῖc τε ξηραῖc καὶ ποτῷ ψυχρῷ χρηcτέον· ἐν δὲ ταῖc ἀναλήψεcι καὶ φοινιγμοῖc καὶ αὐτοφυέcι λουτροῖc χρήcθωcαν ψυχροῖc. τοὺc δὲ ἐπὶ ῥάχεωc τραύματι ἢ πτώματι ἢ ὀλιcθήματι cπονδύλου θανατικῶν cυνδρομῶν cυνεδρευουcῶν ἀδύνατον ἰᾶcθαι. εἰ δὲ καυλὸc παρεθείη, τοῖc ἐπὶ κύcτεωc χρηcτέον ἐπί τε τῶν αὐτῶν μορίων καὶ τῶν ψοῶν, προcέτι δὲ καὶ τοῖc ἐντατικοῖc χρηcόμεθα· ἀθετεῖ δὲ γάλα, τυρὸc καὶ τὰ λοιπὰ πέμματα, θριδακίναι καὶ τὰ λοιπὰ λάχανα. ἀπευθυcμένου δὲ παρεθέντοc, ἐφ᾿ οὗ ποτὲ μὲν ἀκουcίωc ἡ κόπροc ἐκκρίνεται, ποτὲ δὲ ἐπέχεται, τοῖc αὐτοῖc χρηcτέον, ποτὲ μέντοι διὰ κλυcτῆροc ἐνιέναι ποτὲ μὲν τὰ cτύφοντα, οἷον ἀφέψημα κυπαρίccου, cχίνου, βάτου, ποτὲ δὲ τὰ χαλῶντα, οἷον cτέαρ ὕειον καὶ χήνειον καὶ μολόχινον ἔλαιον, ἄλλοτε δὲ τὰ

2 δὲ *om.* FM   6 καὶ *om.* *a*   γλώccηc AE   7 cικυαcτέον] καὶ cικυαcτέον D   τε] δὲ C*a*   8 χρηcτέον F   10 ἐπὶ] ἔτι D   ἐπὶ . . . ὠφελεῖ *(11)*] *mrg.* B³   11 ὠφελεῖ] DF, *e corr.* E: *comp.* H: ὠφελεῖν ACEGKMB³*a*   ἐπὶ τέλει] perficit *a*   ἀναροφή M   13 περινέῳ AE: περιτοναίῳ D*a*   14 χαλβάνηc] καὶ χαλβάνηc D   16 ἢ *om.* D   17 δὲ] *corr. ex* τε C: *om.* E*a*   18 καcτόριον] D*a*: καcτορίου BCEFGKM: καcτορείου A: *om.* H   19 καὶ] autem *a*   καθετηριαcτέον AE, *corr.* E²   ἀφουροῦνταc] BCGHMA³E²*a*: ἀπουροῦνταc F, *e corr.* J: ἀφοροῦνταc AEK: ὑφαιροῦνταc D   20 δὲ *(pr.)*] τε *in ras.* D: et *a*   τοὺc] τοῖc BHKM   δέ *(alt.)*] et *a*   21 ἀνακτέον C   22 ποτοῖc ψυχροῖc D   χρηcτέον ψυχρῷ CG   23 τοὺc] τὰc D   25 καυλὸc] *corr. ex* καὶ E²: κἂν A   ἐπὶ . . . ψοῶν *(26) om. a*   26 αὐτοῦ D   27 ἀθετεῖ] εὐθετεῖ DC²E²   28 θριδακίνη D   ἀπευθυcμένου] τοῦ ἀπευθυcμένου D   29 ἐφ᾿] a *a*   μὲν *om. a*   δὲ] quidem *a*   30 ποτὲ *(pr.)*] πυκνῶc D   μέντοι] μὲν M: μέν τι F: tamen *a*   ποτὲ μὲν] D: ποτὲ δὲ ABCEFGHM*a*, *eras.* K   31 κυπαρίccου] centauree *a*   cχίνου] DEF*a*: cχύνου H: cχοίνου ABCGKM   32 μαλάχινον D   δὲ] uero et *a*

δάκνοντα, οἷον ἅλμην ἢ κολοκυνθίδος ἤ τι τῶν ὁμοίων ἀφέψημα· οὐδὲν γὰρ οὕτως ὠφελεῖ τὰς κινήσεις, ὡς ἡ ποικίλη μόχλευσις. εἰ δὲ ἀντίληψις εἴη ψύξεως, καὶ δι᾽ εὐφορβίου ἀκόπου ἐλαίῳ ἀνεθέντος ἐνιέσθω. τὰ δὲ κῶλα παρεθέντα μετὰ τῆς κοινῆς ἐπιμελείας καμπτέσθω καὶ τριβέσθω καὶ ἐκτεινέσθω κατὰ τὸν εἰρημένον τρόπον· τὸ γὰρ πλεῖστον τῆς ἐλπίδος ἡ τρῖψίς ἐστιν.

6 Περὶ τῆς ἐπὶ κωλικῷ νοσήματι γινομένης παρέσεως.

Κατὰ τοὺς ἡμετέρους χρόνους κωλική τις ὤχλησε νόσος, ἐφ᾽ ᾗ καὶ μάλιστα τοῖς σωθήσεσθαι μέλλουσιν ἀκινησία μὲν παντελὴς ἀκολουθεῖ τῶν κώλων, ἡ δὲ τῆς ἁφῆς αἴσθησις ἀβλαβὴς διαφυλάττεται, ὡς ἔοικεν, οἷον κριτικῆς τινος ἐκ τοῦ βάθους μεταστάσεως γινομένης, ὅθεν αὐτομάτως ἐπανῆλθεν τοῖς πολλοῖς ἡ κίνησις ἐν χρόνῳ. τοὺς δέ γε δυσιατοῦντας καὶ τὰ ἁπλούστερα τῶν λεχθέντων ἰάσατο συγχρισμῶν· ἐξαίρετα δὲ τούτοις ηὑρέθη τό τε διὰ τῆς αἰγείρου καὶ τὸ διὰ τῆς ἐλάτης ἄκοπον, πολλοὺς δὲ καὶ τὰ τονοῦντα καὶ μετρίως ὑποψύχοντα μεγάλως ὤνησεν.

## ιθ΄. Περὶ σπασμῶν.

Τῷ περὶ παραλύσεως ὁ περὶ σπασμῶν ἀκολουθεῖ λόγος, ὅτι νεύρων εἰσὶν ἀμφότερα πάθη· διὸ καὶ περὶ τρόμων ἑξῆς εἰρήσεται. ὅταν μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς ἢ οὐ μετὰ πολὺ τῆς ἀρχῆς τοῦ νοσήματος ἀρξάμενοι γίνεσθαι σπασμοὶ διαμένωσιν, ὑπὸ πληρώσεως ἴσχουσι τὴν γένεσιν. ὅταν δὲ μεθ᾽ ἱδρῶτας πολλοὺς ἢ ἐμέτους ἢ διαχωρήσεις ἢ αἱμορραγίας ἢ ἀγρυπνίας ἢ λιμὸν ἢ κινήσεις πολλὰς καὶ σφοδράς, ἐπὶ κενώσεσιν ἕπονται. καὶ ὅταν τινὶ τῶν ὑγιαινόντων ἐξαίφνης σπασθῆναι συμβῇ, ἀναγκαῖον ἐπὶ πληρώσει γεγονέναι. εἰ δὲ ἐκ πυρετῶν διακαῶν ξηρανθείη τὸ ὅλον σῶμα καὶ τὰ νεῦρα, κἄπειτα διὰ τὴν ξηρότητα σπασθείη, μέγιστον δὴ τοῦτο κακόν ἐστιν καὶ σχεδὸν ἀνίατον. τὸ μὲν οὖν πρῶτον διακρατεῖν δεῖ τὰ συνελκόμενα πειθηνίως καὶ ταῖς ἀτάκτοις ἀντιβαίνειν κινήσεσιν, ἀνατριπτέον τε ἐλαίῳ διὰ πηγάνου ἢ Σικυωνίῳ ἢ παλαιῷ ἤ τινι τῶν τοιούτων καὶ προποτιστέον μελικράτῳ. καὶ τοὺς μὲν ἐπὶ κενώσει σπωμένους ἐλαίῳ τε ἢ ὑδρελαίῳ θερμῷ καταντλητέον, μηδενὸς δὲ κωλύοντος καὶ εἰς λουτρὸν ἀπάξομεν εὐκράτῳ τε τῇ ἐμ-

5 εἰρημένον] *p. 164, 14 sqq.* ιθ΄ *Oribasius, Synops. VIII 15; Aëtius VI 38* 27—30 *Aëtius V 131*

1 ἤ τι] καὶ D 2 οὐδὲν] DEF: οὐδὲ ABCGHKM*a* 3 δι᾽] ἢ δι᾽ D 5 κατὰ . . . τρόπον *om. a* 7 παραλύσεως D 9 καὶ *om. a* 9. 10 ἠκολούθει περὶ τὸ κῶλον D, *corr. mrg.* D[3] (γρ.) 10 τῆς ἁφῆς] tactu *a* διεφυλάττετο D 11 γενομένης AEK 12 ἐπανῆλθε CDEF, -ν *eras.* BG γε *om. a* 13 συγχρισμῶν *om.* D 14 εὑρέθη ADEM τό τε] τά τε D 21 διαμένωσιν] D, *e corr.* E: διαμένουσιν ABCEFGHKM ὑπὸ] ἀπὸ D 24 ἕπονται] οὗτοι γίνονται D 27 δὴ] *om. a*: δὲ F ἐστιν *om.* D 29 τε] δὲ M*a* 30 μελίκρατον C: *comp.* G 31 ἢ] καὶ D θερμῷ *om.* M 32 ἀπαγάγωμεν D τῇ ἐμβάσει] *om. a*: ἐμβάσει D

βάσει χρησόμεθα σὺν ἐλαίῳ καὶ τρίψει μαλθακωτάτῃ. θρέψομέν τε αὐτοὺς τοῖς διὰ χόνδρου καὶ ἄλικος ῥοφήμασι καὶ οἴνου λεπτοῦ καὶ εὐαναδότου δώσομεν ὑδαροῦς, πλὴν εἰ μὴ πυρέττοιεν· τηνικαῦτα γὰρ πτισάνης χυλῷ χρησόμεθα καὶ ὕπνον ἐπιτηδεύσομεν. τοὺς δὲ διὰ πλῆθος ἢ φλεγμονὴν γινομένους σπασμοὺς ἰάσῃ τὸ μὲν πλῆθος κενῶν, τὴν δὲ φλεγμονὴν τοῖς ἰδίοις αὐτῆς βοηθήμασιν ἐκθεραπεύων. γίνεται δὲ σπασμὸς καί, ὅταν σπαραχθῶσι σφοδρότερον ἐμοῦντες. βοηθεῖ δὲ τοῖς σπωμένοις ἀκανθίου ῥίζα καὶ ἀκάνθης τῆς λευκῆς τὸ σπέρμα πινόμενον καὶ τῆς Αἰγυπτίας ἀκάνθης· καὶ κενταυρίου δὲ τοῦ λεπτοῦ τὸν χυλὸν ἔνιοι διδόασιν πίνειν, ὅταν διὰ πλήρωσιν ὁ σπασμὸς γίνηται· μὴ μόνον δὲ δίδου πίνειν, ἀλλὰ καὶ ἔξωθεν ἐπίχριε κατὰ τοῦ δέρματος τὸ καστόριον ἅμα Σικυωνίῳ. εἰ δὲ μὴ παύοιτο, σικύας προσβάλλειν μετὰ κατασχασμοῦ, σκελῶν μὲν συνελκομένων ἰσχίοις καὶ τῷ ὑστάτῳ σπονδύλῳ, χειρῶν δὲ σπωμένων καὶ νώτῳ καὶ τῷ πρώτῳ αὐτοῦ σπονδύλῳ τῷ τε ὑπερκειμένῳ τοῦ ὤμου ἄρθρῳ. εἴ γε μὴν ὅλου τοῦ σώματος ἀπαθοῦς ὄντος συνέλκοιτο χεῖλος ἢ βλέφαρον ἢ γλῶττα, χαλεπὸν ἡγητέον τὸ σύμπτωμα καὶ μεγάλων φόβων οἰστικόν, εἰ καὶ μικρὰ τὰ πεπονθότα μέρη δοκεῖ· τὰς οὖν ἀφαιρέσεις ἐπὶ τούτων ἀπό τε ἰνίου ποιητέον καὶ τῶν πρώτων σπονδύλων.

## κʹ. Περὶ τετάνου καὶ τῶν τούτου διαφορῶν.

1 Ὁ δὲ τέτανος σπασμός τις ὢν καὶ αὐτὸς γίνεται οἷον ἀποπαγέντων τῶν τοῦ σώματος καὶ μάλιστα τῶν κατὰ τὴν ῥάχιν μυῶν ὑπὸ ψυχροῦ χυμοῦ ἔνδοθεν καὶ ἔξωθεν συστάντος, ὅθεν οὐδὲ σφᾶς αὐτοὺς ἐπικάμψαι δύνανται. ἀλλ᾽ ὅτε μὲν εἰς τὸ πρόσω τείνεται τὰ μόρια τοῦ σώματος, λέγεται τὸ πάθος ἐμπροσθότονος, ὅταν δὲ εἰς τοὐπίσω, καλεῖται ὀπισθότονος, ὅταν δὲ ἰσοσθενῶς ἐφ᾽ ἑκάτερα τείνηται, τέτανος τὸ πάθος προσαγορεύεται. ὁ δὲ Πέλοψ ταῦτα τὰ πάθη τάσιν φησὶ καὶ συντονίαν τῶν περὶ τὸν τράχηλον μυῶν τε καὶ νεύρων, δι᾽ ὧν ἐπίκυψίς τε καὶ ἀνάνευσις καὶ περιστροφὴ τῆς κεφαλῆς γίνεται· ἀλλ᾽ εἰ μὲν περὶ τοὺς ὄπισθεν μύας τοῦ τραχήλου συσταίη τὸ πάθος, ὀπισθότονος ἐκ τοῦ συμβαίνοντος, εἰ δὲ περὶ τοὺς ἔμπροσθεν, ἐμπροσθότονος, εἰ δέ γε περὶ ἀμφοτέρους, τέτανος προσαγορεύεται. τὸ δὲ αἴτιον πλήρωσίν φησι τῶν μυῶν πνεύματός τε καὶ ἀέρος παχέος καὶ νεφώδους

12—19 *Aëtius V 131* 24—27 *Aëtius VI 38; cf. Oribasius, Synops. VIII 15*

1 τε] autem *a* 2 ἄληκος D καὶ εὐαναδότου *om. a* 5 μὲν τὸ AE 5. 6 φλεγμονὴν δὲ D 7 ἐμοῦντες σφοδρότερον D τοῖς σπωμένοις *om. a* 8 ῥίζα] ἡ ῥίζα D 9 δὲ *om. a* λεπτοῦ] λευκοῦ D ἔνιοι] ἔνιοι δὲ EF, *corr.* E 10 γίγνηται E: γίνεται BHK: γένηται FG 12 παύοιντο D 13 τῷ ὑστάτῳ *om.* D δὲ] τε BEKM 15 ἄρθρῳ. εἰ] D: ἀθρόως ABCEFGHKM*a* ὄντος] D: ὄντος εἰ ABCEFGHKM*a* 22 σώματος] σώματος μορίων D 24 ὅταν B 25 λέγεται] καὶ λέγεται D ὅταν . . . ὀπισθότονος *(26)*] *om.* A: *mrg.* M καλεῖται *om.* D 26 τείνηται] AKM, *e corr.* E: γίνηται D: τείνεται BCFGH 27 φησὶ τάσιν CFG 27. 28 καὶ συντονίαν *om. a* 30 ὄπισθε M

(λέγει δὲ τὸν ψυχρὸν ἄγαν καὶ πεπηγότα καὶ διὰ τοῦτο δυσκίνητον), ὅθεν καὶ τὰς ξηρὰς μᾶλλον πυρίας τούτοις ἀλλ᾽ οὐ τὰς ἐνύγρους ἁρμόττειν.

αὗται μὲν αἱ τοῦ τετάνου διαφοραί· οὐκ ἐξαλλάσσεται δὲ παρὰ ταύτας ἡ θεραπεία κοινή τις οὖσα. κράτιστον μὲν οὖν ἁπάντων αὐτοῖς βοήθημα πυρετὸς ἐπιγενόμενος, οὐκ ὢν ἐξ ἀρχῆς. σημεῖα δὲ τούτων ἡ στεναγμώδης ἀναπνοὴ καὶ σφυγμὸς ἀραιὸς καὶ μικρός· καί ποτε καὶ γέλως αὐτοῖς σαρδόνιος ἐπιγίνεται καὶ ἔρευθος ἐπὶ τῷ προσώπῳ, καὶ τὰ ὄμματα αὐτοῖς ἐν ὄγκῳ μείζονι φαίνεται· καὶ ἢ οὐδ᾽ ὅλως ἀπουροῦσιν, ἢ ὡς ὕδωρ αὐτοῖς ἐκδίδοται ἢ ὕφαιμον ἔχον τινὰς πομφόλυγας, ἥ τε κοιλία ἀποξηραίνεται· καὶ ἀγρυπνητικώτεροι γίνονται καὶ πολλάκις ὑπὸ σπασμῶν κινδυνεύουσιν ἀπὸ τῆς κλίνης ἐκπεσεῖν· καί που καὶ λύζειν ἄρχονται καὶ ἀλγοῦσιν, οἱ μὲν τὴν κεφαλήν, οἱ δὲ συνωμίας καὶ ὀσφύν, τινὲς δὲ αὐτῶν καὶ ὑπότρομοι γίνονται. ποιεῖ δὲ τὸ πάθος, εἰ καὶ σπανίως, καὶ κόπος καὶ χαμευνία καὶ βάρους ἄρσις καὶ πτῶμα καὶ τραῦμα καὶ καῦσις καὶ πληγὴ καὶ τὰ ἄλλα τὰ τὴν αὐτὴν ἐπιφέρειν βλάβην τοῖς νεύροις δυνάμενα. θεραπεύειν δὲ αὐτὰ ὡς τοὺς ἐπὶ κενώσει σπασμούς.

## 2 Θεραπεία τετάνων.

Τετανικῶς σπωμένους ἐν ἀρχῇ φλεβοτομητέον, ἐρίοις τε σκεπαστέον ἐλαιοβραχέσι τὰ μέρη διὰ Σικυωνίου καὶ καστορίου σὺν παλαιῷ ἐλαίῳ, ἢ καὶ κύστιν πλατεῖαν θερμὸν ἔχουσαν ἔλαιον τοῖς τένουσιν ἐπιτιθέναι, σικυαστέον τε μετὰ ἀμυχῶν· αἱ γὰρ κοῦφαι καὶ βλάπτουσιν. σικυαζέσθω δὲ ὅ τε αὐχὴν καὶ ῥάχεως τὰ ἑκατέρωθεν καὶ στήθους τὰ μυωδέστερα καὶ ὑποχόνδρια ὅ τε τῆς κύστεως τόπος καὶ ὁ τῶν νεφρῶν. μὴ φειστέον δὲ τῆς ἀφαιρέσεως οὐκ ἀθρόον ἀφαιροῦντας, ἀλλὰ μεμερισμένως· τοὺς δὲ ἱδρῶτας ἐλαιοβραχέσιν ἐρίοις ἀναρπάζειν, μὴ λάθωσιν ψύξαντες. εἰ δὲ χρονίσειεν ὁ τέτανος, εἰς ἔλαιον ἐμβιβάζειν δὶς τῆς ἡμέρας μὴ βραδύναντας εἰς αὐτό· ἐκλυτικωτάτη γὰρ τῶν δυνάμεων ἡ εἰς ἔλαιον ἔμβασις. ποτιστέον δὲ ὑδρομέλιτι λιπαρῷ εἰς ἥμισυ ἑψηθέντι, πάνακός τε

4—5 *cf. Galenus I 156* κʹ 2 *cf. Oribasius, Synops. VIII 16*

1 τὸν] D: αὐτὸν *e corr.* BE: ταὐτὸν ACEFGHKM: hunc *a* ψυχρὸν] *om.* K: τὸν ψυχρὸν F 2 τούτοις] τούτοις προσφέρειν D 3 ἁρμόζει D 4 μὲν] μὲν οὖν AM 5 μὲν *om. a* 6 ἐπιγινόμενος ABKM 7 καὶ *(ult.) om. a* 8 σαρδόνιος] DH, *e corr.* E, *mrg.* K(M)*a*: σαρδώνιος EC², *e corr.* A: σαρδάνιος *mrg.* B: σιδόνιος B: σιδώνιος CFGKM 9 φαίνεται] γίνεται D ἢ] *in ras.* E: οἱ F: *om. a* ἀποροῦσιν AEH, *corr.* A³E 10 πομφόλυγγας CFH 11 τε] *uero a* 12 καί που . . . ἄρχονται *(13) om. a* 15 καὶ *(sec.) om. a* 16 καῦσις καὶ τραῦμα D καὶ καῦσις] *mrg.* C²: *om. a* τἄλλα CG: ταῦτα F τὰ *(alt.)*] *om.* AEF: *supra scr.* M 17 αὐτοὺς D 19 τετάνου E 20 τετανικῶς] τοὺς τετανικῶς D 23 καὶ *om. a* σικυαστέον CD 24 τόν τε αὐχένα D 25 ὅ τε] τόν τε D τόπον D ὁ] τὸν D: *om.* M μὴ . . . ἀφαιρέσεως *(26) om.* D 26 τοὺς] καὶ μὴ δὲ φειδομένους τῆς ἀφαιρέσεως τοὺς D 27 λάθωσιν] BCGHK: λάθωσι ADEFM 28 βραδύνοντας CD: βραδύναντες A 29 ἐν αὐτῷ D 30 δὲ] ACDH*a*: τε BEFGKM

ὀποῦ < ᾱ τοὺς εὐτόνους ποτιστέον, εἰ δὲ μή γε, τριώβολον ἢ τὸ ἐλάχιστον ὀβολόν· ὑπίδοιτο δ' ἄν τις αὐτοῦ τὸ κακοστόμαχον. δοτέον καὶ ἀμμωνιακόν, ἢ ὀποῦ Κυρηναϊκοῦ ὀροβιαῖον μέγεθος περιπλασθὲν ἀπέφθῳ μέλιτι καταπινέσθω, σιλφίου τε ῥίζης κοχλιάρια β̄ ἐμπασθέντα μελικράτου κυάθοις τρισὶ δίδοται ἢ ἀφέψημα τῆς αὐτῆς ἢ σμύρνης < ᾱ μελικράτῳ ὑσσώπου τε ἀφέψημα. πάντων δὲ ἀπληκτότατόν ἐστι καὶ ἀνυσιμώτατον καστορίου διδόναι κοχλιάρια β̄ ἢ γ̄ μερίσαντα αὐτοῦ τὸ πλῆθος· οὐ λυπήσει γάρ, οὐδ' εἰ μετὰ τροφὴν ἐξ αὐτοῦ δίδως. καὶ τὰ λοιπὰ δὲ καὶ αὐτὸ τὸ ποτὸν σχολῇ κατ' ὀλίγον λαμβανέτωσαν· δυσκαταποτοῦντες γὰρ εἰς τὰς ῥῖνας ἀνακόπτουσι τὸ πόμα, ὅθεν ἰσχυρῶς σπαρασσόμενοι ἐρεθίζονται σπᾶσθαι. διαχριέσθωσάν τε τὴν ἕδραν πηγανίνῳ ἐλαίῳ μετὰ ὀποπάνακος, ἐνιέσθωσαν τε τοῖς αὐτοῖς. τὴν δὲ τοῦ ψυχροῦ κατάχυσιν, ὡς Ἱπποκράτης φησί, τολμηροτάτην οὖσαν καὶ διὰ τοῦτο τοῖς μεταγενεστέροις, οἶμαι, διελεγχθεῖσαν καὶ ἡμεῖς παραιτούμεθα.

Σύγχρισμα. νάρδου ξ ᾱ, κηροῦ Ϝ β̄, φύλλου, ἀμώμου, στύρακος, μαστίχης ἀνὰ Ϝ ᾱ, καστορίου, ἀδάρκης, εὐφορβίου, πεπέρεως ἀνὰ Ϝ ∠′, στάχυος νάρδου, ὀποβαλσάμου ἀνὰ Ϝ ᾱ. 3

Ὀπισθοτονικοῖς πότημα. πάνακος ῥίζης, πεπέρεως λευκοῦ, κόστου, σμύρνης, μηκωνίου ἴσα· δίδου ἄρακι ἴσον εἰς κοίτην. ποιεῖ καὶ ὀρθοπνοϊκοῖς. ἔστω δὲ καὶ τούτοις ἡ δίαιτα λεπτυντική τε καὶ εὐδιοίκητος καὶ παντάπασιν ἀπέριττος. 4

## κα′. Περὶ τρόμων.

Ὁ τρόμος καθόλου μὲν διὰ τὴν τῶν νεύρων ἀσθένειαν γίνεται· τοῦτο δὲ μαρτυρεῖ ἡ γεροντικὴ ἡλικία. κατὰ μέρος δὲ πλείους αἰτίαι τοῦτον ἐργάζονται· καὶ γὰρ διὰ ψυχρὰν δυσκρασίαν καὶ διὰ ψυχροῦ πόσιν ὕδατος, καὶ μάλιστα ἐν πυρετοῖς ἀκαίρως παραληφθέντος, ἔτι τε διὰ ψυχρῶν καὶ γλίσχρων χυμῶν περιουσίαν καὶ διὰ χρῆσιν οἴνου πλείονα. τοῖς μὲν οὖν ἐξ ἁμαρτημάτων προφανῶν τρέμουσιν ἀποχὴ τῶν βλαψάντων ἔστω· ἐπιμένοντος δὲ καὶ πάλιν τοῦ τρόμου κατὰ τοὺς

13 Ἱπποκράτης] Περὶ ὑγρῶν χρήσ. 6 = *Aphorism. V 21* κα′ *cf. Aëtius V 130*

1 ἐντόνους D γε *om. a* 2 ὑπίδοιτο] CDH: ὑπείδοιτο ABEGKM: ὑπόδοιτο F 3 ὀροβιαῖον] ὡς ὀροβιαῖον D 4 ἐμπλασθέντα AB μελικράτῳ CFH: *comp.* G 5 τρισὶν KM, -ν *eras.* G: γ̄ D διδόσθω D ἀφέψημα τῆς] D(*a*): ἀφεψήματι ABCEFGHKM 6 ὑσσώπου] CDF*a*, *e corr.* EG: ὑσσώπῳ AEGHKM: ὑσώπῳ B ἐστιν HK: *om.* CDFG καὶ ἀνυσιμώτατον] *om. a* 7 καστορίου] ἐστι καστορίου CDFG μερίσαντας D: *om. a* αὐτοῦ τὸ πλῆθος *om. a* 8 εἰ *om. a* δίδως] dans *a*: δίδωσι D 9 σχολῇ *om.* D*a* 10 ἀναπέμπουσι D σπαραττόμενοι D 11 τε] δὲ F*a*: δὲ καὶ D 14 οἶμαι] ὡς οἶμαι CFG *mrg.* γρ. παραλειφθεῖσαν D 15 ᾱ *om.* D 16 ἀδάρκης] ἀνδράχνης D Ϝ *(alt.)*] < F: < ἐν ἄλλο Ϝ G: < ἐν ἄλλογον C *supra add.* ά C[2] ∠′] AED*a*: ᾱ FM: *om.* BCGHK 17 νάρδου στάχυος E: ναρδοστάχυος CFG 18 ὀπισθοτόνου D: *om.* F πότημα] A: *om.* F: πότισμα D: πότιμα BCEGHKM κόστου *om.* E: μαστι^χ^ κόστου D 19 ἄρακι ἴσον *om.* D καὶ] δὲ καὶ εἰς D ὀρθοπνοικοῦς D 27 τε] δὲ DH 29 καὶ *om. a*

πυρετοὺς πρῶτον μὲν ἐμβρεχέσθω τὸ σῶμα πᾶν ἐλαίῳ Σαβίνῳ, ἐν δὲ ταῖς ἐνδόσεσι τῶν ἐπισημασιῶν παλαιῷ ἢ Σικυωνίῳ· σκεπέσθω δὲ τὰ ἄκρα ἐρίοις μαλακοῖς προαληλιμμένα. εἶτα προσβλητέον σικύας ἀπὸ τοῦ πρώτου σπονδύλου μέχρι ῥάχεως καὶ ὀσφύος προκαταπλασσομένων τῶν μορίων μετὰ τῶν ὑποχονδρίων ὠμῇ λύσει· σκεπέσθω δὲ καὶ ταῦτα τὰ μέρη ἐρίοις ἐκ παλαιοῦ ἐλαίου ἢ Σικυωνίου. εἰ δὲ χρονίσειαν οἱ πυρετοί, ἐμβιβαστέον παρὰ μίαν εἰς ἔλαιον ἢ ὑδρέλαιον, καὶ τρίψεσιν ἁπαλαῖς χρηστέον. εἰ δ' ἔτι χρονίσει ἡ διάθεσις, ψύξεως ὑπονοουμένης προποτιστέον μελικράτῳ καὶ καστορίῳ, καὶ θερμοῖς τόποις αἰωρητέον. εὐδιοίκητον δὲ τροφὴν παράσχωμεν, τὸ μὲν πρῶτον ῥοφηματώδη, ἐς ὕστερον δὲ καὶ πτηνῶν καὶ ἰχθύων τοὺς μαλακοσάρκους. λυθέντων δὲ τῶν πυρετῶν λουστέον παραιτουμένους τήν τε εἰς τὸ ψυχρὸν ἔμβασιν καὶ οἴνου πόσιν. εἰ δὲ πλῆθος εἴη παχέων καὶ γλίσχρων χυμῶν, τοῖς τέμνουσι καὶ λεπτύνουσι χρηστέον· ὧν ἐστι καὶ τόδε· πηγάνου κλωνία, σπονδυλίου ὅσον τρισὶ δακτύλοις, καστορίου καὶ νίτρου ἀνὰ ὀβολοὺς β̄· δίδου καθ' ἡμέραν κοχλιάριον ἓν μετὰ ὀξυμέλιτος ἐφ' ἡμέρας γ̄ νήστει. ἢ πάνακος καὶ πεπέρεως κόκκους ε̄ ποτίζειν ἐν μελικράτου κυάθῳ ᾱ. ἁπλᾶ δὲ τρέμοντας προποτιζόμενα ὠφελεῖ καστόριον, λαγωοῦ ἐγκέφαλος ἐσθιόμενος, ἀλθαίας ῥίζης ἀφέψημα, δαμασωνίου φύλλων < δ̄ ἐν μελικράτῳ, εὐπατόριον μεθ' ὕδατος. ἐπικρατούσης δὲ τῆς ψύξεως καὶ τῷ Ζωσίμου συγχρίσματι καὶ τοῖς πρὸς πάρεσιν ἀναγεγραμμένοις ἀκόποις καὶ συγχρίσμασι καὶ φοινιγμοῖς χρησόμεθα καὶ γυμνασίοις τοῖς διὰ τρίψεως. καὶ τοὺς δι' οἰνοποσίαν δὲ τρέμοντας ἀφεκτέον τοῦ οἴνου μέχρι τελείας ἀπαλλαγῆς.

## κβ'. Ὀφθαλμικά, καὶ πρῶτον περὶ ὀδύνης, ἐκ τῶν Γαληνοῦ.

1 Ὅταν ὀδύναι γίνωνται σφοδρότεραι κατὰ τοὺς ὀφθαλμούς, ἐπισκέπτου, κατὰ τίνα διάθεσιν ὀδυνᾶσθαι συμβαίνει τὸν ὀφθαλμὸν ἐν ταῖς

κβ' 1 *Oribasius, Synops. VIII 41 (Galenus X 937 sq.)*

3 προαληλιμμένα] DM: προαληλειμμένα BHK: προαλιμμένα AE: προαλειμμένα CG: προαλλειμμένα F: προηλειμμένα *e corr.* E προσβλητέον] CDFG*a*, *e corr.* B: προβλητέον ABEHKM 4 προκαταπλαττομένων D 5 μερῶν D σκεπέσθωσαν CFG: σκέπεσθαι D ταῦτα] αὐτὰ D 6 ἐρίοις *om.* D χρονίσειαν] D: χρονίσειεν ABCEFGHKM 7 ἢ ὑδρέλαιον *om.* D 8 ἁπαλαῖς] simplicibus *a* χρονίζει DF 9 θερμοῖς] ἐν θερμοῖς D 10 ἐς] *om.* BD: *ins.* M 11 μαλακωτέρους B, *mrg.* γρ. μαλακοσάρκους 12 λουστέον] λουτροῖς χρῆσθαι δὲ D[3] 13 εἴη *om.* D γλίσχρων καὶ παχέων D χυμῶν] χυμῶν εἴη D 14 ὧν] D: *om.* ABCEFGHKM*a* καὶ] δὲ καὶ M: *om. a* κλωνία] D: κλωνίων K*a*: κλωνίου ABCEFGHM 15 δακτύλοις] δακτύλοις ἆραι D 16 καθ' ἡμέραν *om.* F κοχλιάριον καθ' ἡμέραν D ἡμέραις τρισὶ K 17 νήστι D πότιζε DK μελικράτου] BDHM*a*: μελικράτῳ ACEK: *comp.* G: μελικράτως F 18 δὲ] δὲ τοὺς D 19 ἀφέψει C *et* -ει *in ras.* G 20 δ̄] ᾱ D 21 καὶ *(alt.)*] χρηστέον καὶ D 22 χρησόμεθα *om.* D τοῖς] et *a* 23 διὰ τρίψεως] D: διατρίψεσι ABFM*a*: διατρίψεσιν CEHK, -ν *eras.* G καὶ *om. a* τοῖς D τρέμουσιν D 25 ἐκ τῶν Γαληνοῦ] *om.* F*a*: *postea add.* A 26 γίγνωνται M, *e corr.* AB: γίγνονται ABCFG

φλεγμοναῖϲ· ἤτοι γὰρ ἐν τῷ δάκνεϲθαι ϲφοδρῶϲ ὑπὸ τῆϲ τῶν ἐπιρρεόντων δριμύτητοϲ ἢ διὰ τὸ τείνεϲθαι πεπληρωμένουϲ τοὺϲ χιτῶναϲ ἢ δι᾽ ἔνϲταϲίν τινα παχέων χυμῶν ἢ πνευμάτων φυϲωδῶν αἱ ὀδύναι γίνονται ϲφοδραὶ κατ᾽ αὐτούϲ. τὰϲ μὲν οὖν δήξειϲ διὰ τῶν καθαρτηρίων κενοῦνταϲ θεραπεύειν καὶ τοῦ ᾠοῦ τὸ ὑγρὸν ἐγχέονταϲ· πεπεμμένηϲ δὲ τῆϲ φλεγμονῆϲ ἤδη καὶ ἀπερίττου τοῦ ϲώματοϲ ὄντοϲ ἐπιτηδειότατα τούτοιϲ ἐϲτὶ λουτρά. τὰϲ δὲ ἐπὶ πληρώϲει φλεγμονὰϲ διά τε κενώϲεωϲ αἵματοϲ καὶ γαϲτρὸϲ ὑπαγωγῆϲ καὶ τρίψεωϲ τῶν κάτω μορίων ἰᾶϲθαι προϲῆκεν· τὰϲ δὲ ἐνϲτάϲειϲ προκενώϲαντα τὸ πᾶν ϲῶμα καὶ μέντοι καὶ ἀντιϲπάϲαντα κάτω τὴν ῥοπὴν τῶν χυμῶν ἑξῆϲ αὐτοῖϲ τοῖϲ τοπικοῖϲ τοῖϲ διαφοροῦϲι θεραπεύειν. πυριατέον οὖν αὐτοὺϲ καὶ τὸ τῆϲ τήλεωϲ ἐγχυτέον ἀφέψημα. ἐφ᾽ ὧν δὲ ἡ ἔνϲταϲίϲ ἐϲτιν αἵματοϲ παχέοϲ ἐν τοῖϲ τῶν ὀφθαλμῶν φλεβίοιϲ ἄνευ πληθωρικῆϲ διαθέϲεωϲ ἐν ὅλῳ τῷ ϲώματι, οἴνου χρῆϲθαι πόϲει διαθερμαίνειν τε δυναμένου καὶ κενοῦν καὶ ἐκφράττειν.

## Περὶ ταράξεωϲ καὶ ἰδίωϲ ὀφθαλμίαϲ. 2

Ἡ μὲν τάραξιϲ ὑγρότηϲ ἐϲτὶ τοῦ ὀφθαλμοῦ καὶ θερμότηϲ ϲὺν ἐρεύθει περιττῷ τοῦ κατὰ φύϲιν οὐκ ἐκ τοῦ ϲώματοϲ ἀλλ᾽ ὑπό τινοϲ ἔξωθεν αἰτίου γενομένη, οἷον ἡλίου, καπνοῦ, κονιορτοῦ, ἐλαίου· διὸ καὶ λύεται τάχιϲτα χωριζομένηϲ τῆϲ αἰτίαϲ. καὶ ἡ ὀφθαλμία δὲ τάραξίϲ τίϲ ἐϲτιν οὐ μόνον ἔξωθεν ἀλλὰ καὶ χωρὶϲ φανερᾶϲ αἰτίαϲ γινομένη καὶ ἐπιμένουϲα ἕωϲ τρίτηϲ ἢ τετάρτηϲ ἢ καὶ πέμπτηϲ ἡμέραϲ· θεραπεύεται δὲ ῥᾷϲτα τῶν ἔξωθεν ἐρεθιϲτικῶν παραφυλακῇ, ὀλιγοϲιτίᾳ, ὑδροποϲίᾳ ἢ περιπάτῳ, εὐλυϲίᾳ κοιλίαϲ.

## Περὶ φλεγμονῆϲ. 3

Ἐναπολειφθείϲηϲ δὲ φλεγμονῆϲ ἐν τοῖϲ ὀφθαλμοῖϲ μετὰ τὴν τοῦ ὅλου ϲώματοϲ κένωϲιν ὑπαλείψεϲι χρηϲτέον διὰ τῶν ἀποκρούεϲθαι δυναμένων τὴν ἐπιφορὰν καὶ πραΰνειν τὸν ἐρεθιϲμόν, οἷόν ἐϲτι τὸ Νείλου διάροδον ἢ καὶ τὸ Μηδιακὸν καὶ τὸ νάρδινον. φλεγμαίνοντοϲ

κβ´ 2 *cf. Oribasius, Ad Eunap. IV 13; Aëtius VII 3*
κβ´ 3 *cf. Oribasius, Synops. VIII 39—40; Aëtius VII 4*

1 ἤτοι] ἢ C *et corr. ex* ἦτε G: εἴτε F 2 διὰ τὸ] *corr. ex* ἀπὸ E: δια- D 3 ἔνταϲίν BD, *e corr.* E 5 ὑγρὸν] BDKM*a*: λευκὸν ACEFGH 7 εἰϲὶ D: ἐϲτὶν τὰ K 8 μορίων] μόνων ABEM*a*, *corr.* E²M²: μόνον H 9 ἐνϲτάϲειϲ] -ϲ- *eras.* E: *e corr.* B: ἐντάϲειϲ DF προκενώϲανταϲ D 10 ἀντιϲπάϲανταϲ D αὐτοὺϲ τοὺϲ τόπουϲ D 12 ἡ *om.* D ἔνταϲίϲ BD, *corr.* B: *corr. ex* ἔνϲταϲιϲ E ἐϲτιν] ἐϲτιν ἐξ D 16 ἰδίωϲ] ἰδίωϲ περὶ D 18 περιττῷ τοῦ] D: περὶ τὸ ABCEGHM: παρὰ τὸ FC²*a*, *e corr.* K 19 *mrg.* ἴϲωϲ ἀνέμου C³ γινομένη CFH: γεγενημένη D 20 ταχέωϲ K καὶ *(alt.)* *om.* D δὲ τάραξιϲ] διατάραξιϲ B 22 καὶ *(pr.) om. a* ἢ *(pr.)*] καὶ FK ἢ *(alt.)*] *om* K: ἡμέραϲ ἢ D καὶ *(alt.) om.* AEFM*a* ἡμέραϲ *om.* DF 23 τῶν] τῇ τῶν D 24 ὑδροποϲίᾳ] et aquoso potu *a* ἢ *om.* D 26 ἐναπολήφθείϲηϲ D τοῦ *om.* M 26. 27 ὅλου τοῦ K 27 ὑπαλείψεϲι] ταῖϲ ὑπαλείψεϲι CFG 29 διὰ ῥόδων AEH, *corr.* E ἢ *om. a*

δὲ τοῦ ἐπιπεφυκότος τοῖς μονημέροις καλουμένοις χρηστέον μετὰ τοῦ λευκοῦ τοῦ ᾠοῦ ἐγχέοντας· κατὰ δὲ τὴν ὑστεραίαν, εἰ μὴ τὰ τῆς φλεγμονῆς ἐπιτείνοι, ἐπαλειπτέον τῷ ναρδίνῳ, πυρίᾳ δὲ χρῆσθαι δι' ἀφεψήματος μελιλώτου τε καὶ τήλεως. παχέος δὲ ὄντος τοῦ τὴν ὀφθαλμίαν ποιοῦντος ὑγροῦ φαρμάκοις χρησόμεθα μήτε ἐμπλάσσουσι μήτε παχύνουσι τὰ ὑγρά, ἀλλὰ διαχεῖν τε καὶ ὑγραίνειν καὶ ἐκκρίνειν δυναμένοις, οἷόν ἐστι τὸ Χιακόν. ἐὰν δὲ περὶ τὴν κεφαλὴν ἐνσφηνωθῇ τὰ ὑγρά, σικύαν προσβάλλειν τῷ ἰνίῳ ἢ κατασχάζειν ἢ βδέλλας προσάγειν τῷ μετώπῳ κατὰ τὸν ἀλγοῦντα ὀφθαλμόν, καταπλάττειν τε δι' ἄρτου καθαροῦ βραχέντος ὕδατι σὺν ὀλίγῳ ῥοδίνῳ ἢ ἀλφίτοις ἑψηθεῖσι κωδυῶν ἀφεψήματι ὁμοίως σὺν ῥοδίνῳ· καὶ δραστικωτέρῳ δὲ χρηστέον καταπλάσματι ἀπό τε κρόκου καὶ μελιλώτων καὶ φοινίκων σαρκῶν καὶ κοριαννοῦ φύλλων ἁπαλῶν ᾠῶν τε τῶν πυρρῶν ὀπτηθέντων καὶ ψιχῶν βραχεισῶν εἰς ἕψημα καὶ ῥοδίνου βραχέος λειουμένων κωδυῶν ἀποζέματι. καὶ τοῦ σπέρματος δὲ τῶν κωδυῶν ἔστιν ὅτε μίγνυμεν ἀνωδυνίας χάριν· εἰ δὲ πολλὴ τῆς ὀδύνης ἡ ἀνάγκη, καὶ ὀπίου μικτέον ἐλάχιστον, χωρὶς δὲ μεγίστης ὀδύνης παραιτητέον τὰ ναρκωτικά. εἰ δὲ μετρία ἡ φλεγμονὴ εἴη, ἀλόην καθ' αὑτὴν ἀνεὶς ὕδατι ἢ ᾠοῦ τὸ λευκὸν ἔγχρισον. ἵνα δὲ καὶ ἕτοιμον ὑπάρχῃ βοήθημα, λαβὼν κρόκου < ξ̄, ἀλόης < ῑς̄, κόμμεως < θ̄ ὕδατι ὀμβρίῳ ἀναλάμβανε καὶ ποίει κολλούρια. καὶ τὰ διάκροκα δὲ προσαγορευόμενα πρὸς ἀρχὰς ὀφθαλμιῶν εἰσιν ἐπιτήδεια. ἐφ' ὧν δὲ οἰδηματώδης ὄγκος καὶ ἔκλευκός ἐστι περί τε τὰ βλέφαρα καὶ τὸν ἐπιπεφυκότα χωρὶς βλάβης τῶν χιτώνων, εὐχρηστεῖ καὶ τὰ ὑγροκολλούρια καλούμενα διά τε κρόκου καὶ χαλκάνθου καὶ μέλιτος σκευαζόμενα.

4 Καὶ τοῦτο δὲ κάλλιστον·

Ὑγροκολλούριον ἀνώδυνον.

Μελαντηρίας σκυτοτομικῆς, μέλιτος Ἀττικοῦ, χυλοῦ τήλεως ἴσον· ἕψε, ἄχρι μέλιτος σχῇ πάχος, εἶτα τῷ πυρῆνι τῆς μήλης ἅπτου τῶν δύο κανθῶν.

1 μετὰ *om.* D  1. 2 τοῦ λευκοῦ τοῦ ᾠοῦ] CGK: λευκοῦ τοῦ ᾠοῦ ABEHM: τοῦ ᾠοῦ τοῦ λευκοῦ DF  3 δὲ] τε D  5 μήτε ἐμπλάσσουσι *om.* *a*  6 διαχέειν D  7 ἐνσφηνωθῇ] D: adhereant *a*: ἐσφηνώθη ABCEFGHKM  8 ὑγρά] ἐν ὑγρασίᾳ BHM  ἢ *(pr.)*] ἢ καὶ D  10 ἢ . . . ῥοδίνῳ *(11)*] *om.* D: *mrg.* M  11 δὲ] *om.* *a*: τε C  κεχρῆσθαι D  12 φοινίκων σαρκῶν καὶ μελιλώτων D  14 λειουμένου D  ἀποζέματι] *in ras.* B: ἀφεψήματι E  15 δὲ *om.* *a*  μιγνυμένου D  18 ἀλόην] CDFG: ἀλόης ABEHKM*a*  ἀνιεὶς D  ὕδατι] ADE*a*: ἢ ὕδατι BCFGHM: καὶ ὕδατι K  18. 19 τῷ λευκῷ BK  19 ἐγχρίειν D  λαβὼν] D: βαλὼν ABCEFGHKM: pone *a*

20 < ξ̄ *om.* *a*  < *(alt.)*] ana ʒ *a*  ῑς̄] VI *a*  θ̄] VIII *a*  21 ἀρχὰς] ταραχὰς D  ὀφθαλμῶν D  22 ὄγκος *om.* K  καὶ *om.* H  ἔκλευκός] ABDEKM*a*, *mrg.* C²: ἔκλεπτος CG: εὔκοπτος F: *om.* H  23 τε *om.* K  24 καὶ *(pr.)* *om.* *a*  χαλκάνθης CF: *comp.* G  29 ἕψει D  τῷ . . . μήλης *om.* *a*

## Πρὸς ἐπιφορὰν ῥεύματος. 5

Πρὸς δὲ τὰς ἐπιφορὰς τῶν ῥευμάτων ἐν ἀρχῇ μὲν ἁρμόζει ἀσιτία καὶ ὑδροποσία καὶ πάντων μᾶλλον συνουσίας ἀποχή, καὶ κοιλία ὑποσυρέσθω, καὶ ὀξυκράτῳ ὕδαρεῖ προσκλυζέσθω τὸ πρόσωπον, εἰ μάλιστα ζέον εἴη τὸ ῥεῦμα· εἰ δὲ μή, χαλκάνθῳ σὺν μέλιτι καταχριέσθω τὸ μέτωπον καὶ τὰ βλέφαρα· ἔνιοι δὲ τὸ χάλκανθον ὕδατι διέντες διδόασι προσκλύζεσθαι. ἐπὶ δὲ τῶν ἄνευ φλεγμονῆς ῥευματιζομένων ἢ καὶ σὺν φλεγμονῇ μέν, ὑπὲρ τὸ σκύφιον δὲ τῆς κατασκευῆς οὔσης, ἀνακολλήμασι χρηστέον κατὰ τοῦ μετώπου, ἁπλοῖς μὲν ἀμπέλου φύλλοις χλωροῖς ἢ βάτου χυλίσματι ἢ ἀνδράχνης ἢ Κυδωνίων σὺν λεπτῷ ἀλφίτῳ ἢ κηκῖδι λείᾳ σὺν οἴνῳ καὶ τῷ λεπτῷ τοῦ ἀλφίτου ἢ κωνείῳ ἢ ψυλλίῳ σὺν ὕδατι ἢ στρύχνῳ ἢ κοχλίοις σὺν τοῖς ὀστράκοις λείοις καταπλασθεῖσιν ἀπὸ κροτάφου ἐπὶ κρόταφον καὶ καθόλου τοῖς στύφουσί τε καὶ ψύχουσι· συνθέτοις δὲ τοῖσδε· γῦρις σιτίνη καὶ σμύρνα ἢ λίβανος σὺν ᾠοῦ τῷ λευκῷ καταχριέσθω ἢ Σαμία γῆ μετὰ σμύρνης καὶ μάννης ὁμοίως τῷ λευκῷ τοῦ ᾠοῦ. ἐπὶ δὲ τῶν ψυχροτέρων ῥευμάτων θείου ἀπύρου, ἀσφάλτου, πίσσης, κολοφωνίας ἀνὰ ∠ β̄· καὶ ὁ Μούσα δὲ τροχίσκος καὶ ὁ ἀστὴρ καὶ τὰ παραπλήσια καλῶς ἀποκρούεται· καὶ ἡ θηριακὴ οἴνῳ στύφοντι διειμένη καὶ τῷ μετώπῳ ἐπιχριομένη τὰ ψυχρὰ τῶν ῥευμάτων ἵστησιν. αὕτη μέν γε καὶ πινομένη μεγάλως τούτους ὀνίνησιν· ἐπ᾽ αὐτοῦ δὲ τοῦ ὀφθαλμοῦ ἔριον ἢ ῥάκος λεπτὸν τῷ λευκῷ τοῦ ᾠοῦ δεύσας ἐπιτίθει· καὶ τυρὸς νεοπαγὴς ὁμοίως ἐπὶ τοῦ ὀφθαλμοῦ τιθέμενος τὰ δριμέα μάλιστα τῶν ῥευμάτων ἐπέχει, καὶ τὰ σταλτικὰ λεγόμενα κολλούρια ἐπιχριόμενά τε καὶ ἐνσταζόμενα ὑδαρῆ τοῦτο δρᾷ. εἰ δὲ διὰ βάθους καὶ ὑποσκύφιον τὸ ὑγρὸν ὑπάρχον εἰς χρόνου μῆκος ἐκτείνεται, μετὰ τὰς καθόλου κενώσεις ἐρρίνοις τε καὶ ἀποφλεγματισμοῖς χρηστέον καὶ ξυρήσει καὶ φοινιγμοῖς τῆς κεφαλῆς. ἐπὶ δὲ τούτων καὶ τὰς ἐν τῇ κεφαλῇ χειρουργίας παραλαμβάνουσιν, ἀγγειολογίαν φημὶ καὶ ἀρτηριοτομίαν ὑποσπαθισμόν τε καὶ περισκυφισμὸν καὶ καῦσιν κατὰ τῆς κορυφῆς ἕως ὀστέου· καὶ σικύαι δὲ κατὰ τοῦ ἰνίου μετ᾽ ἐγχαράξεως ἀντισπᾶν δύνανται τὴν ἐπίρροιαν. σημεῖα δὲ τῶν μὲν ἔξωθεν τοῦ σκυφίου

κβ´ 5 *cf. Oribasius, Ad Eunap. IV 15*   2—10 *cf. Galenus XII 790 sq.*

1 ἐπιφορὰς F*a*   ῥευμάτων D: ῥεύμα͞τ BG: ῥεύματα C, *corr.* C²   2 ἁρμόσει K   4 προσκλυζέσθωσαν CG: ἐγκλυζέσθωσαν F   5 χάλκανθον CFG   8 τὸ σκύφιον] scifum oculorum *a*   8 τῆς κατασκευῆς] causa *a*   9 κατὰ] ἐπὶ K   ἁπλοῦς CFG, *corr.* C   10 χυλίσμασιν DF   σὺν] σὺν τῷ CFG   ἀλφίτῳ] ἀλφίτου F: τοῦ ἀλφίτου CG   11 σὺν] σὺν λεπτῷ ἀλφίτῳ καὶ CFG   καὶ . . . ἀλφίτου *om.* CFG   ἢ *(pr.)*] et *a*   κωνείῳ] D*a*: κων(ε)ίου ABCEFGHKM   ἢ *(sec.)*] et *a*   ψυλλίῳ] D*a*: ψυλλίου ABCEFGHKM   12 κοχλίαις D   14 τοῖσδε *om.* K   σμυρνολίβανον D   15 ᾠοῦ *om. a*   καὶ *om.* D   17 πίττης D   καλοφανίας D, *ut solet*   δὲ *om. a*   19 ψύχοντα CFG   20 τούτοις ABCEH, *corr.* B   21 ἢ] μὲν ἢ K   τοῦ *(alt.)*] δὲ τοῦ K   22 *mrg.* βρέξας K   ὁμοίως *om. a*   23 μάλιστα *om.* A   ἐπέχει] μάλιστα ἐπέχει A   24 κουλλούρια CFG   ὑδαρεῖ GK: -εῖ *supra add.* D   26 ἀποφλεγματικοῖς B   29 παρασκυφισμὸν F: ὑποσκυφισμὸν K   30 κορυφῆς] κεφαλῆς AFH, *corr.* F   δὲ *om. a*   31 δύναται FK   ἔξωθεν] CDFGK: ἔξω ABEHM

ῥευμάτων διατάσεις ἀγγείων περὶ μέτωπον καὶ κροτάφους καὶ οἷον δεσμὸς τῆς κεφαλῆς καὶ τὰ ξηραίνοντα τῶν ἀνακολλημάτων ὠφελοῦντα· τούτων δὲ μὴ παρόντων τῆς ἐπιρροίας χρονιζούσης καὶ πταρμῶν ἔσθ' ὅτε ἐνοχλούντων ὑποσκύφιον νομιστέον εἶναι τὸ ὑγρόν.

## 6 Περὶ χημώσεως.

Χήμωσιν λέγουσιν, ὅταν ὑπὸ φλεγμονῆς ἰσχυρᾶς ἀμφότερα τὰ βλέφαρα ἐκτραπῇ, ὡς μόλις ὑπ' αὐτῶν τοὺς ὀφθαλμοὺς καλύπτεσθαι, καὶ τὸ λευκὸν τοῦ ὀφθαλμοῦ μετεωρότερον τοῦ μέλανος γένηται καὶ ἐρυθρὸν καὶ πολὺ μέρος ἐπιλαμβάνῃ τοῦ μέλανος. θεραπεύειν δὲ αὐτὴν φλεβοτομίᾳ καθαρτικῷ τε καὶ τῷ διαρόδῳ κολλουρίῳ τῷ λευκῷ καὶ τῷ σποδιακῷ μετὰ γάλακτος ἢ ᾠοῦ τοῦ λευκοῦ. τῷ δὲ αὐτῷ περιχρίειν τὰ βλέφαρα καὶ κροτάφους καὶ μέτωπον, πυρίαις τε καὶ καταπλάσμασι παρηγορικοῖς χρηστέον· ἐνδούσης δὲ τῆς φλεγμονῆς ὑπαλειπτέον τοῖς δριμυτέροις, οἷόν ἐστι καὶ τὸ χλωρὸν διάροδον.

## 7 Περὶ ὑποσφαγμάτων καὶ ἐμφυσημάτων.

Ὑπόσφαγμά ἐστι ῥῆξις τῶν φλεβῶν τοῦ ἐπιπεφυκότος ἐκ πληγῆς ὡς μάλιστα γινομένη. ἐγχυματίζειν οὖν αὐτοὺς αἵματι φάσσης ἢ περιστερᾶς ἢ θερμῷ γάλακτι γυναικείῳ βραχὺ ἀποτρίβων λιβάνου· ἢ ἅλμην ἔνσταζε, καὶ μάλιστα ἀπὸ Καππαδοκικῶν ἁλῶν· καὶ πυρίᾳ κέχρησο δι' ἀφεψήματος ὑσσώπου. πρὸς δὲ τὰ γιγνόμενα περὶ τοὺς ὀφθαλμοὺς οἰδήματα διὰ πληγὰς ποιεῖ πυρία δι' ὀξυκράτου συνεχὴς καὶ σπόγγος ἐκ τοῦ ὀξυκράτου ἐπικείμενος. ἐπίχριστον δὲ σφεκλάριον κεκαυμένον καὶ κόπρος περιστερᾶς, ἴσα οἴνῳ ἢ ὄξει λεῖα. καταπλάσσειν δὲ τυρῷ νεαρῷ ἢ ῥαφάνου φλοιῷ ἢ σταφίδι χωρὶς τῶν γιγάρτων, ἑκάστῳ ἐν ὀξυκράτῳ ἢ μελικράτῳ. τὰ δὲ αὐτὰ καὶ πρὸς ἐμφυσήματα.

## 8 Πρὸς ἐμφυσήματα κνησμώδη καὶ ψωροφθαλμίας.

Τὸ μὲν ἐμφύσημα ὄγκος ἐστὶν οἰδηματώδης τοῦ βλεφάρου, ἡ δὲ ψωροφθαλμία κνησμώδης τοῦ βλεφάρου ψωρίασις δι' ἁλμυρὸν καὶ νιτρῶδες ὑγρὸν γιγνομένη. ἁρμόζει οὖν αὐτοῖς τό τε ὀξύκρατον καὶ φακῶν

κβ´ 6 *Oribasius, Synops. VIII 42* 28—29 *cf. Aëtius VII 78*

1 διάτασις D 2 καὶ *om. a* 3 μὴ] μηδὲ K ἐπιχρονιζούσης F: τε χρονιζούσης K 4 διοχλούντων DK εἶναι νομιστέον CFG 8 γίνηται D 9 πολυμερῶς BCFG ἐπιλαμβάνῃ] ADH, *e corr.* E: ἐπιλαμβάνει CEFGM*a et mut. in* ἐπιλαμβάνειν B: ἐπιλαμβάνεται K θεραπεύσεις D 10 φλεβοτομὴν G: φλεβοτομίαν F διαρόδῳ] διὰ ῥόδων D, *e corr.* C: διὰ ῥόδου AE*a* 11 τῷ λευκῷ CDFG: τὸ λευκῷ H 13 παρηγορητικοῖς F, *e corr.* J: παρηγορ(τι)ικοῖς M 14 καὶ *om.* E*a* διάροδον] διάρροδον D: διὰ ῥόδων AEC², *corr.* E 18 βραχεῖ AE, *corr.* E ἀποτρίβοντα D λιβάνῳ H 22 ἐπιχριστέον AE*a* δὲ] *om.* A*a*: *supra scr.* E²: τε D 23 καταπλαστέον D 24 ῥεφάνου ABEHM φλοιῷ] DEJ*a*: φλοιοῦ ABCFGHKM 27—p. 175, 7 *om.* FG: *mrg.* C² 27 μὲν] μὲν οὖν M 28 δι' . . . ὑγρὸν *(29)*] ex salsis humoribus *a*

ἀφέψημα καὶ ῥόδων πυρία, ὑγροκολλούριον δὲ τοῦτο· χαλκοῦ < ϛ̄, μίσυος ὀπτοῦ, σμύρνης ἀνὰ < γ̄, κρόκου < ᾱ L΄, πεπέρεως < ᾱ, οἴνου Χίου καὶ γλυκέος Κρητικοῦ ἀνὰ κ/° ᾱ L΄· ἕψε, ἕως μέλιτος σχῇ πάχος. αὕτη δέ ἐστιν ἡ Ἐρασιστράτου πάγχρηστος, ποιοῦσα καὶ πρὸς συνάγχην καὶ τὰ ἐν στόματι ἕλκη καὶ ἐν αἰδοίῳ καὶ ὠταλγίας. χριέτωσαν δὲ καὶ ἐλαίῳ τὰ βλέφαρα καθεύδειν μέλλοντες· ἀπεχέσθωσαν δὲ ὀξέων καὶ ἁλμυρῶν καὶ δριμέων.

## Περὶ σκληροφθαλμίας καὶ ξηροφθαλμίας. 9

Ἡ μὲν σκληροφθαλμία σκληρότης καὶ δυσκινησία ἐστὶ τοῦ ὀφθαλμοῦ μετὰ πόνου καὶ ἐρεύθους χωρὶς ὑγρασίας. πυριᾶν οὖν αὐτοὺς συχνῶς σπόγγοις ἐξ ὕδατος θερμοῦ καὶ ἐπιτιθέναι τοῖς βλεφάροις εἰς κοίτην ᾠὸν μετὰ ῥοδίνου ἢ στέαρ χηνὸς φεύγοντας τὰ ψυχρὰ καὶ σκληρυντικά· σκεπαζέσθω δὲ καὶ λιπαινέσθω ἡ κεφαλή, καὶ ἡ κοιλία ὑπαγέσθω. ἡ δὲ ξηροφθαλμία κνησμώδης ἐστὶ τῶν ὀφθαλμῶν διάθεσις χωρὶς ῥεύματος· θεραπεύειν δὲ αὐτὴν λουτροῖς τε καὶ ἀλείμμασι καὶ εὐχύμῳ διαίτῃ. ἐφαρμόσει δὲ κοινῶς ἐπ᾽ ἀμφοῖν καὶ φάρμακα τῶν δριμέων, ὥστε καὶ δάκρυον προκαλεῖσθαι, δι᾽ ὧν ἥ τε σκληρία ἀνεθήσεται καὶ ἡ ξηρότης διυγρανθήσεται· τοιαύτη δέ ἐστι καὶ ἡ Ἐρασιστράτου πάγχρηστος καὶ τὸ λεγόμενον δικέντητον καὶ τὸ καλούμενον στρατιωτικόν.

## Περὶ ἐκτροπίων. 10

Ἐκτροπὴ τοῦ βλεφάρου τοῦτο τὸ πάθος ἐστὶν ἢ διὰ οὐλὴν ἢ διὰ ὑπερσάρκωσιν γινόμενον. ἐπὶ μὲν οὖν τῶν δι᾽ ὑπερσάρκωσιν χρονισάντων ἰὸν ξυστὸν φώξας λείου καὶ παράπτου ἢ μολίβδῳ κεκαυμένῳ μετὰ θείου ἀπύρου καὶ πεπλυμένῳ ἢ ἀμφοτέροις ἴσοις τῷ τε ἰῷ καὶ τῷ μολίβδῳ· τὸ γὰρ δι᾽ οὐλὴν ἐκτρόπιον, εἴπερ ὅλως θεραπεύοιτο, ἡ χειρουργία ἰᾶται.

## Περὶ αἰγίλωπος καὶ ἀγχίλωπος. 11

Ὁ μὲν αἰγίλωψ ἀπόστημά ἐστι μεταξὺ τοῦ μεγάλου κανθοῦ καὶ τῆς ῥινὸς ῥηγνύμενόν τε καί, εἰ ἀμεληθείη, συριγγούμενον ἕως ὀστέου·

1—5 *Aëtius VII 101* κβ΄ 9 *cf. Aëtius VII 76—77, 79* κβ΄ 10 *cf. Aëtius VII 73* κβ΄ 11 *cf. Aëtius VII 87—89*

1 πυρία] D: πυρί^α΄ C²: fomentatio *a*: πυρίαι E²: πυριᾶν ABEFGHKM χαλκοῦ] *om.* BH: *supra scr.* M² 3 κ/°] D: κοχλιαρίου K: κ/^υ ABEHMC²*a* ἕψει D πάχος σχῇ D 5 ἐν] BDHM: ἐν τῷ AEKC² ὠταλγίαις MJ² 7 δριμέων καὶ ἁλμυρῶν D 8 *om.* FG περὶ] περὶ τῆς DK ξηροφθαλμίας καὶ σκληροφθαλμίας D 10 ἐρεύθου AE συνεχῶς D 13 σκεπέσθω D 16 ἐφαρμόζει D κοινὰς K καὶ *(pr.) om. a* φαρμάκων D 17 δάκρυα F*a* 18 Ἐρασιστράτου] ἱερὰ σωστράτου D 19 λεγόμενον] καλούμενον D καλούμενον *om.* D 20 ἐκτροπίου CFG 22 γινόμενον ... ὑπερσάρκωσιν *om.* F γινόμενον *om. a* δι᾽] DJE²: *om.* ABCEGHKM*a* 23 φώξας] *om. a*: *mrg.* ... (φρ)ύξας M μετὰ] ἢ καὶ μετὰ D 24 πεπλυμένου K: π^ε π^ε D 25 ἡ *om.* K 29 συριγγούμενον] συρρηγνύμενον A: corrumpens *a*

πρὶν ἢ δὲ εἰς ἕλκος ἐκραγῇ τὸ ἀπόστημα, ἀγχίλωψ λέγεται. καλῶς οὖν ποιεῖ καὶ γλαύκιον καὶ κρόκος ἅμα χυλῷ περδικιάδος ἐπιτιθέμενα. συνεχῶς δὲ ἀλλάσσειν χρή, καὶ οὐδὲ φθάσουσι μεταβληθῆναι.

Ἄλλο. ἅλιξ ἑψόμενος ἐν ὄξει καὶ καλῶς τριβόμενος οὐ μόνον ἀρχομένους ἀλλὰ καὶ μεταβληθέντας εἰς πῦον ἰᾶται καὶ ῥήγνυσι καὶ ἄχρις ὀστέου κάτεισι. τούτῳ χρησάμενος οὐ μόνον αἰγίλωπας ἀλλὰ καὶ ἀγχίλωπας ἰάσῃ.

Ἄλλο. πήγανον ἥμερον ἅμα πρωτοστάκτῳ λειούμενον καὶ ἑψόμενον καὶ ἐπιτιθέμενον πάνυ καλῶς ἀνασκευάζει τοὺς αἰγίλωπας καὶ ἄχρι τοῦ ὀστέου κάτεισι κατ᾽ ἀρχὰς δάκνον, ὕστερον δὲ οὐκέτι· καὶ τὸ θαυμαστόν, ὅτι οὔτε οὐλὴν ἄσχημον φέρουσιν.

Ἄλλο. κοχλίους μετὰ τῶν ὀστράκων λειώσας ἐπίθες (ἔστι δὲ ὅτε καὶ ἀλόης ἢ σμύρνης ἐπιμιγνυμένης τούτῳ) πρὸ τοῦ εἰς πῦον μεταβληθῆναι τὸν αἰγίλωπα· καὶ μετὰ τὸ ῥαγῆναι δὲ ξηραίνει.

## 12 Περὶ τραχώματος.

Τὸ μὲν τράχωμα τραχύτης ἐστὶ τῶν ἔνδον τοῦ βλεφάρου, ἡ δὲ τούτων ἐπίτασις, ὥστε καὶ οἷον ἐντομὰς ἔχειν, σύκωσις καλεῖται, χρονίσασα δὲ καὶ τυλωθεῖσα τύλωσις ὀνομάζεται. κολλουρίοις μὲν οὖν χρηστέον τῷ τε δι᾽ οἴνου καὶ τῷ διὰ τῶν δύο λίθων καὶ αὐτῷ τῷ αἱματίτῃ λίθῳ δι᾽ ὕδατος πλυθέντι καθ᾽ ὑποβολὴν ὑποσμήχοντα τὸ βλέφαρον· καὶ τὸ ἁρμάτιον δὲ μετ᾽ ὀλίγου τοῦ κυκναρίου ἢ διακρόκου πρὸς τούτοις καὶ ταῖς ψωροφθαλμίαις ἁρμόζει χωρὶς ἑλκώσεως ἐκστρεφομένου τοῦ βλεφάρου ἐπιχριόμενον. εἰ δὲ σκληρὸς ὢν ὁ τύλος μὴ τούτοις εἴκοι, ἐκστρέψαντες τὸ βλέφαρον ξέσομεν διὰ κισήρεως ἢ σηπέας ὀστράκου ἢ φύλλων συκῆς ἢ καὶ διὰ τοῦ ὀργάνου τοῦ βλεφαροξύστου καλουμένου.

## 13 Περὶ χαλαζίων.

Χαλάζιόν ἐστιν ἀργοῦ ὑγροῦ σύστασις κατὰ τὸ βλέφαρον, ἐφ᾽ οὗ ἀμμωνιακὸν ὄξει λειώσας ἅμα χαλβάνῃ χρῖε· ποιεῖ δὲ καὶ ἅμα κηρωτῇ καὶ τερεβινθίνῃ ἀναλαμβανομένη.

1—11 *Alexander Trall. II 69* κβʹ 12 *cf. Aëtius VII 45* κβʹ 13 *cf. Aëtius VII 83*

1 πρὶν ἢ] πρινὶ FG εἰς] ὡς K ῥαγῇ D λέγεται ἀγχίλωψ CFG 3 καὶ] καν K καὶ . . . μεταβληθῆναι *om. a* οὐδὲ] οὐκ ἄν ποτε D φθάσουσι] AE: φθάσσουσι F: φθάσωσι BCDGHKM 4 ἐν *om.* K 5 ἀρχόμενος K 6 κάτεισι] κάτεισιν. ὁ οὖν D τούτῳ] ABDM: τοῦτο CEFGHK 7 ἰάσει CG: ἰᾶται D: sanabit *a* 10 τοῦ *om.* EF 11 οὔτε] *h. e.* οὐδὲ 12 κοχλίας D ἐπιτίθει CDFG ἔστιν ὅτε D 13 καὶ] *supra scr.* BM myrra et aloe *a* ἐπιγιγνομένης AE τοῦτο CDFGM 14 δὲ *om. a* 15 τραχωμάτων CFGK 16 ἐστὶ τῶν] ἐστὶν D 17 τούτου D ἐντομὰς] E, *e corr.* M: ἐντονὰς ABCGHK: ἐντολὰς F: ἐξοχὰς D: tunicas *a* καλεῖται] ὀνομάζεται CFG 18 καὶ τυλωθεῖσα *om. a* κολλουρίοις] κοινῶς D μὲν *om. a* 21 δὲ *om. a* ἢ] καὶ ἡ D 22. 23 ἐκστρεφομένῳ τῷ βλεφάρῳ K 24 ἐκτρέψαντες B σηπίας D 27 χαλαζίου CDFG 28 τοῦ βλεφάρου F 29 ὄξει] σὺν ὄξει D καὶ *om.* H κηρωτὴ D 30 τερεβινθίνη D ἀναλαμβανόμεναι D

### Περὶ κριθῆς. 14

Κριθή ἐστιν ἀποστημάτιον κατὰ τὸν τοῦ βλεφάρου ταρσὸν ἐπίμηκες. δεῖ οὖν αὐτὸ κηρῷ λευκῷ πυριᾶν ἢ μυίας τὴν κεφαλὴν ἀποβαλόντα τῷ λοιπῷ σώματι παρατρίβειν ἢ κριθῶν ἀποβρέγματι καταντλεῖν.

### Πρὸς φθεῖρας τοὺς ἐν τοῖς βλεφάροις. 15

Ἐκκαθάραντας πρότερον τοὺς φθεῖρας δεῖ θαλάσσῃ προσκλύζειν χλιαρᾷ, εἶτα προσάπτεσθαι τοῦ ταρσοῦ τῷ ὑπογεγραμμένῳ φαρμάκῳ· στυπτηρίας σχιστῆς $\overset{\epsilon}{\mu}$ β̄, σταφίδος ἀγρίας $\overset{\epsilon}{\mu}$ ᾱ· λείοις χρῶ.

### Περὶ μαδαρώσεως ἤτοι μιλφώσεως. 16

Ἀπόπτωσίς ἐστι τῶν τοῦ βλεφάρου τριχῶν τοῦτο τὸ πάθος. μετὰ οὖν τὴν ὅλου τοῦ σώματος ἐπιμέλειαν χρῶ τοῖς καλλιβλεφάροις λεγομένοις σμήγμασιν· γῆς ἀμπελίτιδος, κρόκου Κελτικῆς, λαδάνου ἴσα· λεάνας χρῶ.

Ἄλλο. στίμμεως ὀπτοῦ πεπλυμένου < ᾱ, μολίβδου κεκαυμένου καὶ πεπλυμένου < δ̄, κρόκου < δ̄, νάρδου Ἰνδικῆς < γ̄· λείοις χρῶ.

Ἄλλο. φοινίκων ὀστῶν κεκαυμένων < γ̄, νάρδου Κελτικῆς < β̄· λείοις χρῶ. τοῦτο καὶ τοὺς ψωρώδεις ὀφθαλμοὺς ἰᾶται.

Τὸ τοῦ Νεαπολίτου πρὸς μιλφώσεις καὶ χρονίας τῶν βλεφάρων διαθέσεις. στίμμεως, καδμίας, χαλκίτιδος, μίσυος ξενικοῦ ἴσα κόπτε παχυμερῶς καὶ μέλιτι φυράσας ὄπτα καὶ λειώσας χρῶ.

### Περὶ πτιλώσεως. 17

Ἡ πτίλωσις παχύτης ἐστὶ τῶν βλεφάρων τυλώδης, ἐνερευθής, οἷς συμβαίνει πολλάκις καὶ τῶν τριχῶν ἀπόπτωσις. πρὸς τοῖς εἰρημένοις οὖν καὶ τοῦτο ἄκρως ποιεῖ· μυόχοδα κεκαυμένα καὶ μέλιτι συλλειωθέντα ἔγχριε.

κβʹ 14 *cf. Oribasius, Ad Eunap. IV 17; Aëtius VII 84* κβʹ 15 *Oribasius, Synops. VIII 57; cf. Aëtius VII 67* κβʹ 16 *cf. Oribasius, Ad Eunap. IV 25; Aëtius VII 80* κβʹ 17 *cf. Oribasius, Ad Eunap. IV 22*

2 τὸν . . . ταρσὸν] palpebram *a* 3 αὐτὸ] DKM*a*: αὐτῷ ABCEFGH ἀποβαλόντα] DE: ἀποβαλλόντα A: ἀποβάλλοντα BCFGHKM 5 Πρὸς] DM: *corr. ex* $\overset{\epsilon}{\pi}$ E: περὶ ABCFGHK*a* φθειρῶν F τοὺς] τοῖς BH: τῶν F 6 ἐκκαθάραντα AE πρῶτον D τὰς FG φθεῖρας] ὀφθαλμοὺς D θαλάσσης K 8 σχιστῆς *om.* CFGK λείοις] λείοις καὶ AE: soluens *a* 11 τὴν *om.* K τοῦ ὅλου D 12 σμήγμασι BCGM: μίγμασιν K ἴσοις D 13 λεάνας *om.* D*a* χρῶ *om.* D 14–15 *post* ἰᾶται *lin. 17 hab.* M 14 πεπλυμένου] $\overset{\epsilon}{\pi}$ ACEGH *(ut solent)*: $\overset{\epsilon}{\pi}\overset{\epsilon}{\pi}$ BF: *om.* DK: sicci *a* καὶ] CDFGK: *om.* ABEHM*a* 15 πεπλυμένου] *om.* D: sicci *a* κρόκου . . . χρῶ *mrg.* B < δ̄ *(pr.)* *om.* D*a* < *(sec.)*] ἀνὰ < D*a* λείοις] soluens *a* 16–17 *om.* AE 16 λείοις *om.* *a* 18 τὸ τοῦ Νεαπολίτου] *post* διαθέσεις *(19) hab.* CFG (τὸ *om.* F) καὶ . . . διαθέσεις *(19) om.* A 19 χαλκίτεως D ξενικοῦ *om.* D*a* παχυμερῶς] παχὺ μὲν K: *om.* *a* 21 πτιλλώσεως ABEGM*a* 22 πτίλλωσις AEGM*a*, *e corr.* B τῶν *om.* B 23 καὶ *(alt.)*] ς̄ D 24 συλλειώσας D

**18** Πρὸς τὰς τῶν ὀφρύων μαδαρώσεις.

Ἐλαίῳ ἢ στέατι χηνείῳ χρίσας τοὺς δακτύλους μόλιβδον διάτριβε καὶ τούτῳ χρῖε.

Ἄλλο (τοῦτο καὶ ὑπομελαίνει). κάρυα Ποντικὰ καύσας τρῖβε ἅμα στέατι αἰγείῳ ἢ ἀρκείῳ.

Ἄλλο (τοῦτο ποιεῖ καὶ πρὸς τὰς ἐν πώγωσιν ἀλωπεκίας). ὑοσκυάμου < β̄, μυοχόδων < ᾱ, πολυτρίχου < β̄, ἰρίνου μύρου κοτύλαι δ̄· τρίψας εὖ μάλα πρόσμιξον τὸ μύρον καὶ προπυριῶν ἐπίχριε· ἐὰν δὲ προξυρήσῃς, μᾶλλον ποιεῖ.

**19** Πρὸς τριχίασιν βλεφάρων.

Προεκτίλας τὰς νυσσούσας τρίχας ἐπίχριε τὸν τόπον εὐθέως αἵματι βατράχου καθ᾽ αὑτὸ ἢ μετὰ τέφρας χαμαιλέοντος λευκοῦ ἢ αἷμα κόρεων ἢ καπνοῦ τοῦ ἐν ταῖς κριθαῖς φυομένου χυλὸν μετὰ κόμμεως ἢ τελλίνων τέφραν ταριχηρῶν μετὰ κεδρίας ἢ λωτοῦ τέφραν ἢ στυπτηρίαν φορίμην ἢ κρότωνος ἀπὸ κυνὸς αἷμα· πάνυ ποιεῖ.

Τριχοκόλλια. ἀνακολλᾷ δὲ τὰς εἰσκεκλασμένας τρίχας ἄσφαλτος, μαστίχη, κολοφωνία, κόμμι, κοχλίου τὸ κολλῶδες.

**20** Περὶ ἐγκανθίδων καὶ ῥυάδων.

Ἡ ἐγκανθὶς ὑπεραύξησίς ἐστι τοῦ φυσικοῦ κατὰ τὸν μέγαν κανθὸν σαρκίου, ἡ δὲ ῥυὰς αὖ τούτου μείωσις. τὰς μὲν οὖν ἐγκανθίδας τοῖς τε πρὸς ἐκτρόπια λεχθεῖσι καὶ τοῖς παραπλησίοις καυστικοῖς ἢ σηπτοῖς ἂν ἐκδαπανήσειας μὴ ὅλας, ἵνα μὴ ῥυὰς πάλιν γένηται, ἀλλ᾽ ἄχρι τοῦ φυσικοῦ μεγέθους. τὰς δὲ ῥυάδας ὅλου μὲν ἐκδαπανηθέντος ἢ ἀπὸ χειρουργίας ἀτέχνου ἢ διὰ φαρμάκων τοῦ σαρκώδους ἀνιάτους ἴσθι· εἰ δὲ μέρος αὐτῶν ἐμειώθη, τοῖς μετρίως στύφουσι καὶ σαρκοῦσιν αὐτὸ ἐπαναθρέψεις, οἷα τὰ διὰ κρόκου καὶ γλαυκίου καὶ ἀλόης καὶ τὰ διάκροκα τῶν κολλουρίων καὶ ὑοσκύαμος ἐν οἴνῳ ἑψηθεὶς καὶ ἐπιτιθέμενος καὶ ὀλίγη στυπτηρία σὺν οἴνῳ.

κβ′ 19 *cf. Oribasius, Ad Eunap. IV 20. Aëtius VII 69* κβ′ 20 *cf. Oribasius, Synops. VIII 56; Aëtius VII 63, 90*

2 μόλιβον K 3 τοῦτο CFGKM 6 ἐν] ἐν τοῖς D τὰς ἀλωπεκίας τὰς ἐν πώγωσιν M(*a*?) 7 < (*ter*)] μ̊ D μυοχόδων < ᾱ] *post alt.* β̄ *coll.* DK ᾱ] β̄ CFG πολυτρίχου < β̄ *om.* H β̄] *corr. ex* ᾱ B κοτύλαι] κοτύ^λ F: κ^ο ABCEGHM: coclearia *a*: κόκκους K: *om.* D δ̄] *om.* D 8 τῷ μύρῳ D προξυρήσῃς] -η- *e corr.* M: προξυρίσας K 13 καπνοῦ] καὶ καπνίου D 14 τελχίνων D τέφραν (*pr.*)] τέφρα ABCDEFGHKM*a* κεδραίας ABEM, *corr.* E: κεδρέας K 14. 15 τέφρα ἢ στυπτηρία φορίμη D 15 πάνυ *om.* D 16 κεκλασμένας D 20 αὖ] αὐτοῦ DFK: *om. a* 21 ῥηθεῖσι D ἢ] et *a* σηπτικοῖς D 22 ἐκδαπανήσειας ἂν D πάλιν ῥυὰς D: πάλιν ῥοιὰς K 23 ὅλας D ἐκδαπανηθείσας D ὑπὸ D 24 φαρμάκου D τοῦ *om.* D 26 ἐπαναθρέψεις] AEM: ἐπαναθρέψῃς H: ἐπαναθρέψειας CGK *et e corr.* B: ἐπαναθρέψιας F: ἐπαναθρέψειας ἂν D

## Περὶ ἑλκῶν. 21

Τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν τὸ μὲν γένος ἕν ἐστιν, αἱ δὲ κατὰ μέρος διαφοραὶ πλείονες· τὸ μὲν γὰρ ἐν τῷ κερατοειδεῖ κοῖλόν τε καὶ στενὸν καὶ καθαρὸν ἕλκος βοθρίον ἐπονομάζεται, τὸ δὲ πλατύτερον μὲν τοῦ βοθρίου ἧσσον δὲ βαθὺ κοίλωμα καλεῖται, ἄργεμον δὲ τὸ ἐπὶ τοῦ τῆς ἴρεως κύκλου γινόμενον ἐπιλαμβάνον τι καὶ τοῦ πέριξ, ὥστε κατὰ μὲν τὸ ἔξω τῆς ἴρεως ἐνερευθὲς φαίνεσθαι, κατὰ δὲ τὸ ἔνδον λευκόν· τὸ δὲ ἐπίκαυμα ἕλκος ἐστὶ ῥυπαρὸν καὶ ἀκάθαρτον καὶ ἐσχαρῶδες, οὗπερ ἀνακαθαιρομένου πολλάκις ἐκρεῖ τὰ ἐν τῷ ὀφθαλμῷ ὑγρά· καὶ ἄλλαι δὲ πλείους ἑλκῶν εἰσι διαφοραί, περὶ ὧν κοινότερον ἐροῦμεν. εἰ μὲν οὖν τύχοι τὸ ἕλκος ἅμα φλεγμονῇ συστῆναι, καὶ τὴν θεραπείαν διὰ τῶν τὴν φλεγμονὴν πραΰνειν τε καὶ συμπέττειν δυναμένων ποιητέον ἅμα τῇ καὶ πρὸς τὸ ἕλκος ἰδιότητι· τοιαῦτα δέ ἐστι κολλούρια μέν τό τε Λιβάνιον καὶ ὁ κύκνος καὶ τὰ πηλάρια καλούμενα καὶ ὁ ἀστὴρ καὶ τὰ παραπλήσια, καὶ ὅσα δι᾽ ἀμύλου καὶ γῆς ἀστέρος καὶ ψιμυθίου σύγκειται. πάντων δὲ μᾶλλον ἀνώδυνον ἴσμεν τὸν Νειλάμμωνα· ἀλλὰ μὴ ἐγχρονίζωμεν αὐτῷ διὰ τὸ πάνυ ναρκωτικόν. ἄριστον δὲ καὶ τὸ διὰ ζεμάτων οὐκ ἔχον οὐδὲ τὸ ναρκωτικόν. εἰ δὲ σὺν ῥεύματι τὸ ἕλκος εἴη, τῶν πρὸς ἐκεῖνο κολλουρίων τι μίξομεν, ὁποῖόν ἐστι τό τε δι᾽ ὕδρας καὶ τὸ Χιακὸν ὅ τε κιρρὸς κύκνος, καὶ ὅσα τῆς ἀποκρουστικῆς ἀδήκτου μετέχει δυνάμεως. ῥυπαρῶν δὲ τῶν ἑλκῶν ὄντων τῷ τε μελικράτῳ μετρίως ὑδαρεῖ καὶ τῷ τῆς τήλεως ἀφεψήματι χρησόμεθα καθ᾽ ἑαυτά τε καὶ σὺν τοῖς πρὸς τοῦτο κολλουρίοις, δριμυτέρων μὲν ὄντων τῶν ἑλκῶν Σεβηριανῷ τε καὶ διὰ χυλοῦ τήλεως, μὴ δριμέων δὲ τοῖς τε διασμύρνοις καὶ ναρδίνοις. καθαρθέντα δὲ τὰ ἕλκη καλῶς πέφυκεν ὁ Κλέων ἀφουλοῦν πρὸς τῷ καὶ τὴν οὐλὴν ὁμόχρουν ἐργάζεσθαι.

## Περὶ προπτώσεως. 22

Πρόπτωσίς ἐστι προπέτεια τοῦ ῥαγοειδοῦς χιτῶνος ἐκ διαβρώσεως ἢ ῥήξεως τοῦ κερατοειδοῦς γινομένη, ἥτις μικρὰ μὲν ἔτι οὖσα, ὡς προσεοικέναι μυίας κεφαλῇ, μυιοκέφαλον καλεῖται, ἐπὶ πλέον δὲ αὐξηθεῖσα παραπλησίως ῥαγὶ σταφυλῆς σταφύλωμα, ἐπὶ πλεῖστον δέ, ὡς

κβ´ 21 *cf. Aëtius VII 17, 27—29* κβ´ 22 *cf. Aëtius VII 26, 35—36*

3 πλείους D 4 ὀνομάζεται D μὲν *om.* A*a* 6 γινόμενον] nascitur *a* καὶ *om. a* 7 φαίνεται CFG 8 ἐστὶ] CDFGK*a*: ἔσται ABEH *et post ras. 1 litt.* M 9 τῷ *om.* D 10 μὲν *om. a* 11 τύχοι] G: τύχει AEM: τύχη BCDFHK: contingit *a* 12 τῶν] τὸ K: τὸ$^{v}$ H 13 καὶ *om. a* μὲν *om.* F*a* 14 Λιβάνιον] *immo* Λιβιανὸν 15 ὅσα] ὃ E 16 μᾶλλον] *mrg.* M Νειλάμμωνα] D: νιλάμμωνα K: νιλάμωνα AEM: ἰλάμωνα BCFGH 17 ἐγχρονίζειν D αὐτῷ] ἐάσθω D 18 οὐδὲ] οὐδὲν D: aliquid *a* τῶν ναρκωτικῶν D 19 μίξομεν] CDFGH*a*, *e corr.* M: μίξωμεν ABEKM 21 δυνάμεως μετέχει K 22 χρησόμεθα] CDFH, *e corr.* M: χρησώμεθα ABEGKM*a* 24 ἑλκῶν] λευκῶν B διὰ χυλοῦ] DJ, *e corr.* M: διαχύλῳ ABEFGK, *e corr.* CH: χυλῷ CH 24. 25 διασμύρνοις] BDHKM: διὰ σμύρνης ACEFG 26 ἀπουλοῦν D 29 γενομένη K 30 μυιοκέφαλον] DJ: μυοκέφαλον ABCEFGHKM*a* πλεῖον K 31 παραπλήσιος K

ὑπερεκπίπτειν καὶ τὰ βλέφαρα, μῆλον· εἰ δὲ τυλωθείη τοῦτο, ἧλος προςαγορεύεται. εἰ μὲν οὖν ἐπ᾽ ὀλίγον ἄχρι μυιοκεφάλου τὰ τῆς προπτώσεως εἴη, ταῖς ἀποκρουστικαῖς καὶ πιλούσαις αὐτὸ χρηστέον δυνάμεσιν, τῷ τε Χίῳ καὶ φαιῷ καὶ ναρδίνῳ καὶ Θεοδοτίῳ τῷ τε διὰ θαλλίας καὶ τῷ διὰ κέρατος, καὶ σπογγοδετεῖν ἀθλίπτως αὐτοὺς ὀξυκράτῳ ἢ οἴνῳ στύφοντι ἢ ῥόδων ἀφεψήματι τὴν σπογγίαν βρέχοντας ἢ σπλήνιον. ἀριστεύει δὲ κατὰ τὰς προπτώσεις καὶ τὰ ἕλκη πάντα τὸ Ὀλυμπιακὸν ἢ Ὄλυμπος καλούμενον μετὰ χυλοῦ ἐλαίας ἢ πολυγόνου ἢ πολίου· τὰ δὲ αὐτὰ ταῦτα καὶ τοῖς ἥλοις ἁρμόζει καὶ τοῖς σταφυλώμασι, πρὶν ἢ λευκωθῆναι, λευκωθέντα δὲ ἢ τυλωθέντα τῶν ἀνιάτων ἐστίν.

## 23 Περὶ ὑποπύων.

Ὑπόπυος ὁ κερατοειδὴς ἐνίοτε γίνεται ποτὲ μὲν διὰ βάθους, ποτὲ δὲ ἐπιπολῆς, ὄνυχι προσεοικότος τοῦ πύου κατὰ τὸ σχῆμα· διὸ καὶ τὸ πάθος ὄνυχα προςαγορεύουσι. σκοπὸς οὖν ἐστι τῆς θεραπείας ἢ διαφορῆσαι τὸ πῦον διὰ τῶν μετρίως τοῦτο ποιούντων, οἷόν ἐστι τὸ μελίκρατον καὶ τῆς τήλεως ὁ χυλὸς καὶ τὰ δι᾽ αὐτοῦ κολλούρια τό τε Λιβάνιον καὶ τὰ διὰ λιβάνου, ἢ συρρῆξαι καὶ ἀνακαθᾶραι διὰ τῶν ἰσχυροτέρων, οἷα τά τε διάσμυρνα καὶ τὸ ὑγείδιον. πρὸς δὲ τοὺς ἄνευ ἑλκώσεως ὑποπύους καὶ τῷδε τῷ ὑγροκολλουρίῳ χρηστέον· χαλκάνθου, κρόκου ἀνὰ < η̄, σμύρνης < δ̄, μέλιτος λι. ᾱ. καὶ ἡ φλύκταινα δὲ ἐπανάστασις οὖσα τοῦ κερατοειδοῦς ὑγροῦ τινος ὑποδείραντος κτηδόνας αὐτοῦ τῇ τῶν ὑποπύων ὑπάγεται θεραπείᾳ.

Ὑγρὰ πρὸς ὑποπύους ἡ Βάσσου.

κρόκου, ἀλόης, σμύρνης ἀνὰ ℥ ᾱ, οἴνου ℥ γ̄, μέλιτος καλλίστου ℥ ς̄· λειοῦται ὁ κρόκος σὺν ὀλίγῳ οἴνῳ, εἶτα ἀλόη καὶ σμύρνα, καὶ ἐπειδὰν παχυνθῇ, ἐπίβαλε τὸ μέλι καὶ ἑνώσας ἀπόθου ἐν ὑελῷ ἀγγείῳ· χρῶ δὲ δὶς τῆς ἡμέρας, εἰ δὲ ἐπείγοι, τρίς, καὶ ἐπίδει τὸν ὀφθαλμόν· ἅμα καθαίρει, σαρκοῖ, ἀπουλοῖ.

κβ´ 23 *cf. Aëtius VII 30*   19—20 *Alexander Trall. II 53*
23—28 *Aëtius VII 101*

1 καὶ] ad *a*   2 μὲν *om. a*   μυιοκεφάλου] DJ: μυοκεφάλου ABCEFGHKM*a*   4 τε *(pr.) om.* K   θαλασσίας K   5 σπογγοδετεῖν] σπόγγῳ δέ τινα K   αὐτοὺς ἀθλίπτως D   6 σπληνίων G *et corr. ex* πληγίων F: σπληνίῳ K: σπληνίον ὁμοίως ἐπιτιθέντας D   9 καὶ τοῖς σταφυλώμασι] *om.* FG: *mrg.* C²   10 λευκανθῆναι DE   λευκανθέντα D   δὲ] γὰρ D   11 ὑπωπίων C: ὑποπύων καὶ φλυκταινῶν DK   13 ἐπιπολῆς] CDFGK, *post ras. 2 litt.* M: δι᾽ ἐπιπολῆς ABEH   15 τὸ *(alt.)*] τό τε D   17 λιβιανὸν K *uere*   τὰ] τὸ CFGK   διακαθᾶραι K   18 τὸ] τὸ τὸ AE   ὑγίδιον CDFGK   19 καὶ *om. a*   τῷδε τῷ] τῷ διὰ K   ὑγρῷ κολλουρίῳ ACDFGH(*a*)   20 δ̄] ᾱ D   καὶ *om. a*   21 κτηδόνας] τοὺς χιτῶνας D   23 ἡ] BCDG: η M: ἢ AEFHK   ἡ Βάσσου] *om. a*   βάσου AE   26 ἐπίβαλλε DKM   ὑαλίνῳ DF: uitreo *a*   27 δὲ *(pr.)*] τε D   καὶ ἐπίδει] ACEGM: καὶ ἐπιδὴ H: καὶ ἐπειδὴ BK: καὶ ἐπειδὰν F: ἐπειδὴ D: nam *a*   28 ἅμα καθαίρει] ἀνακαθαίρει CDGK: ἀνακαθαροῖ F

## Περὶ οὐλῶν καὶ λευκωμάτων. 24

Τὰς ἐπιπολῆς μὲν γινομένας ἐν τοῖς ὀφθαλμοῖς οὐλὰς οἱ μὲν αὐτὸ δὴ μόνον οὐλάς, οἱ δὲ νεφέλια καλοῦσι, τὰς δὲ διὰ βάθους λευκώματα. τούτων δὲ τὰ ῥυπτικά τε καὶ σμηκτικὰ λεγόμενά εἰσιν ἰάματα. τὰ μὲν οὖν νεφέλια τῆς ἀνεμώνης ὁ χυλὸς ἀποσμήχει καὶ τοῦ μικροῦ κενταυρίου ὁ χυλὸς μετὰ μέλιτος· τὰ δὲ χρονιώτερα καὶ ἡ κεδρία λεπτύνει καὶ ὁ χαλκὸς μόνος ὕδατι λειούμενος ὡς κολλούριον καὶ τὰ σμηκτικὰ τῶν κολλουρίων, οἷον τὸ διὰ κέρατος ἐλαφείου καὶ ῥινάριον ἑκατόμβη τε καὶ τὰ παραπλήσια. τὰ δὲ λευκώματα νίτρον μετὰ ἐλαίου παλαιοῦ λειωθὲν ἐπιμελῶς καὶ ἐγχριόμενον καλῶς ἀποσμήχει καὶ τῆς σηπέας τὸ ὄστρακον καυθὲν μετὰ μέλιτος καὶ λειωθέν· ἐν δὲ κολλουρίοις τοῦτο καλῶς καὶ πράως ἀποσμήχει· μαμιρά, ἀμμωνιακοῦ θυμιάματος, σμύρνης τρωγλίτιδος, κροκοδείλων κόπρου ἴσα· ποίει κολλούριον καὶ χρῶ. ἢ κροκοδείλου χερσαίου κόπρον ὕδατι λειώσας ἔγχριε κολλούρια ποιῶν. καλῶς δὲ ποιήσεις, εἰ λύσας ὕδατι Καππαδοκικοὺς ἅλας τούτῳ λύων τὰ λευκωματικὰ κολλούρια ἐνστάζοις.

Οὐλῶν βάμματα. κηκῖδος, ἀκακίας ἀνὰ < δ̄, χαλκάνθου < β̄. κολλούριον δὲ τοῦτο· ῥοᾶς ἄνθους τῶν κυτίνων, χαλκάνθου, ἀκακίας, κόμμεως ἀνὰ < δ̄, στίμμεως, κηκῖδος ἀνὰ < β̄· ὕδατι λείου. μὴ παρόντος ἄνθους ῥοᾶς τὸ ἐντὸς μεταξὺ τῶν κόκκων ὑμενῶδες μίγνυε.

## Περὶ πτερυγίων. 25

Τὸ πτερύγιον νευρώδης ἐστὶν τοῦ ἐπιπεφυκότος ὑμένος ὑπεροχὴ ἐκφυομένη μὲν ἀπὸ τοῦ κανθοῦ, προϊοῦσα δὲ μέχρι τῆς στεφάνης· ὅταν δὲ ὑπεραυξηθῇ, καὶ τὴν κόρην καλύπτει. τὰ μὲν οὖν μεγάλα καὶ χρόνια τῶν πτερυγίων διὰ μόνης χειρουργίας ἐκτέμνεται· τὰ δὲ νεώτερα καὶ σύμμετρα τῷ μεγέθει καὶ τὰ σμηκτικὰ τῶν βοηθημάτων, οἷα τὰ τραχωματικά τέ ἐστι καὶ λευκωματικά, δαπανᾷ. ἐν ἁπλοῖς μὲν οὖν χαλκὸς κεκαυμένος ἢ χάλκανθον ἅμα χοιρείᾳ χολῇ καλῶς ποιεῖ, δραστικώτερον δὲ τοῦτο· χαλκάνθου μέρος ᾱ, κόμμεως μέρος 𐅵'· οἴνῳ ἐκλειοῦντες ἐγχρίομεν ἢ καὶ κολλούρια πλάσσομεν· τινὲς δὲ χολὴν αἰγὸς μέλιτι μίξαντες ἐγχρίουσιν.

κβ' 24 *cf. Oribasius, Ad Eunap. IV 24; Aëtius VII 39—42*
5—14 *Alexander Trall. II 37* κβ' 25 *cf. Oribasius, Ad Eunap. IV 24; Aëtius VII 60—61*

2 μὲν *om.* M 3 αὐτὸ δὴ *om. a* νεφέλια] CDFGK: νεφέλιον ABEHM*a* 6 καὶ *om. a* 7 ὁ *om.* K λειούμενος ὕδατι AE*a* καὶ *(alt.)* . . . ῥινάριον *(8) om.* D 11 σηπίας DE: σιπίας A μετὰ μέλιτος καὶ] et cum melle *a* 13 στρωγλίτιδος AE*a* 14 ἢ *om. a* 15 ποιήσει K: ποιείσεις E: facies prius *a* εἰ] D: *om.* ABCEFGHKM*a* 16 τούτῳ] καὶ τούτῳ D: si hac *a* ἐνστάζεις H 18 τῶν κυτίνων *om. a* ἀκακίας *om.* D 19 ἀνὰ *(alt.) om.* D λείω K παρόντος] CDFGK*a*, *e corr.* BM: παριόντος ABEH(M) 20 ἄνθους] δὲ ἄνθους DF*a* τὸ ἐντὸς] τῶν ἐντὸς τὸ D 24 ὑπεραυξηθείη D 26 καὶ *(alt.) om. a* βοτάνων E 27 τὰ] ADEHM: *om.* BCFGK τραχωματικά] τ- *om.* H, *supra add.* M: τρ- *e corr.* B ἐστιν H: εἰσιν K 29 λειοῦντες D 30 ἢ *om.* D πλάσσοντες K δὲ] δὲ καὶ E

Πρὸς πτερύγια καὶ ὑποπύους καὶ ἀμβλυωπίας Ὀριβασίου. λίθου Μάγνητος, ἰοῦ ξυστοῦ, Cινωπίδος, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ < δ̄, κρόκου < β̄, μέλιτος Ἀττικοῦ κοτύλης τὸ ∠'· ποιεῖ δὲ καὶ πρὸς λευκώματα.

26 Περὶ ἀνθρακώσεως καὶ καρκινωμάτων.

Τὸ μὲν καρκίνωμα πάθος ἐστὶ τοῦ κερατοειδοῦς ἔχον ὀδύνην, διάτασιν, ἔρευθος τῶν χιτώνων, ἄλγημα νυγματῶδες ἕως κροτάφων, καὶ μᾶλλον ἐὰν σεισθῶσιν, ἀνορεκτοῦσί τε καὶ πρὸς τὰ δριμέα παροξύνονται. τοῦτο δὲ τῶν ἀνιάτων ἐστὶ τὸ πάθος· ὅμως δὲ παρηγορητέον αὐτοὺς γαλακτοποσίᾳ καὶ τῇ τῶν σιτηρῶν τε καὶ ἄλλως εὐχύμων ἐδεσμάτων προσφορᾷ χωρὶς ἁπάσης δριμύτητος καὶ κολλουρίων ἁπαλῶν ἐγχύσει, οἷον σποδιακῷ, Cεβηριανῷ καὶ τοῖς παραπλησίοις. προνοεῖσθαι δὲ καὶ τῆς τοῦ ὅλου σώματος εὐκρασίας.

ἡ δὲ ἀνθράκωσις καὶ αὐτὴ κακόηθες ἕλκος ἐστὶν ἐσχαρῶδες, ποτὲ μὲν ἐν τῷ βολβῷ, ποτὲ δὲ ἐν τῷ βλεφάρῳ, καθάπερ κἀν τοῖς ἄλλοις τοῦ σώματος μέρεσιν, συνιστάμενον. ἐπὶ μὲν οὖν τῶν κατὰ τὸν βολβὸν ἀνθρακώσεων κατ' ἀρχὰς μὲν δεῖ κενοῦν κλυστῆρι πρῶτον, εἶτα τῷ γάλακτι ἀπέφθῳ συμμέτρως καθαίρειν, εἶτα σπόγγῳ πυριάσαντα καταπλάσσειν ἀλεύρῳ ὀροβίνῳ ἢ πυρίνῳ ἐν μελικράτῳ ἑφθῷ, ἐνίοτε καὶ ἶριν λεπτὴν προσεμπλάσσοντα, καὶ γάλακτι ἐγκλύζειν τὸν ὀφθαλμόν. ἐὰν δὲ νέμηται τὰ ἕλκη, φακῷ καταπλάσσειν μετὰ μέλιτος ἢ μήλων Κυδωνίων ἑφθῶν, ἐπὶ πλεῖον δὲ νεμομένου ἐλαίας φύλλοις ἑφθοῖς ἢ σιδίοις ἐν οἴνῳ ἡψημένοις λείοις μετὰ μέλιτος· ἐπισταθείσης δὲ τῆς νομῆς καὶ τῆς ἐσχάρας ἐκπεσούσης διὰ τῆς ἐπιθέσεως τοῦ φαρμάκου τοῦ εἰρησομένου καὶ καθαρῶν τῶν ἑλκῶν γενομένων καταπλάσσειν λεκίθοις ὀπταῖς λείαις μετὰ κρόκου καὶ μέλιτος μέχρι κατουλώσεως. τὸ δὲ φάρμακόν ἐστι τόδε· σποδίου < δ̄, σμύρνης μὴ ἄγαν πεφωσμένης

1 Ὀριβασίου] ? κβ' 26 *cf. Aëtius VII 33, 32* 17 — p. 183, 3 *Oribasius, Synops. VIII 45*

1 Ὀριβασίου] *om.* F*a*: *mrg.* D λίθου *om.* D 2 μαγνήτιδος D: μαγνήτου F: μαγνίτου CGK 3 κοτύλης] κ° ABEHKM: *om.* CDFG: coclearium *a* τὸ *om.* K 5 anthraci *a* 6 διάτασιν] CDFG: διάστασιν ABEHKM: continuum *a* 7 ἕως] τῶν D 9 δὲ] δὲ τὸ πάθος M(*a*) τὸ πάθος *om.* M(*a*) δὲ *(alt.) om. a* αὐτοὺς] γοῦν αὐτοὺς K 10 ἄλλως *om. a* 11 ἐγχύσει] D: ἐγχύσεις K: ἔγχυσις ABCEFGHM*a* 12 σπονδιακοῦ, σεβηριανοῦ καὶ τῶν παραπλησίων D 14 δὲ *om. a* 15 ἐν *(pr.)*] CDFGK*a*: *om.* ABEHM ἐν *(alt.) om.* HM ἄλλοις] ὅλοις D 16 μέρεσι τοῦ σώματος E συνανιστάμενον BFG: -αν- *supra add.* M τῶν] τῆς D 17 ἀνθρακώσεως D μὲν] μὲν οὖν AF: *om. a* πρῶτον] πραεῖ D τῷ *om.* D 19 ὀροβίνῳ ἀλεύρῳ AE*a* 20 προσεμπάσσοντα D: προσεμπλάσαντα BH: προσεμπλάσσαντα M ἐκκλύζειν ABEM, *corr.* M 21 καταπλάσσειν φακῷ A μετὰ] *om.* FG: *mrg.* C² 22 πλέον DK 23 ἑψημένοις CEFGH ἐπισχεθείσης D 24. 25 τοῦ εἰρησομένου φαρμάκου CFG 25 λεκίθοις] D: λεκινθίοις ABEGHKM*a*: λεκυνθίοις F *et corr. ex* λεκύνθοις C 26 ὀπτημένοις CFG: ὀπτοῖς D λείοις CDG: λύοις F κρόκου . . . τόδε *(27) om.* K 27 πεφωγμένης FK

ὀβολοὶ γ̄· λεάνας ἐν οἴνῳ Ἀμινναίῳ, ἕως ἂν ξηρανθῇ, μίσγε γλυκέος Κρητικοῦ παλαιοῦ καὶ συλλεάνας ὑγρὸν ἀνελοῦ εἰς πυξίδα κεραμιαίαν καὶ ὑπάλειφε. πρὸς δὲ τοὺς ἐν τοῖς βλεφάροις ἄνθρακας ῥοιὰν ὀξεῖαν κατατεμὼν πᾶσαν ἕψησον ἐν ὄξει, τακερωθεῖσαν δὲ μάλα λειοτριβήσας ἔμπλασσε εἰς ὀθόνιον καὶ χρῶ ἀλλάσσων δὶς μὲν τῆς ἡμέρας καὶ τρίς, ἅπαξ δὲ τῆς νυκτός.

### Περὶ μυδριάσεως. 27

Ὅταν ἡ κόρη τῷ μὲν χρώματι μηδὲν ἀλλοιότερον φαίνηται, πλατυτέρα δὲ πολλῷ τοῦ κατὰ φύσιν, καὶ ποτὲ μὲν ὁλοσχερῶς ἐμποδίζῃ τοῦ ὁρᾶν, ποτὲ δὲ ἐπὶ πολύ, καὶ τὰ ὁρώμενα αὐτοῖς πάντα δοκῇ μικρότερα εἶναι, μυδρίασις μὲν τὸ πάθος ἐστίν, αἰτία δὲ αὐτοῦ περιττωματική τις ὑγρότης ἐστίν. θεραπεύειν οὖν δεῖ αὐτὴν φλεβοτομοῦντας ἀπ᾽ ἀγκῶνος ἢ καθαίροντας, εἰ δὲ μή, τὰς γοῦν ἐν τοῖς κανθοῖς διαιρεῖν φλέβας, εἶτα σικύαν τῷ ἰνίῳ προσβάλλειν καὶ θαλάσσῃ προσαντλεῖν τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμούς, εἰ δὲ μὴ παρείη θάλασσα, ἅλμῃ ἢ ὀξυκράτῳ. φαρμάκοις δὲ χρηστέον τοῖς καὶ πρὸς φλυκταίνας ἁρμόζουσιν.

### Περὶ φθίσεως καὶ ἀτροφίας. 28

Ἡ φθίσις πάθος ἐστὶ τῆς κόρης στενουμένης καὶ ἀμαυροτέρας καὶ ῥυσσοτέρας γινομένης, τὰ δὲ ὁρώμενα ἐπὶ τούτων μείζονα φαίνεται. αἰτία δὲ πύκνωσις ὑπὸ ξηρότητος μᾶλλον γινομένη. διαφέρει δὲ ἡ φθίσις τῆς ἀτροφίας τούτῳ· ἡ μὲν γὰρ φθίσις στενοτέραν ποιεῖ τὴν κόρην, ἡ δὲ ἀτροφία ὅλον τὸν ὀφθαλμὸν μικρότερον καὶ ταπεινότερον. θεραπεύειν δὲ τούτους χρὴ γυμνάζοντας καὶ τρίβοντας ἐπιμελῶς τήν τε κεφαλὴν καὶ τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς καὶ ὕδατι προσαντλοῦντας τὸ πρόσωπον καὶ χρίοντας τὴν κεφαλὴν μύρῳ τινὶ θερμαίνοντι, ὑπαλείφειν δὲ τοὺς ὀφθαλμοὺς ἀραιοῦντι καὶ δριμυτέρῳ φαρμάκῳ, οἷόν ἐστι τὸ ὑποτεταγμένον· ἀμμωνιακοῦ < ᾱ, κροκομάγματος < δ̄, κρόκου < β̄, ἰοῦ < ᾱ· λεάνας ἐν ὕδατι ἀνάπλασσε καὶ χρῶ.

κβ´ 27 *Oribasius, Synops. VIII 46; cf. Aëtius VII 54*
κβ´ 28 *Oribasius, Synops. VIII 47; cf. Aëtius VII 55*

1 δραγμαὶ γ̄ *mrg.* B: γρ. < γ̄ *mrg.* M   γλυκέως AKM, *corr.* KM   2 παλαιοῦ Κρητικοῦ D   καὶ] < γ̄ καὶ H   συνλεάνας CFGK   κεραμαίαν K: κεραμεᾶν D   5 πλάσσε K   χρῶ] χρῶ καὶ K   μὲν *om.* FK   καὶ *(alt.)*] ἢ K   8 τὸ μὲν χρῶμα D   φαίνηται] ἔχουσα φαίνηται D   9 φύσιν] φύσιν ἢ D   ἐμποδίζηται D   10 τοῦ *om.* D   μικρότερα πάντα δοκῇ D   11 μὲν *om. a*   12 ἐστίν *om.* D   αὐτὴν] *om.* E: αὐτοὺς F   13 γοῦν *om. a*   16 ἁρμόζουσιν] ἐπιτηδείοις D   19 ῥυσοτέρας K: ῥυσωτέρας D: φυσωτέρας F   δὲ] τε D   ἐπὶ] ab *a*   μείζονα ἐπὶ τούτων D   20 μᾶλλον *om. a*   21 τούτῳ] ἐν τούτῳ D: *om. a*   23 τούτοις M   24 ὕδατι] δι᾽ ὕδατος DK   26 δὲ] τε D   27 ἐστι *om. a*   ἀμμωνιακὸν DK

## 29 Περὶ νυκτάλωπος.

Νυκτάλωπα λέγουσιν, ὅταν συμβῇ τὴν μὲν ἡμέραν βλέπειν, δυομένου δὲ ἡλίου ἀμαυρότερον ὁρᾶν, νυκτὸς δὲ γενομένης οὐδ' ὅλως ὁρᾶν. θεραπεύειν οὖν χρὴ καὶ τούτους κενοῦντας ἀπὸ ἀγκῶνος καὶ τῶν κανθῶν, ἑξῆς καθαίροντας ἢ κενοῦντας κλυστῆρι, εἶτα ἀποφλεγματίζειν κελεύοντας ἢ πταρμοὺς κινεῖν· διδόναι δὲ πρὸ τροφῆς ὕσσωπον πίνειν ἢ πήγανον. ἐὰν δὲ μὴ ὑπακούῃ, πάλιν δοτέον τὸ διὰ τῆς σκαμμωνίας καὶ τοῦ καστορίου καθαρτικόν, ἐγχρίειν δὲ μέλιτι ἀπηφρισμένῳ, καὶ καμμύειν πιεζοῦντα καὶ συνέχοντα τὰ ὑγρά, ἢ στυπτηρίας Αἰγυπτίας κεκαυμένης μέρη β̄, ἁλὸς ὀρυκτοῦ μέρος ᾱ λεῖα μετὰ τοῦ μέλιτος ὑπαλείφειν.

Ἄλλο. ἧπαρ τράγειον ὀπτήσας τὸν ἐν τῇ ὀπτήσει ἰχῶρα συναγαγὼν ἔγχριε, αὐτὸ δὲ τὸ ἧπαρ ἐσθίειν δίδου. καὶ ἑψομένου δὲ τὸν ἀτμὸν τοῖς ὀφθαλμοῖς ἀνεῳγόσι δέχεσθαι κέλευε.

## 30 Περὶ γλαυκώματος καὶ ὑποχύματος, ἐκ τῶν Ῥούφου.

Γλαύκωμα δὲ καὶ ὑπόχυμα οἱ μὲν ἀρχαῖοι ἕν τι ἡγοῦνται εἶναι· οἱ δὲ ὕστερον τὰ μὲν γλαυκώματα τοῦ κρυσταλλοειδοῦς ὑγροῦ πάθη ἐνόμιζον ὑπὸ ὑγρότητος μεταβαλλομένου ἐπὶ τὸ γλαυκόν, τὰ δὲ ὑποχύματα ὑγρῶν παρέγχυσιν πηγνυμένων μεταξὺ τοῦ ῥαγοειδοῦς καὶ τοῦ κρυσταλλοειδοῦς. ἔστι δὲ πάντα τὰ γλαυκώματα ἀνίατα, τὰ δὲ ὑποχύματα ἰᾶται οὐ πάντα. θεραπεύειν δὲ τοὺς ὑποχύσει πειρωμένους πρὸ τοῦ συστῆναι τὸ πάθος αἵματος ἀπ' ἀγκῶνος ἀφαιρέσει καὶ καθάρσει καὶ κενώμασι δριμυτέροις, καθάπερ τοῖς διὰ κενταυρίου ἀφεψήματος ἢ σικύου πικροῦ, καὶ κοιλίας λύσει συνεχεστέρᾳ, καὶ σικύας τῷ ἰνίῳ προσβάλλειν μετὰ κατασχασμοῦ. δεῖ δὲ καὶ ὑδροποτεῖν παρ' ὅλην τὴν δίαιταν καὶ κεχρῆσθαι τροφαῖς λεπτυνούσαις· συνοίσει δὲ χρόνου διελθόντος καὶ ἀποφλεγματισμὸς διά τινων ἡμερῶν. ὅσοις δὲ παροράσεις γίνονται,

κβʹ 29 *Oribasius, Synops. VIII 48; Aëtius VII 48* 12—14 *Alexander Trall. II 49; cf. Oribasius, Ad Eunap. IV 18* κβʹ 30 *cf. Aëtius VII 52—53* 15—27 *Oribasius, Synops. VIII 49*

2 βλέπειν] ὁρᾶν E*a* 3 δὲ *(pr.)*] DM*a*: τε ABCEFGHK ἡλίου] τοῦ ἡλίου E ὁρᾶν] βλέπειν E*a*: *om.* CD γινομένης K 4 χρὴ] δεῖ H: *om.* D καὶ *(pr.) om. a* 5 τὸν κανθὸν D 7 πηγάνινον E πάλιν δοτέον τὸ] τῷ D διὰ] ὑπὸ K 8 καθαρτικὸν] καθαρτικῷ χρῆσθαι D δὲ] τε D 9 καμμύειν] κα CG, *corr. mrg.* C²: καταμίειν F: καμμύειν κελεύειν D πιέζοντα K ἢ] *Or*: τῆς ABCDEFGHKM*a* 9. 10 Αἰγυπτίας τε στυπτηρίας D 10 τοῦ *om.* D 12 τὸν] τὰ D ἰχῶρα] συνιστάμενα ἰχωρώδη D 13 αὐτοῦ AE δὲ] τε D τοῦ ἥπατος E 14 κέλευε δέχεσθαι K: δέχεσθαι δὲ κέλευε B 15 ἐκ τῶν Ῥούφου *om. a* 16 ἡγοῦνται] AEHKM: ἡγοῦντο CDFG*a et inter duas ras.* B 17 τὸ μὲν γλαύκωμα K ex cristalloide *a* 19 ὑγρῶν . . . ὑποχύματα *(20) om.* DH ῥαγοειδοῦς] K, *mrg.* B (γρ.): κερατοειδοῦς ABCEFGM*a* τοῦ *(alt.)*] *om.* CFGK: *del.* B 20 τὰ *(pr.)*] *ras.* B 21 πειρωμένους] BC*a*: πειρομένους GK: πηρωμένους AEFHM: πηρουμένους D: πειραζομένους *Or* 22 στῆναι K ἀπ'] *om.* AHM: *in ras.* B: ἀπὸ *supra scr.* M 23 κενώσει δριμυτέρᾳ D τοῖς] τῇ D 24 τῷ] δὲ τῷ D 25 παρ' . . . δίαιταν *om. a* 26 διελθόντας K 27 ἀποφλεγματισμοῖς BHKM, *corr.* M παρόρασις γίνεται D

οἷον κωνωπίων προφαινομένων, ἔκ τινος κακοχυμίας ἢ χολωδεστέρων ἀτμῶν ἀναδιδομένων, τὸ διὰ τῆς ἀλόης πικρὸν δώσομεν φάρμακον κατὰ συνέχειαν ἢ καὶ δι' αὐτοῦ τούτου καθάρωμεν. ἐν δὲ τοῖς ὀφθαλμοῖς φαρμάκοις χρηστέον τὸ μὲν πρῶτον ἁπλοῖς, καθάπερ μέλιτι καὶ ἐλαίῳ σὺν μαράθρου χυλῷ, ὕστερον δὲ καὶ τοῖς συνθέτοις, οἷόν ἐστι καὶ τόδε· σαγαπηνοῦ < β̅, ὀποῦ Κυρηναϊκοῦ, ἐλλεβόρου λευκοῦ ἀνὰ < ϛ̅, οἱ δὲ ε̅, μέλιτος κοτύλαι η̅. ἡμεῖς δέ, φησὶν Ὀριβάσιος, τῷ ὑπογεγραμμένῳ χρώμεθα· καυκαλίδων χυλοῦ, χαμαίδρυος, κορωνόποδος, ἑκάστου ἴσον· λεάνας ποίει κολλούρια. καὶ τὸ διὰ τοῦ χυλοῦ τοῦ μαράθρου καὶ ὁ Πρωτεὺς ὅ τε θαλασσερὸς καὶ τὸ δι' ὀποβαλσάμου καὶ τὰ διὰ τούτων σκευαζόμενα κολλούρια πέφυκεν ὠφελεῖν, καὶ τοῦ μαράθρου τὸ ἀφέψημα προσαντλούμενον ἐν ἀρχαῖς ὀνίνησιν καὶ τὰ διὰ τῶν χολῶν καὶ ὀποβαλσάμου, μέλιτος καὶ ἐλαίου παλαιοῦ καὶ τῶν παραπλησίων.

## Περὶ ἀμαυρώσεως καὶ ἀμβλυωπίας. 31

Ἀμαύρωσίς ἐστιν ὁ παντελὴς ὡς ἐπὶ τὸ πολὺ τοῦ ὁρᾶν παρεμποδισμὸς χωρὶς φανεροῦ πάθους περὶ τὸν ὀφθαλμόν, ἀμβλυωπία δὲ ἀμυδρότης τοῦ ὁρᾶν ὑπό τινος ἀδήλου αἰτίας γινομένη. θεραπεία δὲ ἁρμόζει κοινῶς μὲν ἡ ἐπὶ τῶν ὑποχεομένων ῥηθεῖσα, ἰδίως δὲ ἀπό τε κανθῶν κένωσις αἵματος καὶ βδελλῶν προσβολὴ κατὰ τοὺς κροτάφους τρίψεις τε τῶν κάτω μερῶν· προϊόντος δὲ τοῦ χρόνου καὶ τοῖς πταρμικοῖς χρηστέον καὶ νήστεσιν ἐμέτοις καὶ ὑπαλείψεσιν, τὸ μὲν πρῶτον διὰ μέλιτος καὶ ἐλαίου ἴσων, ἔπειτα τῷ ὑπογεγραμμένῳ συνθέτῳ· κρόκου ὀβολοὶ β̅, χολῆς ὑαίνης < α̅, πεπέρεως κόκκοι π̅ε̅, μαράθρου χυλοῦ < ι̅ϛ̅, ἀμμωνιακοῦ θυμιάματος < α̅· λεάνας τὰ ξηρὰ μετὰ τοῦ χυλοῦ μέλιτος κοτύλαις δ̅ σκεύαζε καὶ ἀνελόμενος ἐν χαλκῇ πυξίδι χρῶ·

4—9 *Oribasius, Synops. VIII 49* 7 *cf. Aëtius VII 101 f. 141$^{r}$ 9* 9—10 *Alexander Trall. II 47* κβʹ 31 *Oribasius, Synops. VIII 50; cf. Aëtius VII 49—50*

1 προφαινομένων] τινῶν προσφερομένων D κακουχίας B 3. 4 πρὸς δὲ τοὺς ὀφθαλμοὺς χρηστέον φαρμάκοις D 5 μαράθου KD καὶ *(pr.) om. a* καὶ τόδε] *om. a*: τοῦτο δὲ K: τοῦτο D 6 β̅] δ̅ K ἀνὰ < ϛ̅] *om.* G: *mrg.* C$^2$ οἱ] οἱ δὲ < ε̅, πηγάνου ἀγρίου < α̅, ἀφρονίτρου < ϛ̅, οἱ *Or* 7 ε̅] < ε̅ D, *Or*: ἐν ABCEFGHK*a*, *mut. in* καὶ M κοτύλαι] κ$^{o}$ K: κοτύλαις BCFGHM*a*: κοτύλοις AE: *om.* D: κοχλιάρια *Or* η̅ *om.* D Ὀρειβάσιος E: Ὀρηβάσιος G 9 ποίει] DK: ποίει δὲ ABCEFGHM*a* καὶ *(pr.)* . . . μαράθρου] *del.* E χυλοῦ] χυλοῦ δὲ K μαράθου D, *ut solet* 10 ὅ τε] καὶ ὁ D καὶ *(alt.)* . . . σκευαζόμενα *(11) om. a* 11 πέφυκεν] καὶ τὸ διὰ τοῦ χυλοῦ τοῦ μαράθρου πέφυκεν E 12 χολῶν] CFGH, *e corr.* M: χυλῶν ADEK*a*, *e corr.* B 13 μέλιτος] καὶ μέλιτος D 15 ὡς ἐπὶ τὸ πολὺ] *om. a* τὸ πολὺ] *mrg.* M 16 περὶ τὸν ὀφθαλμόν] H$^3$, *e corr.* KM, *in ras.* E$^2$: *om.* D*a*: περιττόν ABCFGHKM ἀμυδρότης] D*a*: ἀμαυρότης ABCEFGHKM 18 κοινῶς μὲν *om. a* ἐπὶ τῶν ὑποχεομένων] in ypocimatibus *a* 20 τρίψις D 22 ἴσων] D: ἴσον ABCEFGHKM: *om. a* συνθέτῳ] συνθέτῳ κολλουρίῳ D 23 π̅ε̅] LXXV *a* 24 ι̅ϛ̅] ι̅ ϛ̓ K: VI *a* < *(alt.) om.* AE λεάνας . . . δ̅ *(25)*] μέλιτος κ$^{o}$ δ̅ λεάνας μετὰ τοῦ χυλοῦ τὰ ξηρὰ D τὰ ξηρὰ] ξήρανον K 25 μέλιτος] *om.* F: et mellis *a* κοτύλαις] κ$^{o}$ ABCEFGHKM: coclearia *a*

πρὸ δὲ τοῦ ἐγχρίειν ἀποπυριάτω τοὺς ὀφθαλμοὺς εἰς θερμὴν θάλασσαν βάπτων.

### 32 Περὶ στραβισμοῦ.

Αἱ ἐκ γενετῆς στραβότητες τῶν νηπίων θεραπεύονται προσωπείου περιθέσει, ὅπως εἰς τὸ εὐθὺ βλέπωσι (σπασμώδης γάρ ἐστι τῶν κινούντων τὸν βολβὸν μυῶν διάθεσις ὁ στραβισμός), καὶ τοῦ λύχνου δὲ ἀντικρὺ τιθεμένου καὶ μὴ ἐκ πλαγίου παραφαίνοντος· καὶ ὅταν ἔτι πρὸς τὴν ῥῖνα συννεύσωσι τοὺς ὀφθαλμούς, κροκύδας φοινικίνας παρακολλᾶν καὶ τοῖς πρὸς τοὺς κροτάφους κανθοῖς, ὅπως πρὸς ταύτας ἀτενίζοντες διορθωθῶσι τοὺς ὀφθαλμούς.

### 33 Περὶ ἐκπιεσμοῦ.

Ἐκπιέζονται οἱ ὀφθαλμοὶ ἐνίοτε, ὥστε διαμένειν ἐξελθόντας. τοὺς μὲν οὖν ὑπ᾽ ἀγχόνης ἐκπιεσθέντας ἀπ᾽ ἀγκῶνος φλεβοτομεῖν· εἰ δὲ ἄλλως πως γένοιτο, φαρμακεύειν ἐλλεβόρῳ μέλανι ἢ σκαμμωνίᾳ. τὰς δὲ ἐκ τῶν ὠδίνων ἐκθλίψεις τῶν ὀφθαλμῶν πολλάκις μὲν καὶ αἱ ἐν τοῖς τοκετοῖς ἐπιγινόμεναι καθάρσεις λύουσιν, ὅθεν δεῖ συνεργεῖν ταύταις. ἐπὶ δὲ τῶν ἀνδρῶν μετὰ τὴν φλεβοτομίαν, εἰ μὴ κατασταίη, σικύαν τῷ ἰνίῳ προσβάλλειν ἐπιτιθέναι τε ἔριον μέλιτι κεχρισμένον ἢ κροκύδα μεθ᾽ ὕδατος ἄνωθέν τε πτύγμα ἐπιδεῖν ἡσυχῇ. συμφέρει δὲ τούτοις καὶ θάλασσα ψυχρὰ προσαντλουμένη τῷ προσώπῳ καὶ σέρεως χυλὸς καὶ πολυγόνου μετὰ μηκωνίου ἐπιχριόμενος καὶ τὰ ἄλλα, ὅσα δύναται στέλλειν καὶ συνάγειν.

### 34 Περὶ συγχύσεως.

Τὰς δὲ ἐκ πληγῆς συγχύσεις φλεβοτομίᾳ τε ἀπ᾽ ἀγκῶνος καὶ αἵματος νεοσφαγοῦς μάλιστα μὲν τρυγόνος, εἰ δὲ μὴ καὶ περιστερᾶς, ἐκπληροῦντας ὅλον τὸν ὀφθαλμὸν θεραπεύειν· εἶτα ἐπιτιθέναι ἔριον μαλακὸν βρέξαντας εἰς ᾠὸν ἀνακεκομμένον μετ᾽ οἴνου καὶ ῥοδίνου καὶ

κβ´ 32 *Oribasius, Synops. VIII 51* κβ´ 33 *Oribasius, Synops. VIII 52; Aëtius VII 57* κβ´ 34 *Oribasius, Synops. VIII 53; cf. Aëtius VII 58*

1 ἀποπυριάσθω D 5 βλέπωσιν EG, -ν *eras.* B: βλέπουσιν AC: βλέπουσι FM 6 δὲ *om. a* ἀντικρὺ] CDFG: ἄντικρυς ABEHKM 7 καὶ *(alt.)*] ὠφελοῦνται καὶ D ἔτι *om.* DM 8 συννεύσωσιν CGH, -ν *eras.* B: συννεύωσι K 9 καὶ *om.* D*a* τοῖς κροτάφοις DH: τοὺς κροτάφοις A 10 διορθωθῶσι] KM: διορθωθῶσιν G *et* -ν *eras.* B: διορθοθόσιν H: διορθώσωσι AEF: διορθῶσιν (θω) C: διορθῶσι D: dirigant *a* 11 ἐκπιασμοῦ K 12 ἐκπιέζονται] K: ἐκπιεζοῦνται ACDEFGB[3]: ἐκπιαιζοῦνται B: ἐκπιαζοῦνται M: ἐκπιέζυνται H 13 μὲν οὖν] D: μὲν ABCEFGHKM: ergo *a* ἐκπιεσθέντας] DKC[2]: ἐκπιασθέντας ABCEFGHM φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος K 15 ὠδίνων] ὀδίνων BH: ὠδύνων F: doloribus *a* μὲν *om.* D αἱ] D, *e corr.* J: *om.* ABCEFGHKM 18. 19 ἢ κροκύδα] D: κροκύδι ABCEFGHKM, ἢ *ins.* MJ[2]: *om. a* 21 χυλὸς] CDFG*a*, *e corr.* B: χυλοῦ ABEHKM τἄλλα AK 22 δύναται] ACDFGH: δύνανται BEKM 24 φλεβοτομοῦντάς D αἵματος] D: αἵματι ABCEFGHKM 25 νεοσφαγοῦς] recenti *a* καὶ *om.* D 27 ἀνακεκομμένου M

ἐπιδεῖν, τῇ δὲ ἑξῆς τὸ αὐτὸ ποιεῖν καὶ τῇ τρίτῃ ἀποπυριᾶν καὶ γάλακτι ἐγχυματίζειν καὶ καταπλάττειν τοῖς ἐπιτηδείοις, εἶτα ὑπαλείφειν τοῖς πρὸς τὰς παλαιὰς διαθέσεις, οἷόν ἐστι τὸ Χιακόν.

### Περὶ μυωπιάσεως. 35

Μυωπίαι δὲ λέγονται οἱ ἐκ γενετῆς τὰ μὲν ἐγγὺς βλέποντες, τὰ δὲ ἐξ ἀποστάσεως οὐχ ὁρῶντες. ἀνίατος δέ ἐστιν ἡ τοιαύτη διάθεσις ὑπὸ ἀσθενείας γινομένη τοῦ ὀπτικοῦ πνεύματος. ἐναντία δὲ πάσχουσιν οἱ γηρῶντες τοῖς μύωψιν· τὰ γὰρ ἐγγὺς μὴ ὁρῶντες τὰ πόρρω βλέπουσιν.

## κγ΄. Ὠτικά, καὶ πρῶτον περὶ ὀδύνης.

Τὴν μὲν διὰ ψῦξιν γινομένην ὠταλγίαν ἔκ τε τῆς ὥρας καὶ τῆς προηγησαμένης διαίτης ἢ καὶ τῆς τοῦ κάμνοντος ἀνακρίσεως, εἰ διὰ προκαταρκτικὴν αἰτίαν γένοιτο, μαθόντες ἔκ τε τοῦ διὰ βάθους ἐνεστηρίχθαι τὸν πόνον χωρὶς βάρους ἢ διατάσεως ἢ πυρώσεως τοῖς θερμαίνουσιν ἰασόμεθα βοηθήμασιν ἔλαιον πηγάνινον θερμὸν ἢ νάρδινον ἢ δάφνινον θερμὸν ἢ ἀμαράκινον ἢ φουλίατον ἢ σπικάτον ἢ κοινὸν σὺν εὐφορβίῳ ἢ πεπέρει ἢ καστορίῳ ἢ τὸ Κομμαγηνὸν καλούμενον μύρον ἢ ὀπὸν βαλσάμου εἰς τὸν ἀκουστικὸν ἐνστάζοντες πόρον· καὶ τὸ ἔλαιον δέ, ἐν ᾧ ἐνήψηται σκόρδον ἢ κρόμυον ἐνσταζόμενον ὠφελεῖ. 1

τὴν δὲ διὰ θερμὴν δυσκρασίαν ὀδύνην, ἐφ᾽ ἧς ζέσεώς τινος χωρὶς βάρους ἢ τάσεως αἰσθάνονται, τοῖς ἐναντίοις ἰάσαιο τὸ λευκὸν ἐνστάζων τοῦ ᾠοῦ χλιανθέν, ὥσπερ ἐπ᾽ ὀφθαλμοῦ, καὶ γάλα γυναικεῖον μετά τινος τῶν ἀνωδύνων κολλουρίων ἢ χυλὸν περδικιάδος σὺν ὀλίγῳ ῥοδίνῳ καὶ αὐτὸ τὸ ῥόδινον ἢ ὀξυρόδινον ἢ χυλὸν στρύχνου ἢ κοριάννου ἢ ἀσφοδέλου ἢ ἔλαιον, ἐν ᾧ γῆς ἔντερα ἢ ὄνοι οἱ παρὰ τὰς ὑδρίας ἐνήψηνται, ἢ τὸ ἀμυγδάλινον ἔλαιον καθ᾽ αὑτὸ ἢ ζῶντα κηρύκια γ̄ ἑψήσας ἐν αὐτῷ φυσικῶς δρᾷ.

κβ΄ 35 *Oribasius, Synops. VIII 54; Aëtius VII 47* κγ΄ 1 *cf. Galenus XII 599 sqq.; Oribasius, Ad Eunap. IV 35—36; Aëtius VI 74—77*
11—27 *cf. Alexander Trall. II 77 sq.*

1 δὲ] τε D 2 ὑπαλείφειν] CDGM$^2$: ἐπαλείφειν F: ὑπαλείφων ABEKM*a*: ὑπαλεῖφον H 4 μυωπίσεως AE*a*: μυωπίας D 5 μυωπάζειν D οἱ] D: αἱ F: *om.* ABCEGHKM γενετῆς] CDGK, *e corr.* B: γεννητῆς F: γενητῆς AEHM 6 ἀνίατον E 7 γιγνομένη A: γενομένη H 8 μυωπάζουσι D 10 καὶ . . . ὀδύνης *om.* E καὶ πρῶτον *om.* F *post* ὀδύνης *add.* καὶ περὶ παροτίδος G$^3$ 12 ἢ *om.* B*a* εἰ] DC$^2$, *in ras.* J: ἢ ABCEFGHKM: et *a* 13 ἐγένετο D τε *om.* CFG(*a*) ἐνεστηρίχθαι] CDGK: ἐνστηριχθῆναι F: ἐστηρίχθαι ABEHM: seruatur *a* 14 διαστάσεως HK τοῖς . . . ἢ *(15)* *om.* H 15 ἰασόμεθα] ADEF*a*: ἰασώμεθα BCGKM 16 θερμὸν *om.* CFG*a* φουλίατον] DKM*a*: φουλλίατον ABCEFGHM$^2$ κοινῷ B 17 ἢ *(pr. et sec.)*] et *a* 19 δὲ *om.* *a* σκόροδον DFK, *e corr.* B 20 δὲ] *ins.* K ἧς] ἢ K 21 τοῖς ἐναντίοις ἰάσαιο] *om.* FG: *mrg.* C$^2$ ⟨ἂν⟩ ἰάσαιο? τῷ τε λευκῷ K 22 χλιανθέν] K: λειανθέν ABCEFGHM*a*: λεανθέν D καὶ] ἢ D γύναιον K 23 χυλοῦ E: *comp.* ABM: χυλῷ H 24 καὶ] ἢ καὶ DK 27 δράσεις D

τὴν δέ γε διὰ γλίςχρους καὶ παχεῖς χυμοὺς ὀδύνην ἔκ τε τοῦ τῆς κεφαλῆς καὶ αὐτῆς τῆς ἀκοῆς βάρους καὶ τῆς προηγηςαμένης διαίτης διαγίνωςκε. χωρὶς δὲ βάρους ἡ διάταςις μόνη τῆς ἀκοῆς πνεῦμα φυςῶδες οὐκ ἔχον διέξοδον δηλοῖ. χρηςτέον οὖν ἐπ᾽ ἀμφοῖν τοῖς ἐκφράττουςί τε καὶ τέμνουςι φαρμάκοις, οἷόν ἐςτι τὸ ἀφρόνιτρον cὺν ὄξει καὶ μέλιτι καὶ ἡ προβατεία χολὴ cὺν ἐλαίῳ κοινῷ ἢ ἀμυγδαλίνῳ καὶ τοῦ πράςου καὶ τοῦ κρομύου ὁ χυλὸς χλιαρὸς μετὰ μέλιτος, ἢ ὀρίγανον τρίψας μετὰ μέλιτος καὶ γάλακτος γυναικείου ἔνσταζε. πρὸς δὲ τὰς ἰςχυροτέρας ἐμψύξεις χολὴν αἰγείαν μετὰ χυλοῦ πράςου ἔνσταζε. ἐφ᾽ ὧν δὲ πολὺς ὁ πόνος καὶ χρόνιος καὶ δυςηκοΐα πάρεςτιν, χρηςτέον καὶ τοῖςδε, οἷός ἐςτιν ὅ τε τοῦ δρακοντίου χυλὸς καὶ ἄρου καὶ βρυωνίας καὶ τὰ παραπλήςια. ἰδίως δὲ τοὺς διὰ πνεῦμα φυςῶδες ὀδυνωμένους ςικύα ὕδατι θερμῷ προπυρουμένη καὶ περὶ τὸ οὖς ἐπιτιθεμένη μεγάλως ὀνίνηςιν.

εἰ δὲ καὶ βάρος καὶ διάταςις ἅμα θέρμη καὶ ςφυγματώδης ἡ ὀδύνη γίνοιτο, ἢ καὶ πυρέττοι, φλεγμαίνειν ἴςθι τὴν ἀκοήν· καὶ πρὸ πάντων μέντοι φλεβοτομίᾳ χρηςτέον, εἶτα πυριατέον ςυχνῶς ἐλαίῳ γλυκεῖ θερμῷ διὰ μηλωτίδος ἠμφιεςμένης ἐρίῳ, ἐνςτακτέον δὲ τῷ πόρῳ τό τε τοῦ χηνὸς ςτέαρ ἢ τὸ τῆς ἀλώπεκος ἢ τὸ βαςιλικὸν φάρμακον cὺν ῥοδίνῳ ἢ κυπρίνῳ ἢ ἰρίνῳ, καὶ καταπλαςτέον ἔξωθεν τοῖς τε παρηγορεῖν καὶ ςυμπέττειν δυναμένοις. βιαζομένης δὲ τῆς ὀδύνης τοῖς μετρίως τὴν αἴςθηςιν ναρκοῦςιν χρηςόμεθα· οὐ γὰρ ὀλίγος ὁ κίνδυνος ἐγκεφάλου γειτνιῶντος ἀκουςτικῷ νεύρῳ φλεγμαίνοντι. καλῶς οὖν τοῦτο παρηγορεῖ· ὀπίου μέρος ᾱ, καςτορίου μέρη β̄, μετὰ γυναικείου γάλακτος ἢ τοῦ λευκοῦ τοῦ ᾠοῦ ἢ οἴνου γλυκέος· χλιαρὸν ἔνσταζε. καὶ ὁ κροκώδης δὲ τροχίςκος καὶ ὁ ἀςτὴρ καὶ ἡ Φίλωνος ἀντίδοτος τούτους πολλάκις ὤνηςε· δεῖ δὲ ςυχνῶς πυριῶντα ἢ τῷ κοινῷ ἐλαίῳ ἤ τινι τῶν θερμῶν μύρων ἔριον ἐν αὐτῷ τούτῳ βεβρεγμένον ἐπιτιθέναι τῇ ἀκοῇ μηδαμῶς, ὡς οἷόν τε, ψαύοντα τῶν φλεγμαινόντων μορίων. ἐγχρονιζούςης δὲ τῆς ὀδύνης καὶ μελλούςης εἰς πῦον μεταβάλλειν κέχρηςο τῷ διὰ τοῦ χυλοῦ τοῦ λινοςπέρμου φαρμάκῳ ἐνςτάζων αὐτὸ λυθὲν ἅμα ῥοδίνῳ ἢ χαμαιμηλίνῳ.

1—17 *cf. Alexander Trall. II 71 sq.* 17—29 *cf. id. II 81*

1 γε *om.* D χυμοὺς καὶ παχεῖς K 2 τῆς *(alt.)*] αὐτῆς B 3 διάςταςις BDHM, *corr.* M μόνης D 5 τὸ] τό τε K ἀφόνιτρον D 6 ἢ] DEKC$^2$M$^2$*a*: *om.* ABCFGHM 7 τοῦ *(utr.)*] ὁ τοῦ DK ὁ *om.* DK 8 ὀριγάνου K πρὸς . . . ἔνσταζε *(9) om. a* 10 ὁ *om.* D 11 καὶ *om. a* τοιςίδε E, *sed corr.* χυλὸς] ὁ χυλὸς CG 13 ςικύα] καὶ ςικύα DK προπυριωμένη D καὶ *om. a* περὶ *om.* DK τῷ ὠτίῳ D 14 μεγάλως *om. a* 15 καὶ *(pr.) om. a* ἡ *om.* DE 16 γίγνοιτο AEHK πυρέττοιεν D καὶ *(alt.) om.* D 17 μέντοι] μέντοι γε K ςυνεχῶς D 18 δὲ] τε D 22 χρηςόμεθα] DFK, *e corr.* M: χρηςώμεθα ABCEGHM 25 γλυκέως AFG χλιαροῦ D καὶ *om. a* 26 καὶ ἡ] καὶ ἡ τοῦ D: καὶ ὁ τοῦ K: aut *a* ἀντίδοτος *om.* D 28 μύρων] CDFG: πυριῶν ABEHKM*a* ἔριον] ἢ καὶ ἔριον D αὐτοῖς τούτοις D τοῦτο CG 29 μηδαμῶς] non tamen *a* ὡς οἷόν τε] *om. a*: *corr. ex* ὡς οντε K 30 μελλούςης] μετελθούςης E

ὅταν δὲ ἐξ ὕδατος φαρμακώδους περιεχομένου κατὰ τὸν ἀκουστικὸν πόρον ὀδυνῶνται, εἰ μὲν εἴη πολύ, διὰ τοῦ στόματος ἢ καὶ διὰ καλαμίδος αὐτὸ ἐκμυζᾶν, εἰ δὲ ὀλίγον, ἀπομάξαντας τοῦτο διὰ τῆς ἠμφιεσμένης τῷ ἐρίῳ μηλωτίδος ἐνστάζειν ἔλαιόν τι τῶν λεπτομερῶν ἢ ῥόδινον ἢ ᾠοῦ τὸ λευκὸν ἢ γάλα γυναικεῖον. θερμὰ δὲ πάντα μετρίως εἶναι χρὴ τὰ τοῖς ὠσὶ προσφερόμενα.

### Πρὸς τὰ ἅμα φλεγμονῇ ἕλκη. 2

Λύκιον καὶ μηκώνιον ἴσα τρίψας μετὰ μέλιτος ἐπίβαλλε.

### Πρὸς ὀδύνας τὰς μεγίστας καὶ πῦον καὶ δυσηκοΐας. 3

Ἀμύγδαλα λελευκασμένα κ̅, ἀφονίτρου < γ̅, ὀπίου < γ̅, λιβάνου < γ̅, κρόκου < δ̅, χαλβάνης < β̅, σμύρνης < α̅· ὄξει ἐκλειῶν ἔνσταζε, ὀδύνης μὲν οὔσης ῥοδίνῳ διείς, πυορροούντων δὲ οἰνομέλιτι ἢ ὀξυμέλιτι, δυσηκοούντων δὲ ὄξει. τὰ δὲ πρόσφατα τῶν ἑλκῶν τὸ γλαύκιον θεραπεύει λυόμενον ὄξει καὶ τὰ δι᾽ αὐτοῦ κολλούρια καὶ τὰ διάροδά τε καὶ διάκροκα καὶ διάσμυρνα, ὥσπερ αὖ τὰ πυορροοῦντα χωρὶς ὀδύνης ἡ σκωρία τοῦ σιδήρου σὺν ὄξει λειωθεῖσα ἐπὶ χρόνον.

### Πρὸς χρόνια ἕλκη. 4

Κεδρίαν σὺν μέλιτι μίξας ἔγχριε.

Ἄλλο πρὸς τοὺς ἔχοντας πολὺ πῦον. μίσυ καύσας καὶ λεάνας ἐμφύσα. πρὸ δὲ τῶν ἐγχύτων ἐγκλυζέσθω τὰ ὦτα διὰ κλυστηριδίου ὀξυκράτῳ ἢ ὀξυμέλιτι ἢ οἰνομέλιτι ἢ ἀφεψήματί τινων τῶν ἀποκρουστικῶν, οἷον φακῆς ἢ ῥόδων.

### Πρὸς ῥύπου σκληρότητα. 5

Νίτρον ὄξει διεὶς μεθ᾽ ὕδατος ἔγκλυζε καὶ ἀπομάξας ἔνσταζε νίτρον ὄξει διειμένον σὺν ῥοδίνῳ.

Ἄλλο πρὸς ῥύπον. καρδάμωμον καὶ νίτρον βραχὺ μετὰ ἰσχάδων ἀναλαβὼν χωρὶς τῶν κεγχραμίδων καὶ κολλούρια ποιήσας ἔνθες εἰς

2—4 *cf. Alexander Trall. II 95* κγ´ 2 *Alexander Trall. II 89* κγ´ 3 *cf. Galenus XII 609; Oribasius, Ad Eunap. IV 38; Aëtius VI 83* κγ´ 4 *Alexander Trall. II 89* 24—25 *cf. Oribasius, Ad Eunap. IV 41* 26—p. 190, 3 *Alexander Trall. II 95; cf. Aëtius VI 80*

2 ἢ *om. a* διὰ] διὰ τῆς B 3 ἐκμυζᾶν, εἰ δὲ] CDFG: ἐκμυζάνειν δεῖ ABEHKM*a* ἀπομάξαντα D 4 ἐνστάζειν] et instillare *a*: ἐνστάζειν τὸ K 5 γάλα γυναικεῖον] CDFGK: γυναικεῖον γάλα ABEHM*a* 9 τὰς *om.* DE 10 κ̅] κ̅ καὶ F: *om.* D: καὶ ABCEGHKM*a*: η̅ *Aëtius?* afronitri *a* < γ̅ *(pr.) om.* D*a* < γ̅ *(alt.) om.* DF*a* 11 < *(pr.)*] ἀνὰ < DF*a* κρόκου] κηκῖδος D δ̅] γ̅ M α̅] β̅ CFG ἐνλειῶν CFG 12 μὲν οὔσης] μενούσης A: autem manente *a* πυορροούντων] DK: πυοροούντων ABCEFGHM οἰνομέλιτι] aceto inomelle *a* οἰνομέλιτι . . . λυόμενον *(14) om.* F ἢ ὀξυμέλιτι *om.* D 15 αὖ] *om. a*: αὐτὰ H πυορροοῦντα] BDGK: πυοροοῦντα CEFHM: πυροοῦντα A 16 ἐπὶ χρόνον *om.* D 18 κεδραίαν EK 19 πρὸς . . . πῦον] DK: *om.* ABCEFGHM*a* 20 πρὸ] DJK: πρὸς ABCEFGHM(*a*) ἐγκυμάτων M: effluentia *a* 21 ἢ *(pr.)*] D: ἐν ABCEFGHKM*a* τινος D 26 πρὸς ῥύπον *om.* D

τὴν ἀκοὴν καὶ κόμιζε δι’ ἡμερῶν γ̅· ἄγει γὰρ ῥύπον πολὺν καὶ ἱκανῶς κουφίζει. ποιεῖ καὶ τοῖς ὑπερσαρκώμασιν, χρονίαις ὀδύναις καὶ ἑλκώσεσιν.

Ἄλλο. ἀλόης, λιβάνου, σμύρνης ἀνὰ < ᾱ, μίσυος < δ̅· δι’ ὄξους τροχίσας αὐτὸ ἐπὶ τῆς χρείας ὄξει καὶ ῥοδίνῳ λύων ἐγχυμάτιζε, καὶ τὸν Ἄνδρωνος τροχίσκον καὶ τὴν Ἶριν καὶ τὸν Μούσα.

## 6 Πρὸς αἱμασσόμενα ὦτα.

Ἔγκλυζε μὲν σχίνου ἀφεψήματι, ἔνσταζε δὲ πολυγόνου χυλὸν σὺν ὀλιγίστῳ ὄξει ἢ λύκιον ἢ ἀμόργην ἢ ἀκακίαν ἢ πράσου χυλόν.

## 7 Πρὸς ὑπερσαρκώματα ὤτων.

Ἔγκλυζε νίτρῳ δι’ ὕδατος θερμοῦ ἅμα λεπίδι χαλκῇ μετὰ σανδαράχης ἴσοις· ἐσχαρωθέντα δὲ μέλιτι ἀνακάθαιρε.

## 8 Πρὸς σκωληκιῶντα ὦτα.

Ἔγκλυζε ἀφεψήματι ἀψινθίου ἢ κενταυρίου ἢ πρασίου, ἔνσταζε δὲ καππάρεως φύλλων χλωρῶν ἢ τοῦ καρποῦ χλωροῦ χυλὸν ἢ κεδρίαν ἢ οὖρον ἀνθρώπειον παλαιὸν ἢ ἐλλέβορον λευκὸν σὺν μέλιτι ἢ καλαμίνθης χυλὸν ἢ σκαμμωνίαν σὺν ὄξει ἢ χυλὸν ἀψινθίας. τὸ δὲ ἔλαιον ἐνσταζόμενον τῷ πόρῳ ἄχρις ἄνω ἀναπλεῖν αὐτοὺς ποιεῖ· κάλλιον δὲ τὸ ὀξέλαιον. καὶ πρὸς τὰ ἐμπίπτοντα δὲ τοῖς ὠσὶν ζωύφια τοῖς αὐτοῖς κέχρησο.

## 9 Περὶ ψηφίδων καὶ τῶν παραπλησίων ἐμπιπτόντων τοῖς ὠσίν.

Εἰλήσας ἔριον περὶ μηλωτίδα βάψον αὐτὸ τερεβινθίνῃ ἢ κόμμι ἤ τινι τῶν ἐχεκόλλων καὶ οὕτως αὐτὸ ἀνάσπα. εἰ δὲ μὴ εἴξοι, ἔλαιον

κγ´ 6 *cf. Oribasius, Ad Eunap. IV 39; Aëtius VI 86* κγ´ 7 *Oribasius IV 545* κγ´ 8 *cf. Oribasius, Ad Eunap. IV 40; Alexander Trall. II 97; Aëtius VI 85* κγ´ 9 *cf. Oribasius, Ad Eunap. IV 39; Alexander Trall. II 95 sq.; Aëtius VI 87*

1 καὶ κόμιζε *om. a* κομίζου D πολὺ K 2 καὶ *(pr.)*] δὲ καὶ D ὑπερσάρκωσιν A, *mrg.* γρ. μα χρονίαις] et antiquis *a*: χρονίαις τε D 4 Ἄλλο] D: *om.* ABCEFGHKM*a* σμύρνης ... δ̅] μίσυος σμύρνης ἀνά < ᾱ D: σμύρνης μίσυος ἀνὰ < ᾱ F ᾱ] δ̅ AE*a* δ̅] ᾱ CG: *mrg.* γρ. < γ̅ B 5 αὐτὸ ... χρείας *om.* D λειῶν F 6 Ἶριν] ADEF*a*: ἧριν H: ἥρην BCGKM τὸν] τὴν EFK μοῦσαν CGK 8 μὲν] CFGKM[3], *e corr.* B: *om.* D*a*: μετὰ AEHM σχίνου] DK*a*: σχοίνου ABCEFGHM δὲ] δὲ καὶ D 11 ἔγκλυζε] D*a*: ἐγκλύσας ABCEFGHKM νίτρῳ] DFK: νίτρον ABCEGHM*a* μετὰ] et *a* 12 ἴσης F ἀνακάθαρε EF 13 π^ε^ σκωλικιώντων ὤτων D 14 ἢ *(pr.)*] et *a* πρασίου] CDFGK, *e corr.* B: πράσου AHM: πράσσου E 15 χλωροῦ *om.* M 16 ἀνθρώπειον] CDEF: ἀνθρώπιον AGHK: ἀνθρώπινον B *et comp.* M 17 ἔλαιον δὲ D 18 δὲ κάλλιον A 19 αὐτοῖς] αὐτοῖς τούτοις DK 21 Περὶ] πρὸς AE*a* ψηφιάλων CG, *corr.* C[3]: ψηφοάλων F ἐμπιπτόντων] τῶν ἐμπιπτόντων D 22 αὐτοῦ BH τερεβινθίνῃ] BDK*a*: τερεβινθίνην AHM: *comp.* CEFG 23 ἐχεκόλλων] CDFGK: ἐχεοκόλλων ABEHM δὲ *om.* AE*a* ἔλαιον] τὸ ἔλαιον K

θερμὸν ἔνσταζε συχνῶς τῷ πόρῳ. καὶ εἰ μὴ ἐκπέσοι ἢ ληφθείη, ἔπειτα τοῖς ἄλλοις κέχρησο τρόποις, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται.

### Περὶ ἤχων. 10

Εἰ μὲν ἐν πυρετοῖς ἢ ταῖς τούτων κρίσεσιν ἦχοι γίνοιντο, μηδὲν παρενοχλεῖν· παραυτίκα γὰρ ὡς ἐπὶ τὸ πολὺ παύονται. εἰ δὲ καὶ μετὰ τὴν νόσον ἐπιμένοιεν, ἀψινθίου πυριάσας ἀφεψήματι ὄξος καὶ ῥόδινον ἔγχει ἢ ῥαφάνου χυλὸν μετὰ ῥοδίνου ἢ ἐλλέβορον μέλανα μετὰ ὄξους. πρὸς δὲ τοὺς χρονίους ἤχους ἐπὶ πάχεσι καὶ γλίσχροις γινομένους χυμοῖς (γνωριεῖς δὲ τοῦτο τῷ μὴ ἀθρόως ἀλλὰ κατὰ μέρος αὐτοὺς συνίστασθαι) ὄξει καὶ νίτρῳ καὶ μέλιτι κλύζε.

Ἄλλο. ἐλλεβόρου λευκοῦ < β̄, καστορίου < β̄, κρόκου < γ̄, νίτρου < ιϛ̄· ποίει τροχίσκους ἐν ὄξει λειώσας καὶ χρῶ.

Πρὸς τοὺς χρονίους ἤχους καὶ συρισμούς. εὐφόρβιον μετὰ κυπρίνου ἐλαίου λειώσας καὶ θερμάνας χρῶ· ἐφ' ὧν δὲ διὰ πολλὴν συναίσθησιν τῶν ἀναδιδομένων ἀτμῶν ἢ πνευμάτων αἰσθάνονται, καστόριον καὶ κωνείου σπέρμα λειώσας σὺν ὄξει ἐπίσταζε.

### Περὶ δυσηκοΐας καὶ κωφώσεως. 11

Αἱ μὲν ἐκ γενετῆς ἢ καὶ μετὰ τὸ τεχθῆναι μέν, χρονιώταται δὲ καὶ παντελεῖς συνιστάμεναι κωφώσεις τῶν ἀνιάτων εἰσίν, αἱ δὲ μὴ παντελεῖς μέν, χρόνιαι δέ, καὶ αὐταὶ τῶν ἀνιάτων ἢ δεινῶς εἰσι δυσιάτων. τὰς μέντοι διὰ χολώδη χυμὸν ἀνάρροπον γινόμενον συνισταμένας ταῖς διὰ τῶν χολαγωγῶν φαρμάκων κενώσεσιν οὐ χαλεπῶς ἂν ἰάσαιο, τινὲς δὲ καὶ αὐτομάτως παύονται τοῦ πάθους χολῆς αὐτοῖς ὑπελθούσης. τὰς δὲ δι' ὠμοὺς καὶ παχεῖς χυμοὺς συνισταμένας κωφώσεις ἢ δυσηκοΐας θεράπευε φλέβα τέμνων ἢ πάντως γε καθαίρων διὰ τῆς ἱερᾶς ἀποφλεγματισμοῖς τε καὶ ἐρρίνοις χρώμενος αὐτοφυέσι τε ἤτοι διὰ θαλάσσης λουτροῖς. εἰς δὲ τὸν ἀκουστικὸν πόρον ἐνστάζειν ἁρμόζει μὲν

2 εἰρήσεται] *VI 24* κγ´ 10 *cf. Alexander Trall. II 93 sq.; Aëtius VI 79*
4—5 *Galenus XII 643* κγ´ 11 *cf. Alexander Trall. II 101 sq.; Aëtius VI 80*

1 θερμῷ H τῷ πόρῳ συχνῶς D καὶ . . . εἰρήσεται *(2) om. a* μὴ] DJ, *mrg.* E: μὲν ABCEFGHKM λειφθείη A, *sed corr.*: λιφθείη H ἔπειτα] *scripsi*: ἐπεὶ ABE: ἐπὶ CFGHKM: *om.* D 4 ἐν] CDFG: *om.* ABEHKM*a* κράσεσιν D ἦχοι] οἱ ἦχοι K γίγνοιντο CEG: γίνονται K 5 αὐτίκα C τὸ *om.* AE καὶ *om.* CG 6 ἀψινθίου] K*a*: ἀψινθίῳ ABCEFGHM: ἀψινθίας D 7 ἔγχεε D καὶ] aut *a* 8 γινομένους] DM: γιγνομένους K: γινομένοις (ου *supra*) A: γινομένοις BCEFGH*a* χυμοὺς D 9 τῷ] ABDFM*a*: τὸ CEGHK αὐτοῦ BK 10 μέλιτι καὶ νίτρῳ DK ἔγκλυζε CFG(*a*) 11 < β̄ *(pr.) om.* DF*a* < *(sec.)*] ἀνὰ < DF*a* 12 λειώσας καὶ] τε λειώσας D 13 πρὸς] ἄλλο πρὸς E: περὶ CG τοὺς *om.* E συριγμούς D 16 κωνείου] D*a*: κωνίου ACEGK: κονίου BFHM 17 Περὶ] πρὸς D κωφώσεις D 18 γενητῆς BEFH, *corr.* B καὶ *om. a* 19 μὴ *om.* F 20 μὲν] CDFGK, *supra scr.* B: *om.* AEHM*a* δυσιάτων εἰσί D 22 ἂν] D: *om.* ABCEFGHKM 23 αὐτῆς F: *om. a* 25 φλέβα] τὴν φλέβα D 26 ἤτοι] ἢ τοῖς K: et *a* 27 ἐνστάζειν ἁρμόζει] ποιεῖ D

καὶ τὰ πρὸς ἤχους ἀναγεγραμμένα, ἰδίως δὲ ταῦτα· αἰγὸς οὖρον καὶ χολὴν αἰγὸς ἢ κατὰ μόνας τὴν χολὴν ἔνσταζε ἢ πηγάνου χυλὸν σὺν μέλιτι ἢ καστόριον σὺν ἐλαίῳ ἀνηθίνῳ ἢ ὕσσωπον τὸ φάρμακον σὺν ναρδίνῳ μύρῳ ἢ χολὴν αἰγὸς μετὰ χαλβάνης ἢ τοῦτο· καστορίου < β̄, νίτρου, ἐλλεβόρου λευκοῦ ἀνὰ < ᾱ.

## 12 Πρὸς θλάσιν ὤτων.

Ὁ μὲν Ἱπποκράτης παραινεῖ μηδὲν αὐτοῖς προσφέρειν· ἐπειδὴ δὲ πολλάκις ὑπὸ τῶν πεπονθότων ἀναγκαζόμεθα, χρηστέον τοῖσδε· σμύρνης, ἀλόης, λιβάνου, ἀκακίας ἴσα ὄξει ἢ ᾠοῦ τῷ λευκῷ κατάχριε, ἢ ἄρτου θερμοῦ τὸ ἐντὸς σὺν μέλιτι ὁλμοκοπήσας κατάπλασσε. ἢ τοῦτο· ἀσφάλτου, λιβάνου, ἀλόης, κοχλιῶν τῆς σαρκός, βολβῶν Ἄφρων ἴσα ὄξει συλλεάνας ἐπιτίθει. φλεγμονῆς δὲ γενομένης σησάμῳ λείῳ κατάπλασσε ἢ χόνδρῳ σὺν ὄξει ἑφθῷ. ἐλαφρὰ δὲ ἔστω τὰ καταπλάσματα καὶ χωρὶς ἐπιδέσεως ἢ ἐλαφρῶς ἐπιδείσθω, καὶ ἔριον ἐλαιοβραχὲς ἐντεθείσθω τῷ πόρῳ τοῦ ὠτός.

## 13 Περὶ παρωτίδων.

Ἡ παρωτὶς πάθος ἐστὶ τῶν παρὰ τοῖς ὠσὶν ἀδένων ὕλης ἐκριπτομένης ποτὲ μὲν ἀπὸ τῆς κεφαλῆς ἐσφηνωμένων ἐν αὐτῇ χυμῶν, ποτὲ δὲ ἀπὸ τοῦ λοιποῦ σώματος κριτικῶς ἐν πυρετοῖς γινόμενον. εἰ μὲν οὖν ἔτι διὰ βάθους οὖσα μὴ ἐκδίδοται εἰς ὄγκον ἡ παρωτίς, συνεργήσομεν τῇ φύσει τῶν ἑλκτικῶν τι βοηθημάτων προσφέροντες ἢ καὶ σικύαν προστιθέντες ἢ πυρίαις χρώμενοι συχναῖς· ὡς, εἴ γε παλινδρομήσει κατὰ τὸ βάθος ἡ ὕλη, κίνδυνος οὐχ ὁ τυχὼν γενήσεται. εἰ δὲ εἰς ὄγκον ἀποκορυφώσει φλεγμάνασα, τοὐναντίον τοῖς παρηγορεῖν τε καὶ συμπέττειν δυναμένοις χρησόμεθα καταπλάσμασιν, οἷόν ἐστι τό τε διὰ κριθίνου ἢ σιτίνου ἢ λινοσπέρματος ἀλεύρου σὺν μελικράτῳ ἢ τήλεως ἢ ἀλθαίας ἢ χαμαιμήλων ἀποζέματι ἑψόμενον καὶ τὸ διὰ λαπάθου καὶ ὀξυγγίας χωρὶς ἁλῶν. εἰ δὲ καὶ πλεονάζειν αἷμα φανείη σοι, προκενωτέον αὐτὸ διὰ φλεβοτομίας, ἐπιτρεπούσης μάλιστα τῆς δυνά-

κγ΄ 12 *cf. Galenus XII 664; Alexander Trall. II 93; Aëtius VI 88*
7 Ἱπποκράτης] Περὶ ἄρθρ. 40 κγ΄ 13 *cf. Galenus XII 664 sqq.; Oribasius, Ad Eunap. IV 44; Alexander Trall. II 107 sqq.; Aëtius VI 89*

6—15 *hab. etiam* X

2 αἰγὸς *om. a* σὺν] CDFGKM: ἢ σὺν AEH*a*, ἢ *eras.* B 7 μὲν *om. a* 9 ἴσας K τὸ λευκὸν F: τὸ λεπτὸν X ὄξει] σὺν ὄξει D κατάχριε] soluens *a* 10 τοῦτο ... χόνδρῳ *(13)*] θέρμους D 11 ἀφρὸν CFGK 12 συνλεάνας ACFKX σισάμῳ CFGHKX, *e corr.* M 13 ἢ] ἢ θέρμῳ ἢ K σὺν] θερμῷ σὺν X 14 καὶ ἔριον] ἔριον καὶ ἔλαιον K: καὶ ἔλεον H: καὶ FMX, ἔριον *add.* M[3] ἐλαιοβραχὲς] ἐλαιοβραχὲς ἔρυον F ἐντιθέσθω BDF 16 παρωτίδος AE*a* 19 τοῦ λοιποῦ] toto *a* γινομένων D μὲν *om. a* 20 συνεργήσομεν] CDF, *e corr.* M: συνεργήσωμεν ABEGHKM*a* 21 τι] *om.* BH, *supra scr.* D βοηθημάτων *om.* E 22 ἢ] ἢ καὶ M 24 φλεγμήνασα DK τε *om.* D 25 χρησόμεθα] DFK, *e corr.* M: χρησώμεθα ABCEGHM*a* 26 λίνου σπέρματος BKM: λινοσπέρμου D 28 ἀξυγγίας M: στέατος D πλεονάζον D φανείη] *e corr.* K: φανεῖ M

μεως. μὴ διαφορουμένου δὲ τοῦ ὄγκου τοῖϲ διαπυΐϲκουϲι χρηϲτέον φαρμάκοιϲ, οἷόν ἐϲτι τὸ ϲίτινον ἄλευρον μετὰ ἰϲχάδων ἀφεψήματοϲ καὶ ἐλαίου τό τε διὰ γύρεωϲ καὶ τὸ διὰ ζύμηϲ φάρμακον. μεταβληθέντοϲ δὲ εἰϲ ἀπόϲτημα ἢ διὰ τομῆϲ ἐκκρίνωμεν τὸ πῦον ἢ δριμεῖ φαρμάκῳ ϲυρρήξωμεν, οἷόν ἐϲτι τό τε ϲμιλίον καλούμενον καὶ τὸ διὰ ϲκόρδων. τὰϲ δὲ εὐηθεϲτέραϲ τῶν παρωτίδων καὶ πυρία δι' ἅλμηϲ διαφορεῖ καὶ τὸ διὰ τοῦ ἀπεράνου φάρμακον. τοῦτο μέν γε καὶ τὸ μεταβληθὲν ἤδη πῦον διεφόρηϲεν πρὸϲ τῷ καὶ ἀνωδυνώτατον ὑπάρχειν. πρὸϲ δὲ τὰϲ κεχρονιϲμέναϲ παρωτίδαϲ κηρύκων ἢ πορφύρων κεκαυμένων τέφραν μετὰ μέλιτοϲ ἢ ὀξυγγίαϲ ἐπιθήϲομεν ἢ ϲῦκα ἑψημένα θαλάϲϲῃ ἢ πράϲιον μετὰ ἁλῶν. τὰϲ δὲ ϲκληρυνθείϲαϲ ἤδη μαλάττει ἥ τε Μναϲαίου καὶ ἡ Ἀριοβαρζάνιοϲ· καλλίϲτη δὲ καὶ ἡ διὰ τοῦ χυλοῦ τοῦ λινοϲπέρμου. πρὸ δέ γε τούτων καταπλάττειν αὐτὰϲ τοῦ ἀμμωνιακοῦ μιγνύνταϲ τοῖϲ καταπλάϲμαϲι πίϲϲηϲ ὑγρᾶϲ ἢ ϲτέατοϲ ταυρείου ἢ βδελλίου ἢ ϲτύρακοϲ ἢ ἐλαφείου μυελοῦ.

## κδ'. Περὶ τῶν τῆϲ ῥινὸϲ καὶ τῆϲ ὀϲφρήϲεωϲ παθῶν.

Τῆϲ ὀϲφρητικῆϲ βεβλαμμένηϲ δυνάμεωϲ, εἰ μὲν ἀβλαβὴϲ ἡ φωνὴ 1
ϲώζοιτο, τῶν ἐμπροϲθίων τοῦ ἐγκεφάλου κοιλιῶν τὸ πάθοϲ ὑπονοητέον ἤτοι κατὰ δυϲκραϲίαν ψιλὴν βεβλαμμένων ἢ καὶ διὰ πλῆθοϲ μοχθηρῶν χυμῶν. εἰ δὲ καὶ ἡ φωνὴ ϲυμβλαβείη μογγοτέρα πωϲ γεγονυῖα, δι' ἔμφραξιν τῶν ἠθμοειδῶν ὀϲτῶν τὸ πάθοϲ ὑπολάμβανε γεγενῆϲθαι πάλιν ὑπὸ μοχθηρῶν τινων χυμῶν. τὴν μὲν οὖν τοῦ ἐγκεφάλου δυϲκραϲίαν διὰ τῶν πολλάκιϲ εἰρημένων εὑρηκὼϲ τοῖϲ ἐναντίοιϲ κέχρηϲο βοηθήμαϲιν, τοὺϲ δὲ χυμοὺϲ ἐκκενοῦν τοῖϲ ἀποφλεγματιϲμοῖϲ, μάλιϲτα δὲ τοῖϲ ἰϲχυρῶϲ κενοῦϲιν ἐρρίνοιϲ, ὀϲφραντά τε πρόϲφερε λεπτομερῆ, καθάπερ ἐπὶ τῶν κατάρρων. εἰ δὲ πλῆθοϲ ὑπολάβοιϲ καθ' ὅλον τὸ ϲῶμα, τοῦτο πρότερον κένωϲον ἤτοι διὰ φλεβοτομίαϲ ἢ καθάρϲεωϲ διὰ τῆϲ ἱερᾶϲ. οὕτω δὲ κἀπὶ τοῦ πόλυποϲ καὶ τῆϲ ὀζαίνηϲ κέχρηϲο, εἶθ' οὕτωϲ τὰ τοπικὰ πρόϲφερε βοηθήματα. ἔϲτι δὲ ὁ μὲν πόλυψ ὄγκοϲ παρὰ φύϲιν ἐν ταῖϲ ῥιϲὶ γεννώμενοϲ ἐοικὼϲ κατὰ τὴν οὐϲίαν τῇ τοῦ πολύποδοϲ ϲαρκί. τῆϲ αὐτῆϲ δὲ οὐϲίαϲ ἐϲτὶ καὶ τὸ ϲάρκωμα· ἡ δὲ ὄζαινα ἕλκοϲ ἐϲτὶ ϲηπεδονῶδεϲ ἐξ ἐπιρροῆϲ ὑγρῶν δριμέων γινόμενον.

29—31 *Galenus XII 681* 31—32 *ib. XII 678*

4 εἰϲ ἀπόϲτημα] CDFG, *mrg.* K²: ἀποϲτήματοϲ ABEHKM*a*: τοῦ *supra add.* K ἐκκρίνομεν CFGHK 5 ϲυρρήξομεν DFHK, *e corr.* M 6 ϲκορόδων DK 8 πρὸϲ τῷ] AD*a*: πρὸϲ τὸ BCEFGHKM 9 ἢ] et *a* 10 ὀξυγγίαϲ] ϲτέατοϲ D ἡψημένα D 11. 12 ἥ τε] aut *a* 12 καὶ ἡ] aut *a* 13 αὐτὰϲ] *corr. ex* αὐτοὺϲ M 14 ἢ] et *a* 15 ἢ *(tert.)*] *e corr.* K²

16 καὶ περὶ αἱμορραγίαϲ ἐκ ῥινῶν *add.* CFG (ἐ̣ρ̣ρα G: ἐκ ῥινῶν *euan.* G², *om.* C) 17 ὀϲφραντικῆϲ D 19 κατὰ *om.* D δυϲκραϲίᾳ ψιλῇ D καὶ] *om. a*: *postea ins.* M 21 ἰθμοειδῶν ABCEGHKM*a*: ἰϲθμοειδῶν DF πάλιν *om.* D 22 τινων] *mrg.* E: τινων ὁμοίωϲ D χυμῶν τινων C 24 ἐκκένου D 25 προϲάγειν F 26 ἐπὶ] et in *a* καθ'] εἶναι καθ' DK 27 διὰ *(pr.)*] *om.* M 28 δὲ] enim *a* πολύποδοϲ DEK οὔτω K 30 γεννώμενοϲ] BDEM: γενώμενοϲ A: γενόμενοϲ CFGK: γινόμενοϲ H 32 γιγνόμενον AF: γινομένη D

2 Πρὸς πόλυπας καὶ σαρκώματα.

Λεπίδος χαλκοῦ < η̅, χαλκάνθου < ς̅, σανδαράχης < δ̅, ἐλλεβόρου μέλανος < β̅· ἐμφύσα καὶ χρῶ ὡς καλλίστῳ· ἐν γὰρ ἡμέραις ιγ̅ ὠφέλειαν ἔκδηλον ποιεῖ. ποιεῖ δὲ καὶ χάλκανθος σὺν ὄξει.

Ἄλλο. σιδίων < ις̅, χαλκάνθου < ι̅, χαλκίτεως < η̅, χολῆς ταυρείας, ἀμώμου, σμύρνης, καλαμίνθης, πρασίου ἀνὰ < δ̅, κρόκου < β̅, ἐλλεβόρου λευκοῦ < α̅· ξηρῷ χρῶ.

Ἄλλο. διφρυγεῖ λείῳ προσάπτου καὶ μοτῷ ἐλλυχνιωτῷ διάστελλε τοὺς μυκτῆρας.

3 Πρὸς ὀζαίνας.

Μίσυος, χαλκίτεως, σμύρνης ἀνὰ < ζ̅, χαλκάνθου < ς̅, στυπτηρίας σχιστῆς, κηκῖδος, λεπίδος χαλκοῦ ἀνὰ < δ̅, στυπτηρίας στρογγύλης < β̅, λιβάνου < α̅, ὄξους ℥ α̅· ἕψε τὸ πᾶν ἐν χαλκῷ σκεύει, μελιτώδει δὲ χρῶ διὰ μοτῶν.

Ἄλλο. ἰὸν καὶ λεπίδα ἴσα· ξηρὸν ποιεῖ.

4 Πρὸς τὰς τῆς ῥινὸς δυσωδίας.

Σμύρνης, ἀκακίας, ἀμώμου ἀνὰ < α̅, μέλιτι ἑφθῷ ἀναλαβὼν κέλευε προσκολλᾶσθαι τῷ ἄκρῳ τοῦ τῆς ῥινὸς διαφράγματος.

Ἄλλο. ἀμώμου, σμύρνης, ῥόδων ξηρῶν ἴσα· μύρῳ ναρδίνῳ ἀναλαβὼν ὑπόχριε. ποιεῖ καὶ ἡδυχρόου μάγμα μετ᾽ οἴνου.

5 Πρὸς τὰ ἐν ῥινὶ ἕλκη.

Ψιμυθίου λι. α̅, λιθαργύρου ℔ γ̅, μολίβου σκωρίας ℔ γ̅ ἢ μολίβου κεκαυμένου· πάντα δὲ πεπλυμένα ἔστω· ἀνάλαβε οἴνῳ καὶ μυρσίνῳ ἐλαίῳ.

κδʹ 2 *cf. Aëtius VI 92* 8—9 *Galenus XII 687* κδʹ 3 *cf. Oribasius, Ad Eunap. IV 46; Aëtius VI 91* 16—18 *Oribasius, Synops. VIII 31* 19—20 *Aëtius VI 91* κδʹ 5 *cf. Aëtius VI 93*

1 πολύπους *e corr.* K: πολύποδας F 2 < η̅] *om. a*: < ξ̅ A < *(sec.)*] ana ʒ *a* ς̅] *e corr.* M: ις̅ FG 3 ιγ̅] τρισὶ τὴν D: tribus *a* 4 χάλκαν^θ^ G: χάλκανθον CDF 5 < ις̅] *e corr.* C: < ιβ̅ DKM: ʒ VI *a*: καὶ F < *(sec.)*] ἀνὰ < F η̅] VIIII *a* 6 β̅] δ̅ A 7 α̅] δ̅ M 8 διφρυγεῖ] H, *e corr.* B: δίφρυγι ACDEFGKM καὶ . . . ἐλλυχνιωτῷ] μότῳ καὶ ἐλλυχνίῳ τούτῳ δὲ D 9 τοὺς] ADEK*a*: δὲ τοὺς BCFGHM 11 ζ̅] ξ̅ D ς̅] β̅ D 11. 12 σχιστῆς στυπτηρίας CFGK 12 κηκῖδος] κηκίδων D: *om. a* 13 ἕψει D μελιτώδει *om. a* δὲ] τε D 15 ἄλλο *om.* A *fort.* ἰοῦ λεπι^δ^ E: *fort.* λεπίδος ἴσον AE: ana *a* 20 ἡδύχροον μετ᾽ οἴνου μάγμα D μάγμα] CGK, μάλαγμα ABEFHM*a* 21 ῥισὶν FG 22 λι.] ⅄ G: ℔ C μολίβδου CDEFH μολίβου . . . γ̅ *om.* K σκωρίας . . . μολίβου *om.* D ℔ γ̅ *(alt.)* *om. a* 23 κεκαυμένου] κ^ε^ ι̅ DK: conbusti ⁓ III *a* πάντα . . . ἔστω] *om.* E: πεπλυμμένα πάντα D ἀναλαμβανέσθωσαν D: ἀναλάμβανε M καὶ] aut *a* μυρσινίνῳ D, *ut solet*

### Πρὸς τὰ γλυκέα λεγόμενα ἕλκη. 6

Λιθαργύρου < δ̄, πηγάνου νεαροῦ < δ̄, στυπτηρίας σχιστῆς < β̄· μυρσίνῳ ἐλαίῳ καὶ ὄξει ἀναλάμβανε.

### Πταρμικά. 7

Ἐλλέβορος λευκὸς ἢ καστόριον ἢ πέπερι ἢ στρούθιον ἢ ὁμοῦ πάντα· οὐ χρὴ δὲ ἐμφυσᾶν, ἀλλὰ πτερῷ ἢ δακτύλῳ προστιθέναι ἕως ἐσωτάτω τῆς ῥινός. πλεονάζοντος δὲ πταρμοῦ ἐκ φαρμάκου παύειν ἐγχυματίζοντα νάρδον ἢ ῥόδινον ἢ γλυκέλαιον· καὶ ὀσφραντὰ δὲ παύει πταρμόν, ἄνισον, ὠκίμου κάρφη κοπέντα· πρὸ δέ γε πάντων τούτων ξηραντέον τὴν κεφαλὴν σμήγμασι τοῖς ἀπὸ νίτρου καὶ κισήρεως. ἢ καὶ τῷ καλουμένῳ Ἀσκληπιῷ χρηστέον καὶ τῷ Κωνσταντίνου σάπωνι καὶ τῶν Καππαδοκικῶν ἁλῶν καὶ τοῖς ὁμοίοις.

### Περὶ τῆς τῶν ῥινῶν αἱμορραγίας. 8

Περὶ μὲν τῆς ἐν πυρετοῖς ἐκ ῥινῶν αἱμορραγίας ἐν ἐκείνοις κατὰ τὸ δεύτερον εἴρηται βιβλίον· περὶ δὲ τῆς ὁπωσοῦν ἄλλως γινομένης ἁπλῶς δυσεπισχέτου νῦν εἰρήσεται. χαλκῖτιν λεάνας ἀνάλαβε δεδευμένῳ ὕδατι ἐλλυχνίῳ ἢ πριαπίσκῳ καὶ ἐντίθει τοῖς μυξωτῆρσιν ἢ ᾠοῦ τὸ ὄστρακον καύσας μίσγε αὐτῷ καὶ κηκῖδος τὸ ἥμισυ καὶ ὡσαύτως χρῶ, ἢ λυκίῳ Ἰνδικῷ διάψα ἢ ὀνίδα καύσας ἐμφύσα τὴν σποδὸν ἢ χυλίσας τὴν ὀνίδα ἔνσταζε τὸν χυλόν, ἢ μυλίτου λίθου σβεσθέντος ὄξει τὴν ἀτμίδα ὀσφραινέσθω, ἢ καὶ παρεμπλαστικῷ τούτῳ κέχρησο· μάννης λιβάνου μέρος ᾱ, ἀλόης μέρος ∠′, ᾠοῦ τῷ λευκῷ ἀναλάμβανε καὶ χρῶ δι᾽ ἐλλυχνιωτοῦ προστιθεὶς ἔξωθεν τῷ χρίσματι λαγωοῦ τρίχας, ἢ τὴν καλουμένην λυχνίδα ἔνθες τῷ μυκτῆρι, ἢ σικύαν κούφην κατὰ τοῦ κατ᾽ εὐθὺ τοῦ αἱμορραγοῦντος μυκτῆρος ὑποχονδρίου πρόσθες μεγάλην τε καὶ ἐπιμόνως, ἢ τὰ ὦτα στερρῶς ἐμφραττέτω, καὶ τὸ μέτωπον σπόγ-

κδ′ 6 *cf. Aëtius VI 93* κδ′ 7 *Aëtius VI 97—98* κδ′ 8 *Aëtius VI 94*
15 δεύτερον] *II 58*

2 < δ̄ *(pr.)*] *om. a*: ℙ δ̄ D πηγάνου . . . δ̄ *om.* D νεαροῦ *om.* K < δ̄ *(alt.)*] ana ʒ IIII *a*: *om.* K < β̄ *om.* D 6 ἀλλ/ K ὡς DK ἐσωτάτου F 7 δὲ] δὲ τοῦ D ἐκ] ἐκ τοῦ D παύειν . . . δὲ *(8)*] πάντα τάδε D 9 ὤκιμον D κάρφη κοπέντα *om. a* πρὸς K δέ γε *om. a* 11 σάπων E 12 τῶν] τῷ διὰ τῶν D τῶν ὁμοίων F 14 ἐκ ῥινῶν αἱμορραγίας] CDFGK, *e corr.* B (β-α *supra scr.*): αἱμορραγίας ἐκ ῥινῶν ABEHM 15 ἄλλως *om.* AE ἐγγιγνομένης K 16 ἀναλάμβανε D δεδευμένην D 17 ἢ πριαπίσκῳ *om. a* ἢ *(alt.)*] καὶ D 18 αὐτὸ EFM καὶ *(pr.) om.* H*a* καὶ ὡσαύτως χρῶ] CDFGK: *om.* ABEHM*a* 19 διάψαι K: δίαπτε F: διαψάσθω D χυλίσας] ἐψίσας D 21 τοῦτο EFKM *ante* μάννης *add.* ἄλλο CFG: *del.* C 22 μέρους ἥμισυ K τῷ λευκῷ] CDFGK: τὸ λευκὸν ABEHM*a* 23 ἐλλυχνιωτοῦ] *mut. in* ἐλλυχνίῳ του (τ *supra scr.*) M: ἐλλυχνίῳ τούτῳ K*a*: ἐλλυχνίου D τὴν . . . ἢ *(24)*] uero *a* 25 αἱμορραγοῦντος μυκτῆρος] μυκτῆρος τοῦ αἱμορραγοῦντος (β, α *supra scr.*) M 26 ἢ τὰ] εἶτα AE: et *a* στερεῶς K: στερρεῶς *e corr.* B ἐμφραττέσθω D: ἐμφράττων K: obtura *a*

γοις ἐξ ὕδατος ψυχροῦ καταβρεχέσθω, ἢ σικύαν ἰνίῳ κολλᾶν μεθ' αἵματος ἀφαιρέσεως, ἔσθ' ὅτε δὲ καὶ φλεβοτομεῖν, εἰ μηδὲν κωλύει, καὶ τὰ ἄκρα διαδεῖν, μάλιστα δὲ βραχίονας καὶ μηρούς, καθάπερ ἐπὶ φλεβοτομιῶν, καὶ κελεύειν κινεῖν αὐτά, χεῖρας μὲν ἀνατρίβοντας, πόδας δὲ βαδίζοντας· πληρουμένων γὰρ αἵματος τῶν ἐνταῦθα φλεβῶν τὰ περὶ τὰς ῥῖνας λειφαιμήσουσι. καὶ σπόγγος δὲ πολλάκις ἐν ὀξυκράτῳ δευθεὶς ψυχρῷ καὶ προσκείμενος ἔξωθεν τοῦ αἱμορραγοῦντος μυκτῆρος μετὰ πιλήσεως τὸ δέον ἐξήνυσεν, κάλλιον δὲ προϋποβεβλημένου μακροῦ σφηνίσκου τῇ ῥινί.

## κε'. Πρὸς τὰ κατὰ πρόσωπον.

### 1 Ἀρύτιδον φυλάξαι πρόσωπον.

Λιβάνου < δ̄, φύκους < γ̄, λιθαργύρου πεπλυμένου < η̄· διαλύσας ἅπαντα ἰχθυοκόλλης κοπείσης ἀποβρέγματι καὶ ποιήσας τροχίσκους χρῶ.

Ἄλλο. ἐλέφαντος ῥινήματος < η̄, λιβάνου ἄρρενος, ἰχθυοκόλλης τὸ ἴσον· χρῶ, καθὰ προείρηται.

### 2 Πρὸς τὰς τοῦ προσώπου μελανίας.

Ἴρεως, πτισάνης, ἐρεγμοῦ ἀνὰ ξ ᾱ ∟', ἁλὸς ἀμμωνιακοῦ, κέρατος ἐλαφείου κεκαυμένου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ Γ° β̄· ὕδατι διαλύσας ποίει τροχίσκους καὶ πάλιν ὕδατι λύων χρίε πρὸ βαλανείων.

Ἄλλο. πτισάνης, ὀρόβου, λιβάνου Ἰλλυρίδος, ἀφονίτρου ἀνὰ χοίνικας δ̄, κόστου, ἀμυγδάλων πικρῶν ἀνὰ < κ̄· ἀνάπλασσε ᾠῶν τῷ λευκῷ καὶ γάλακτι ὀνείῳ καὶ χρῶ, καθὰ προείρηται. ποιεῖ δὲ καὶ ὁ πεπονάτος τροχίσκος.

### 3 Πρὸς ἔφηλιν καὶ φακούς.

Γῆς Κιμωλίας πεφρυγμένης χοίνικα ∟', ἀφονίτρου ὀπτοῦ < η̄, ὀροβίνου λεκίθου < δ̄, κόλλης ταυρείας ῥινημάτων < η̄· τρίψας σμῶ.

κε' 2 *cf. Aëtius VIII 5*

1 καταβρεχέσθω] infunde *a*   ἰνίῳ] τῷ ἰνίῳ D   2 δὲ *om. a*   κωλύοι D   4 κελεύει B   ἀνατρίβοντα *a, e corr.* J: ἀνατρίβειν CFG   5 βαδίζοντας] DHK: βαδίζοντα ABCEFGM*a*   τὰ . . . λειφαιμήσουσι *(6)*] ὑφαίμοις οὖσιν K   6 τὰς] τοὺς D   λειφαιμήσουσιν EH: λιφαιμήσουσι CDFG   7 ψυχρὸς *corr. ex* ψυχρῷ D   9 σφηνίσκου] lichno *a*   10 *om. a*   κατὰ] κατὰ τὸ D   11 ἀρύτιδον] CFGHK: ἀρυτίδωτον B: πρὸς ἀρύτιδον M: πρὸς τὸ ἀρύτιδον AE*a*: καὶ ὥστε ἀρρυτίδωτον D   12 πεπλυμένου *om.* D   14 λιβάνου] ἢ λιβάνου K   15 χρῶ] μίξας χρῶ D   καθάπερ DM   εἴρηται D   16 μελανίας] CDFG: μελανώσεις E: μ̊ ABHKM: maculas *a*   17 Ἴρεως] D: ἴρεως ἢ ABCEFGHKM*a*   ἐρεγμοῦ] DKM: ἐρεγμὸς ABCEGH*a*: ἁλόης ἐρεσίμου F   ∟' *om.* K   18 κεκαυμένου] καὶ D   ὕδατι *om.* D   19 βαλανείου D   20 λιβάνου *om. a*   afronitru *a*   21 κ̄] β̄ CFG   22 καθὼς D   προείρηται] dictum est *a*   καὶ *om.* B   24 ἐφηλίδας D   25 χοίνικα] χ̊ ABCEGHKM: λι. F: χ̆ τὸ D: cocle *a*   afronitri *a*   26 λεκίνθου CFG: λέκιθος H: ἀλεύρου D   δ̄] η̄ H   χολῆς K: γρ. καὶ χολῆς *mrg.* B[3]   ῥινήματος D   σμάσθω D

Ἄλλο. τρυγὸς κεκαυμένης ⊰ ι̅, ὀροβίου ⊰ ι̅, ἐρεγμοῦ ⊰ ι̅, ἐλλεβόρου λευκοῦ ⊰ ε̅, ἀφονίτρου ⊰ ι̅, ἀλκυονίου ⊰ ι̅· λείοις σμῶ.

## Πρὸς ὑπώπια. 4

Κατ' ἀρχὰς μὲν ἀφεψήματι τήλεως, ὕστερον δὲ καὶ μελιλώτων, πυριῶν τὸ Νείλου διάροδον κεκαυμένον ὕδατι διεὶς ἐπίχριε, εἶτα τὸ διάσμυρνον. εἰ δὲ μὴ δράσοι, τῷ διὰ σάνδυκος χρῆσαι κεκαυμένῳ ἢ ὕσσωπον μεθ' ὕδατος ἐπιτίθει ἢ ἐνδήσας τὸ ὕσσωπον εἰς ῥάκος καὶ βάπτων ὕδατι θερμῷ πυρία ἢ ἅλμῃ δριμείᾳ πυρία καὶ τῆς ῥαφάνου τὸν φλοιὸν μετὰ μέλιτος τρίψας ἐπιτίθει· τοῦτο καὶ πρὸς τὰ χρόνια. πρὸς δὲ τὰ χρόνια ὑπώπια καὶ πελιώματα· τορδίλου μέρη β̅, γῆς Σαμίας μέρος α̅ σὺν μέλιτι· ἐπιτίθει προσέχων, μὴ ἑλκωθῇ.

Ἄλλο ἀπόψηκτρον. ὑσσώπου, θαψίας, κασσίας ἀνὰ ⊰ α̅, κηροῦ ⊰ β̅, τερεβινθίνης ⊰ α̅· ἐπιτίθει προσέχων, μὴ ἑλκωθῇ, καὶ διὰ τοῦτο αἶρων συνεχῶς.

## Πρὸς ἰόνθους 5
(εἰσὶ δὲ ὄγκοι σμικροὶ καὶ σκληροὶ περὶ τὸ πρόσωπον).

Ὀξυμέλιτι ἐπίχριε παρατρίβων ἢ λιθάργυρον μετὰ τερεβινθίνης καὶ ὀλίγου ἐλαίου λευκοῦ τρίψας κατάχριε ἀνατρίβων ἢ σχιστὴν μετὰ τερεβινθίνης ἢ ἀμύγδαλα πικρὰ ὄξει λειώσας ἀνάτριβε. πρὸς δὲ τοὺς τετυλωμένους ἰόνθους· σάπωνος Γαλλικοῦ ⊰ δ̅, λιβάνου, ἀμμωνιακοῦ ἀνὰ ⊰ α̅· ὕδατι διεὶς κατάχριε καὶ μετὰ ὥραν ἀπόνιπτε.

## Πρὸς ἰόνθους καὶ τρίχας καὶ τραχύματα τοῦ προσώπου. 6

Κηροῦ ⊰ ι̅, τερεβινθίνης ⊰ α̅, ἰξοῦ ⊰ β̅· σύντηξον ἐλαίου παρεπιχέων καὶ τούτῳ τὸ πρόσωπον ἐκμάσσου· αἴρει γὰρ ἐκ ῥιζῶν.

κε' 4 *cf. Oribasius, Ad Eunap. IV 49—50; Aëtius VIII 2*
κε' 5 *Oribasius, Ad Eunap. IV 51, cf. Synops. VIII 36; Aëtius VIII 13*

1 Ἄλλο *om.* D ⊰ ι̅ *(pr.) om.* D ⊰ *(pr.)* . . . ι̅ *(pr. 2) om. a* ὀροβίνου DK ⊰ *(sec.)*] ἀνὰ ⊰ D ι̅ *(tert.)*] ι̅ε̅ DFG 2 ἀφρονίτρου K ⊰ ι̅ *(pr.) om.* D ⊰ *(sec.)*] ἀνὰ ⊰ D*a* λίαν K: solue *a* σμῶ] σμῶ καὶ τὸ πεπονάτον ξηρότερον K: σμῶ καὶ τῷ πεπονάτῳ ξηρῷ D 5 κεκαυμένον] κολλ/[υ] D, *e corr.* J 6 τῷ] ADEM: τὸ BCFGHK, *e corr.* M χρῖσαι HM κεκαυμένῳ] κολλ/[υ] D 7 καὶ] aut *a* 8 ἢ . . . πυρία *om.* C ἅλμῃ] ἄλλῃ κέχρησο D πυρία *om.* AE ῥεφάνου K 9 φλοιόν] χυλὸν τοῦ φλοιοῦ D τοῦτο . . . ἐπιτίθει *(11) om.* E *post* χρόνια *add. pro titulo* πρὸς τὰ χρόνια ὑπώπια D 10 τορδήλου FK: τροδίλου AD: trondilu *a* μέρη β̅] partem I *a* 12 [ἀ]ὑπόψυκτρον D ἀνὰ ⊰ α̅ *om. a* α̅] α̅ λιβάνου ⊰ α̅ K: δ̅ D ⊰ β̅ *om. a* 13 ⊰] ana ʒ *a* α̅] δ̅ AE: II *a* αἴρων] aufer *a* 14 συνεχής K 15 Πρὸς] ἄλλο πρὸς D 16 μικροὶ D 17 ἢ] καὶ D 18 ἢ] καὶ ὀλίγου ἐλαίου ἢ D 19 λειώσας ὄξει B 20 γαλικοῦ EFGH 21 α̅] δ̅ CFG, *corr.* G 22 τραχύσματα D 23 α̅] *corr. ex* ι̅α̅ H ἔλαιον D 24 τούτῳ] ABDHK: τοῦτο CFGM: οὕτω E ἐκμάσσων D ἐκ] αὐτοὺς ἐκ D

Ἄλλο. μήκωνα λεῖον ἢ γλήχωνα μετὰ ἁλὸς καὶ ὄξους κατάπλασσε.

### 7 Κηρωτὴ Θαΐδος ὥστε ἐρυθρὸν ποιεῖν πρόσωπον.

Κρόκου, ἐρυθροδάνου ῥίζης, φύκους, λιβάνου, σμύρνης ἀνὰ < β̅· ἀναλάμβανε στέατι μοσχείῳ καὶ μαστιχίνῳ ἐλαίῳ, εἶτα ἐπίχριε, καὶ διαστήσας περίματτε σπόγγῳ θερμοῦ. ἁρμόσει δὲ τὰ τοῦ προσώπου κἀπὶ τοῦ λοιποῦ σώματος.

### 1 κϛ'. Περὶ τῶν κατὰ τὸ στόμα παθῶν, καὶ πρῶτον περὶ ὀδόντων.

Τῶν ὀδυνωμένων ὀδόντων ἄνευ τῆς τῶν οὔλων φλεγμονῆς ἔσθ' ὅτε μὲν ἐν αὐτῷ τῷ οἰκείῳ σώματι τὴν ὀδύνην, ἔσθ' ὅτε δὲ ἐν τῷ εἰς αὐτοὺς καταφερομένῳ νεύρῳ γίνεσθαι συμβαίνει. σφοδροτάτων οὖν χρεία φαρμάκων· διὰ τοῦτο τὰ πλεῖστα αὐτῶν δι' ὄξους σκευάζεται δριμυτάτου. οὔλων δὲ διὰ φλεγμονὴν ὀδυνωμένων ἄριστόν ἐστι φάρμακον ἔλαιον σχίνινον εὔκρατον διακρατούμενον. ἔστω δὲ νέον· ὥς τό γε παλαιὸν εἰς τοσοῦτον τοῦ νέου φαυλότερον, εἰς ὅσον παλαιότερον. ὁ κοινὸς δὲ καὶ νῦν πεφυλάχθω λόγος, ὡς δεῖ προκενοῦσθαι τὸν ἐν ὅλῳ τῷ σώματι πλεονάζοντα χυμόν.

### 2 Πρὸς φλεγμονὴν ὀδόντων.

Διακλυζέσθωσαν ὄξος, ἐν ᾧ ἀφήψηται κηκὶς ἢ ἁλικακκάβου ἡ ῥίζα ἢ ὑοσκυάμου σπέρμα ἢ τὰ φύλλα ἢ γλήχων ἢ στρύχνου ὁ χυλὸς ἢ καππάρεως ῥίζα ἢ μυρσίνης φύλλα ἢ πόλιον ἢ σικύου ἀγρίου ῥίζα, ἢ πηγάνου φύλλα μετ' ὀξυμέλιτος ἢ κέρας ἐλάφειον ἢ καὶ τὸ σκιλλητικὸν ὄξος ἢ πύρεθρον μετὰ ὑσσώπου· εἰς δὲ τὸ βεβρωμένον τοῦ ὀδόντος ἐντίθει στύρακα μετὰ ὀπίου ἢ χαλβάνην ἢ θεῖον ἄπυρον μετὰ λυκίου, ἢ ὑοσκυάμου σπέρματος ὑπατμιζέσθω διὰ χωνίου· καὶ ἡ Φίλωνος ἀντίδοτος περιπλασσομένη τῷ ὀδόντι ἀνωδυνίαν ἐμποιεῖ. ῥευματιζομένων δὲ τῶν ὀδόντων μυρσίνης καὶ σχίνου καὶ κηκῖδος ἀπόζεμα διακλυζέσθω ἢ ῥοῦ Συριακοῦ καὶ βαλαυστίων ἢ σιδίων. ἐπίπλασσε δὲ ἁλῶν μέρη β̅, στυπτηρίας κεκαυμένης καὶ σβεσθείσης ὄξει καὶ λειωθείσης μέρος α̅, εἶτα οἴνῳ διακλυζέσθω. αἱμάσσουσι δὲ οὔλοις στυπτηρίαν

κϛ' 1 *Galenus XII 854 sq.; cf. Aëtius VIII 22* 13—15 *Galenus XII 853; cf. Oribasius, Ad Eunap. IV 66* 19—24 *cf. Galenus XII 855* 24—25 *ib. XII 859* 29—30 *ib. XII 881*

1 ἄλλο] *om.* E: *mrg.* A μήκωνα λεῖον] μηκωνάριον D: μήκωνος ἄλιον K: micona soluens *a* γλήχων K κατάπασσε AB: κατάπασε H: asperge utere *a* 4 εἶτα *om. a* 5 θερμοῦ] ABEHKM: θερμῷ CDFG*a* τὰ] *om.* G: *supra scr.* C² 7 *om.* E 8 πρῶτον *om.* CFG*a* 15 εἰς *(alt.) om.* E(*a*) ὅσον] ὅσον καὶ D: καὶ *supra add.* E² 19 ὄξος] ὄξει D*a* ἡ *om.* FM 20 στρύχνων E: τοῦ στρύχνου D 21 σμύρνης E ἢ πόλιον . . . φύλλα *(22) om.* AE 22 καὶ *om.* D*a* 24 χαλβάνης D 25 σπέρμα D*a* ὑπατμίζεσθαι K: ὑποκαπνιζέσθω D 26 ποιεῖ FM, *corr.* M *deinde pro titulo* πρὸς ῥευματιζομένους ὀδόντας *add.* D 27 ἀποζέματι D 28 ἐπίπαττε D δὲ] δὲ δι' K 29 καὶ *(pr.) om.* D 30 αἱμασσομένοις D

λεπτὴν ἐπίπαcον, ἢ ἀλόην μετ᾽ οἴνου διακλυζέcθω ἢ βάτου ῥίζαν οἴνῳ ἀποζέcθεῖcαν ἢ ῥοῦν Cυριακόν. αἱμαccομένων δὲ καὶ ῥευματιζομένων οὔλων ὠμοτάριχον ἐν χύτρᾳ καύcαc ἕωc ἀνθρακωθῆναι τῇ cποδιᾷ παράπτου. ἵcτηcι δὲ cειομένουc ὀδόνταc ἐπιπαccομένη ἀλόη ἢ ῥοῦc Cυριακὸc ἢ cχιcτὴ ἢ κηκὶc ἢ βάτου ῥίζα καθ᾽ ἑαυτὰ ἢ cὺν οἴνῳ ἑψόμενα.

Πρὸc cειομένουc ὀδόνταc καὶ πρὸc οὖλα ῥευματιζόμενα καὶ πρὸc πᾶcαν νομὴν τὴν ἐν τῷ cτόματι. **3**

χαλκίτεωc ὀπτῆc < ιβ̄, καδμίαc < η̄· χρῶ ξηρῷ cὺν ὄξει.

Ἀπόνωc ὀδόνταc ἆραι. **4**

Ἄλευρον μετὰ ὀποῦ τιθυμάλλου ἐπίθεc καὶ ἐπάνω κιccοῦ φύλλων καὶ ἔαcον ὥραν· αὐτομάτωc γὰρ θρυβήcεται.

Ὀδόντων cμῆγμα καὶ πρὸc παρουλίδαc. **5**

Cτυπτηρίαc πλινθίτιδοc 𐅻 δ̄, ἁλῶν ἀμμωνιακῶν 𐅻 δ̄, cμύρνηc, κόcτου, πυρέθρου ἀνὰ < δ̄, πεπέρεωc κόκκοι π̄.

Πρὸc παρουλίδαc. **6**

Θείου ἀπύρου, πεπέρεωc, cτυπτηρίαc cχιcτῆc ἴcα. καὶ ἡ παρουλὶc μέν ἐcτι φλεγμονὴ περί τι μέροc τῶν οὔλων, ἥτιc μὴ λυθεῖcα ἐκπυΐcκεται, ἐκπυηθεῖcα δὲ φλεβοτόμῳ διαιρεθεῖcα διαcτέλλεται μοτῷ· ἐπουλὶc δέ ἐcτιν ἀπὸ φλεγμονῆc ὑπερcάρκωμα κατὰ τὸν ἐcώτατον γομφίον, ἔcθ᾽ ὅτε μετὰ πυρετοῦ καὶ ὀδύνηc. χρείαν οὖν ἔχει καταcτολῆc· χρηcτέον τοίνυν ἰῷ ξυcτῷ καθ᾽ αὑτὸ ἢ μετὰ ἴcηc κηκῖδοc ἢ

κϛ´ 4 *Oribasius, Ad Eunap. IV 61*
κϛ´ 6 *cf. Aëtius VIII 26—27*

1 ἐπίπαcον] HKM: ἐπίπαccον ABCEG: ἐπίπαccε FJ: ἐπιπάccειν D ἢ] εἶτα D ἀλόη D ῥίζη D 2 ἀποζεcθείcη D ἢ] ποιει δὲ καὶ D ὀροῦν HM ῥοῦc cυριακόc D *deinde pro titulo* π (ε *supra*) αἱμαccομένων καὶ ῥευματιζομένων οὔλων *add.* D αἱμαccομένων . . . οὔλων *(3) om.* D δὲ *om.* K 3 ὠμὸν τάριχον D ἀνθρακωθῇ D τῇ cποδιᾷ] *corr. ex* τὴν cποδιὰν D 4 ἐπιπλαccομένη DK 5 ἢ cχιcτὴ *om.* D cχιcτὴ] cχιcτὴ cτυπτηρία E: cχιcτὴ cτύψιc C: cτῆψιc *supra add.* G[2] ἑαυτῶ M: ἑαυτὰ (ο *supra*) F: ἑαυ (τ *supra*) G: ἑαυτὴν C, *corr.* C[2] 7 *praemitt.* ἄλλο BCGM*a*, *mrg.* K 8 νομὴν] οὐλὴν E τῷ *om.* D 9 ξηρῷ χρῶ D 10 aliud ad auferendum dentem sine dolore *a*: ἄλλο *in spatio maiore* F ἀπόνωc ὀδόνταc ἆραι ἀναγκαῖον γὰρ *mrg. inf. add.* K[2] 11 ἐπιτίθει D φύλλον CG: φύλλα D 12 ἐκθρυβήcεται DK 13 ὀδόντοc BEHM, *e corr.* K μίγμα FK: cμήγμα (τ *supra*) E 14 𐅻 δ̄ *(pr.)*] < δ̄ E: ἀνὰ 𐅻 δ̄ F: *om.* D: ∻ IIII piperis grana LXX *a* 𐅻 *(alt.)*] < E: ἀνὰ 𐅻 D 15 πεπέρεωc κόκκοι π̄] sicco utere. aliud. sulfuris uiui piperis scisse *a* 17 θείου . . . καὶ] *hic om. a* ἡ *om.* D 18 φλεγμονὴ] et ipsa *a* ὅλων K 19 δὲ] δὲ καὶ D διαιρεθεῖcα] διερεθεῖcα δὲ K 20 τὸ M 22 τοίνυν] *corr. ex* δὲ τοίνυν K: οὖν M

cώρει κεκαυμένῳ ἢ cτυπτηρίᾳ πάcῃ κεκαυμένῃ ἢ κηκῖδι καθ᾽ αὑτὴν ἢ λεπίδι χαλκοῦ μετ᾽ ὄξουc λειωθείcῃ ἐπὶ ἱκανὰc ἡμέραc καὶ ξηρανθείcῃ.

7 Ὀδοντοcμῆγμα.

Ἀριcτολοχίαc ῥίζα κεκαυμένη, ἐλάφειον κέραc κεκαυμένον cὺν βραχεῖ μαcτίχηc, ἅλεc λευκοὶ φυραθέντεc μέλιτι καὶ ἐνειληθέντεc cυκῆc φύλλοιc καὶ καυθέντεc, ἄχριc ἀνθρακωθῶcι, κήρυκεc ἁλὸc πληρωθέντεc καὶ καυθέντεc, κοχλίαι χερcαῖοι καυθέντεc cὺν μέλιτι, ἔρια οἰcυπηρὰ κεκαυμένα μετ᾽ ὀλίγων ἁλῶν· ἑκάcτῳ δὲ αὐτῶν εὐωδίαc χάριν μιcγέcθω cχοίνου ἄνθοc ἢ ναρδόcταχυc ἢ φύλλον μαλαβάθρου ἢ κύπειρον ἢ ἶριc.

8 Ὀδόνταc λευκαῖνον καὶ οὖλα cτέλλον εὐωδίαν ἐμποιοῦν.

Κιcήρεωc, ἁλῶν ὀπτῶν, ἴρεωc ἀνὰ < δ̄, κυπέρου < ε̄, ναρδοcτάχυοc < ᾱ, πεπέρεωc < ϛ̄· λείοιc χρῶ.

9 Πρὸc αἱμωδίαν.

Αἱμωδίαιc ἀνδράχνη ποιεῖ διαμαcωμένη ἢ ἔλαιον ὠμοτριβὲc παρατριβόμενον ἢ ἀμόργη ἐν χαλκῷ ἀγγείῳ ἑψηθεῖcα μέχρι μελιτώδουc cυcτάcεωc καὶ παλαιωθεῖcα διαχριομένη.

10 Πρὸc ὀδόνταc ἐψυγμένουc.

Ὀδοῦcιν ἐψυγμένοιc δαφνίδων καὶ cχιcτῆc cτυπτηρίαc, ἀριcτολοχίαc, κληματίτιδοc ἴcα.

11 Πρὸc διαβεβρωμένα οὖλα.

Ῥόδων ἄνθουc < η̄, κηκίδων < δ̄, cμύρνηc < β̄. διακλυζόμενα δὲ τὰc τῶν οὔλων ἀναβρώcειc καὶ πλάδουc ἰᾶται γάλα ὄνειον, ἐλαίαc

κϛ´ 7—8 *cf. Oribasius, Ad Eunap. IV 65; Aëtius VIII 37* κϛ´ 9 *cf. Galenus XII 874; XIV 430; Oribasius, Ad Eunap. IV 62* κϛ´ 11 *Galenus XIV 432 sq.*

1 cώρεωc κ/[ε] D cώρει . . . ἢ] cωρικῆ K 2 χαλκοῦ] CDFG*a*: χαλκῆ ABEHKM 3 ὀδοντοcμῆγμα] AEH: ὀδόντοc μίγμα K: ὀδόντοc cμῆγμα BCGM: ὀδόντων cμῆγμα DF*a* 4 ῥίζαι BH κεκαυμένη *om.* D ἐλάφειον] *scripsi*: ἐλαφείου CDEFM*a*: ἐλαφίου ABGHK cornus *a* κεκαυμένον *om. a* 5 εἰληθέντεc AE cύκοιc ABHM 6 *ante* κήρυκεc *add.* ἄλλο A *et in ras.* B κήρυκεc . . . καυθέντεc *(7) om.* D 7 κοχλίαι] *scripsi*: κοχλιοὶ ABCEFGHKM 8 μιγνύcθω D 9 ἄνθουc D ναρδόcταχυc] CFG*a*: νάρδου cτάχυc M: νάρδου cτάχυοc ABEHK: ναρδοcτάχυοc D φύλλων CDFG: folia *a* κύπειρα K: κυπέρου D ἴριδοc D 10 οὐλὰc BDM cυcτέλλον D εὐωδίαν] καὶ εὐωδίαν AED 13 ὠμωδίαν D 14 αἱμωδίαc CG: πρὸc ὠμωδίαc D: *om. a* ἢ *om.* M 15 ἀγγείῳ] DK*a*: ἐλαίῳ ABCEFGHM 16 cτάcεωc B 17 περὶ ἐψυγμένων ὀδόντων *mrg.* $D^2$ 18 δαφνίδων] cυμβάλλεται δαφνίδων D καὶ *om.* DK cτυπτηρίαc cχιcτῆc D cτυπτηρίαc *om. a* 19 κλημαρίδοc BE: κλιματίδοc FM 20 διεβρωμένα CG οὖλα] DK: οὔλη ABCEFGHM 21 ἄνθη E κικῖδοc E 22 διαβρώcειc K πλάδαc E: τοὺc πλάδουc D

φύλλων ἀφέψημα, ὄξος σκιλλητικόν, ξηρὰ δὲ προσαπτόμενα ἰὸς σιδήρου, κύτινοι· πρὸς δὲ τὰ οἰδοῦντα καὶ ἐκσαρκοῦντα ἀνδράχνης χυλὸς διακρατούμενος, ἅλμη κολυμβάδων ἐλαιῶν, ἔλαιον θερμὸν ὠμοτριβὲς ἢ σχίνινον ἢ μήλινον, ἀμόργη, ξηρὰ δὲ ἰὸς σιδήρου ἢ χαλκοῦ, ἀριστολοχίας ῥίζα, ἀρνογλώσσου σπέρμα, διφρυγές, χάλκανθος ὀπτή, κύτινοι.

### Πρὸς χείλη ἐρρωγότα. 12

Ἀμόργη ἑφθῇ διάχριε. ἢ τοῦτο· στέαρ χήνειον μετὰ μέλιτος, τερεβινθίνης ἴσα, ῥόδων ἄνθους, ὑσσώπου, ῥοδίνου ἀνὰ βραχύ.

### Πρὸς τὸν λεγόμενον βάτραχον. 13

Ὁ βάτραχος ὄγκος ἐστὶ φλεγμονώδης ὑπὸ τῇ γλώσσῃ συνιστάμενος, μάλιστα ἐπὶ τῶν παιδίων. διάτριβε οὖν τὸν τόπον μίσυος, ἰοῦ ξυστοῦ ἴσῳ ξηρῷ. κατὰ δὲ τοῦ ἀνθερεῶνος χρηστέον τῇ ἀνθηρᾷ ἢ τῷ σφαιρίῳ ἢ τῷ δι᾽ ᾠῶν παρύγρῳ· τῶν δὲ τελείων προδιαιρεῖν τὰς ὑπὸ τῆς γλώσσης φλέβας.

Ἄλλο· ποιεῖ καὶ πρὸς ἄφθας. ἰοῦ ξυστοῦ, κηκῖδος, χαλκίτεως ἴσα· σὺν δὲ γλυκεῖ ἐστι καὶ διάκλυσμα.

Ἄλλο. ὀροβίνῳ μετὰ μέλιτος προαποσμήξας διάχριε κηκῖδι λείᾳ μετὰ μέλιτος ἢ ῥόδων ἄνθει ὁμοίως, ἢ ἐλαίας φύλλων ἀφεψήματι διακλυζέσθω.

### Πρὸς παρισθμίων φλεγμονήν. 14

Εἰ μὲν ἐν πυρετῷ φλεγμαίνοι παρίσθμια καὶ κιονίς, ἀναγαργαρίσματα ἁρμόζει δι᾽ ἀφεψήματος πιτύρων ἢ ῥόδων ἢ φοινίκων ἢ μύξων ἢ φακῆς· ἐνδιδούσης δὲ τῆς φλεγμονῆς ἢ ἀκμαζούσης μικτέον αὐτοῖς τὸ μέλι, ὃ ἐν ἀρχαῖς οὐ χρὴ ποιεῖν οὐδὲ ἐν ἐπιδόσεσιν, ὡς μὴ τῇ δριμύτητι ἐφέλκῃ τι ῥεῦμα. εἰ δὲ ἐκπυηθέντα ῥαγῇ, γαργαριστέον μελικράτῳ ἢ μετὰ φακοῦ ἀφεψήματος ἢ ῥόδων ἐπιμένοντας μέχρι παντελοῦς λύσεως ἢ στοματικὴν διάλυσιν [καὶ] διδόναι γαργαρίζειν. εἰ δὲ λοιμικὰ ἕλκη ἐν παρισθμίοις γένοιτο, χρηστέον μὲν καὶ τοῖς προγεγραμμένοις, ἰδίως δὲ

κϛ´ 12 *cf. Oribasius, Ad Eunap. IV 56; Aëtius VIII 19*
κϛ´ 13 *cf. Aëtius VIII 39* κϛ´ 14 *cf. Aëtius VIII 48*

2 δὲ τὰ *om.* D σαρκοῦντα CK, *corr.* C: ἐκσαρκοῦντα οὖλα D 3 κατακρατούμενος CFG ἐλαῶν AM 4 ἀμόργη] ἢ ἀμόργη DE*a* ἀριστολοχίας] aut aristologie *a* 5 διαφρυγές BK, *corr.* B χάλκανθον ὀπτοὶ D: calcanthu assi *a* 7 ἢ] ποιεῖ δὲ καὶ D 10 τῆς γλώσσης K 11 ἐπὶ] ὑπὸ K διάτριβε οὖν] dissipans *a* ἰοῦ] καὶ ἰοῦ D 12 ἴσῳ] K: ἴσα ABCEFGHM*a*: μίξας ἴσα D 13.14 τὰς φλέβας τὰς ὑπὸ τῇ γλώττῃ D 14 γλώττης M 15 ποιοῦν D καὶ *om.* K 16 δὲ] δέ γε CFG ἐστι] erit *a* καὶ] δὲ καὶ CFG 17 προσαποσμίξας K 18 ἄνθη CGK: ἄνθος F: ἄνθους D ἀφεψήματι] ἢ ἀφεψήματι K 21 μὲν *om. a* 22 ἢ *(pr.)*] ῥοιῶν ἢ D 24 ὅπερ D οὐδὲ ἐν ἐπιδόσεσιν *om. a* 25 ἐκπυωθέντα D: ἐκπυηθέντων AE 25. 26 ἢ μετὰ] *om.* D, ἢ *supra scr.* 26 ἀφεψήματι D 27 διαλύειν D: διάκλυσιν BM καὶ] *deleo* ἀναγαργαρίζειν D ἐν] e *a* 28 γίνεται D

προσενεκτέον τήν τε διὰ μόρων μεθ' ὕδατος θερμοῦ ἢ ὑδρόμελι ἔχον ἄνθος ῥόδων ἐμπεπασμένον ἢ κόστον ἢ ῥοῦν ξηρὰ ἢ ἀφηψημένα ἢ γλαυκίου φύλλων ξηρῶν ἀφέψημα. ἔστι μὲν οὖν πικρόν, κάλλιστα δὲ ποιεῖ, εἰ τὸν χυλόν, ὡς εἰς τὰ κολλούρια χρώμεθα, λύοις ἐν τῷ μελικράτῳ· αὐτοῦ δὲ τοῦ θαμνίσκου ξηροῦ ἐμφυσωμένου καλλίστη ἡ χρῆσις ἢ δακτύλου προσαπτομένου· πειρᾶσθαι δὲ μηδ' ὅλως χειραπτεῖν ἢ εὐαφῶς πάνυ παράπτεσθαι. ὤνησε δὲ καὶ ὁ Ἀνδρώνιος τροχίσκος. μετὰ δὲ τοὺς ἐρεθισμοὺς τούτων γαργαρίζειν τοῖς διὰ γλυκυρίζης ἢ τῷ διὰ σκυβελίτου καὶ κρόκου καὶ Χίας καὶ σμύρνης, ὕστερον δὲ ἀμύλου, τραγακάνθης. σταθείσης δὲ τῆς νομῆς τῷ διὰ γάλακτος καὶ Σαμίας γῆς γαργαριστέον.

## 15 Πρὸς ἀντιάδας.

Ῥοὰν γλυκεῖαν σὺν τοῖς λεπύροις κόψας καὶ ἐκπιάσας τοῦ χυλοῦ ς̄ μέρη πρὸς ἓν μέλιτος μίξας ἕψε ἄχρι μελιτώδους συστάσεως καὶ διάχριε.

Ἄλλο. κηκῖδος ὄμφακος ℔ ᾱ, σχιστῆς στυπτηρίας ℔ ᾱ, ἁλῶν ἀμμωνιακῶν ὠπτημένων ℔ ᾱ· ξηρῷ παράπτου.

Ἄλλο. κηκῖδος ∠ η̄, μίσυος ∠ β̄, ἁλῶν ὀπτῶν ∠ ε̄· χρῶ ξηρῷ.

ἔστι δὲ ἀντιὰς ὄγκος σκιρρώδης τῶν παρισθμίων.

## 16 Περὶ κιονίδος.

Κιονίδος φλεγμαινούσης γαργαρίσμασι χρηστέον τοῖς ἐπὶ παρισθμίων φλεγμονῆς καὶ τοῖς μετρίως στύφουσιν, οἷός ἐστι ῥοᾶς χυλὸς διὰ κοχλιαρίου ἢ τοῦ ὀργάνου τοῦ σταφυλεπάρτου λεγομένου ὑποτιθέμενος, καὶ καθ' αὑτὰ καὶ σὺν μέλιτι ἱκανῶς ἡψημένῳ, ἢ γλυκεῖα ῥίζα μιγνυμένη τῷ τῆς ῥοᾶς χυλῷ. ποιεῖ καὶ χυλὸς τῆς γλυκείας ῥίζης ἐνδιηθηθεὶς σὺν μέλιτι. ἀναστέλλει δὲ καὶ αἱματίτης λίθος καὶ ὁ Φρύγιος κεκαυμένος καὶ ὁ ἀγήρατος καὶ τὸ διὰ λίθου Φρυγίου αἰδοικὸν καὶ γῆ

κς' 15 *cf. Aëtius VIII 51* κς' 16 *cf. Oribasius, Ad Eunap. IV 69; Aëtius VIII 43*

1 τε *om.* D 2 ξηρὰ] ἢ ξηρὰ K ἀφηψημένα] DK: ἀφεψημένα ABCEFGHM 3 οὖν *om.* *a* 4 εἰ τὸν χυλόν] καὶ ὁ χυλὸς δὲ οὐχ ἧττον D εἰ] H, *e corr.* B: ἢ ABCEFGKM*a* suco *a* λείοις CD: λείσοις F: διοῖς K: λείου J: solue *a* τῷ *om.* D 5 δὲ] τε D 6 ἢ *(pr.)* *om.* D δακτύλῳ F πειρᾶσθαι] ἢ πεῖρα H: aut temtare *a* μηδὲ CG: *om.* K 7 ἀνδρόνιος CFG: andronos *a* 8 τούτους D τῷ] CDG: τὸ ABEFHKM 9 κυβελίτου D 10 τὸ CGK 12 πρὸς ἀντιάδας] DKB[3]: *om.* CEFGHM*a et spatio relicto* A: ἄλλο B 13 ἐκπιέσας D 14 μ̓ ς̄ D πρὸς ἓν μέλιτος] μέλιτι D ἕψει D μέλιτος D 16 ℔ ᾱ *(pr.)* *om.* D στυπτηρίας σχιστῆς D ℔ ᾱ *(alt.)* *om.* D 17 ℔] ἀνὰ ℔ D 18 Ἄλλο] *om.* D: ἄλλον D[3] ∠ β̄ *om.* D ὀπτῶν ∠ ε̄] ἀμμωνιακῶν ὀπτημένων ℔ ᾱ CFG ∠ *(tert.)*] ἀνὰ ∠ D ε̄] β̄ DK 21 ἀναγαργαρίσμασι D 23 ὀριγάνου K ἐπιτιθέμενος D 24 αὐτὸν D ἡψημένων K 25 ποιεῖν K: ποιεῖ δὲ AE χυλοῦ K ἐνδιηθηθεὶς] *scripsi*: ἐνδιηθεὶς ABCEFGHM: εὐδιηθείσης K: διηθηθεὶς D: solutus *a* 26 ἀναστέλλειν K κεκαυμένος *om.* D 27 δοικὸν K

Cαμία καὶ Ἐρετριὰς καὶ Cινωπὶς καὶ ἡ Λημνία καὶ ὀμφάκιον καθ' αὑτὸ καὶ cὺν τούτων τινὶ καὶ ἀκάνθης Αἰγυπτίας ὁ καρπὸς καὶ ἡ cχιςτὴ cτυπτηρία, τοῦ δὲ ῥόδου καὶ τὸ cπέρμα καὶ τὰ φύλλα· πραότερον δὲ ἐνεργεῖ· ἔτι δὲ πραότερον κόμμι, τραγάκανθα, cαρκόκολλα, ἄμυλον, οἷς χρηςτέον, ἐπὰν θλιβῇ μᾶλλον cφιγγομένη ὑπὸ τῶν cτυφόντων. ἰςοπαχοῦς δὲ αὐτῆς οὔςης, ὃ δὴ κίονα καλοῦςιν, γαργαρίςμαςι πιςτευτέον καὶ τοῖς διὰ cμύρνης τε καὶ κρόκου καὶ κυπέρου· τὰς δὲ περιθλάςεις εὐλαβεῖςθαι καὶ πτερῷ μᾶλλον διαχρίειν. cύνθετον δὲ τοῦτο· ῥοὸς Cυριακῆς ⟨ $\bar{\eta}$, κρόκου ⟨ $\bar{\delta}$, κόςτου ⟨ $\bar{\eta}$, ῥόδων cπέρματος ⟨ $\bar{\delta}$· καὶ οὔλοις ποιεῖ. λινοῦν ἀπὸ πορφύρας θαλαττίας περιτεθὲν ἐχίδνης τραχήλῳ καὶ πνῖξαν αὐτήν, εἶτα περιαπτόμενον, θαυμαςτῶς πως ὀνίνηςι παρίςθμιά τε καὶ ὅςα περὶ τράχηλον, ὡς μαρτυρεῖ Γαληνός.

### Πρὸς τὰς ἐκ cτόματος αἱμορραγίας. 17

Πράςου φύλλα κόψας ἐπιτίθει ἢ cπόγγον καινὸν βάψας εἰς πίςςαν ὠμὴν κατάκαυςον καὶ λεάνας χρῶ· χρήςιμον cφόδρα ἐςτί. καὶ διακλύςματα δὲ ῥόδων ξηρῶν ἢ χλωρῶν ἀφέψημα ψυχρὸν ἢ ἑλίκων ἀμπέλου ἢ cχίνου φύλλων ἢ βάτου ἢ μήλων Κυδωνίων ἢ ῥόδων ἢ γιγάρτων ἢ φακῶν.

## κζ'. Περὶ cυνάγχης καὶ τῶν ταύτῃ παρακειμένων, ἐν ᾧ καὶ περὶ τῶν ἀπαγχομένων ἢ ἄλλως πως πνιγομένων.

1 Τῶν μὲν ἔνδον τῆς φάρυγγος μυῶν φλεγμαινόντων ἡ καλουμένη cυνάγχη γίνεται, τῶν δὲ ἐκτὸς ἡ παραςυνάγχη· ὡςαύτως δὲ καὶ τοῦ λάρυγγος οἱ μὲν ἔνδον μύες φλεγμαίνοντες τὴν κυνάγχην, οἱ δὲ ἐκτὸς τὴν παρακυνάγχην ἐργάζονται. παρέπεται δὲ πᾶςιν ὀρθόπνοιά τε καὶ πόνος μετὰ δυςπνοίας, ἐνίοις δὲ καὶ πυρετὸς ἔρευθός τε τοῦ προςώπου καὶ τραχήλου καὶ ὄγκος ἐπί τινων, τό τε cτόμα διεῳγὸς ἔχουςι καὶ

12 Γαληνός] *XI 860* κς' 17 *Galenus XIV 426* κζ' *cf: Oribasius, Ad Eunap. IV 71; Aëtius VIII 50* 21—24 *Alexander Trall. II 125*

1 ἐρετριακὴ D Λημνία] D, *e corr.* J: λεμνία *e corr.* B: λιμνία ABCEFGHKM(*a*) ὀμφάκινον D 2 καὶ *(pr.)*] τε καὶ D 3 δὲ *(pr.)*] τε D δὲ *(alt.)*] ADHKM*a*: *om.* BCEFG 4 ἔτι δὲ πραότερον *om.* D τραγάκαν^θ G: τραγάκανθον CF 5 ἐςφιγμένη D 6 δὴ *om. a* 6. 7 πιςτευτέον καὶ] χρηςτέον D 7 τε *om.* D 9 ῥοῦ cυριακοῦ D syriaci costi ana ʒ VIII croci *a* ⟨ $\bar{\delta}$ *om.* D*a* κόςτου ⟨ $\bar{\eta}$ *om.* D*a* cπέρματος] cπέρμα^τ D: cπέρμα ABCEFGHKM*a* ⟨ *(ult.)*] ἀνὰ ⟨ D*a* καὶ] κόςτου ⟨ $\bar{\eta}$, τὸ δ' αὐτὸ καὶ D 11 πως] ὅπως K: *om.* AE 12 παρίςθια CFG Γαληνός] ὁ Γαληνός D 14 κενὸν CFG 15 cφόδρα] γὰρ cφόδρα D καὶ *(alt.)*] ξηρὸν ἢ χλωρὸν D διακλύςματι G: διακλύςμαςι C: διακλύςματος F 16 δὲ] *om. a*: *postea add.* EM ξηρῶν ἢ χλωρῶν *om.* D 19 ἐν . . . πνιγομένων *(20)*] et de suffocatis *a* 20 ἢ . . . πνιγομένων *om.* E πνιγομένων] πνιγομένων λέγεται F: λέγεται *postea add.* BG 22 ἡ *om.* K 23 ἐκτὸς δὲ K 26 καὶ *(alt.) om.* D*a* ἐπιτείνων FG ἀνεωγὸς D

καταπίνειν οὐ δύνανται· τοῖς δὲ κυναγχικοῖς καὶ πνιγμὸς ἔσθ' ὅτε παρηκολούθησεν. γίνεται δὲ τοῖς παιδίοις κατὰ τὸ σπάνιον τῶν τοῦ τραχήλου σπονδύλων παθόντων ἐκ καταπτώσεως τοιοῦτον πάθος. ἀλλ' ἐκείνοις μὲν ὡς ἀνιάτοις οὐκ ἐγχειρητέον· τοὺς δὲ ἄλλους αὐτίκα φλεβοτομεῖν ἀπ' ἀγκῶνος καὶ κενοῦν οὐκ ἀθρόως, ἀλλὰ πλεονάκις ταμιευομένους τὸ πλῆθος· ἐκ γὰρ τῆς ἀθρόας κενώσεως λειποθυμήσασιν αὐτοῖς πνιγμοῦ κίνδυνος ἐπιγίνεται συρρεούσης ἀθρόως εἰς τὸ πεπονθὸς μόριον τῆς ὕλης. μὴ κουφιζομένων δὲ παρ' αὐτὰ καὶ τὰς ὑπὸ τῆς γλώττης φλέβας τμητέον ἢ καὶ αὐτὴν ἐγχαρακτέον τὴν γλῶτταν, εἰ προπετεστέρα σὺν ὄγκῳ φαίνοιτο, τήν τε κοιλίαν κλυστέον δριμυτέρῳ κλύσματι καὶ τοὺς πόδας ἐπαντλητέον ὕδατι θερμῷ καὶ διαδετέον εὐτόνως τὰ ἄκρα, σκεπαστέον τε τὸν τράχηλον ἐρίοις οἰσυπηροῖς ἢ καὶ ἐλαιοβραχέσι καὶ τοῖς δι' ὠμῆς λύσεως καταπλαστέον. ἀναγαργαριζέσθωσαν δὲ κατ' ἀρχὰς μὲν τοῖς ἐπὶ φλεγμονῇ παρισθμίων εἰρημένοις ἢ τῷ ἁπλῷ διαμόρῳ σὺν ἀφεψήματι ῥόος· βέλτιον δὲ τὸ ἀπὸ τῶν ἀγρίων μόρων διάμορον. μετὰ δὲ ταῦτα καὶ τῇ συνθέτῳ διαμόρῳ ἢ
**2** τῇ διὰ καρύων διαχριέσθωσαν. ἀκμαζούσης δὲ τῆς νόσου καὶ νίτρου βραχὺ ἐπιμικτέον ἢ καὶ θείου ἀπύρου, πλὴν εἰ μὴ δριμύτης τις ἀποκωλύοι. καὶ ἡ κυνεία δὲ κόπρος ξηρὰ κοπεῖσα καὶ σὺν μέλιτι διαχριομένη κάλλιστόν ἐστι φάρμακον, καὶ ταύτης ἡ λευκὴ μάλιστα, καὶ τῶν ἀγρίων χελιδόνων ἡ σποδὸς ὁμοίως. χρονίζοντος δὲ τοῦ πάθους καὶ τῷ διὰ τοῦ βησασὰ χρηστέον διαχρίσματι, ποτὲ μὲν ἐκλύοντας, ποτὲ δ' αὖ πάλιν ἐπιτείνοντας αὐτοῦ τὴν δύναμιν ἑτέρων φαρμάκων ἐπιμιξίᾳ· καὶ σικύας ἢ βδέλλας προσακτέον ἀνθερεῶνί τε καὶ τραχήλῳ, καὶ τοῖς ἰσχυροτέροις χρηστέον ἀναγαργαρίσμασιν διὰ ἴρεως, ὑσσώπου, μελανθίου, ἀβροτόνου, γλυκυρίζης, ἰσχάδων ἑψηθέντων ἐν μελικράτῳ ἢ πηγάνου χυλῷ μετὰ γάλακτος ἢ νάπυι σὺν ὀξυμέλιτι. εἰ δέ τις ἐκ τούτων δριμύτης γένηται, δοτέον αὐτοῖς ἔλαιον ὡς ὅτι κάλλιστον θερμὸν ἢ ῥόδινον καθ' αὑτὸ ἢ μετὰ χυλοῦ πτισάνης ἢ τήλεως ἀναγαργαρίζεσθαι. τροφὴ δὲ μελίκρατον ἔστω μέχρι τῆς τρίτης, μεθ' ἣν ὁ τῆς πτισάνης χυλὸς σύν τινι τῶν ἡδέων πομάτων, εἶτα καὶ τῶν ᾠῶν τὰ κρόκα δίυγρα. καὶ τοῖς διὰ χόνδρου δὲ ῥοφήμασι χρηστέον ἀπευθυνομένης

4—9 *Alexander Trall. II 141* 17—23 *cf. id. II 135* 30—32 *id. II 145*

2 παρηκολούθησε EFM, -ν *eras.* B: παρακολουθεῖ D τοῦ *om.* D 3 τοιοῦτον] τὸ τοιοῦτο D 5 ἀπ' ἀγκῶνος *om.* E 6 ταμιευομένους τὸ πλῆθος *om.* *a* 8 παρ' αὐτὰ *om.* D 8. 9 τῇ γλώττῃ D 9 ἢ] *om.* *a*: *ins.* B ἐγχαρατέον AE εἰ] *seq. ras.* B: εἴ γε E 10 γένοιτο E τε] uero *a* 12 τε] δὲ M καὶ *om.* *a* 13 τοῖς] τῆς CEFK 14 φλεγμονῇ] *seq. ras. 1 litt.* B: φλεγμονῆς K παρισθμίοις F: et paristmiis *a* 15 διὰ μόρων D ῥοιᾶς D 16 διάμορον *om.* D ταῦτα δὲ DK διὰ μόρων D 17 τῇ] τὴν K: τῷ D 18 ἢ *om.* *a* κωλύοι D 19 δὲ *om.* *a* 21 ὁμοίως] καυθεισῶν ὁμοίως D 22 τῷ] τὸ CG βίσσα AE, *corr.* A: βῆσα D: βισασὰ H 24 προσενεκτέον D τε] CDFGKB²(*a*): δὲ ABEHM 25 ὑσσώπου ἴρεως K 26 ἡψημένων D ἢ] ποιεῖ δὲ καὶ D 27 χυλὸς D νάπυ CDFG 28 ἔλαιον *om.* *a* ὡς *om.* D ἢ *om.* *a* 29 ἢ μετὰ] εἶτα D τήλεως ἢ πτισάνης D ἀναγαργαριζέσθωσαν D 30 δὲ] CDFGK*a*: *om.* AEHM: *supra scr.* B μέχρις AEHM ἣν] ἧς AE 32 δὲ *om.* *a*

τῆς καταπόσεως καὶ ταῖς ἁρμοζούσαις τῇ τοῦ κάμνοντος δυνάμει τροφαῖς. παρακμῆς δὲ φανείσης ἐπί τε περίπατον καὶ λουτρὸν ἄξομεν, τοὺς δὲ τόπους σκεπάσομεν κηρωτῇ ἀπὸ ἐλαίου πηγανίνου καὶ τῇ λοιπῇ προσηκόντως ἀναληπτικῇ ἀγωγῇ χρησόμεθα. 4

3 τῶν δὲ ἀπαγχομένων, οἷς μὲν ἀφρὸς ἤδη περὶ τὸ στόμα, μὴ ἐγχειρεῖν Ἱπποκράτει πειθομένους· τῶν δὲ ἄλλων ἀνάκλησις γίνεται ὄξους ἐγχύσει καὶ πεπέρεως ἢ κνίδης καρποῦ ἐν ὄξει τριφθέντος δριμυτάτῳ· ἐργωδῶς δὲ παραδέχονται, ἀλλὰ χρὴ βιάζεσθαι. διαλυομένων δὲ τῶν περὶ τὸν τράχηλον ἐρυθημάτων εὐθὺς ἀναβλέπουσι καὶ ἀνίενται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ναυαγῶν καὶ ὅλως τῶν ἐκπνιγομένων· ἀναζωπυρεῖται γὰρ τούτων τὸ θερμόν.

## κη΄. Περὶ κορύζης καὶ κατάρρου καὶ ἀρτηριακῶν καὶ βηχός.

1 Κοινὸν μὲν ὑπάρχει τοῖς πάθεσι τούτοις τὸ περιττωματικὴν ἐκ τῆς κεφαλῆς ὑγρότητα παρὰ τὰ ὑποκείμενα φέρεσθαι μόρια. ταύτης μὲν κατὰ τοὺς μυκτῆρας ἐνσκηπτούσης κόρυζα τὸ πάθος προσαγορεύεται, κατὰ δὲ φάρυγγα καὶ τὴν ὑπερῴαν ἁπλῶς κατάρρους· ἐπειδὰν δὲ κατὰ τὸν λάρυγγα καὶ τὴν τραχεῖαν ἀρτηρίαν ἐνεχθῇ, ὥστε καὶ τὸν ἔνδον ὑπαλείφοντα ταύτην ὑμένα τραχυνθῆναι, βραγχώδης ἡ φωνὴ γίνεται, καλοῦσι δὲ βράγχον τε τὸ πάθος καὶ ἀρτηριακόν· ἐφ᾽ ὧν οὐ μόνον ἐκ τῆς κεφαλῆς, ἀλλὰ καὶ διὰ σφοδρᾶς ἀναφωνήσεως καὶ διὰ ψυχροῦ πνεύματος εἰσπνοὴν τραχύτης γίνεται φλεγμονώδης. χρονίζοντος δὲ τοῦ νοσήματος καὶ τοῦ ῥεύματος εἰς τὰ κατὰ θώρακά τε καὶ πνεύμονα φερομένου βῆχες αὐτοῖς γίνονται κακοήθεις. καὶ διὰ δυσκρασίαν δὲ πολλάκις ἡ βὴξ γίνεται, ποτὲ μὲν θερμήν, ὡς ἐν πυρετοῖς, ποτὲ δὲ ψυχράν, ὡς ἐν βορείοις καταστήμασιν, ἥτις καὶ ξηρὰ μᾶλλόν ἐστι· καὶ ἑτέρων δὲ νοσημάτων ἡ βὴξ ἔσθ᾽ ὅτε σύμπτωμα γίνεται, οἷον πλευριτικῶν, ἡπατικῶν, φθισικῶν, περιπνευμονικῶν. ὁ μὲν οὖν Γαληνὸς ἐπὶ χρονίαις βηξὶν ἱστορεῖ χαλαζίων τινῶν ἀναγωγὴν ἀπὸ θώρακος γίνεσθαι· Ἀλέξανδρος δὲ καὶ λίθον τινὰ βαρὺν οἷον τὸν ἐν τοῖς οὐρητικοῖς γεννώμενόν φησιν ἐπὶ χρονίας ἀνενεχθῆναι βηχός, ἐφ᾽ ᾧ καὶ παύσασθαι

6 Ἱπποκράτει] *Aphorism. II 43* 6—11 *Oribasius, Synops. VIII 59; cf. Aëtius VIII 52* κη΄ *cf. Oribasius, Ad Eunap. IV 77; Aëtius VIII 54* 27 Γαληνὸς] *VIII 292* 29 Ἀλέξανδρος] *Alexander Trall. II 153*

2 λουτρὸν καὶ περίπατον AE 5 στόμα] στόμα εἴη D 6 ἱπποκράτη ACG: ἱπποκράτης K 7 καὶ] τε καὶ D μετ᾽ ὄξους CDFG δριμυτάτῳ] *Or* (*a*): δριμυτάτου ABCDEFGHKM 9 δὲ *om.* K ἀνίενται] CDFG: ἀνίονται H *et e corr.* B: ἀνιῶνται AEKM: surgunt *a* 10 πνιγομένων D 14 παρὰ] πρὸς D 15 μὲν] μὲν οὖν AE: δὴ D μυκτῆρας] μυκτῆρας μὲν D 17 τὸν (*alt.*) . . . τραχυνθῆναι (*18*) *om. a* 19 δὲ] τε F: *om.* A*a* τε *om.* DF τὸ] τὸ τοιοῦτον D 20 σφοδρὰν ἀναφώνησιν D: σφοδρᾶς ἀναφωνήσεις K 21 εἰσποὴν EH, *corr.* E 22 τε *om.* A 23 αὐτοῖς *om.* D δὲ *om. a* 24 ἐν *om.* K 25 ὥσπερ D 27 μὲν οὖν] autem *a* 28 ἀγωγὴν CFG, *corr.* C² ὑπὸ AE γενέσθαι D 29 γεννώμενόν] ABDKM: γεννωμένων E: γενόμενον CFG: γινόμενον H 30 χρονίαις BHM, *corr.* M ἐφ᾽ ᾧ] DFK: ex quo *a*: ἐφ᾽ ὧν ABCEGHM

τὴν βῆχα· ἡμεῖς δὲ ἐπὶ αἵματος ἀναγωγῇ τῶν λίθων ἔκκρισιν εἴδομεν, ὡς ἐκεῖσε γενόμενοι ἀκριβέστερον ἱστορήσομεν. τοῖς μὲν οὖν ἐπ᾿ ἐγκαύσει τὴν κόρυζαν ἢ τὸν κατάρρουν ἔχουσι θερμασίας συναίσθησις περὶ τὰ μόρια γίνεται καὶ δριμέων τε καὶ λεπτῶν ὑγρῶν ῥύσις διά τε μυκτήρων καὶ τοῦ στόματος ἔρευθός τε τῶν περὶ τὸ πρόσωπον καὶ τὰς ῥῖνας· τοῖς δὲ ἐπὶ ψύξει διάτασις τῶν περὶ τὴν κεφαλὴν καὶ τὸ μέτωπον καὶ τῶν ἠθμοειδῶν πόρων ἔμφραξις, ὥστε μὴ διηχεῖσθαι τὴν φωνὴν ἄνωθεν διὰ τῶν ῥινῶν· χρονίζουσι δὲ αὐτοῖς καὶ βῆχες προσγίνονται καὶ φλέγματος ἀναγωγή, ποτὲ μὲν ἀπέπτου καὶ διύγρου, ποτὲ δὲ χλωροῦ. τισὶ δὲ καὶ πυρετὸς ἐπιγίνεται τοὺς μὲν ἐπ᾿ ἐγκαύσει μηδὲν ὠφελῶν, τοῖς ἐπὶ ψύξει δὲ καὶ σύμπεψιν ἐργαζόμενος.

## 2 Θεραπεία κατάρρου καὶ κορύζης.

Θερμῆς μὲν οὖν δυσκρασίας ἐπικρατούσης, ὅσα τοῖς ἐπὶ τοιαύτῃ κεφαλαλγοῦσιν αἰτίᾳ, ἁρμόσει βοηθήματα· καὶ λουτροῖς δὲ χρηστέον καὶ θερμῷ πλείονι προσαντλητέον τὴν κεφαλήν. τροφαὶ δὲ τούτοις ἁρμόσουσιν αἱ ῥοφηματώδεις καὶ τὰ ᾠὰ τὰ ῥοφητὰ καὶ ἄμυλος καὶ ἴτρια καὶ σήσαμα καὶ ἰσικοὶ ἀμύγδαλά τε καὶ ὁ τοῦ κώνου καρπὸς καὶ ὅσα διὰ γάλακτος πέμματα καὶ τῶν οἴνων οἱ γλυκεῖς καὶ μὴ παλαιοὶ τό τε διὰ κωδυῶν ἔκλεικτον φάρμακον καὶ τὰ πρὸς ταῦτα σύνθετα τῶν βοηθημάτων. ψυχρᾶς δὲ τῆς δυσκρασίας ὑπαρχούσης καὶ δυσλύτου τοῦ νοσήματος ὀλιγοσιτία τε παραλαμβανέσθω καὶ τῆς κεφαλῆς ἄλοιφὴ διὰ τῶν θερμῶν τε καὶ λεπτομερῶν, ναρδίνου, πηγανίνου· τὸ δὲ ἴρινον μὴ μόνον ἀλειπτέον, ἀλλὰ καὶ ταῖς ῥισὶν ἐνστακτέον, καὶ διαχριστέον ἔνδοθεν αὐτὰς λιβάνῳ καὶ σμύρνῃ σὺν ἐλαίῳ, καὶ μάλιστα ἐπὶ τῶν κορυζῶν τῶν ἐπὶ ψύξει· τοὺς δὲ καὶ ὀσφραντὰ διὰ ῥάκους κεκαυμένα μελανθίου ἢ κυμίνου καυθέντων τε καὶ ἐνδεθέντων ἐν ῥάκει ὤνησε· καὶ τὸ κῦφι τὸ σεληνιακὸν ὀσφραινέσθωσάν τε καὶ κατὰ τοῦ μετώπου χριέσθωσαν, ἐφ᾿ οὗ καὶ μία τῶν ἀφλεγμάντων ἐμπλάστρων κεκολλήσθω,

2 ἐκεῖσε] λα´ 1 κη´ 2 *cf. Aëtius VIII 57*

1 αἵματος . . . ἐκεῖσε *(2) om.* A τῶν] τὴν τῶν DK εἴδομεν] D, *corr. ex* εἴδωμεν K: ἴδομεν CFG, *e corr.* M: ἴδωμεν BEHM 2 ὡς *om. a* γεννώμενος K ἱστορήσωμεν BKM, *corr.* M: inspeximus *a* μὲν *om. a* 3 θερμασία συναισθήσει K 5 τῶν *om.* CFG 6 διάστασις K 7 ἰθμοειδῶν BCGHKM: ἰσθμοειδῶν ADEF ἔμφραξις] CDFG: ἐμφράξεις KA[3]: ἐμφράξει ABEM*a*: ἐμφράξῃ H 8 χρονιζούσης E 10 μὲν] μὲν οὖν FM ἐπ᾿] ἐν K ἐγκαύσεσι D 11 καὶ *om. a* operatur *a* 12 κορύζης καὶ κατάρρου E 13 μὲν *om. a* οὖν *om.* D τοιαύτῃ] τῇ αὐτῇ K 14 ἁρμόζει D 15 ἁρμόζουσιν D 16 αἱ *om.* A τὰ ᾠὰ τὰ] ᾠὰ D 17 καὶ ἴσικοι *om.* D conii *a* 18 πόματα D καὶ *(alt.) om.* K*a* 19 ἑλικτὸν D 20 τῆς *om.* AE οὔσης M 22 ναρδίνου] οἷόν ἐστι νάρδινον D πηγανίνου] CEFGK: πηγάνινον D: πηγάνου ABHM*a* 23 ἐπαλειπτέον CFG 24 αὐτὰς ἔνδοθεν K σμύρναν K 25 κορυζώντων D τοῖς CFG διὰ ῥάκους *om. a* κεκαυμένα] *a*: κεκαυμένου ABCEFGHKM: *om.* D 26 μελανθίου] καὶ μελανθίου CFG: καὶ *del.* C καυθέντων τε *om. a* ἐν ῥάκει] panno laneo *a* 27 τε] δὲ AK: *om.* D 28 οὗ] οἷς D ἀφλεγμάτων ABEH

οἷον ἱκέσιος ἢ ὀξηρὰ ἢ βάρβαρος ἢ Ἀθηνᾶ. πρὸς δὲ τὸν ἐπὶ ψύξει κατάρρουν καὶ πίνειν τοῦ κύφεως συνοίσει. κατὰ δὲ τοῦ θώρακος τοῦ βαλσάμου τὸν ὀπὸν ἐπαλειπτέον, διὰ οἰσυπηρῶν ἐρίων αὐτὸν περιθαλπτέον μετὰ στύρακός τε καὶ ἰρίνου ἢ ἀνηθίνου καὶ τροφαῖς θερμοτέραις τε καὶ συμπεττικαῖς χρηστέον· ἤδη δὲ πεττομένης τῆς ὕλης ἀποφλεγματισμός τε αὐτοῖς ἁρμόσει καὶ σμήγματα τῆς κεφαλῆς, οἷον ὁ τοῦ Κωνσταντίνου σάπων καὶ τὰ παραπλήσια.

## Ἀρτηριακῶν θεραπεία. 3

Τοῖς δὲ ἀρτηριακοῖς καὶ βράγχοις προσαγορευομένοις ἁρμόσει μὲν καὶ τὰ λεχθέντα, ἰδίως δὲ φλεγμονώδους μὲν οὔσης κατὰ τὴν ἀρτηρίαν καὶ τὸν λάρυγγα τῆς διαθέσεως κατ᾽ ἀρχὰς μὲν τοῖς ἐμπλαστικοῖς χρηστέον βοηθήμασιν, ἄχρις ἂν ἡ φλεγμονὴ μετριωτέρα γένηται· τοιαῦτα δέ ἐστι τὰ διὰ γλυκέος Κρητικοῦ καὶ τραγακάνθης καὶ κόμμεως καὶ ἀμύλου καὶ τῶν λιπαρῶν φοινίκων τὸ ἀφέψημα καὶ τῆς γλυκείας ῥίζης μετὰ σιραίου ἄχρι μελιτώδους συστάσεως καὶ ἡ τῶν ὑπαγλωττίδων καλουμένων χρῆσις· πρὸ δὲ πάντων οἴνου πόσεως ἀπεχέσθωσαν κατὰ τὸν καιρὸν τοῦτον. μετριασάσης δὲ τῆς φλεγμονῆς γλυκέος οἴνου λαμβανέτωσαν καὶ τοῖς διὰ μέλιτός τε καὶ γάλακτος σὺν ἀμύλῳ ἢ ἄρτῳ σιλιγνίτῃ καὶ δι᾽ ἀμυγδάλων ῥοφήμασι χρήσθωσαν καὶ τοῦ βουτύρου λαμβανέτωσαν. ὑγρότητος δὲ καταλειφθείσης ἐν τοῖς μορίοις ἐπὶ τὰ ῥυπτικώτερα ἔρχεσθαι, οἷόν ἐστι κυάμινον ἔτνος καὶ τὰ διὰ μέλιτος σκευαζόμενα καὶ κράμβαι καὶ τὰ καλῶς ἡψημένα πράσα· φάρμακα δὲ τὰ θερμότερα κατὰ πρόσβασιν διά τε τοῦ ἀπὸ ἰσχάδων σιραίου καὶ λιβάνου καὶ ἴρεως καὶ τερεβινθίνης στύρακός τε καὶ χαλβάνης πεπέρεώς τε καὶ κιναμώμου καὶ κασσίας καὶ τῶν τούτοις παραπλησίων.

## Περὶ βηχός. 4

Καὶ τὰς βῆχας δὲ τῇ αὐτῇ μεθόδῳ θεραπευτέον τοῦτο μόνον ἐπιβλέποντας, εἰ καὶ δι᾽ ἑτέρων μορίων γίνονται συμπάθειαν, οἷον γαργαρεῶνος ἐπιστάζοντος ἢ κεφαλῆς, καί, εἰ νοσήμασιν ἑτέροις συμπίπ-

κη´3 *cf. Galenus XII 3 sqq.; Aëtius VIII 54* κη´4 *cf. Aëtius VIII 58—61*

1 οἷον] οἷον ἡ D ἢ *(pr.)*] ἢ ἡ D ἢ *(sec.)*] ἢ ἡ CDFGHM ἢ *(tert.)*] ἢ ἡ CDFG 2 συνοίσει] ὀνήσει K 3 διὰ] ἢ δι᾽ D 4 μετὰ] et cum *a* ἢ] et *a* 5 τε *om.* FM συμπεπτικαῖς D: συμπεπτικαι K 6 αὐτοῖς *om.* E σμῆγμα CFG*a* οἷος CFG, *corr. ex* οἷον BD: qualis est *a* 7 κωσταντίνου E παραπλήσια] CDEFG*a*: παραπλησίως ABHKM 9 προσαγορευομένοις *om. a* ἁρμόζει D*a* 17 δὲ *om.* B 19 δι᾽] τοῖς δι DK: *om.* CFG 20 καταληφθείσης *ed. Basil.*: adunato *a* 21 ἐρχέσθω K κύμινον K 22 ἡψημένα] CDGK: ἑψημένα ABEFHM 23 κατὰ] ADE: καὶ τὰ BCFGHKM*a* διά τε τοῦ] οἷα τὰ D τε] τὸ K ἀπὸ] ἀπὸ τῶν K 24 *ante* πεπέρεώς *eras.* καὶ B 25 τε καὶ] DK: καὶ ABCEFGH: *om. a* τούτοις *om. a* παραπλησίως K: *comp. ambig.* E 27 καὶ *om. a* δὲ] τε K αὐτῇ] τοιαύτῃ AE θεραπευτέον μεθόδῳ K ἐπιβλέποντας] DK: ἐπιβλέποντες ABCEFGHM 28 συμπάθειαν] DE*a*: συμπαθείᾳ *uel* συμπάθειαι ABCFGHKM, *e corr.* E 29 καὶ] ἢ D

τοιεν, καὶ τούτων, ὡς οἷόν τε, προνοουμένους κατὰ τὸν εἰρημένον καὶ ῥηθησόμενον τρόπον. ἡ δὲ τῶν συνθέτων βοηθημάτων ἔκθεσις ἑξῆς ὑποτέτακται.

5 Καταπότια πρὸς κατάρρουν καὶ βῆχα. στύρακος, σμύρνης, ὀπίου, χαλβάνης ἴσα· γλυκεῖ ἀναλαβὼν ἢ καθ' ἑαυτὰ ὁλμοκοπήσας ποίει ὀροβιαῖα κοκκία καὶ δίδου εἰς κοίτην γ̄ ἢ δ̄ ἢ ε̄, καὶ γλυκέος ἐπιρροφείτω. ταῦτα πρὸς δριμὺ καὶ λεπτὸν ῥεῦμα.

Ἄλλο. ὑοσκυάμου σπέρματος < ιβ̄, στροβιλίων < ς̄, κρόκου < β̄· ἑψήματι ἢ γλυκεῖ ἀναλάμβανε καὶ χρῶ.

6 Ἔλλειγμα. μέλιτος ℥ ᾱ, βουτύρου ℥ L'· συνεψήσας δίδου· τό τε δι' ὑσσώπου καὶ σύκων καὶ στροβίλων καὶ ἴρεως ἀφέψημα ῥοφείτω.

7 Καταπότια τοῖς χρονιωτέροις. στύρακος < ς̄, σμύρνης < β̄ L', τερεβινθίνης, χαλβάνης, ὀποπάνακος, ἴρεως ἀνὰ < β̄, πεπέρεως λευκοῦ, νίτρου, ὑοσκυάμου σπέρματος, ὀποῦ μήκωνος ἀνὰ < ᾱ· χωρὶς ὑγροῦ τινος ὁλμοκοπήσας πλάσσε καταπότια καὶ χρῶ, καθὰ προείρηται.

8 Πρὸς τραχύτητα βρόγχου καὶ βῆχα διαίμους τε πτύσεις. ἀμύγδαλα πικρὰ λελευκασμένα κε̄ καὶ λινοσπέρμου πεφωγμένου < δ̄, τραγακάνθης < β̄, στροβίλου κόκκους λ̄, ᾠοῦ ἐν στεατίῳ ὠπτημένου τὴν λέκιθον· ἡ τραγάκανθα ὕδατι βρέχεται, τὸ δὲ ὅλον γλυκεῖ ἀναλαμβάνεται. εἰ δὲ καὶ ὁ ἦχος εἴη τῆς φωνῆς τεθραυσμένος, μέλιτος μίσγε ἀντὶ τοῦ γλυκέος, καὶ μάλιστα ἐφ' ὧν ἀναχθῆναί τι δεῖ.

9 Ἀρτηριακὴ ὑπογλωσσὶς φωνὴν ἀποκεκομμένοις, βραγχιῶσιν, ἀναφορικοῖς. τραγακάνθης < ς̄, κόμμεως < ς̄, σμύρνης < ᾱ, λιβάνου < ᾱ L', πεπέρεως λευκοῦ κόκκους κ̄, κρόκου < ᾱ, γλυκυρίζης χυλοῦ < ς̄, φοινικοβαλάνων γ̄ τὴν σάρκα, γλυκέος Κρητικοῦ τὸ ἱκανόν· καὶ αὐτὸς μόνος τῆς τραγακάνθης ὁ χυλὸς ὑπὸ τὴν γλῶτταν ὑποτιθέμενος. ἀντὶ χυλοῦ γλυκυρίζης αὐτῆς ἑψηθείσης ἄχρι συστάσεως τὸ ἀφέψημα τετραπλοῦν βάλλεται.

10 Ἀρτηριακὸν ἠχῶν ἀποκεκομμένων ἁρμόζον καὶ φωνασκικοῖς. πράσα

4—7 *Alexander Trall. II 157* 8—9 *id. II 159*

1 καὶ . . . τρόπον *(2) om. a* προνοουμένους] D: προνοουμένου ABCEFGHKM: προνοούμενοι *e corr.* E 5 ἢ] ἢ καὶ D αὐτὰ K: αὐτὸ CF: ἑαυτὸ G 8—9 *om.* D 8 στροβήλων CG: στροβίλων F < *(sec.) om.* K 11 στροβίλου DK: στροβιλίων E 12 ταῖς χρονιωτέραις D 13 νίτρου *om. a* 14 ᾱ] δ̄ D 15 καθὼς D 17 λελεπισμένα F καὶ *om.* D πεφωγμένου] *post* -ω- *ras. 2 litt.* B: *pro* -ωγ- *ras. 2—3 litt.* A: πεφρυγμένης F: *om.* D 18 < β̄ *om.* E στροβηλίου CG στέατι DK λέκινθον BCFGM 19 τραγάκαν^θ G: τραγάκανθος F *et corr. ex* τραγάκανθον C 20 τῆς φωνῆς εἴη CFG(*a*) μέλιτι DM σμίγε BM 22 ἀρτηριακὴ . . . ἀναφορικοῖς] ad vocem amputatam *a* ἀρτηριακαὶ AE ὑπογλωσσίς] DM, *e corr.* B: ὑπὸ γλώσσης ACGK: ὑπὸ γλώσης EF: ὑπὸ γλώσοις H βραγχιῶσιν] ἁρμόζουσα βραγχιῶσιν D ἀναφορικόν E 23 < ς̄ *(pr.) om.* D < *(sec.)*] ἀνὰ < D 24 κρόκου] κηκῖδος D χυλὸν K < ς̄] καὶ K 25 γ̄] ℥ K τῆς σαρκὸς D καὶ] ποιεῖ δὲ καὶ D 27 ταύτης D ἄχρι συστάσεως *om. a* 29 πρὸς ἀρτηριακοὺς ἤχους ἀποκεκομμένους ἁρμόζει δὲ καὶ D ἀρτηριακὸν] BFGH: ἀρτηριακῶν ACEKM*a* ἠχῶν] *eras.* B: ἥλων AM: ἦχον F καὶ φωνασκικοῖς *om. a*

ζ ἕψε εἰς ἀποτρίτωσιν καὶ αὐτὰ μὲν ῥῖψον, τῷ δὲ ὕδατι μῖξον χυλὸν ἅλικος καὶ μέλι καὶ ᾠῶν προαφεψημένας λεκίθους τρεῖς συνέψησον κινῶν ἀνηθίνῳ κλωνίῳ.

Βηχικόν. γλήχωνος 𐅻 β̄, στροβιλίων, κνήκου σπέρματος, λινοσπέρμου 11 ἀνὰ 𐅻 ᾱ, πεπέρεως ἐφθοῦ 𐅻 δ̄· μέλιτι ἑφθῷ.

Ἄλλο. ὑσσώπου, γλήχωνος, πεπέρεως, καλαμίνθης ἀνὰ 𐅻 ᾱ, πετροσελίνου 𐅻 ∠ʹ· μέλιτος ἡμίνᾳ.

Πεπτικὸν χρονίας βηχός. μέλιτος < ῑϛ̄, τερεβινθίνης < β̄, χαλβάνης 12 < δ̄· συνεψήσας πλάσσε κυάμινα μεγέθη καὶ ὅσον καρύου Ποντικοῦ, καὶ τούτων ἀποθηλαζέτω.

Ἄλλο. ξηρὰν βῆχα ἰᾶται τά τε ἀρτηριακὰ καὶ ὕδατος ἔσθ᾽ ὅτε καταρρόφησις ζεστοῦ· διὰ παχύτητα γὰρ φλέγματος μὴ ἀνάγοντες τοῖς ὑγραίνουσι ποσῶς βοηθοῦνται. ἁρμόζει δὲ αὐτοῖς καὶ τὸ διὰ ὑσσώπου καὶ ἴρεως καὶ στροβίλου ἀφέψημα.

Τροχίσκος καπνιστὸς πρὸς βῆχα συνεχῆ. στύρακος, πεπέρεως, μαστί- 13 χης, πετροσελίνου ἀνὰ 𐅻 ᾱ, σανδαράχης γρ. ϛ̄, κοκκόδαφνα β̄· ἀναλαβὼν μέλιτι κάπνιζε βαλὼν εἰς κάρβωνας, ὥστε τὸν βήσσοντα διὰ χωνίου τὸν καπνὸν ἀναπνεῖν. ποιεῖ δὲ τοῖς ἐψυγμένοις ὁπωσοῦν.

## κθʹ. Περὶ ὀρθοπνοίας, ἄσθματος καὶ δυσπνοίας.

Τοὺς ἄνευ τοῦ πυρέττειν ἀναπνέοντας πυκνόν, οἷον οἱ δραμόντες 1 ὠκέως, ἀπὸ τοῦ συμπτώματος ὀνομάζουσιν ἀσθματικούς, αὐτοὺς δὲ τούτους ἀπὸ τοῦ τὸ σχῆμα τοῦ θώρακος ἅπαν ὄρθιον φυλάττειν φόβῳ τοῦ πνιγῆναι ὀρθοπνοϊκοὺς καλοῦσιν. γίνεται δὲ τὸ πάθος παχέων τε καὶ γλίσχρων χυμῶν ἐμπλασθέντων τοῖς βρογχίοις τοῦ πνεύμονος. ἡ δὲ δύσπνοια κοινόν ἐστι σύμπτωμα καὶ τούτοις καὶ ἑτέροις πλείοσιν ἐπακολουθοῦσα πάθεσιν. ὁ δὲ τῆς τῶν ἀσθματικῶν θεραπείας σκοπός ἐστιν ἐκδαπανῆσαι τὸν γλίσχρον καὶ παχὺν χυμὸν διὰ τῶν λεπτυνόντων τε καὶ ῥυπτόντων φαρμάκων. ὄξος τοίνυν αὐτοῖς ἁρμόσει σκιλλη-

κθʹ *cfr. Aëtius VIII 63* κθʹ 1 *cf. Oribasius, Synops. IX 5; Ad Eunap. IV 77, 79*

1 ἕψει CFG: ἕψι B: ἑψήσας D καὶ *om.* D ῥῖψον] proiciens *a* δὲ *om. a* χυλοῦ CG 2 προαφεψημένων M (*e corr.?*) 3 ἀνηθίνῳ] D: aneti *a*: ἀνήθῳ ABCEFGHKM 4 βηχικόν] ἄλλο: - βηχικόν A κνήκου] κρόκου AE σπέρματος] D: σπέρμα ABCEFGHKM*a* 5 ἑφθοῦ] μέλανος ἑφθοῦ D μέλιτος ἑφθοῦ D 6 ἄλλο . . . πετροσελίνου] *postea ins. in ras. min.* M πεπέρεως, καλαμίνθης *om.* M 7 μέλιτι D ἡμίναν AE: *om.* D 8 ῑϛ̄] ϛ̄ AE 9 κυαμιναῖα D ὅσον *om. a* καὶ *(alt.)* . . . ἀποθηλαζέτω *(10) om.* D 11 ἄλλο] ξηρᾶς βηχός K: ἄλ ξηρᾶς βηχός D καὶ *om. a* 12 ζέοντος D μὴ] μηδὲν D 13 *ad* ποσῶς *mrg.* μερικῶς K διὰ *om. a*: δι᾽ DK 14 στροβίλων D 15 τροχίσκος . . . συνεχῆ] πρὸς βῆχας συνεχεῖς D 16 γρ.] ʒ *a* 19 ἄσθματος] καὶ ἄσθματος F 20 πυκνόν *om. a* 22 πᾶν D φόβου M 27 ἐστιν] γέ ἐστιν K παχὺ BM, *corr.* B 28 ῥυπτικῶν E αὐτοῦς H: αὐτοὺς M ἁρμόζει D

τικὸν καὶ τὸ διὰ τούτου cκευαζόμενον ὀξύμελι πινόμενον αὐτή τε ἡ cκίλλα ὀπτὴ λεία μετὰ μέλιτος καὶ τῶν ἀντιδότων ἡ ἱερὰ καὶ κάθαρcιc cυνεχὴc ἀπὸ φαρμάκων ἰcχυροτάτων καὶ ἀπὸ ῥαφανίδων ἔμετοι ἀριcτολοχία τε cτρογγύλη πινομένη, κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα, cπονδυλίου ὁ καρπὸc καὶ ἡ ῥίζα, καλαμίνθηc ὁ καρπόc, ὕccωπον, ἶριc, μελάνθιον. ὄνων τῶν ὑπὸ ταῖc ὑδρίαιc ξέcτην βαλὼν εἰc ἄγγοc κεραμεοῦν φρῦγε ἐπ᾽ ἀνθράκων, λευκανθένταc δὲ τρῖβε καὶ μέλιτι ἑφθῷ ἀναλαβὼν δίδου μύcτρον πρὸ τροφῆc καὶ μετὰ τροφήν. εἰ δὲ χρεία κατεπείγοι, καὶ φλέβα τέμνειν πρὸ τούτων ἁπάντων καὶ κενοῦν κατὰ δύναμιν, καὶ τὴν κοιλίαν κλυcμοῖc ἐρεθιcτέον· ἔξωθεν δὲ τὸν θώρακα καταπλαcτέον μὲν διὰ cύκων καὶ αἰρίνου ἀλεύρου καὶ κριθίνου ἔχοντοc καὶ ῥητίνην καὶ κηρὸν καὶ μέλι, ἐμπαccέcθω δὲ αὐτῷ καὶ ἶριc καὶ μάννα. οὐκ ἄχρηcτοc δὲ καὶ ἡ ὠμὴ λύcιc μετὰ ῥητίνηc καὶ κηροῦ καὶ ἴρεωc καὶ μάννηc. ἀλείμμαcι δὲ χρηcτέον θερμοτέροιc, ἰρίνῳ, ἀνηθίνῳ, πηγανίνῳ. ἰδιαίτερον δὲ τοῦτο· κιcήρεωc μέροc $\bar{α}$, cφέκληc, ἥτιc ἐcτὶ τρὺξ οἴνου κεκαυμένη, μέρη $\bar{δ}$, ἀρcενικοῦ μέροc $\bar{α}$, cχοίνου ἄνθουc μέρη $\bar{β}$, ἀλκυονίου μέροc $\bar{α}$, ἀφονίτρου μέρη $\bar{β}$· κόψαc, cήcαc ἀναλάμβανε τῷ ἀλείμματι καὶ ἐν τούτῳ ἀνάτριβε τὰ περὶ τὸν θώρακα. καὶ μαλάγμαcι δὲ χρηcτέον τοῖc ἕλκειν τοὺc ἰχῶραc δυναμένοιc.

2 ᾽Αcθματικοῖc πόμα.

Πολίου, ἀβροτόνου, καcτορίου, χαμαιπίτυοc, ἀμμωνιακοῦ θυμιάματοc ἴcα· μέλιτι φυράcαc δίδου. ἔδοcάν τινεc ἀφονίτρου κοχλιάριον τριcὶ κυάθοιc μελικράτου.

Ἄλλο. ἀφονίτρου < $\bar{θ}$, πεπέρεωc < $\bar{α}$, cιλφίου < ∠΄· κοχλιάριον ὕδατι.

Ἄλλο. καcτορίου, ἀμμωνιακοῦ θυμιάματοc ἀνὰ < $\bar{η}$, πεπέρεωc κόκκουc $\bar{μ}$· γλυκεῖ ἀναλάμβανε καὶ δίδου κυάμου ἴcον cὺν μελικράτῳ.

1 διὰ τούτου *om. a* ὀξύμελι] cum oximelle *a* 2 καθάρcειc CDFG 3 cυνεχεῖc ACDF 5 ὁ καρπόc *om. a* ὕccωποc FK: ὕccω^π G 6 ἀγγεῖον D 7 λευκανθέντ̂ D καὶ] ἢ D: *om. a* 8 δίδου] et da *a* 9 τέμνειν] CDFGK: τέμνε ABEHM*a* κενοῦν] CDEFGK: κένου ABHM*a* 10 κλυcμοῖc ἐρεθιcτέον] κλύζειν D κλύcμαcιν CFG 11 μὲν *om. a* αἰρίνου] *Aëtius*: ἰρίνου ABCDEFGHKM*a* 11 ἔχοντοc] D*a*: ἔχον ABCEFGHM: ἐχόν^τον *e corr.* J: ἔχων K 12 καὶ *(pr.) om. a* ἐμπλαcέcθω A: ἐμπ^λαccέcθω C² 14 καὶ μάννηc *om.* D 15 δὲ *om.* B τούτῳ AB, *e corr.* M: τούτων F cφέκληc ... $\bar{α}$ *(16) om. a* 16 μέροc ... ἀφονίτρου *(17) om.* D ἄνθοc H*a*: ἄν^θ CG 17 $\bar{α}$] I sfeclis conbuste partes IIII arsenicu partem I *a* ἀφρονίτρου K $\bar{β}$ *(alt.)*] $\bar{α}$ A cείcαc AEFGK 18 ἐν *om.* D καὶ *(alt.) om.* CFG 19 δὲ *om. a* δυναμένουc AE 20 ἀcθματικὸν E, *comp. ambig.* G 21 πόλιον ἀβρότονον καcτόριον D 22 ἴcα ... θυμιάματοc *(26) om.* D 22 *ante* ἔδοcάν *add.* ἄλλ^ο AE ἀφρονίτρου K*a* 23 μελίκρατον AE: μελικράτῳ H 24 ἀφρονίτρου H ∠΄] VI *a* 26 $\bar{η}$] $\bar{β}$ D

Ἄλλο. cινάπεως < α̅, νίτρου ἀφροῦ τριώβολον, ἐλατηρίου δίχαλκον, ὅ ἐστιν ἡμιοβόλιον· πλάcον τὸ πᾶν εἰc τροχίcκουc η̅, δίδου δὲ δὶc ἐφ᾿ ἡμέραc β̅· καθαίρονται γὰρ ἄνω ἀλύπωc. ἐπὶ δὲ τῶν πνιγομένων δίδου ἀφονίτρου < γ̅ μεθ᾿ ὑδρομέλιτοc κυάθων γ̅ καὶ μετὰ καρδαμώμου ἐνίοτε· καὶ παραχρῆμα βοηθεῖ. ποιεῖ δὲ καὶ ἰcχιαδικοῖc.

## λ΄. Περὶ περιπνευμονίας.

Ἡ περιπνευμονία φλεγμονὴ τοῦ πνεύμονόc ἐcτι τὰ πολλὰ μὲν ἐπὶ κατάρροιc ἰcχυροῖc ἢ cυνάγχαιc ἢ ἄcθμαcιν ἢ πλευρίτιcιν ἢ ἑτέροιc γινομένη νοcήμαcιν, ἔcτι δὲ ὅτε καὶ αὐτὴ κατάρχεται τοῦ πάθουc. παρέπεται δὲ τούτοιc δύcπνοια, πυρετὸc ὀξύc τε καὶ καυcώδηc, βάροc τε καὶ τάcιc τοῦ cτήθουc, ῥωγμὸc καὶ πολλῆc τῆc ἐπὶ τὸ πρόcωπον πληρώcεωc ἀντίληψιc ἀνάρροπον ποιουμένηc τὴν ὁρμὴν τῆc ὕληc δίκην πυρόc· ἐρυθρὰ γοῦν αὐτοῖc τὰ μῆλα φαίνεται, καὶ τὰ ὄμματα διῴδηκεν μετὰ τοῦ κάτω νεύειν τὰ ἐπιcκύνια, καὶ οἱ κερατοειδεῖc ὑπολίπαροι φαίνονται. τῶν δὲ cημείων ἐπὶ τὸ καυcωδέcτερον ἀποκλινόντων ἐρυcιπελατώδη τὴν φλεγμονὴν τοῦ πνεύμονοc ὑποληπτέον. ἐπὶ μὲν οὖν τῶν ἐκ μεταπτώcεωc ἑτέρων νοcημάτων εἰc τοῦτο παραγενομένων τὴν μὲν φλεβοτομίαν παραιτητέον, καὶ μάλιcτα, εἰ χρονίcαντεc εἶεν ἢ καὶ φθάcαντεc ἐν ἀρχῇ φλεβοτομηθῆναι. κλυcτέον δὲ τὴν κοιλίαν ἐν ταῖc ἐνδόcεcι δυcυποβίβαcτον οὖcαν ἢ cικυαcτέον μηδενὸc κωλύοντοc κατὰ τοῦ cτήθουc καὶ τῶν πλευρῶν εὐμεγέθεcι καὶ πολλαῖc cικύαιc μετ᾿ ἐγχαράξεωc. εἰ δὲ τὸ τῆc περιπνευμονίαc εὐθὺc ἐξ ἀρχῆc ὑπήρξατο πάθοc, ἐπιτρεπόντων μὲν τῶν εἰc τοῦτο ἀριθμῶν φλεβοτομητέον· εἰ δὲ μή, cικυαcτέον γοῦν καὶ τούτουc πρὸc τὴν δύναμιν ποιουμένουc τὴν τοῦ αἵματοc κένωcιν. ῥοφήματα δὲ λαμβανέτωcαν ἀπὸ χυλοῦ πτιcάνηc, χόνδρου μετὰ μέλιτοc ἢ ἀπὸ πικρῶν ἀμυγδάλων μετὰ cεμιδάλεωc ἢ χόνδρου τῶν ἡδέων τινὸc παραμιγνυμένου πομάτων, ὑδρομήλου ἢ ἀπομέλιτοc ἢ ὑδροροcάτου· ἀγαθὸν δὲ καὶ πρόcφατον βούτυρον ὅcον κοχλιάρια γ̅. προποτιcτέον δὲ αὐτοὺc cύκων μεθ᾿ ὑccώ-

λ΄ *cf. Alexander Trall. II 151; Aëtius VIII 74*

2 ὅ] καὶ K  πλάcον] *e corr.* J: πλάccε D: confice *a*: πλάccον ABCEG HKM: πλάccαc F  δίδου] καὶ δίδου D  δὲ *om.* DE  3 δὶc] D: β̅ ABCE FGHKM*a*  ἄνω *om. a*  4 ἀφρονίτρου EK*a*  5 καὶ *(utr.) om. a*  6 περιπνευμονίαc] ACE*a*: πνευμονίαc BDFGHKM  7 ἐcτι τοῦ πνεύμονοc D  μὲν *om. a*  9 δὲ ὅτε καὶ] quando *a*  τοῦ πάθουc] per se passio *a*  11 τοῦ] τοῦ τε D  καὶ *(alt.) om.* K  πολλὴ D  ἐπὶ] περὶ D*a*  12 ποιούμενοc E  13 γοῦν] γὰρ D: autem *a*  αὐτῆc AE  διῴδηκεν] ἰώδη D  15 ἀποκλινάντων AE: ἐκκλινόντων F  16 π̅ν̅c̅ AE, *corr.* A[3]  18 μὲν *om.* E  19 ἀρχῇ] ἀρχῇ τῆc πρώτηc νόcου K: ἀρχῇ τῆc νόcου D: principio egritudinis primum *a*  φλεβοτομητέον K  20 δυcυποβίαcτον AE: difficilem *a*  ἢ] ἢ καὶ CFG: et *a*  οὐδενὸc DK  21 τοῦ] τε τοῦ DK  23 τῶν εἰc τοῦτο ἀριθμῶν] εἰc τὸν τούτου ἀριθμὸν K  24 γοῦν] γοῦν ὀλίγον D: *om. a*  καὶ *om. a*  τούτουc] τούτου τοῦ K  26 χόνδρου] aut farre *a*  μετὰ *(pr.) om.* D  27 παραμιγνυμένων EH  29 ὅcον *om. a*  αὐτοὺc *om. a*

που ἀφεψήματι ἢ ἴρεως ἑψηθείσης ἐν μελικράτῳ ἢ ἴρεως λείας ὅσον β̄ κοχλιαρίων ἐμπασσομένων μελικράτῳ· τοῦτο καὶ κάτω καθαίρει. πρὸς δὲ φυλακὴν τῆς δυνάμεως συχνότερον αὐτοὺς ποτιστέον τῷ μελικράτῳ κατὰ μόνας καὶ μετὰ πιτυΐδων. καὶ σικύας ἐπιτιθέναι δεῖ καθ᾽ ὅλου τοῦ θώρακος καὶ τῶν πλευρῶν, κυπρίνην κηρωτὴν ἔχουσαν ἴρεως ἐμπεπλασμένης ἢ κηρωτὴν διὰ πηγανίνου ἐλαίου καὶ ἴρεως ξηρᾶς ἢ τὸ διὰ κηροῦ καὶ ῥητίνης μυελοῦ τε καὶ βουτύρου καὶ ὑσσώπου καὶ ἴρεως ξηρᾶς καὶ ναρδίνου μύρου.

## λα΄. Περὶ αἵματος πτύσεως.

1 Εἰ μὲν κατὰ ῥῆξιν ἡ τοῦ αἵματος γένηται πτύσις, πολὺ κενωθήσεται, καὶ ποτὲ μὲν ἐκ φανερᾶς αἰτίας, οἷον καταπτώσεως, κραυγῆς καὶ τῶν τοιούτων, ποτὲ δὲ ἐξ ἀφανοῦς, οἷον πλήθους ἢ ψύξεως ἀμέτρου· τὸ γὰρ ψυχρὸν φλεβῶν ῥηκτικόν, φησὶν Ἱπποκράτης. εἰ δὲ κατὰ διάβρωσιν, οὐκ ἀθρόως ἀλλὰ κατὰ βραχὺ τοῦ αἵματος ἀναγωγὴ γίνεται δριμέων τινῶν καὶ μοχθηρῶν βρωμάτων προηγησαμένων ἢ ἀσιτίας ἢ κατάρρου δριμέος. εἰ δέ γε κατὰ ἀναστόμωσιν, τῶν μὲν εἰρημένων οὐδέν, ὅτι μὴ πλῆθος ἔσθ᾽ ὅτε, προηγεῖται, ὑγροτέρα δὲ καὶ θερμοτέρα δίαιτα καὶ λουτρῶν ἀμέτρων χρῆσις καὶ λίαν θερμοῖς χωρίοις οἴκησις τούτοις αἰτία φανήσεται, καὶ οὔτε ἐπὶ φλεγμοναῖς οὔτε ἐπὶ πυρετοῖς οὔτε ἐπὶ πόνοις γενήσονται, καθάπερ ἐπὶ τῶν κατὰ διάβρωσιν, τοὐναντίον δὲ εὐφορώτερον ἕξουσιν, ὡς εἰκός, κενουμένου· εἰ δὲ καὶ αἱμορροΐδες ἢ καθάρσεις γυναικῶν ἐπεσχημέναι εἶεν, καὶ κινδύνων ἔσονται λυτικά. τὰ αὐτὰ δὲ ταῦτα καὶ τοῖς διὰ πλῆθος ἐπὶ ῥήξει κενουμένοις ἀγαθὰ συμβήσεται, πλὴν εἰ μὴ διὰ τὸ ἕλκος ἢ δι᾽ ἄμετρον κένωσιν βλαβεῖεν. ἡ δὲ κατὰ ἀνάβρωσιν τοῦ αἵματος κένωσις οὐδέποτε πρὸς ἀγαθὸν γίνεται. καὶ εἰ μὲν δι᾽ ἐμέτων ἀναφέροιτο, δῆλον, ὡς ἐκ τῶν κατὰ τὸν στόμαχον ἢ τὴν γαστέρα φέρεται χωρίων, ἐφ᾽ ὧν καὶ δι᾽ ἕδρας ὑποβιβαζόμενον ἔσθ᾽ ὅτε κενοῦται· εἰ δὲ μετὰ βηχός, ἀπὸ

λα΄ 1 *cf. Alexander Trall. II 187 sqq.; Aëtius VIII 65* 13 Ἱπποκράτης] *Epidem. VI 3, 6*

1 ἀφέψημα D ἑψηθείσης . . . ἴρεως *om.* K ἢ ἴρεως . . . μελικράτῳ *(2) om.* H 2 κοχλιάρια β̄ D ἐμπασσόμενα D: ἐμπασσόμενον CGK, *e corr.* B: sparse *a* κάτω] αὐτῷ K 3 τὸ μελίκρατον M: τοῦ μελικράτου D 4 καὶ *(pr.)*] τε καὶ D σικύας] CDEFG*a*, *e corr.* B: σικύους AHK: σικύου *seq. ras.* M ὅλου *om. a* 5 κυπρίνην] καὶ κυπρίνην D*a*: καὶ *ins.* B² ἐμπεπασμένης E: *om. a* 6 ξηρᾶς ἴρεως CFG ἢ τὸ . . . ξηρᾶς *(8)*] *ins.* K²: *om.* H τὸ] τῷ G: καὶ τῷ C 7 μυελοῦ] καὶ μυελοῦ M 10 μὲν *om. a* γίνεται D 14 ἀναγωγὴ] ἡ ἀναγωγὴ DHK 16 γε *om.* AEFM(*a*) 17 *supra* ὅτι *add.* εἰ M² ἔσθ᾽ ὅτε *om. a* δὲ] τε K 18 δίαιτα *om.* A ἀμέτρων] *corr. in* ἄμετρος D: inmoderatus *a* 18 λίαν] ἐν λίαν D*a* 20 fiet *a* 21 κενούμενοι M: κενουμένου τοῦ περιττοῦ CDG*a*: κενουμένου τοῦ πυρετοῦ F καὶ *om. a* 22 ἢ] et *a* κάθαρσις CGK*a* 23 λυτικαί K δὲ *om. a* πλῆθος] CDFGKM, *e corr.* B: πλήθους ABEH, *e corr.* M 25 ἡ] *corr. ex* εἰ A: si *a* 26 ἀγαθοῦ A: ἀγαθῷ K: ἀγαθὸν (ου *supra*) D μὲν *om. a* 27 κατὰ] περὶ D 28 ὑποβιαζόμενον E

τῶν ἀναπνευστικῶν. ἀλλ' εἰ μὲν ἀφρῶδες εἴη καὶ ὑπόλευκον ἐκ διαλείμματός τε ἀναφέροιτο χωρὶς ὀδύνης καὶ θλίψεως, ἐκ πνεύμονος δηλοῦται φερόμενον, ἐφ' ὧν τοῦ χρόνου προϊόντος καὶ πυρετὸς ἕψεται συνεχής, καὶ μάλιστα τοῖς κατὰ διάβρωσιν, καί τι τῆς τοῦ πνεύμονος οὐσίας ἢ βρόγχιον ἢ φλὲψ ἀνενεχθήσεται· οἶδα δέ τινα τῶν ἐκ τοῦ πνεύμονος ἀναπτυόντων αἷμα προϊόντος τοῦ χρόνου μετὰ μεγίστης βηχὸς καὶ πλήθους αἵματος λίθους ἀναπτύσαντα δ̄ ἢ ε̄ τραχεῖς καθάπερ τριβόλους, μέγεθος δὲ κερατίων γ̄ ἢ καὶ δ̄· καὶ παρ' αὐτὰ μὲν ἐκουφίσθη, μετ' ὀλίγον δὲ εἰς φθίσιν μετέστη καὶ ἀπέθανεν. εἰ δέ ποτε καὶ φλεγματώδης ἀναγωγὴ γίγνοιτο μετὰ κουφοτέρας τῆς βηχὸς ἢ καὶ ἀποχρέμψεως, ἀφρῶδές τε καὶ κοῦφον εἴη τὸ φερόμενον, ἀπὸ τῆς τραχείας ἀρτηρίας ἴσθι τὴν ἀναγωγήν. εἰ δὲ μέλαν τε εἴη τὸ αἷμα καὶ θρομβῶδες, ὀδύνη τε διασμαίνοι κατὰ τὸν τόπον, ἀπὸ τοῦ θώρακος ἡ ἀναφορὰ δηλοῦται διὰ τοῦ πνεύμονος ἢ τοῦ βρόγχου γινομένης τῆς μεταλήψεως· εἰ δὲ μετὰ ἀναχρέμψεως, ἐκ τῶν κατὰ τὴν φάρυγγα δι' ὑπερῴας ἐνεχθήσεται. εἰ δέ ποτε ἀπὸ τῆς κεφαλῆς ἐπιστάξοι, μετά τινος ἐρεθισμοῦ καὶ βηχὸς ἐκδίδοται καταρρέοντος αὐτοῦ πρὸς τὸν λάρυγγα καὶ αὖθις ἀναφερομένου· τούτων δὲ δριμὺς ὡς μάλιστα κατάρρους ἢ κεφαλῆς πόνος ἢ βάρος προηγεῖται. γίνεται δέ ποτε δι' ὑπερῴας αἵματος κένωσις καὶ διὰ βδέλλαν καταποθεῖσάν τε καὶ προσπεφυκυῖάν τινι τῶν τῇδε μορίων· ἀλλὰ περὶ μὲν ταύτης ἐν τῷ περὶ δηλητηρίων εἰρήσεται λόγῳ.

Θεραπεία. 2

Τοὺς δὲ ἐπὶ κατάρρῳ πτύσαντας αἷμα αὐτίκα φλεβοτομεῖν, εἰ μὴ λίαν δριμὺς ὁ κατάρρους ᾖ, καὶ σύμμετρον ἀφαιρεῖν πρὸς τὴν δύναμιν διαδεῖν τε τὰ ἄκρα καὶ ἀνατρίβειν σὺν ἐλαίῳ παλαιῷ θερμῷ ἢ Σικυωνίῳ πλὴν τῆς κεφαλῆς τροφήν τε προσάγειν σιτώδη χυλὸν ἔχουσάν τινος τῶν αὐστηρῶν, οἷον ῥοιᾶς, μήλων, ἀπίων, ἢ αὐτὰ ἐκεῖνα συνεψείσθω. ὑπνοῦν δὲ μέλλοντι δίδου τοῦ δι' ἠλέκτρου τροχίσκου τῇ τε τρίτῃ τῶν ἡμερῶν δίδου μέλιτος ἑφθοῦ ὀλίγον ἐκλείχειν. εἰ δὲ ταῦτα νικηθείη

22 λόγῳ] *V 37* λα' 2 *cf. Oribasius, Synops. IX 1; Aëtius VIII 66—68*

3 φερόμενον] τὸ φερόμενον K ἐφ' ᾧ CFG 4 τοῦ *om.* D 5 βρόγχον H δὲ *om. a* τινα] *mut. in* τινας C 7 βηχὸς] CDFGK: τῆς βηχὸς AEHM, τῆς *eras.* B ἀναπτύσαντας CFGHM 8 δὲ] δὲ ὡς ἀπὸ D κερα (τ supra) AE: κ (ε supra) CGK: κερ BH *et mut. in* κεράτων M²: κερατίου F: sicut ceratia *a* καὶ *(pr.)*] *om.* DK: *ins.* M² 10 γίνοιτο BCFGM τῆς *om.* D 12. 13 καὶ θρομβῶδες τὸ αἷμα D 13 ὀδύνην F*a*, *e corr.* B διασημαίνοιτο K: σημαίνοι D 14 γενομένης BF: γιγνομένης D 15 εἰ] ἡ B δὲ] δὲ καὶ M 16 ἀνεχθήσεται HM ποτε *om.* D ἐπιστάξοι] BCGM: ἐπιστάζοι ADEH(*a*): ἐπιστάξει (η supra) F: ἀποστάξει K 20 καταπωθεῖσαν A: καταποθήσονται K προσπεφυκυῖα K 24 δὲ *om.* D ἐπὶ κατάρρῳ *om. a* ἀναπτύσαντας D μὴ *om.* D 25 ὁ] εἴη ὁ D ᾖ] εἰ M: εἴη F: ἢ D 26 τε] δὲ FK σὺν *om.* D 28 ἢ] *om.* K: ἢ καὶ D: et *a* συνεψήσθω K 29 δὲ *om.* E τοῦ . . . δίδου *(30) om.* AE τοῦ] τὸ FK: τὸν D τροχίσκον F, *comp.* D τε] δὲ DHK

χρονιζούσης τῆς νόσου, ξυρήσας τὴν κεφαλὴν ἐπιτίθει τὸ διὰ τῆς κόπρου τῶν ἀγρίων περιστερῶν καὶ μετὰ τρεῖς ὥρας λαβὼν τὸ φάρμακον ἐπὶ βαλανεῖον ἄπαγε μηδαμῶς ἀλείφων τὴν κεφαλήν, εἶτα θρέψας τοῖς ῥοφήμασιν εἰς κοίτην δίδου τῆς θηριακῆς ἀντιδότου, πάλιν τε τῇ ὑστεραίᾳ διδοὺς ὁμοίως ἀνάτριβε τὸ πᾶν σῶμα πλὴν τῆς κεφαλῆς· ταύτῃ δὲ κηρωτὴν ἐπιθετέον τὴν διὰ θαψίας ἢ ἑτέραν τινά, καὶ τοῖς ῥοφήμασιν αὖθις χρηστέον· ἐπιμένοντος δὲ σικύαν τῷ ἰνίῳ κολλητέον. εἰ δὲ λίαν δριμὺς ὁ κατάρρους εἴη, τὴν μὲν φλεβοτομίαν παραιτητέον, τροφαῖς δὲ καὶ βοηθήμασι τοῖς τε λεχθεῖσιν ἔμπροσθεν ἐν τῷ περὶ κατάρρου χρηστέον λόγῳ καὶ τῶν ἀρτίως εἰρησομένων τοῖς προσφόροις. τῶν δὲ διὰ ψῦξιν αἷμα πτυόντων θερμαντέον ἅμα τοῖς ξηραίνουσι τὸν θώρακα καὶ τῆς διὰ δύο πεπέρεων δοτέον ἅμα τῷ δι᾽ ἠλέκτρου τροχίσκῳ. καὶ τοὺς ἀπὸ τῶν ἀναπνευστικῶν δὲ διὰ ῥῆξιν ἢ ἀναστόμωσιν ἀνάγοντας φλεβοτομητέον, εἰ μὴ πλῆθος αἵματος φέροιτο. πάντας δὲ κατακλιτέον ἐν τόποις εὐαέροις ἐπὶ κλίνης ἀκινήτου κατὰ τὸ ἀνάρροπον σχῆμα φυλαττομένους τὸ σφοδρῶς ἀναπνεῖν τε καὶ φθέγγεσθαι, ἐπιρριπτέον δὲ τοῖς πεπονθόσι μέρεσι σπόγγους δι᾽ ὀξυκράτου χλιαροῦ, μετὰ δὲ τὴν ἑβδόμην οἰσυπηροῖς ἐρίοις μετὰ ῥοδίνου ἢ μυρσίνου ἢ σχινίνου ποτὲ μὲν σὺν ὄξει, ποτὲ δὲ σὺν οἴνῳ αὐστηρῷ· πολλῆς δὲ τῆς φορᾶς οὔσης γῦριν καὶ μάννα σὺν ὄξει ἐπιθήσομεν ἢ στυπτηρίαν καὶ ἀκακίαν ἢ σίδια ἢ κηκῖδα μετ᾽ ὄξους ἢ φοίνικας σὺν ἀλφίτοις καὶ μήλοις Κυδωνίοις ἑψηθέντας ἐν οἴνῳ αὐστηρῷ· μετὰ δὲ ταῦτα καὶ τὴν δι᾽ ἰτεῶν ἐπιρριπτέον ἔμπλαστρον, καὶ μάλιστα μετριωτέρας οὔσης τῆς
3 φορᾶς. διὰ στόματος δὲ ταῦτα· ἀνδράχνη ἐσθιομένη ποιεῖ (δραστικώτερος δὲ ὁ χυλὸς αὐτῆς πινόμενος), βαλαύστιον, βάτου ὁ καρπὸς καὶ τὸ ἄνθος, δρυὸς τὸ ἰνῶδες καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου (μάλιστα δὲ ἕψοντες αὐτῷ χρῶνται, φηγοῦ δὲ καὶ πρίνου δραστικώτερα), ῥῆον, Σάμιος ἀστήρ· πρὸς πᾶσαν αἵματος πτύσιν Λημνία σφραγίς, λίθος αἱματίτης λειότατος ἅμα χυλῷ ῥοιᾶς ἢ πολυγόνου· ποσὸν δὲ τοῦ λίθου ὅσον γρ. $\bar{\alpha}$. σύνθετα δὲ ὅ τε δι᾽ ἠλέκτρου τροχίσκος καὶ ὁ διὰ κοραλλίου καὶ ὁ διὰ τῆς Αἰγυπτίας ἀκάνθης τό τε ξηρίον τὸ συγκείμενον

10 λόγῳ] κη´ 2 λα´ 3 *cf. Oribasius, Synops. IX 2; Alexander Trall. II 195 sq.; Aëtius VIII 69—70*

3 ἀπάγαγε M 4 τε *om. a* 5 δοὺς K πᾶν τὸ D 6 δὲ] δὲ τὴν M ἑτέρα K 7 προσκολλητέον H 8 μὲν *om.* E 10 κατάρρουν AE εἰρημένων CFGK τοῖς προσφόροις] *om. a*: ἐν τοῖς προσφόροις K: τοῖς προσφόρους A: τοῖς προσφάτοις E 12 τῆς] τοῦ D 13 καὶ *om. a* τοὺς] DK, *e corr.* M: τοῖς ACEFGHM, *e corr.* B ἢ] ἢ δι᾽ D 16 τὸ] τοῦ *corr. ex* τοὺς K 17 δὲ] τε K σπόγγοις H 19 σχινίνου] σχινίνου διαθαλπτέον D, *fort. recte* δὲ *(pr.) om. a* 20 μάνναν BEHM: μάννα συχνῶς D

21 καὶ *(pr.)*] aut *a* κηκῖδα] C*a*: κηκι^δ´ DG: κικι^δ´ EF: κηκίδια ABM: κικίδια HK 24 ταῦτα] ταῦτα ποιεῖ D ποιεῖ *om.* D 25 βαλαύστιον *om.* D 26 τὸ *(tert.)*] τῷ ACF τὸ ὑπὸ τῷ κελύφει] ὁ φλοιὸς D 27 αὐτῷ] F: αὐτὸ K: αὐτὸν ABEM: αὐτῶν CGH: αὐτὸ οὕτω D: eis *a* κυπρίνου D δραστικώτερος E*a*: δραστικώτερον A 28 ῥῆον] *om.* ADE: *eras.* M: ῥίον H: ῥοιὸς F 29 ἢ] ἢ καὶ E ποσὸν] τὸ ποσὸν D 31 ξηρίον τὸ] D: ξηρίον ABCEFGHKM

ἀπό τε γῆς ἀςτέρος καὶ Λημνίας ςφραγῖδος κοραλλίου τε καὶ ςυμφύτου καὶ ἀμύλου, πάντων ἴςων. ἐπὶ δὲ τῶν κατὰ διάβρωςιν, καὶ μάλιςτα κατάρρου προηγηςαμένου, καὶ ὀπίου μέρος L´ μίγνυμεν· καὶ τὸ λαμβάνον δὲ Σαμίου ἀςτέρος, ἀγηράτου λίθου, Λημνίας ςφραγῖδος ἴςα καλόν ἐςτιν ὅςον δύο κοχλιαρίων ποςὸν πινόμενον ἐν δύο κυάθοις ἀρνογλώςςου χυλοῦ.

Ἄλλο. Λημνίας ςφραγῖδος ⟨ ι̅ϛ̅, Σαμίου ἀςτέρος ⟨ ι̅η̅, ἀμύλου ⟨ η̅, ςαρκοκόλλης ⟨ δ̅, κόμμεως ⟨ β̅, ξηρίου κοχλιάρια ι̅α̅ μετὰ ἀφεψήματος φοινίκων κυάθων β̅. καταρροφείτωςαν δὲ καὶ ὀξύκρατον ψυχρὸν ἢ φοινίκων ἢ μήλων ἢ ἀπίων ἢ ἑλίκων ἀμπέλου ἢ τοιούτου τινὸς ἀφέψημα.

4 τρεφέςθωςαν δέ, εἰ μὲν ἡ δύναμις ἐπείγοι, περὶ δευτέραν ἢ τρίτην ὥραν, εἰ δὲ μή, περὶ τετάρτην· ἔςτω δέ ςοι ἄρτος πλυτὸς ἐκ ψυχροῦ ἢ ἄλιξ ἢ χόνδρος μετά τινος τῶν ςτυφόντων χυλῶν, οἷον ῥοιᾶς ἢ μύρτων ἢ ὀμφακομέλιτος, ἢ ᾠὰ ῥοφητὰ ἢ τῶν διὰ γάλακτός τι πεμμάτων μετά τινος τῶν ςτυφόντων· λαχάνων δὲ ςέριν, κιχώριον, ἀρνόγλωςςον ἑφθὰ ςὺν ὠμοτριβεῖ ἐλαίῳ καὶ ὄξει· ὀπωρῶν δὲ μῆλα, ἀπίους, μέςπιλα, ῥοιάς, κράνου καρπόν. ποτὸν δὲ ἀπυρέτοις μὲν αὐτοῖς οὖςιν οἶνος ὑδαρὴς ὀλίγος ἔςτω, πυρέττουςι δὲ τῶν εἰρημένων τι πομάτων ἢ τὸ Κιβυρατικὸν ὑδρόμηλον. καὶ τοὺς ἐμοῦντας δὲ τὸ αἷμα τοῖς αὐτοῖς ἀκτέον τότε τρέφειν μόνον ςυχνῶς φυλαττομένους· εὐίατοι γάρ εἰςιν οὗτοι, καθότι καί τὰ προπινόμενα τῶν βοηθημάτων ἄντικρυς αὐτοῖς ὁμιλεῖ τοῖς αἱμορραγοῦςι μορίοις. αἵματος δὲ κατὰ τὴν γαςτέρα θρομβωθέντος πυτίαν ποτιςτέον, καὶ μάλιςτα λαγῴαν, ἢ ςυκίνην κονίαν μεθ᾽ ὕδατος ἢ θύμον ἢ θύμβραν μετ᾽ ὄξους, ἢ καὶ διὰ τοῦ ςχιςτοῦ γάλακτος αὐτοὺς κενωτέον ἢ δι᾽ ἀλόης. ἐπὶ δὲ τῶν ἀπὸ τῆς ὑπερῴας διὰ χρέμψεως πτυόντων τοῖς ἀπὸ τῶν ςτυφόντων ἀναγαργαριςμοῖς χρηςτέον καὶ τῷ μετώπῳ καὶ τῇ κεφαλῇ προςοιςτέον τὰ τοῖς ἐκ ῥινῶν αἱμορραγοῦςι προςφερόμενα.

5 αὕτη τῶν αἱμοπτυϊκῶν ἡ θεραπεία, ἣν ἐςπουδαςμένως δεῖ ποιεῖ-

λα´ 4 *cf. Alexander Trall. II 191 sq.* 22—24 *Aëtius VIII 71*
λα´ 5 *cf. Alexander Trall. II 209*

1 ἀςτέρος] ςαμίας E λημνία H: λιμνία EK *post* ςφραγῖδος *del.* ἴςα καλόν ἐςτιν A κοραλλίου . . . ςφραγῖδος *(4) om. a* 2 ἴςον CGK ἀνάβρωςιν *corr. ex* βρῶςιν M², *mrg.* διὰ M 4 λαμβανόμενον AE 5 δύο *om.* D κοχλιάριον *comp.* D κοχλιαρίων δύο E ποςὸν *om.* D*a* πινομένων D 7 ⟨ ι̅ϛ̅ *om.* D ⟨ ι̅η̅] *om.* D: ⟨ η̅ K*a*: ⟨ ι̅ϛ̅ H ἀμύλου ⟨ η̅] *om.* M: ἀμύλου ἀνὰ ⟨ η̅ D 8 ⟨ δ̅ *om.* D ⟨ β̅] ⟨ η̅ *e corr.* M, *ante* ⟨ *ins.* ⟨ β̅ ἀμύλου: ἀνὰ ⟨ δ̅ D ξηρίου] ξηρίου δίδου K: ξηροῦ D κοχλιάριον KM*a*, *comp.* D ι̅α̅] ἓν K*a*: α̅ D *et corr. ex* ι̅α̅ M 9 ἢ φοινίκων . . . ἀπίων *(10)*] *om.* FG: *mrg.* C² 10 ἀμπέλων K τινος τοιούτου D ἀφεψήματος CFG 11 μὲν *om. a* 12 ἔςτωςαν M: ἔςτιν K ςὺ K: *om. a* 13 ψυχόντων BE, *mrg.* γρ. ςτυφόντων 15 ςέριν] ςέρριν δίδου D 16 καὶ] aut *a* 17 ἀπίους] καὶ ἀπίους καὶ D ῥοιάς . . . καρπόν] καὶ ῥοιὰς καὶ κράνια D 19 κιβυρωτικὸν AE: κιβυρραιωτικὸν D 20 τότε] τὸ K: *om.* D: uero *a* μόνον] τότε μόνον D: μόνον αὐτοὺς H 21 προςπινόμενα H: que bibuntur *a* 22 δὲ] δὲ καὶ ABHM, καὶ *eras.* M 23 λαγείαν D 24 θρύμβαν ABK: θρύμβον D 26 δι᾽ ἀποχρέμψεως CFG: δι᾽ ἀναχρέμψεως D: *om. a* ἀναγαργαριςμάτων K: ἀναγαργαρίςμαςι D 28 (que) proferuntur *a* 29 αἱμοπτυϊκῶν] DFK: αἱμοπτοικῶν ABCGHM: αἱμοπτωικῶν E

cθαι διὰ τὸν ἐκ τῆc ἀμέτρου κενώcεωc κίνδυνον· τὸ μὲν γὰρ πλῆθοc τοῦ κενουμένου, καθάπερ ἐπὶ τῶν cφαττομένων, cύντομον ἐποίcει τὸν θάνατον, ἡ δὲ τοῦ πάθουc ἐπιμονὴ τὴν εἰc φθίcιν ἀπειλεῖ μετάcταcιν. ἁπάντων οὖν κατὰ λόγον πραχθέντων καὶ παυcαμένηc τῆc φορᾶc τοῦ αἵματοc ἀνακομιcτέον αὐτοὺc ἰχθύν τε παρέχονταc καὶ τῶν νέων cυῶν τοὺc πόδαc τε καὶ τοὺc ἐγκεφάλουc καὶ ἀνατρίβεcθαι τὸ cῶμα κελεύονταc φυλαττομένουc λουτρῶν τε cυνεχῆ χρῆcιν καὶ οἰνοποcίαν καὶ ὀξυθυμίαν καὶ ἀφροδίcια.

## λβ΄. Περὶ ἐμπύων καὶ φθίcεωc.

**1** Ἐμπύημα κατὰ τὰ κενὰ τοῦ θώρακοc ἤτοι κατὰ τὸν ὑπεζωκότα cυνίcταται ποτὲ μὲν δι᾽ αἵματοc ἀναγωγὴν μὴ cυνουλωθέντοc τοῦ ἕλκουc, ἐφ᾽ ᾧ καὶ φθίcιc εὐθὺc ἕπεται, εἰ ἐκ τοῦ πνεύμονοc ἡ ἀναγωγή, ποτὲ δὲ φλεγμονῆc ὑπαρξάcηc, εἶτα ἀποcτάcηc καὶ ῥαγείcηc, ὥc που κἀπὶ τῶν πλευριτίδων ἔcθ᾽ ὅτε γίνεται, ἢ καὶ διὰ cύρροιαν ἐκ τῆc κεφαλῆc γενομένην. cημεῖα οὖν ἔτι cυνιcταμένου τοῦ ἐμπυήματοc βάροc ἔcται τοῦ θώρακοc καὶ βὴξ cύντονοc ξηρὰ cὺν ὀδύνῃ, ἔcθ᾽ ὅτε δὲ καὶ μεθ᾽ ὑγρότητοc, ἐφ᾽ ᾗ καὶ δοκοῦcι κουφίζεcθαι· πυρετιά τε κατ᾽ ἀρχὰc αὐτοῖc γίνεται βληχρὰ καὶ ἄτακτα καὶ δυcκρινῆ, πρὸc δὲ τῇ ῥήξει τοῦ ἀποcτήματοc ὄντοc cφοδρότερον πυρέττουcι μετά τινοc φρίκηc ἔν τε τῇ διαλέκτῳ cυνδιώκονται ὀχλούμενοι τῷ πνεύματι. ῥαγέντοc δὲ τοῦ ἀποcτήματοc πῦον ἀνάγεται ποτὲ μὲν καθαρόν, ποτὲ δὲ τρυγῶδεc, καὶ ποτὲ μὲν ἄνω ῥήγνυται τὸ ἀπόcτημα, ὅτε καὶ κινδυνωδέcτερόν ἐcτι, ποτὲ δὲ καὶ κάτω· καὶ τῶν κάτω τὸ μὲν εἰc κοιλίαν καὶ ἔντερον μεταλαμβάνεται, τὸ δὲ εἰc κύcτιν, τῆc μεταλήψεωc δι᾽ ἀγγείων τινῶν γινομένηc. πυρέττουcι δὲ διὰ παντὸc ἑκτικὸν πυρετὸν ἄχρι ἀνακαθάρcεωc, ἥτιc εἰ μὴ cπουδαcθείη, ταχέωc εἰc φθίcιν μεθίcταται τὸ ἐμπύημα τοῦ πνεύμονοc τὴν ἕλκωcιν ὑπομένοντοc, ἐφ᾽ ἧc ἤδη cυcτάcηc αἵ τε παρειαὶ πελιδνοῦνται, καὶ κατὰ τοῦ μετώπου καὶ τοῦ τραχήλου περιιδρώcειc γίνονται, αἵ τε cάρκεc cυντήκονται, καὶ οἱ ὄνυχεc γρυποῦνται, καὶ λιπαροὶ καὶ ἔκλευκοι ἢ ἔξωχροι φαίνονται. τοῦ δὲ πάθουc ἐπικρατοῦντοc ἥ τε κοιλία ἐκταράccεται, καὶ τὸ ὑποχόνδριον ἀναcπᾶται, δίψα τε αὐ-

λβ΄ *cf. Oribasius, Synops. IX 3—4; Aëtius VIII 73, 75*

2 κεκενωμένου D 5 ἰχθῦc D 9 ἐμπυημάτων D καὶ *om.* A φθίcεωc] *e corr.* B: *corr. ex* φθιάcεωc M: φθιcιάcεωc H: φθίcεων D: διαθέcεωc A 10 ἐμπυήματα K 12 ὧν D εὐθὺc *om.* M εἰ] ABDEHM*a*: ἡ CGK: τῇ *e corr.* F ἡ *om.* FGK: *supra scr.* C² ἀγωγή CM, *corr.* C²M 13 δὲ] δὲ καὶ E ὑπαρξαμένηc K, *infra ad* ἔcθ᾽ *(14) ins.* ὑπαρξάcηc K² εἶτα ἀποcτάcηc *om. a* ὥc που] ABDEK: ὥcπερ CFGHM(*a*) 14 κἀπὶ] in *a* ἢ *om. a* καὶ *om.* D 15 γενομένων CG, *corr.* C²: γινομένων F: γινομένην D ἔτι] ἐcτι D 16 ἔcται] τε D cκληρὰ D δὲ *om.* DK*a* 18 ῥήξει] *corr. ex* ῥίζει B: ῥίζῃ H 19 ὄντοc] ἔτι K: *om. a* cφοδρότερον . . . ἀποcτήματοc *(21) om.* E πυρέττουcιν ACG, -ν *eras.* B: πυρέcουcιν H 23 καὶ *(sec.) om.* EF*a* τὸ] BCDGM*a*: *om.* AE: τῶν FK: ποτὲ H ἔντερα D 25 ἄχριc E 29 τε] uero *a* 31 αὐτοῖc K

τοὺς ἐπὶ πλέον ἔχει καὶ ἀνορεξία, καὶ τὸ ἀναφερόμενον δυςῶδες ὑπάρχει σφόδρα.

Θεραπεία. 2

Δεῖ τοίνυν πρῶτον μὲν τῇ πέψει τοῦ ἐμπυήματος συνεργεῖν διά τε επόγγων πυριῶντας καὶ καταπλάσσοντας δι' ἀλεύρων κριθῆς σὺν ἰσχάσιν ἑφθαῖς καὶ ῥητίνῃ ὀλίγῃ καὶ περιστερῶν κόπρῳ καὶ νίτρῳ καὶ ἐβίσκῳ· συνεργεῖ δὲ τῇ ῥήξει καὶ ἡ ἐπὶ τὸ ἀπαθὲς πλευρὸν κατάκλισις. καταρροφείτωσαν δὲ ἐκ διαστημάτων μελίκρατον καὶ χυλὸν πτισάνης μετὰ μέλιτος· οἱ δὲ εὐτονώτεροι πινέτωσαν καὶ ἀπόζεμα ὑσσώπου καὶ θύμου μετὰ μέλιτος. συνεργεῖ δὲ πρὸς τὴν ῥῆξιν καὶ ταριχοφαγία καὶ τῆς διὰ κολοκυνθίδος ἱερᾶς καταπότια πρὸς κοίτην λαμβανόμενα. ἀρξαμένου δὲ ἐκκρίνεσθαι τοῦ πύου αὖθις διδόναι τὸ ἀπόζεμα τοῦ ὑσσώπου καὶ ἴρεως καὶ γλυκυρίζης ἑψηθέντων ἐν μελικράτῳ ἢ τὴν γλυκύριζαν λειωθεῖσαν μετὰ σησάμου καὶ καταπλάσσειν γύρει ἐν μελικράτῳ καὶ ἐλαίῳ ἑψηθείσῃ. δυσανακαθάρτου δὲ τῆς ἑλκώσεως οὔσης τοῖς συνθέτοις χρηστέον, οἷόν ἐστι τό τε διὰ πρασίου ἁπλοῦν καὶ σύνθετον καὶ τὸ δι' ὀρόβων τό τε δωδεκάθεον καὶ τὸ Φιλοξένου προσαγορευόμενον. τοῖς δὲ εἰς φθίσιν μεταπεσοῦσι δίδου κεφαλωτὰ πράσα συντετηκότα τοῖς ἀπὸ χόνδρου ἢ πτισάνης ῥοφήμασιν· ἤδη δὲ καὶ καθ' ἑαυτὰ δὶς ἑψημένα δοτέον. τὸ δὲ πινόμενον ὕδωρ ὄμβριον ἔστω καὶ μελίκρατον ἐξ αὐτοῦ. καταπλασσέσθωσαν δὲ κατ' ἀρχὰς τῶν ἀνέσεων τοῖς διὰ λινοσπέρμου καὶ γύρεως δι' ἀφεψήματος τήλεως ἢ μαλάχης ἐλαίου τε καὶ μέλιτος καὶ φύλλων ἀλθαίας. χρόνου δὲ παρεληλυθότος ἐπὶ τὰς κηρωτὰς μεταβατέον τὰς διὰ βουτύρου καὶ κυπρίνου καὶ δαφνίνου καὶ ἴρεως· καὶ τῇ Μνασαίου δὲ χρηστέον ἐμπλάστρῳ. ῥευματιζομένων δὲ τῷ θώρακι τῆς δι' ἰτεῶν ἐπιθετέον· προποτιστέον τε αὐτοὺς τὰ ἔμπροσθεν ἐπὶ τῶν ἐμπύων ἁπλᾶ λελεγμένα καί τινα τῶν συνθέτων. τῆς δὲ βηχὸς χαλεπῶς ἐπικρατούσης θύμον καὶ ὕσσωπον μετὰ χυλοῦ γλυκυρίζης μέλιτι ἀπέφθῳ ἀναλαβὼν καὶ πλάσας ὑπὸ τῇ γλώττῃ δίδου κρατεῖσθαι· ἁρμόσει δ' ἂν αὐτοῖς καὶ ἡ Μιθριδάτου ἐκ διαλειμμάτων ἀντίδοτος καὶ ἡ διὰ ἐχιδνῶν. ἄριστον δὲ τούτοις βοήθημα καὶ ἡ Ἀρμενία βῶλος πινομένη καὶ ἡ Ἔσδρα ἀντίδοτος οὐδὲν ἧττον τῶν εἰρημένων.

1 ἐπὶ πλέον *om.* D   ἔχειν K   4 τοίνυν] οὖν E: *om. a*   μὲν] ἐν D   8 χυλὸς K   9 οἱ . . . μέλιτος *(10)*] *om.* FGH: *mrg.* C[2]   καὶ *(pr.) om. a*   10 μετὰ] καὶ ὀριγάνου μετὰ D   11 τῆς . . . ἱερᾶς] ἡ ἱερά D   ἱερὰ *corr. ex* ἱερὸς F: iera *a*   καταπότια . . . λαμβανόμενα] *pro titulo* CDG*a*   πρὸς] εἰς D   *ante* ἀρξαμένου *hab.* ἄλλο F   12 τοῦ *(alt.) om.* D   13 γλυκεῖαν ῥίζαν K   15 ἑψηθεῖσι AF: ἑψηθεῖσιν E   17 τό τε δωδεκάθεον] dandum *a*   φιλόξενον D   19 δὲ *om.* E   δὶς ἑψημένα] διηψημένα D   21 κατ'] κατὰ τὰς DK   22 τύρεως CG   δι'] καὶ AEHM   25 Μνασέου DH*a*: μνασαλέου F   ῥευματιζομένων] -ν *eras.* M: ῥευματιζομένῳ D   26 τῆς] τὴν CDG   τε] οὖν D   27 λεγόμενα FM   28 θύμου καὶ ὑσσω῀ (π supra) E   29 πλάσσας CGM, *corr.* M   30 ἁρμόσει] *seq. ras. 2 litt.* K: ἁρμόζει D   ἂν *om.* DF(*a*)   31 ἀρμενιακὴ CFG   32 πινομένη *om.* D

## λγ΄. Περὶ πλευρίτιδος.

1 Ἡ κυρίως πλευρῖτις φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος ἐστίν, ᾗ συνεδρεύει δύσπνοιά τε καὶ βὴξ καὶ συνεχὴς πυρετὸς καὶ πόνος διήκων ἄχρι κλειδὸς καὶ ὑποχονδρίου. διακρινεῖς δὲ τὴν πλευρῖτιν τῆς ἐν ἥπατι φλεγμονῆς (καὶ γὰρ ἐπ᾽ ἐκείνης ἅπαντα ταῦτα φαίνεται) τῷ τοῖς μὲν πλευριτικοῖς νυγματώδη τε τὴν ὀδύνην γίνεσθαι καὶ τὴν βῆχα ποτὲ μὲν ἄπτυστον, ὅτε καὶ ἄπεπτον δηλοῦται τὸ νόσημα, ποτὲ δὲ καὶ πτύελον ἀναφέρουσι δηλωτικὸν τοῦ τὴν νόσον ἐργαζομένου χυμοῦ (ἐρυθρὸν μὲν γὰρ καὶ ὕφαιμον αἵματος πλεονάζοντος ἀνάγεται, ξανθὸν δὲ καὶ ὕπωχρον τῆς ξανθῆς χολῆς, ὥσπερ αὖ λευκὸν καὶ ὕπαφρον τοῦ φλέγματος, ἐπὶ δὲ τῷ μελαγχολικῷ χυμῷ μελάντερον), καὶ τὸν σφυγμὸν σκληρόν τε καὶ ἐμπρίοντα ἴσχουσι· τοῖς δὲ τὸ ἧπαρ φλεγμαίνουσι μήτε νυγματώδη τὸν πόνον εἶναι μήτε τὸν σφυγμὸν ἐπὶ τοσοῦτον σκληρόν, ἀλλὰ καὶ τὴν βῆχα διὰ παντὸς ξηράν τε καὶ ἄπτυστον γίνεσθαι καὶ τὸ πρόσωπον ἀχρούστερον φαίνεσθαι. ὅσαι δὲ πλευρίτιδες διὰ τὴν τῶν ἔξωθεν μυῶν γίνονται φλεγμονήν, αἵτινες οὐδὲ κυρίως εἰσὶ πλευρίτιδες, μετὰ τοῦ μήτε βήττειν μήτε πτύειν μήτε σκληρὸν εἶναι τὸν σφυγμόν, ἤν τις τῇ χειρὶ ψαύσῃ τοῦ πεπονθότος τόπου, ἀλγοῦσι, καί, εἰ μὴ διαφορηθῇ, πυωθεὶς ὁ ὄγκος ἐπὶ τὰ ἐκτὸς ἐπιτμηθῆναι παραγίνεται, τῆς ἐπὶ τῇ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος φλεγμονῇ πλευρίτιδος οὐκ ἐπὶ τοῦτο φερομένης· ἐκείνη γάρ, εἰ μὴ φθάσοι ἀνακαθαιρομένη ἢ ἐκτὸς ἢ ἔνδοθεν ἐμπύημα, πολὺ πρότερον εἰς περιπνευμονίαν μεθίσταται.

2

### Θεραπεία.

Εἰ μὲν οὖν ἄχρι κλειδὸς ἡ ὀδύνη διατείνει, φλεβοτομητέον αὐτούς, εἰ δὲ εἰς ὑποχόνδριον, κάτω καθαρτέον· οἱ νεώτεροι δὲ πάντας φλεβοτομοῦσι δεδιότες, οἶμαι, τὸν ἐκ τῆς καθάρσεως τάραχον. μὴ συγχωρούσης δὲ τῆς δυνάμεως μηδέτερον πραχθῆναι κλυσμοῖς δριμέσι χρη-

λγ΄ *cf. Aëtius VIII 76* λγ΄ 1 *Alexander Trall. II 229 sqq.; cf. Oribasius, Synops. IX 7* λγ΄ 2 *cf. Alexander Trall. II 231 sqq.; Oribasius, Synops. IX 7 = Ad Eunap. IV 80*

4 τῆς] ἐκ τῆς D 5 γὰρ] γὰρ καὶ D 9 μὲν] *supra scr.* M πλεονάσαντος E 10 αὖ] οὖν DE: *om. a* 12 τε *om.* K 13 μήτε *(alt.)*] μηδὲ K 13. 14 σκληρὸν ἐπὶ τοσοῦτον D 14 ἄπεπτον K 15 γίνεσθαι] εἶναι D φαίνεσθαι] fit *a* ὅσοι (ς supra) K δὲ *om. a* 19 διαφορηθείη D ποιωθεὶς K: πυοθεὶς G *et corr. in* πυωθεὶς M, *supra scr.* ποιη M²: ποιη *supra add.* J: ἢ πυωθείη D ἐπὶ] π (ε supra) D ἐπιτμηθῆναι] ἐπὶ τὸ τμηθῆναι D 20 τῆς] *seq. ras.* B: τῆς τε AE: τις K τῇ *om.* DFK ὑμένος *om.* D φλεγμονῆς DF: flegmone aut *a* 21 πλευρίτιδι E τοῦτο] *mut. in* τούτῳ M: ω *supra add.* J 22 πολὺ πρότερον] σχεῖν D: *om. a* 25 μὲν *om. a* οὖν *om.* D διατείνει] CDGKM*a*: διατείνῃ ABE: διατείνοι F *post* αὐτούς *ins.* τὴν ὁμοιαίαν (*h. e.* ὠμιαίαν) K³ 26 δὲ νεώτεροι CFG πάντες CFG, *corr.* C² 28 πραχθῆναι] *corr. ex* παραχθῆναι H: προαχθῆναι AE, *corr.* A κλυσμοῖς] ἀλλὰ κλυσμοῖς E

στέον καί, εἰ μὲν μέτριον ᾖ τὸ ἄλγημα, μετὰ τὸ κλύσμα δοτέον αὐτοῖς μελίκρατον καὶ τὸν τῆς πτισάνης ἢ τοῦ χόνδρου χυλόν, παρακμάσαντος δὲ τοῦ πάθους ἐμβλητέον τοῖς χυλοῖς πράσον ἢ καλαμίνθην ἢ γλήχωνος, καὶ τὸ τῆς κνίδης σπέρμα σὺν μέλιτι ἐκλειχέτωσαν. τὰ δὲ σφοδρὰ τῶν ἀλγημάτων μετὰ τὴν κένωσιν παρηγορητέον ἐρίου θερμοῦ ἢ τεθειωμένου ἐπιθέσει ἢ ταῖς διὰ κέγχρων ἢ πιτύρων ἐν μαρσίππῳ πυρίαις ἢ διὰ θερμοῦ ὕδατος ἢ ἐλαίου ἐν κύστει, ἔριά τε οἰσυπηρὰ ἐπιτιθέναι σὺν ἐλαίῳ καὶ οἴνῳ τεθαλασσωμένῳ, ἤγουν ἁλῶν ἐπιβλητέον, ἢ τῷ διασπέρμῳ καταπλαστέον δι᾽ ἀποζέματος χαμαιμήλων καὶ ἀλθαίας ἢ ἰσχάδων καὶ ἴρεως καὶ ἀψινθίου μέλιτός τε ὀλίγου σὺν ἐλαίῳ ναρδίνῳ· περὶ δὲ τὴν τετάρτην ἡμέραν θρέψομεν τοῖς ῥοφήμασι σὺν ὀλίγῳ μέλιτι, μετὰ δὲ τὴν ἑβδόμην ἔκλειγμα διά τε ἀμυγδάλων καὶ κνίδης σπέρματος ἐν μέλιτι συλλειωθέντων δώσομεν ἢ τὸ διὰ βουτύρου καὶ μέλιτος συνεψημένων ἔκλειγμα, καὶ τῇ ἐκ μέλιτος ἑφθοῦ χρηστέον ὑπογλωττίδι. ἐπιθέμασι δὲ τῷ τε δυσώδει καὶ τῷ διὰ σαμψύχου καὶ τῇ πηγανηρᾷ ἐμπλάστρῳ κατὰ τῶν ὀδυνωμένων χρησόμεθα τόπων· καὶ βολβοὶ δὲ σὺν ὀξυγγίᾳ τεθέντες πολλάκις ἤρκεσαν, ἐνετέον τε αὐτοὺς διά τε βουτύρου καὶ τερεβινθίνης. τῶν δὲ δραστικωτέρων ἔκλειγμα μὲν τὸ διὰ πιτυίδων καὶ ἀμυγδάλων πικρῶν καὶ λινοσπέρμου καὶ στροβίλου καὶ ἀμύλου ἴσων μετὰ μέλιτος δώσομεν, ἀγρυπνοῦσι δὲ αὐτοῖς καὶ τὸ διὰ κωδυῶν ἐκλείχειν ἁρμόσει· ἀντιδότων τε τῇ τε ἀθανασίᾳ καὶ ταῖς πρὸς τοῦτο συντιθεμέναις χρησόμεθα. μετὰ δὲ τὴν τεσσαρεσκαιδεκάτην ἐπιμένοντος τοῦ πάθους σικυαστέον τε αὐτοὺς καὶ φυλακτέον ἐπὶ τῆς λεπτοτέρας διαίτης· κἄπειτα παρακμῆς γενομένης ἐπί τε λουτρὸν ἀκτέον φυλαττομένους τὸ ψυχρὸν καὶ τῇ ἁδροτέρᾳ διαίτῃ χρηστέον. εἰ δὲ μὴ διαφορηθεῖσα τοῦ ὑπεζωκότος ἡ φλεγμονὴ τὴν εἰς πῦον ἐμφαίνοι μεταβολήν, τοῖς ἔμπροσθεν εἰρημένοις χρηστέον.

### Πρὸς τὰς ἄνευ πυρετοῦ τῶν πλευρῶν ὀδύνας. 3

Πλευρῶν δὲ ὀδύνας ἄνευ πυρετοῦ βδέλλιον ἰᾶται καὶ κόστος κράμβης καυλῶν καυθέντων τῇ τέφρᾳ καὶ στέατι μιγνύμενα· διαφορητικὸν γὰρ ἰσχυρῶς ἐστι τὸ φάρμακον.

λγ΄3 *Oribasius, Synops. IX 8 = Ad Eunap. IV 80; cf. Alexander Trall. II 241*

1 ᾖ] *corr. ex* εἰ M: εἴη CDFG 3 πράσων F καλαμίνθα K: καλαμίνθης CG: *comp.* F 4 γλή$^{\chi}$ D: γληχώνη E: glichona *a* 6 ἢ *(sec.)*] ἢ καὶ M: *om.* D ταῖς] ταῖς τε D 7 ἐν] infusione et lane succide superpositione aut oleo in *a* 8 οἴνου τεθαλασσωμένου D ἤγουν] ἢ D 9 δισπέρμῳ CGK, *corr. ex* διασπέρμῳ BM 11 θρέψομεν] CDF: θρέψωμεν GK: θρέψον ABEHM*a* 13 συνλειωθέντων EHK 14 συνεψημένον ACFGM: συνεψομένων D: *om. a* καὶ] καὶ μέντοι καὶ D 16 πηγανερᾷ FH dolentem utimur locum *a* 17 ὀξυγγίᾳ] στέατι D τε αὐτοὺς] δὲ αὐτοῖς D 18 δὲ] τε CFG 19 στροβίλου] CDK: στροβήλου G: στροβήλων F: στροβιλίου ABHM: στροβιλλίου E: strombilii *a* 20 ἴσα D 21 antidoto *a* τε *(pr.)*] δὲ K τε *(alt.) om.* D τοῖς D τούτῳ ACGM 22 συντεθειμέναις K: συντιθεμένοις D τεσσαρισκαιδεκάτην BKM: ιδ EF: ιδ ἡμέραν D 23 τε *om.* DFG ἐπὶ . . . διαίτης *(24)*] subtiliorem dietam *a* 26 ἐμφαίνει DF*a* 28 πυρετῶν CFG*a*: *comp.* D 29 κράμβης] καὶ κράμβης D 30 ἡ τέφρα D καὶ *om.* D 31 ἐστιν ἰσχυρῶς D ἐστιν E: *om. a*

## λδ΄. Περὶ τῶν τῆς καρδίας παθῶν.

1 Αὐτὴ μὲν ἡ καρδία κατὰ πρωτοπάθειαν πάσχουσα πόρρω τυγχάνει τῆς τῶν ἰατρῶν συμμαχίας ὀξὺν ἐπιφέρουσα τὸν θάνατον ἐπί τε φλεγμοναῖς αὐτῆς καὶ ἐρυσιπέλασι καὶ δυσκρασίαις ἰσχυραῖς ἐν ὀξυτάτοις πυρετοῖς ἢ αἱμορραγίᾳ τρωθεῖσα, κατὰ τὴν ἀριστερὰν μάλιστα κοιλίαν· κατὰ συμπάθειαν δὲ πάσχουσα ἐπί τε ἐγκεφάλῳ καὶ ἥπατι καὶ στόματι γαστρὸς λύπῃ τε καὶ φόβῳ καὶ ἑτέροις πλείοσι τὴν καλουμένην ἐποίσει συγκοπὴν ἀθρόαν οὖσαν τῆς δυνάμεως κατάπτωσιν ἐκλύσεσί τε καὶ λειποθυμίαις καὶ μικροσφυξίαις ἄκρων τε περιψύξεσι καὶ περιιδρώσεσι δηλουμένην, ἥτις ἰσχυρὰ μὲν οὖσα καὶ αὐτὴ τῶν ἀβοηθήτων ἐστίν, ἔτι δὲ πosῶς συνισταμένης τῆς δυνάμεως ἔσθ' ὅτε βοηθεῖται. καὶ παλμοὶ δὲ τῆς καρδίας ἰσχυροὶ γίνονται πολλάκις ἐπὶ πλήθει ἢ ζέσει τοῦ ἐν αὐτῇ αἵματος· αὐτὴ δὲ θερμανθεῖσα μὲν μεγάλην ἐργάζεται καὶ πυκνὴν τὴν ἀναπνοήν, ψυχθεῖσα δὲ μικρὰν καὶ ἀραιάν. τῶν μὲν οὖν καρδιακῶν συγκοπῶν τὴν ὅλην διόρθωσιν ἐν τοῖς τῶν πυρετῶν συμπτώμασι κατὰ τὸ δεύτερον εἴπομεν βιβλίον· τοσοῦτον μέντοι προσθετέον ἐνταῦθα, ὡς ἐπικρατοῦντος τοῦ συμπτώματος μετὰ τὰς τῶν ἄκρων ἀνατρίψεις τε καὶ ἀλοιφὰς καθαρισμούς τε τοῦ ἐδάφους καὶ τὴν ἄλλην ψυχαγωγίαν ἐμπλαστέον τε τοῖς ἱδροῦσι τοῦ σώματος μέρεσιν μυρσίνην λείαν ἢ Κιμωλίαν ἢ ἤλεκτρον ἢ σίδια μετὰ μάννης ἢ Σαμίαν γῆν μετὰ κόμμεως, τὰ δὲ ἄκρα κατεψυγμένα μέχρι βουβώνων καὶ μασχαλῶν καταπλαστέον νάπυϊ ἢ πυρέθρῳ ἢ ἀδάρκῃ. τροφὴ δὲ ἄρτος ἐξ ὕδατος ἢ ἐξ οἴνου ψυχροῦ κεκερασμένου, πόδες ὕειοι, ἀγκύλαι, ῥύγχη, πτηνά, πάντα ψυχρά. τὴν δὲ κεφαλὴν καὶ μέτωπον ἐπιχρίειν ὀμφάκιον ἤ τι στυπτικὸν μετὰ κόμμεως ἢ ἀφεψήματος ῥόδων. κατάπλασμα δὲ τοῖς ὑποχονδρίοις καὶ στομάχῳ διὰ φοινίκων, ῥόδων, οἰνάνθης, ἀκακίας, ὑποκιστίδος, στυπτηρίας.

2

### Περὶ παλμοῦ καρδίας.

Οἶδά τινα, φησὶν ὁ Γαληνός, κατ' ἐνιαυτὸν ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα τῆς καρδίας, κἀπειδὴ τρισὶν ἔτεσιν ἐπειράθη

λδ΄ 1 *cf. Galenus VIII 298 sqq.* 16 δεύτερον] *II 36—37* λδ΄ 2 *Oribasius, Synops. IX 6; Aëtius VIII 64* 29 Γαληνός] *VIII 305*

3 τὸν *om.* D φλεγμονῆς HK, *corr.* H² 7 ἐποίει E: ποιεῖ K: faciet *a* 9 σμικροσφυξίαις D τε] τε καὶ K περιπτύξεσι K 10 καὶ] κρείσσων καὶ D ἀβοηθήτων] βοηθημάτων D 11 καὶ *om. a* 12 ἐπὶ] ἐπί τε D 13 μὲν *om.* D 16 πρόσθετον HM, *corr.* M 17 ὡς] ὥσπερ K συμπτώματος] νοσήματος D 18 καθαρισμούς] ῥαντισμούς F: πεπασμένου D τῆς ἄλλης D ψυχαγωγίαν] ψυχαγωγίας παρούσης D 19 τε] *om.* K: *ras.* D: δὲ F μέρεσι τοῦ σώματος E*a*, *corr.* E (β—α) 23 κεκρασμένου H: κεκραμένου K ἀγκύλαι] ἢ ἀγκοίλαι K: ἀγκύλη E *et e corr.* M: angcile *a* 24 καὶ] καὶ τὸ D ἐγχρίειν D ὀμφακίνῳ D: ὀμφάκινον AEH*a* ἤ τι] ἤτοι K: ἤ τινι D 25 στυπτικῷ D ἢ] δι' K: ἢ δι' D 26 στομάχῳ] τῷ στομάχῳ ἁρμόσει D 29 ἦρος] CFG: ἦρους ABDEHKM 30 καὶ ἐπειδὴ K

φλεβοτομίας ὠφελούσης, ἔφθασεν ἐπὶ τοῦ τετάρτου φλεβοτομηθείς, πρὶν ἁλῶναι τῷ συμπτώματι, καὶ οὐχ ἥλω· καὶ οὕτως ἔπραττε κατὰ τὸ ἑξῆς πλειόνων ἐτῶν.

### λε′. Περὶ τῶν κατὰ τοὺς μασθούς.

Μετὰ τοὺς τοκετοὺς τυρούμενον πολλάκις τὸ γάλα κατὰ τοὺς μασθοὺς φλεγμονὰς ἀπεργάζεται. χρηστέον οὖν κατ᾽ ἀρχὰς μὲν τοῖσδε· σπόγγον ἁπαλὸν ὀξυκράτῳ χλιαρῷ βρέξας καὶ ἐκπιάσας ἐπιτίθει καὶ ἐπιδέσμει προστετυπωμένως ἢ φοίνικας μετ᾽ ἄρτου σὺν ὀξυκράτῳ λειοτριβηθέντας, ἢ ᾠῷ ὅλῳ χρηστέον μετὰ ῥοδίνου καὶ σὺν ὀλίγῃ κηρωτῇ, ἢ στυπτηρίᾳ καὶ ψυλλίῳ σὺν κοριάννῳ ἢ ἀνδράχνῃ κατάπλασσε ἢ λίθον πυρίτην λεῖον μετὰ κηρωτῆς ἐπιθεὶς ἐπιδέσμει. διατάσεως δὲ γενομένης ἢ θρομβώσεως ἄρτον δι᾽ ὑδρελαίου ἢ οἰνομέλιτος κατάπλασσε ἢ ἄρτον μετὰ περδικιάδος χλωρᾶς ἅμα κηρωτῇ δὶς τῆς ἡμέρας ἢ κυαμίνῳ ἀλεύρῳ μετὰ ὑδρομέλιτος ἢ ἑψήματος· εἰ δὲ μὴ φέροιεν τὸ βάρος, καταβροχῇ διὰ γλυκέος ἐλαίου χρηστέον θερμοῦ δι᾽ ἐρίων τρυφερῶν. πυριατέον δὲ αὐτοὺς ἀτμῷ θερμοῦ ὕδατος ἢ ἀφεψήματι τήλεως ἢ ἀλθαίας ἢ σελινοσπέρμου. καταπλαστέον δὲ αὐτοὺς γύρει σὺν λινοσπέρμῳ ἢ τήλει μεθ᾽ ὑδρομέλιτος ἢ σησάμῳ μετὰ μέλιτος ἢ βουτύρῳ λελειοτριβημένῳ. παραιτεῖσθαι δὲ δεῖ τὴν τῶν μασθῶν ἐκμύζησιν διὰ τοῦ ἀποθηλασμοῦ πλέον ἐπισπωμένην ἐπ᾽ αὐτούς. παρακμαζούσης δὲ τῆς φλεγμονῆς τὰς κηρωτὰς ἐπιβλητέον ταύτας· σεῦτλον ἑψήσας ἐλαίῳ, ἄχρι τακερωθῇ, αὐτὸ μὲν ῥῖψον, ἐπίβαλε δὲ τῷ ἐλαίῳ κηροῦ τὸ σύμμετρον καὶ χρῶ. 1

Ἄλλο. ᾠῶν ὠμῶν πυρρὰ ῑ μῖξον κηρωτῇ ἐχούσῃ κηροῦ ℔ β̄ ∠′ καὶ ῥοδίνου ℔ δ̄ καὶ σπαθίσας βάλε ἅλμης, ὅσον εἰσδέξασθαι δύναται, καὶ αὖθις σπαθίσας χρῶ.

πρὸς δὲ τὰς τῶν μασθῶν σκληρίας ποιεῖ καὶ τὸ διὰ μέλιτος καὶ πάντα τὰ μαλακτικὰ τῶν φαρμάκων· εἰς ἀπόστασιν δὲ τρεπομένου τοῦ ὄγκου τοῖς ἐν τῷ περὶ παρωτίδων λεχθεῖσι καὶ τοῖς λεχθησομένοις ἐν τῷ περὶ ἀποστημάτων χρηστέον.

6—9 *Galenus XIV 447* 9 *Galenus XII 352; Oribasius, Synops. IX 9 = Ad Eunap. IV 82* 10—17 *Galenus XIV 447 sq.* 28 λεχθεῖσι] κδ′ *13* λεχθησομένοις] *V 18*

1 φλεβοτομίας] ABEHKM *cum Or*: τῆς φλεβοτομίας CDFG *cum Gal.* ἐφλεβοτομήθη ABEHM 2 συμπτώματι] πάθει A*a* οὐκ BCGH καὶ *(alt.) om.* D 4 μαστούς D, *ut solet* 5 πολλάκις *om. a* τὸ γάλα πολλάκις K 6 ἐργάζεται CDFG οὖν] μὲν οὖν D μὲν *om.* D 6. 7 τοῖς διὰ σπόγγων ἁπαλῶν K 7 ἐκπιέσας D 8 μετ᾽ ἄρτου *om. a* λειωτριβηθέντας M: λειωθέντας CDFG: solue tritas *a* 9 ἢ] καὶ D χριστέον D 11 πυρῖτιν λείαν D ἐπιθεὶς] CDFGK: ἐπιτιθεὶς ABEHM 12 ἄρτου K: ἄρτῳ D ἄρτῳ D 15 ἐλαίῳ E: ἢ ἐλαίου D 16 ἀφεψήματι] D: elixatura *a*: ἀφεψήματος ABCEFGHK: ἀφέψημα M λινοσπέρμου CDFGK 17 δὲ] τε D αὐτοὺς *om.* D τήλη CG: τήλεως K: τύλην F 18 βουτύρου λελειοτριβημένον K 19 μασθῶν] CFGK: μαστῶν D: μαζῶν ABEHM 20 πλεῖον K ἐπισπασωμένην B 21 ταύτας] eis *a* ἐλαίῳ] ἐν ἐλαίῳ DK 22 αὐτὸν B ἐπίβαλλε D 23 πυρρῶν D β̄] ᾱ D 24 ἅλμην D 28 in parotidis *a* εἰρησομένοις D 28. 29 ἐν τῷ *om. a* 29 ἀποστήματος CFG

2 Ἀρχιγένους πρὸς ἀναβρώσεις μασθῶν μετὰ κακοηθείας.

Οἴνου Ἀδριανοῦ καλοῦ Ξ κ̅, ῥοὸς βυρσοδεψικοῦ λι. α̅, κυπαρίσσου σφαιρίων λι. α̅, κηκῖδος ὀμφακίνης μελαίνης Ƒ ς̅, κασσίας Ƒ ς̅· θλασθέντα ἔμβρεχε τῷ οἴνῳ ἐπὶ ἡμέρας ι̅, εἶτα ἕψεται κινούμενα κυπαρισσίνῃ σπάθῃ, ἕως ἐγγὺς τοῦ ἡμίσεως δαπανηθῇ, καὶ τότε τὰ μὲν βοτάνια ῥῖπτε, ὁ δὲ χυλὸς ἕψεται ἄχρι μέλιτος πάχους, εἶτα καταγγίζεται ἐν ὑαλίνῳ ἀγγείῳ. κέχρησο ἐπὶ τῶν νεμομένων ἀκράτῳ, εἰ δὲ παχύτερον εἴη, οἴνῳ ὑγραίνεσθαι. ἐπιτετευγμένον φάρμακον, ὡς ἂν ἀπιστηθῆναι, πρός τε τὰς ἐν μασθοῖς νομὰς καὶ ὦτα πυορροοῦντα καὶ οὖλα μυδῶντα καὶ δυσεντερίας· ἔστι δὲ καὶ ὀδυνῶν παρηγορικὸν γάλακτι ἀνεθέν. καὶ τὰς ἄλλας δὲ τῶν μασθῶν ἑλκώσεις κοινῶς τοῖς ἄλλοις ἕλκεσι θεραπευτέον.

3 Διαφυλακτικὰ μασθῶν.

Κύμινον σὺν ὕδατι τρίψας κατάπλαττε τοὺς τιτθούς, εἶτα ἔξωθεν ἐπιθεὶς σπόγγον ἀπὸ ὀξυκράτου σφίγγε τὸ στῆθος δεσμίδι, μετὰ δὲ τρεῖς ἡμέρας τὸ κύμινον ἄρας κατάπλαττε τοὺς τιτθοὺς κρίνου βολβῶν μετὰ μέλιτος καὶ δήσας πάλιν ἔα τρεῖς ἡμέρας, καὶ τοῦτο ποίει τρὶς τοῦ μηνός.

Ἄλλο. κώνιον λεάνας ἐπιτίθει ἐπὶ ἡμέρας θ̅ καὶ τὸ σπογγάριον ἔξωθεν, ὡς εἴρηται, καὶ διαλιπὼν ὀλίγας ἡμέρας τὸ αὐτὸ ποίει. καὶ τῆς Ναξίας ἀκόνης τὸ ἀπότριμμα διαφυλάττει τῶν παρθένων τοὺς μασθούς.

λϛʹ. Πρὸς τὰς τῶν μασχαλῶν δυσωδίας καὶ συνιδρώσεις.

Στυπτηρίας ὑγρᾶς μέρη β̅, σμύρνης μέρος α̅· οἴνῳ διαλύσας χρῶ.

Ἄλλο. μολύβδαιναν καύσας καὶ οἴνῳ εὐώδει κατασβέσας τρίβε μετ' οἴνου ὀλίγον σμύρνης ἐπιβάλλων ἄχρι γλοιοῦ πάχους καὶ χρῶ.

Ἄλλο. λιθαργύρου < ις̅, σμύρνης < β̅, ἀμώμου < α̅· οἴνῳ ἀναλάμβανε.

13—20 *Galenus XIV 449* 21—22 *Oribasius, Synops. IX 9 = Ad Eunap. IV 82* 24 *Oribasius, Synops. VIII 38; cf. Ad Eunap. IV 54* 25—26 *Galenus XIV 449 sq.*

1 Ἀρχιγένους *om. a* μετὰ κακοηθείας *om.* F*a* 2 κ̅] II *a* βυρσοδεψικῆς K λι. α̅ *om.* D 3 λι.] ἀνὰ λι. D Ƒ ς̅ *(pr.) om.* D*a* Ƒ *(alt.)*] ἀνὰ Ƒ D*a* πλασθέντα M: θλασθέντων D 4 ἐμβρεχέσθω D τῷ *om.* D ἑψείσθω D 5 ἥμισυ K: ἡμίσεος CD τὰς μὲν βοτάνας *e corr.* B 6 ῥίπτεται DK: proicientur *a* ἑψεῖται D μέχρι CFG 7 ὑελίνῳ EFG κέχρησο] τούτῳ οὖν κέχρησο D 8 ὑγραινέσθω D ἐπιτετευγμένον] ABDHM: ἐπιτετευμένον EK: ἐπιτετεγμένον CG: ἐπιτεταγμένον τὸ F: dispositum *a* ὡς ἂν ἀπιστηθῆναι] ualet *a* ὡς] ὥστε DF ἂν] *om.* CFGK: καὶ D 9 πρός] ἀπό E μυδῶντα οὖλα D 10 καὶ *(pr.)*] CDFG*a*: *om.* ABEHKM 11 θεραπεύει D 14 κυμίνου E κατάπλασσε D τηθούς E 15 ἐπιτιθεὶς DK: superpone *a* τὸ *om.* K στηθοδεσμίδι K δεσμιδίῳ D 16 κατάπλασσε CFG τηθοὺς E κρίνου] ἰρίνῳ D βολβῷ DK: βολβὸν CFGH 19 ἐπὶ *om.* CFG τὸ *om.* D 20 ἡμέρας ὀλίγας M 21 Ναξίας] ναξίας δὲ D: *om. a* 24 β̅] I *a* 26 ὀλίγου D, *deinde add.* ἄλλο ἐπιβαλὼν CFH ἐπιβάλλων . . . β̅ *(27) om.* D πάχος CFGH 27 ις̅] ς̅ ABE, *corr.* B ἀναλάμβανε καὶ χρῶ DFG

Ἄλλο. στυπτηρίας ὑγρᾶς < η̄, ἀμώμου, σμύρνης, ναρδοστάχυος ἀνὰ < δ̄· οἴνῳ ἐκλείου καὶ χρῶ.

## λζ′. Περὶ τῶν κατὰ τὸν στόμαχον καὶ τὰ ὑποχόνδρια καὶ τὴν γαστέρα.

Περὶ μὲν τῆς ἐν πυρετοῖς ἀνορεξίας καὶ βουλίμου καὶ τῆς κυνώδους ὀρέξεως ἀτονίας τε στομάχου καὶ λειποθυμίας, ἔτι δὲ καὶ δίψης καὶ λυγμοῦ καὶ ναυτίας καὶ συγκοπῆς, ἐν τοῖς περὶ πυρετῶν κατὰ τὸ πρὸ τοῦδε δεύτερον βιβλίον αὐτάρκως διώρισται, καὶ πάλιν περὶ τῶν αὐτῶν λέγειν οὐκ εὔκαιρον. αἱ δὲ φλεγμοναὶ τοῦ τῆς κοιλίας στόματος καὶ τοῦ ἥπατος δέονται τῆς τῶν στυφόντων παραπλοκῆς· ἐὰν γὰρ διὰ τῆς χαλαστικῆς ἀγωγῆς μόνης θεραπεύῃ τις, κίνδυνον ἐπάξει περὶ τῆς ζωῆς. δεῖ τοίνυν, εἴτε ἔλαιον εἴη τὸ ἐπαντλούμενον εἴτε κατάπλασμα, παραπλέκειν τι τῶν στυφόντων, οἷον ἀψίνθιον ἢ νάρδινον μύρον ἢ μήλινον ἢ Κυδώνιον ἐνεψήσαντας. κηρωτὴ δέ ἐστιν, ᾗ συνεχῶς χρώμεθα· κηροῦ λευκοῦ ℔ ᾱ, θέρους δὲ < ζ̄, ἀλόης, μαστίχης ἀνὰ < ᾱ, ἐλαίου ὀμφακίνου ἢ μηλίνου καὶ νάρδου κατὰ τὴν χρείαν τὸ ἀρκοῦν πρὸς τὴν σύστασιν. εἰ δὲ πλείονος δέοιτο στύψεως, ὡς μηδὲ τῶν τροφῶν κρατεῖν, προσμιγνύσθω καὶ ὀμφακίου < ᾱ ἢ καὶ ἀψινθίου χυλοῦ τὸ ἴσον καὶ τρίτον ἐπ᾽ αὐτοῖς τῆς ὑποκιστίδος καὶ οἰνάνθης καὶ ῥοῦ χυλοῦ· παραύξειν δὲ χρὴ τῆς κηρωτῆς τὸ πλῆθος ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ. χρονιζούσης δὲ τῆς φλεγμονῆς καὶ σκληρυνομένης ἤδη ποικιλώτερα φάρμακα προσφέρειν δεῖ καὶ τῶν ἀρωμάτων ἔχοντά τι καὶ τῶν μαλακτικῶν καὶ τῶν διαφορητικῶν, οἷόν ἐστι καὶ τὸ διὰ μελιλώτου σκευαζόμενον καὶ τὸ Φιλαγριανὸν καὶ τὸ εὐῶδες. τοῦ χλωροῦ ἰάσπιδος ὁρμαθὸς ἐξαρτώμενος τοῦ τραχήλου, ὥστε ψαύειν τοῦ στομάχου, μεγάλως ὠφελεῖ. ἐπὶ δὲ τῶν θερμῶν τοῦ στομάχου δυσκρασιῶν καὶ καυσουμένων μετ᾽ ἐκλύσεως ἢ λειποψυχίας ἤ τινος ἀνορεξίας ἐξ οἱασδήποτε προφάσεως πλὴν πυρετοῦ ψυχρὸν ὕδωρ δίδου μετ᾽ ὄμφακος χυλοῦ ἢ μήλων Κυδωνίων ἀφέψημα ἢ ἕλικος ἀμπέλου ἢ σικύου σπερμάτια η̄ λεῖα μετὰ ψυχροῦ. ἐπιτίθει δὲ τῷ στο- 1

λζ′ 1—2 *Oribasius, Synops. IX 10 = Ad Eunap. IV 83—84; cf. Aëtius IX 16* 8 δεύτερον] *II 49—51, 57, 59, 52, 56, 54, 36—38* 25—26 *Aëtius IX 19*

2 οἴνου AE ἐκλείου καὶ] λείοις D 4 γαστέρα] γαστέρα παθῶν D 5 βουλίμου] τοῦ βουλίμου D 6 δὲ] τε DK καὶ *(alt.) om.* D δίψης] ψύξεως F 7 τοῖς . . . τὸ] τῷ D 8 δευτέρῳ βιβλίῳ D αὐτάρκως *om. a* τῶν *om.* BK 12 τὴν ζωήν D 14 κυδώνινον H*a* 16 ναρδίνου D 17 πρὸς τὴν σύστασιν *om. a* δέοιντο H μηδὲν D 18 ἢ *om. a* χυλὸν CGH 22 ἤδη] ἤδη ἁρμόσει D προσφέρειν] καὶ προσφέρειν K προσφέρειν . . . μαλακτικῶν *(23) om.* D 23 καὶ *(tert.) om.* D*a* 25 τοῦ] καὶ τοῦ D (*supra add.* -ῆς) χλωροῦ] χλωροῦ (*supra add.* -ᾶς) δὲ D ἰάσπιδος] ἢ ἀσπίδος K ἐξαρτούμενος M: ἐξαπτόμενος K ψαύει K: ψαύειν αὐτοῦ D 27 καὶ . . . ἐκλύσεως] κεκαυσωμένου μετ᾽ ἐγκαύσεως D ἢ] et *a* 29 μήλων] μήλου ἢ K 30 σπερμάτια η̄] *ex Or*: σπέρματι ἢ ACEGHKM: σπέρματος ἢ FM²: σπέρματα C³: σπέρ (μ supra) D: σπέρμα *a et e corr.* B λεῖον F*a*, *e corr.* B

μάχῳ κύστιν πληρώσας ὕδατος ψυχροῦ ἢ κολοκύνθης ξέσματα. καὶ
2 ἄδιψα δὲ καταπότια δοτέον, ὡς ἐν τῷ περὶ δίψης εἴρηται. ψυκτικὸν δὲ καὶ τονωτικὸν πλαδῶντος στομάχου τοῦτο· ῥόδων χλωρῶν τῶν φύλλων < ς̄, γλυκυρίζης χυλοῦ < δ̄, νάρδου Ἰνδικῆς < δ̄· οἴνῳ γλυκεῖ ἀναλάμβανε καὶ ποίει ὑπογλώττια. ἐπὶ δὲ τῶν διὰ πάχος τοῦ φλέγματος θερμαίνεσθαί τε καὶ τέμνεσθαι δεομένων χρήσιμόν ἐστι τόδε· μαράθρου ῥίζης φλοιοῦ ℔ β̄, ὄξους Ξ ᾱ ∟′, ἀλόης ℔ γ̄, μέλιτος λι. δ̄· αἱ ῥίζαι σὺν τῷ ὄξει ἑψηθεῖσαι ἐκθλίβονται καὶ ῥίπτονται, τὸ δὲ μέλι ἐπιβληθὲν ἕψεται ἄχρι συστάσεως, καὶ τότε ἀλόη λεία ἐπιπάσσεται· δίδου κοχλιάρια γ̄ σὺν ὕδατι (τινὲς ἄνευ ἀλόης σκευάζουσιν αὐτό)· καὶ τὸ διὰ καλαμίνθης ἐπὶ τούτοις ἐπιτήδειον. ἐπὶ δὲ τῶν ἀποξυνόντων τὴν τροφὴν κοριάννου σπέρματος < ᾱ ὡς ἄλφιτον ἐμπάσας ὕδατι πότιζε ἢ μαστίχης κοχλιάριον ᾱ ἢ θρίδακος λευκῆς σπέρματος κοχλιάρια β̄. σύνθετον δὲ τοῦτο· πεπέρεως < ᾱ, ἀνήθου σπέρματος < γ̄, κυμίνου < δ̄· λειώσας δίδου εἰς κοίτην κοχλιάριον ᾱ ἐν οἴνῳ κεκραμένῳ. ἐπὶ δὲ τῶν γεννώντων χολὴν μέλαιναν καὶ φυσωμένων τὸν στόμαχον ἐν ταῖς ἐπιτάσεσιν ἐπιτίθει σπόγγους ὄξει δριμυτάτῳ βεβρεγμένους, μετὰ δὲ τούτους εἰ ἐπιμένοιεν, στυπτηρίαν μετὰ χαλκοῦ λείου μέλιτι ἀναλαβὼν ἐπιτίθει· πινέτω δὲ σέρεως χυλόν, ἢ τῷ ποτῷ ἡδύοσμον ἔμπασσε. ἐπὶ δὲ τῶν πνευματουμένων καὶ διατεινομένων τὸν στόμαχον καλαμίνθης ἀποζέματι μίξας μέλιτος καὶ πεπέρεως τὸ σύμμετρον δίδου. πρὸς δὲ τὰς ἀνατροπὰς τοῦ στομάχου ῥοιᾶς ὀξείας τῶν πυρήνων χυλοῦ μέρη γ̄, ἡδυόσμου χυλοῦ μέρος ᾱ, ἑψήσας, ἄχρι συστραφῇ, δίδου πρὸ τρο-
3 φῆς μύστρον ᾱ. πρὸς σιελισμὸν στομάχου ὄξος σκίλλινον ἢ ἁλμάδων ἐλαῶν ζωμὸν ἢ θαλλίας ἀφέψημα διακλυζέσθω ἢ καὶ ὀλίγιστον ἐξ αὐτοῦ καταπινέτω· πάντων δὲ μᾶλλον ποιεῖ ἀλόη διειμένη ὕδατι. πρὸς δὲ τοὺς μὴ κατέχοντας τὴν τροφήν, οὓς ἰδίως οἱ παλαιοὶ στομαχικοὺς ὀνομάζουσιν, μέλιτι μίξας τήλινον ἄλευρον καὶ μαλάχης σπέρμα λεῖον ξηρὸν κατάπλαττε· κηρωτὴ δὲ διὰ κηροῦ καὶ ἰρίνου ἐλαίου ὑποστάθμης καὶ καστορίου.

2 εἴρηται] *II 52*   26—30 *Aëtius IX 11*

2 ἀδίψια K   δὲ *om. a*   ὡς . . . εἴρηται *om. a*   3 πλαδῶντος] πλάδων τοῦ D   4 χυλὸν K: *om.* F   < δ *(pr.) om.* D   νάρδου . . . δ] DK: *om.* ABCEFGHM*a*   < *(tert.)*] ἀνὰ < D   5 πάχους BHM: πάθους F   6 ἐστι] τέ ἐστιν B, -ν *eras.*   7 β] ε̄ DK: ς *Or*   λι.] sextarii *a*   8 σὺν] οὖν σὺν D   ἑφθεῖσαι E   μέλιτι CFG   8. 9 ἐπιβληθὲν ἕψεται] ἐπιβάλλεται D   9 ἐπιπλάσσεται BH   δίδου] καὶ δίδοται D   10 τινὲς] τινὲς δὲ D*a*   ἀλόης] ἅλας K   αὐτό] τόδε A   11 ἐπὶ *(pr.) om.* K*a*: δὲ D   12 σπέρμα CDFG   ἐμπάσας] DFG*a*, *e corr.* M: ἐμπάσσας C: ἐμπλάσας ABEHKM   13 σπέρ^μ D   14 σπέρ^μ D   16 ἐν ταῖς] *mrg.* B²   17 ἐπιστάσεσιν CFG, *corr.* C²   18 τούτοις FK   19 ποτῷ] τόπῳ D   ἔμπασσε] CG, *e corr.* M: ἐμπάσσας F: ἔμπλασσε ABEK: ἔμπλασε H: ἐμπάττειν D   20 ἐμπνευματουμένων D   24 πρὸς . . . στομάχου] *pro titulo* DM*a* (aliud ad *a*)   σκιλλιτικὸν D   25 ἐλαιῶν CDEFG   ἢ *(pr.)*] δίδου ἢ D   ἀφεψήματι D   ἢ *(alt.) om.* M   26. 27 πρὸς δὲ τοὺς] *litt. maiusc.* M   26 πρὸς . . . ὀνομάζουσιν *(28)*] *pro titulo* D   27 δὲ *om.* D   28 ὀνομάζουσι FGKM   28. 29 λεῖον ξηρὸν] solue siccum et *a*   30 καὶ *om.* K

## Περὶ ἀνορεξίας. 4

Ἡ ἀνορεξία σιτίων ἐστὶν ἀποστροφὴ ἤτοι δυσκρασίας ὑπαρχούσης κατὰ τὸν στόμαχον ἢ χυμῶν περιουσίας· διαγνώσεις δὲ τὴν μὲν θερμὴν δυσκρασίαν τῷ τε δίψει καὶ ταῖς κνισώδεσί τε καὶ βορβορώδεσιν ἐρυγαῖς, εἰ βιασθέντες τι τραφῆναι τύχοιεν, καὶ τῷ τὰ ψυχρότερα μᾶλλον καὶ δυσκατέργαστα δύνασθαι πέττειν, τὴν δὲ ψυχρὰν τοῖς ἐναντίοις· οὔτε γὰρ διψῶσιν οὔτε τῶν ψυχρῶν ἀνέχονται καὶ ὀξυρεγμιώδεις ἐνίοτε γίνονται. τῶν δὲ διὰ χυμοὺς ἀνορεκτούντων οἱ μὲν διὰ τοὺς λεπτούς τε καὶ δακνώδεις τοῦτο πάσχοντες δάκνονταί τε τὸν στόμαχον καὶ ναυτιῶσι μᾶλλον καὶ διψῶσιν· οἷς δὲ σαπῶσιν οἱ χυμοί, ἐνίοτε καὶ πυρέττουσιν· οἱ δὲ διὰ παχεῖς καὶ γλίσχρους ἄδηκτοι μὲν καὶ ἄδιψοι τοὐπίπαν εἰσί. κοινὸν δὲ σύμπτωμα πᾶσίν ἐστιν ἡ ναυτία. ἀλλ' εἰ μὲν ἐν τῇ κοιλότητι τῆς γαστρὸς ὦσιν οἱ χυμοί, καὶ τούτων αὐτῶν ἀπεμοῦσιν, εἰ δὲ ἐν τοῖς χιτῶσιν αὐτῆς ἐμπεπλασμένοι ἢ καὶ ἀναποθέντες, ναυτιῶσι μόνον, οὐκ ἐμοῦσιν πλὴν σιτίων, εἰ προσαράμενοι τύχοιεν. τοὺς μὲν οὖν διὰ θερμὴν δυσκρασίαν ἀνορεκτοῦντας διὰ τῶν ἐμψυχόντων διαιτᾶν, καὶ μάλιστα τῶν δι' ὄξους· ἄρτον τοίνυν ἐν ὀξυκράτῳ διδόναι τούτοις καὶ αὐτὸ πίνειν τὸ ὀξύκρατον τό τε ὀξύγαλα καὶ τὴν παρὰ Ῥωμαίοις καλουμένην μέλκαν (ἔστι δὲ ὄψον τι διὰ γάλακτος) ἴντυβά τε καὶ θριδακίνας καί ποτε καὶ ψυχρὸν ὕδωρ, ἅπαντα δὲ συμμέτρως κατὰ τὴν τῆς ὑπούσης δυσκρασίας ἐναντίωσιν· ἡ γὰρ ἄμετρος τούτων χρῆσις οὐ μόνον οὐκ ὠφέλησεν, ἀλλὰ καὶ ἀνίατον πολλάκις εἰργάσατο τὸ πάθος. τοὺς δὲ διὰ ψῦξιν τοῖς ἐναντίοις ἰᾶσθαι προσήκει οἶνόν τε διδοῦντα παλαιὸν πίνειν καὶ κονδῖτον καὶ ὑδρόγαρον ἀνήσου τε καὶ πηγάνου καὶ πετροσελίνου τὸ ἀφέψημα καὶ πέπερι δι' ὕδατος θερμοῦ κοινοῦ ἢ καὶ αὐτὸ τὸ διὰ τῶν τριῶν πεπέρεων ἢ τὸ διὰ καλαμίνθης· δώσεις δὲ καὶ τῆς δι' ἐχιδνῶν θηριακῆς οὐδὲ τοῖς διὰ πλῆθος χυμῶν ἀνορεκτοῦσιν οὔσης ἀνεπιτηδείας· τὰ δὲ σκόρδα τούτοις
καὶ ὡς τροφὴ καὶ ὡς φάρμακόν εἰσιν ἁρμόδια. διὰ πλῆθος δὲ χυμῶν 5
τῆς ἀνορεξίας γινομένης τοὺς μὲν λεπτούς τε καὶ δακνώδεις κενώσεις

λζ' 4—6 *cf. Alexander Trall. II 253 sqq.*

3 διαγνώση *e corr.* D: διαγνώσει K 7 τῶν *om.* CFG 9 τε *(alt.) om.* FM 10 οἷς] εἰ DK 11 γλίσχρους] γλίσχρους χυμοὺς CF: γλίσχρης χυμοὺς G 13 μὲν *om.* *a* καὶ *om.* *a* τοῦτον αὐτὸν AE: eos *a* 14 αὐτῆς] *om.* *a*: αὐτοῖς F ἢ] εἶεν ἢ D καὶ *om.* *a* ἐναποθέντες BHK
15 ναυτιῶσι] ADEK*a*: ἐναυτιῶσι H: ἐν αὐτῇ ὦσι BCGM, *corr.* C²: ἐν αὐτῆς F ἐμοῦσι BDM: ἐμοῦσι δὲ FK 16 μὲν *om.* *a* 17 ἐν *om.* B 18 ὀξύγαλα] ὀξύμελι K 19 λεγομένην D 20 καὶ *(tert.) om.* *a* 21 δὲ] CDFGK: τε ABEHM*a* 23 τὸ] DKM: *om.* ABCEFGH 24 διδόντα K: διδόντας D παλαιὸν διδοῦντα ABEHM*a* κονδεῖτον D: κονδίτου K: κονδίτην F 25 δι' . . . πεπέρεων *(26) om.* D 26 κοινοῦ] κινῶν *e corr.* F: aut uino *a* (*legit* ἢ οἴνου) τῶν *om.* CFKM 27 δόσις D καὶ *om.* D
τὴν F δι' *om.* F*a* θηριακεῖ G: θηριακ^ῆ C: θηριακὴν F οὐδὲ τοῖς] ἐὰν δὲ F: cum *a* 28 οὔσης] ἔστιν D ἀνεπιτηδεία D σκόροδα D
29 ἁρμόδια] ἐπιτήδεια ADF 30 γενομένης H

ἢ δι᾽ ἐμέτων ἢ διὰ τῆς κάτω γαστρός. ἐμέσουσι μὲν οὖν ῥᾷον εὔκρατον ὕδωρ ἢ μελίκρατον ὑδαρέστατον προπεπωκότες, βέλτιον δέ, εἰ πρὸ τούτων ὑγραινούσας δώσεις τροφάς, οἷον πτισάνης χυλὸν ἢ τῶν ᾠῶν τὰς λεκίθους. ὅπως δ᾽ ἄν τις εὐκόλως ἐμοίη, κατὰ τὸ πρῶτον εἴρηται βιβλίον. εἰ δὲ δυσεμὴς ὁ κάμνων εἴη, βέλτιον ἐπὶ τὴν κάτω γαστέρα τὴν ὕλην προτρέπειν προϋγραίνοντα τούτους πλείονί τε καὶ εὐκράτῳ τροφῇ· τὸ δὲ καθαρτικὸν φάρμακον ἔστω ἢ διὰ τῆς ἀλόης πικρὸν ἢ διὰ τῶν Κυδωνίων μήλων τὸ λαμβάνον καὶ σκαμμωνίας ἢ τὸ διὰ τοῦ ῥοδομέλιτος· εἰ δὲ οἷόν τε δίχα σκαμμωνίας ἀλόης πλήθει μᾶλλον αὐτοὺς κενοῦν, βέλτιον ἂν πράξοι διὰ τὸ τῆς σκαμμωνίας κακοστόμαχον. τοὺς δὲ διὰ παχεῖς καὶ γλίσχρους χυμοὺς ἀνορεκτοῦντας ἰάσῃ λεπτύνων τούτους καὶ τέμνων διά τε τοῦ ὀξυμέλιτος καὶ τῶν διὰ τούτου καὶ ἅλμης συντιθεμένων, οἷον καππάρεως, ἐλαῶν, νάπυος καὶ τῶν παραπλησίων. οὐκ ἀνάρμοστα δὲ τούτοις καὶ τὰ ἐπὶ τῶν διὰ ψυχρὰν δυσκρασίαν ἀνορεκτούντων εἰρημένα, καὶ μάλιστα μετὰ κένωσιν· κενώσεις
6 δὲ αὐτοὺς διὰ τοῦ Ἰουλιανίου ὀξυμέλιτος. ἔξωθεν δὲ τοῖς θάλπειν τε καὶ ῥωννύειν τὸν στόμαχον δυναμένοις χρηστέον ἀλείμμασί τε καὶ μαλάγμασιν, ὁποῖά εἰσι μάλιστα τό τε διὰ τοῦ ὄμφακος καὶ Μαρκίατον καλούμενον καὶ τὰ συνήθη μύρα. ἐπιθέματα δὲ τό τε βάϊον καὶ τὸ εὐῶδες καὶ τὰ παραπλήσια· γυμνάσιά τε καὶ τρῖψις μάλιστα παραλαμβανέσθω. πρὸς δὲ τοὺς δυσπεπτοῦντας καὶ ἀνορέκτους διὰ ψυχρὸν καὶ ὑγρὸν χυμὸν ἢ τοιαύτην δυσκρασίαν τὰ διὰ τῶν Κυδωνίων μήλων ἁρμόσει, λέγω δὲ τὸ μηλοπλακούντιον προσαγορευόμενον καὶ τὸ διὰ τοῦ χυλοῦ τῶν μήλων καὶ τὸ διὰ τῶν σαρκῶν αὐτῶν καὶ τὸ διὰ κιτρίου σκευαζόμενον, μαλάγματα δὲ τό τε Μαρκίατον καὶ τὸ δι᾽ ὄμφακος χυλοῦ τό τε βάϊον καὶ τὸ πολυάρχιον καὶ τὰ τούτοις ὁμογενῆ. ἕλκους δὲ ὄντος ἐν στομάχῳ ἢ κοιλίᾳ πάντων μὲν τῶν δριμέων ἀπέχεσθαι βρωμάτων τε καὶ πομάτων καὶ φαρμάκων, χρῆσθαι δὲ τοῖς πραΰνουσιν, οἷον ῥοφήμασιν ἐκτὸς ἐλαίου καὶ τοῖς δι᾽ ἀμύλου τε καὶ γῆς Σαμίας καὶ Λημνίας σφραγῖδος καὶ γάλακτος ἢ μέλιτος ἐλαχίστου, ὥστε καὶ διακαθαίρειν ἀδήκτως. ἐπίθεμα δὲ διὰ φοινίκων καὶ Κυδωνίων

4 πρῶτον] *I 42*

1 ἐμέσουσι] AEC²*a*: ἐμοῦσι D: ἐμέσωσι BCFGHKM  μὲν *om. a*
2 ἢ] καὶ D  3 οἷον] aut *a*  4 πρότερον D  6 προυγραίνον<sup>τ</sup> G: προυγραίνοντας ACDE  τούτοις FH: ταύτην D  7 ἢ *(pr.)*] ἡ CDG, *mut. in* ἢ τὸ M²  πικρὰ CDFG  ἢ *(alt.)*] καὶ ἡ C: ἢ τὸ D  8 τὸ λαμβάνον] τε λαμβάνον F: ὃ λαμβάνων K: τὸ λαμβάνων G: τὸ λαμβανόμενον M, *corr.* M²: λαμβάνειν δὲ D: recipientes *a*  ἢ] καὶ D  ἢ . . . σκαμμωνίας *(9) om.* K  τοῦ] *om.* E, *supra scr.* B  9 αὐτὴν D  10 πράξοις D  13 ἐλαιῶν DEF, *e corr.* B  15 καὶ μάλιστα] κάλλιστα K  16 δὲ] τε FK  17 καὶ] καὶ τὸ D
19 καλούμενον *om. a*  ἐπιθέματι CG  δὲ] τε D  20 τρῖψις] *e corr.* J: τρίψης EH: τρίψεις ABCDFGKM*a*  παραλαμβανέσθωσαν D  21 ἀνορεκτοῦντας DEFK, *e corr.* C  22 ἢ] *om.* K: εἰς F: et *a*  23 ἁρμόζει D  δὴ K  λεγόμενον M  26 τούτοις *om. a*  27 ἐν] ABDEM: ἐν τῷ CFGHK, *e corr.* B  ἢ] ἢ τῇ CFG, τῇ *supra add.* B, ἐν τῇ *supra add.* K²  28 τε *om.* A  καὶ φαρμάκων *om.* A  δὲ] τε CG: *ras. 2 litt.* B  31 διὰ] τὸ διὰ D  φοινίκων] φοινίκων ποιεῖ D

καὶ ἀλφίτων, κηρωτὴ διὰ μηλίνου ἢ ῥοδίνου cὺν ἀμμωνιακῷ καὶ λιβάνῳ τό τε Νείλεως ἐπίθεμα ἔμπλαστροί τε διὰ ἰτεῶν καὶ ἱκέσιος· διαγνώσεις δὲ τὸ ἕλκος ἐκ τοῦ αἷμα ἢ πῦον ἢ καὶ ἐφελκίδας ἐμεῖσθαι.

### Πρὸς τοὺς ἐκλύτους καὶ ἀτόνους στομάχους καὶ διὰ τοῦτο μὴ πέττοντας ἢ καὶ τὴν τροφὴν ἐμοῦντας. 7

Ἀλόης, μασουχᾶ, μαστίχης, στύρακος ἀνὰ ℥ β̄, ἀψινθίας ℥ γ̄, οἰνάνθης ℥ γ̄, γλευκίνου ℥ ϛ̄, μηλίνου ℥ δ̄, οἴνου τὸ ἀρκοῦν· τινὲς καὶ κύφεως καὶ ῥόδων ἀνὰ ℥ β̄· ταῦτα λειούμενα ἀναλαμβάνεται πορφύρᾳ ἢ ἐρίῳ καὶ ἐπιτίθεται τῷ στομάχῳ· τινὲς καὶ κηροῦ ℥ ϛ̄ προσπλέξαντες ἐπίθεμα αὐτὸ ποιοῦσιν.

### Πρὸς τὰς ἰλεώδεις τοῦ στομάχου διαθέσεις, τουτέστιν ἰσχυρὰς ὀδύνας καὶ σπασμώδεις. 8

ὁ τῶν Ἀμαζόνων τροχίσκος ἄριστόν ἐστι φάρμακον. καὶ τούτου δὲ τὴν γραφὴν καὶ τῶν ἄλλων στομαχικῶν συνθέτων τὴν ὕλην ἐν τῷ περὶ συνθέτων φαρμάκων κατὰ τὸν τελευταῖον εὑρήσεις λόγον.

## λη'. Περὶ πνευματώσεως γαστρός.

Ἡ τῶν πνευμάτων ἐν γαστρὶ γένεσις χυμῶν ἢ σιτίων εἰς ἀτμοὺς διαλυομένων ὑπὸ θερμότητος συνίσταται χλιαρᾶς· ἡ μὲν γὰρ ψῦξις τῷ μὴ πεφυκέναι λεπτύνειν καὶ διαλύειν οὐ γεννᾷ πνεύματος οὐδέν, ἡ δὲ σφοδρὰ θερμότης οὐ λεπτύνουσα μόνον, ἀλλὰ καὶ διαφοροῦσα, κωλύει τὴν σύστασιν τοῦ πνεύματος· ἡ δὲ ἐλάττων θερμότης χεῖ μὲν καὶ μεταβάλλει τὴν τροφήν, ἐλλιπέστερον δέ, κἀντεῦθεν ἡ γένεσις τῶν πνευμάτων. λεπτύνειν οὖν αὐτὰ διὰ τῶν θερμαινόντων φαρμάκων προσῆκεν ἀφέψοντας ἐν ἐλαίῳ κυμίνου καὶ σελίνου καὶ σπονδυλίου καὶ δαύκου σπέρμα. ψύξεως δὲ προσούσης τῇ διαθέσει πήγανον καὶ δαφνίδας καὶ μελάν-

λζ' 7 *cf. Alexander Trall. II 249; Aëtius IX 10* λζ' 8 *cf. Aëtius IX 10* 15 λόγον] *VII 12* λη' *Oribasius, Synops. IX 11; Ad Eunap. IV 85. cf. Aëtius IX 27*

1 καὶ *(pr.)*] D: *om.* ABCEFGHKM*a* alfita *a* κηρωτὴ] *a*: κηρωτὴ δὲ D: καὶ κηρωτὴν CFG: κηρωτὴν ABEHKM διὰ] ἡ διὰ D 2 ἐμπλάστρῳ K τε] uero *a* δι' CFG: ἡ δι' D καὶ] καὶ ἡ D 3 διαγνώσει K: διάγνωσις D τοῦ ἕλκους D ἢ *(pr.)*] et *a* ἢ καὶ ἐφελκίδας *om. a* 4 πρὸς] π (with ε above) K τοὺς *om.* FM καὶ *(alt.)* . . . ἐμοῦντας *(5) om. a* 5 ἢ *om.* D καὶ *om.* AE 6 β̄] ᾱ D ℥ γ̄] BHK: *om.* CDFG*a*: ℥ δ̄ AE 7 ℥ *(pr.)*] ἀνὰ ℥ CDFG*a* 8 κύφεων K: κύφεος E 9 τινὲς] τινὲς δὲ D 10 ποιοῦσι BFKM 11—12 *non pro titulo* FK 11 τὰς] δὲ τὰς F τουτέστιν] τουτέστι τὰς D 12 καὶ σπασμώδεις *om. a* 13 καὶ *om. a* 14 συνθέτων . . . φαρμάκων *(15) om. a* 16—p. 228, 16 *om.* F 16 ἐμπνευματώσεως DE; *cf. p. 127, 58* 19 μὴ *om. a* καὶ] uel *a* πνα MJ[2] 21 τὴν . . . πνεύματος] uentositatem *a* χεῖ] διαχέει D 21. 22 τὴν τροφὴν καὶ μεταβάλλει A 23 αὐτοὺς D φαρμάκων *om. a* προσήκει E*a* 24 καὶ *(pr.)*] ἢ K: *om. a* καὶ *(sec.) om. a* σπονδύλου K καὶ *(tert.) om. a* 25 προσούσης δὲ ψύξεως E

θιον καὶ μάραθρον ἐνέψειν τῷ ἐλαίῳ καὶ μιγνύειν ἄσφαλτον καὶ ἔλαιον δάφνινον. ἐὰν δὲ καὶ φλεγμονὴ συνῇ ταῖς ὀδύναις, ἀντὶ τῶν θερμαινόντων χρήσῃ τοῖς χαλαστικοῖς τὸ ἄνηθον ἕψων καὶ μιγνὺς στέαρ ὄρνιθος καὶ χηνός. ποιεῖ δὲ πρὸς τοὺς πνευματουμένους πολίου δεσμίδιον καθεψόμενον ἢ καλαμίνθης ἀφέψημα μιγνυμένου μέλιτος ὀλίγου καὶ πεπέρεως ⟨ α̅. ταῦτα μὲν οὖν ὀδύνης σφοδρᾶς ἐμπεσούσης προσακτέον· ἐπὶ δὲ τῆς μέσης ἀρκέσουσι καὶ πυρίαι διὰ κέγχρου. σικύα δὲ εὐμεγέθης περιλαμβάνουσα τὸν ὀμφαλὸν ἀθρόως πολλάκις ἀπαλλάττει τὸ σύμπτωμα. ὠφελεῖ δὲ καὶ τὸ καστόριον αὐτοὺς πινόμενόν τε δι' ὀξυκράτου καὶ ἔξωθεν σὺν ἐλαίῳ Σικυωνίῳ τιθέμενον, καὶ εἰ μετὰ στρόφου τυγχάνουσιν αἱ ἐμπνευματώσεις. καὶ ὕειος δὲ ἀστράγαλος καυθεὶς καὶ ποθεὶς στρόφους καὶ ἐμπνευματώσεις ἰᾶται καὶ ἀριστολοχία στρογγύλη. τὰς δὲ δι' ἐμφράξεις τῆς κοιλίας ὀδύνας ἢ διὰ παχύτητα γενομένας πνευματώσεις ἢ διὰ ψῦξιν οἶνος πινόμενος ἀκρατέστερος μετὰ τροφὴν ὀνίνησιν, ὕπνου δὲ ἐπιγενομένου καὶ τελέως αὐτὰς ἀπαλλάττει.

## λθ'. Περὶ χολέρας καὶ διαρροίας.

1 Ἡ χολέρα τῆς γαστρός ἐστιν ἄμετρος ἐκτάραξις κάτωθέν τε καὶ δι' ἐμέτων γινομένη διὰ προσεχῆ τῶν σιτίων ἀπεψίαν· ἀπεπτοῦσι δὲ ποτὲ μὲν διὰ πολλὴν μοχθηρίαν τροφῶν, ποτὲ δὲ διὰ μοχθηρῶν χυμῶν περιουσίαν. εἰ μὲν οὖν ἔτι ναυτιώδης καὶ σπαραττόμενος ὁ κάμνων εἴη μενόντων ἔτι τῶν σιτίων ἀπέπτων ἐν τῇ γαστρί, πίνειν αὐτοῖς κελεύσομεν ὕδωρ χλιαρὸν καὶ ἀπεμεῖν καθέσει δακτύλων ἢ πτερῶν· συνεργητέον δὲ καὶ τῇ διὰ γαστρὸς ἐκκρίσει. μετὰ δὲ τὴν τῶν περιττῶν κένωσιν ἡσυχίᾳ τε καὶ θάλψει τῶν καθ' ὑποχονδρίων χρηστέον διά τε γλυκέος ἐλαίου σὺν οἴνῳ βραχεῖ ἢ μαστιχίνου ἢ ναρδίνου, εἰ χειμὼν εἴη, καὶ ὑπνοῦν ἐπιτρεπτέον· μετὰ δὲ τὴν τελείαν πέψιν λουτροῖς τε χρηστέον καὶ εὐχύμῳ τροφῇ. τῆς δὲ κενώσεως ἀμέτρου γινομένης ἀρκεῖ μὲν ἐν ἀρχῇ καὶ τὰ κατὰ τὸ δεύτερον βιβλίον περὶ ἐκταράξεως

λθ' *cf. Alexander Trall. II 321 sqq.* 29 βιβλίον] *II 44*

1 μάραθον DK: maratri semen *a* 2 καὶ *om.* E 3 ἄνηθο̄ B: ἀνήθῳ H*a* μιγνὺς] *Or*: μιγνύων D*a*: μίγνυε ABCEGHKM 4 ὀρνίθειον *corr. ex* ὀρνίθιον D 5 ἢ] et *a* 6 μὲν *om. a* 7 δὲ *(pr.)*] τε K σικύα] καὶ σικύα D 9 τοῦ συμπτώματος DG: τοῦ πτώματος C (συ *supra*) τε *om.* D 11 καὶ *om. a* ἰᾶται *ante* καὶ *ins.* B *mrg.* καὶ . . . ἐμπνευματώσεις *(12) om.* AEK δὲ *om. a* 13 δ' AE δι'] *om.* K: ἐπ' AE ἐμφράξει E: emfraxin *a* ὀδύνας *om.* D ἢ] et *a* 14 γινομένας πνς̄ D ἀκρατότερος D 15 μετὰ τροφὴν *om.* D ἐπιγινομένου D καὶ τελέως] perfectius *a* ἀπαλλάσσει D 20 μὲν *om. a* μοχθηρὰν τροφήν K*a* 21 μὲν *om. a* 22 ἔτι] *e corr.* E: ἐστι ABCGHM*a*: ἐστιν K: *om.* DF εἴη] *eras.* B: *om. a* αὐτοὺς K 24 περιττωμάτων D 25 καθ' *om.* K διά . . . χρηστέον *(28) om.* H 26 τε *om.* D γλυκελαίου K μαστιχίνῳ D ἢ *(alt.)*] CFGK*a*: ἢ καὶ ABDEM ναρδίνῳ D 27 ὕπνον D λουτροῖς] καὶ λουτροῖς D 27. 28 λουτροῖς τε χρηστέον] *mrg.* C[2] 28 τε *om.* DFG τῆς . . . εἰρημένα *(p. 229, 1) om. a* 29 ἐν . . . τὰ] καὶ τὰ ἐν ἀρχῇ εἰρημένα *e corr.* D καὶ τὰ] *om.* A, *postea ins.* M κατὰ] *corr. ex* καὶ τὰ M

γαστρὸς εἰρημένα· ἐπιμενούσης δὲ τῆς φορᾶς τῆς τε κοιλίας συμπιπτούσης καὶ τοῦ σφυγμοῦ μειουμένου τε καὶ πυκνουμένου καταπλάσσειν μὲν τῷ διὰ φοινίκων μετ᾽ οἰνάνθης καὶ ἀκακίας καὶ ὑποκιστίδος χυλοῦ καὶ σιδίων, διδόναι δὲ καταρροφεῖν ὕδατος μετρίως ψυχροῦ κύαθον· κάλλιον δέ, εἰ ἀφέψημα εἴη ῥόδων ἢ οἰνάνθης ἢ ῥοῦ ἢ ἑλίκων ἀμπέλου· ἢ χυλὸν ῥοιᾶς τῆς ὀξυγλύκου δοτέον ἡδυόσμου βραχὺ ἐμπάσαντα. δριμυτέρων δὲ ὄντων τῶν ἐκκρινομένων καύματός τε καὶ δίψους προσγινομένου σικύου σπέρμα δοτέον σὺν ὕδατος κυάθοις τρισίν, ἴντυβά τε
καὶ θριδακίνας ἑφθὰς ἐν ὀξυκράτῳ τρεφέσθωσαν. ἀκατασχέτου δὲ τῆς 2
φορᾶς οὔσης οἶνον δοτέον τινὰ τῶν αὐστηρῶν, ἀπυρέτοις μὲν Παλματιανὸν ἢ Ἀμινναῖον ἢ σπαθίτην ἢ ὀμφακομελίτην, πυρέττουσι δὲ ῥοΐτην ἢ μυρτίτην ἢ τὸ Κιβυρατικὸν ὑδρόμηλον ποτόν τε καὶ μετὰ ψιχῶν ἢ ἄλικος ἢ χόνδρου. εἰ δὲ ἀποστρέφοιντο τὰ σιτώδη, τὶ τῶν ὡραίων διαμασώμενοι, μεσπίλων ἢ ἀπίων ἢ Κυδωνίων ἢ ῥοιῶν, τὸ σαρκῶδες καὶ σκληρὸν ἀποπτυέτωσαν. μὴ κατεχόντων δὲ τὴν τροφὴν σικύαν ὡς μεγίστην κούφην τῷ στομάχῳ κολλητέον, κειμένης τε ταύτης θρεπτέον αὐτοὺς τῶν εἰρημένων τινί. πρὸς δὲ τὰς σπασμώδεις συνολκὰς ἐλαιοβραχῆ ῥάκη θερμὰ τοῖς μυσὶ περιτιθέναι κηρωτάς τε ὑγρὰς ἐχούσας τι καὶ καστορίου καὶ Σικυωνίου· πρὸ δὲ τούτων ὕδατι θερμῷ προσαντλητέον τὰ κῶλα. εἰ δὲ καὶ ἄγρυπνοι γίνοιντο, τοῖς πρὸς ἀγρυπνίαν εἰρημένοις χρηστέον, μὴ κωλυούσης δὲ τῆς δυνάμεως καὶ τῆς διὰ κωδυῶν αὐτοὺς ποτιστέον· παρακμῆς δὲ γενομένης ἐπὶ λουτρὸν ἀκτέον καὶ ἀνακομιστέον αὐτοὺς ὄρνιθος νεοττοῖς ἢ περιστερᾶς ἢ ὑῶν ποσὶν ἢ τοῖς παραπλησίοις.

καὶ ἡ διάρροια δὲ διαφθορὰ τῶν σιτίων ὑπάρχουσα τὰ πολλὰ 3
μὲν αὐτομάτως παύεται μὴ τρεφομένων αὐτῶν ἄχρι τελείας ἐκπέψεώς τε καὶ κενώσεως τῶν διαφθαρέντων· ἐπιμενούσης δὲ τοῖς ἐπὶ χολέρας χρηστέον.

## μʹ. Περὶ λειεντερίας καὶ κοιλιακῆς διαθέσεως.

Διττῆς ὑπαρχούσης τῆς λειεντερίας, τῆς μὲν δι᾽ ἐπιπόλαιον ἕλκωσιν 1
τῶν ἐντέρων, κατά τινας δὲ καὶ δι᾽ οὐλὴν ἐκ δυσεντερίας τὰ πολλὰ

μʹ *cf. Oribasius, Synops. IX 12; Aëtius IX 37, 51*

1 εἰρημένα] εἴη γεγραμμένα A: γεγραμμένα E    2 καταπλάσσει K: καταπλάττειν CFG: καταπλαστέον D    3 τῷ] *corr. ex* τὸ D: τὸ CGM    ypocistidos suco et acacia *a*    χυλῷ D    4 μετρίου K    κύαθον] κυάθου ἑνός CFG
5 ἀφεψήμασιν K    εἴη] ἢ K    ἢ *(tert.)*] καὶ D    ἑλίκων] ἑλίκων δὲ D
6 χυλοῦ D    ἐμπάσσοντα D    7 δὲ *om. a*    δίψης CFG    8 ὕδατι D
9 τρεφέσθωσαν] προσφερέσθωσαν D    10 τινὰ *om. a*    12 καὶ *om.* D
13 ἀποστρέψοιντο CG    τῶν ὡραίων τι DK    14 μεσπίλων] οἷον μεσπίλων D
16 τε] uero *a*    αὐτῆς D    17 παλμώδεις K    ἐλαιοβραχῆ] *e corr.* M: ἐλαιοβραχεῖ CGK*a*    18 ῥάκει C*a*: ῥάκκει K: ῥάκι G: ῥάκκη *e corr.* M
19 πρὸ] *corr. ex* πρὸς M: ad *a*    20 γίγνοιτο EK: γίνονται FH, *corr.* H
21 δὲ *om. a*    καὶ *om.* K    22 αὐτοὺς] *e corr.* G: αὐτοῖς F    ἐπὶ] ἐπὶ τὸ AE
23 ὄρνιθας AE    ἢ *(pr.)*] D*a*: *om.* ABCEFGHKM    25 φθορὰ CFG
26 μὲν *om. a*    27 χολέρᾳ K

ἢ ἐξ ἑτέρων γινομένης ῥευματισμῶν, τῆς δὲ δι' ἀτονίαν τῆς κατεχούσης τὴν τροφὴν ἐν τῇ γαστρὶ δυνάμεως, τὴν δευτέραν οἶμαι διαφορὰν τῇ κοιλιακῇ λεγομένῃ συντρέχειν διαθέσει· καὶ γὰρ ἐπὶ ταύτης ἀτονούσης τῆς γαστρὸς πέττειν τε καὶ ἀναδιδόναι τὰ σιτία λεῖά τε καὶ ἄπεπτα καὶ κάθυγρα διαχωροῦσι ῥευματιζομένης ἐπὶ πάντων τῆς γαστρός· ἀλλ' ἐπὶ τῶν λειεντερικῶν ἥ τε διέξοδος τῶν σιτίων ταχεῖα γίνεται, καὶ τὰ τῆς ἀπεψίας ἐπιτεταμένα μᾶλλόν ἐστιν, ὥστε διαδηλοῦσθαι τὴν ληφθεῖσαν τροφήν· καὶ τούτῳ μάλιστα διακρίνονται τῶν κοιλιακῶν. καταπλαστέον οὖν αὐτοὺς λινοσπέρμου μετὰ φοινίκων, ἄκρως δὲ ποιεῖ καὶ σχῖνος καὶ βάτος συνεψομένη τῷ ὀξυμέλιτι· ἐμπνευματώσεως δὲ συνούσης καὶ κυμίνου καὶ ἀνήθου καὶ πηγάνου μικτέον. ἐπαυξομένου δὲ τοῦ ῥευματισμοῦ συνεμβαλοῦμεν μῆλα Κυδώνια, στυπτηρίαν ὑγράν, ἀκακίαν, ὑποκιστίδα, κηκῖδα, ἤ τινα ἢ πάντα. κηρωταὶ δὲ διὰ μυρσίνου μετά τινος τῶν στυφόντων οἴνων· ἐπιθέματα δὲ θερμότερα μὲν τό τε διὰ δαφνίδων καὶ τὸ διὰ σπέρματος, στυπτικώτερα δὲ τό τε διὰ οἰνάνθης καὶ τὸ διὰ γιγάρτων καὶ τὸ Ἀντύλλου· καὶ τὸ Ἐρυθρίου δὲ θαυμαστόν.
2 χρονιζούσης δὲ τῆς νόσου καὶ δρώπακι χρηστέον κατὰ τῆς κοιλίας καὶ τῇ διὰ νάπυος κηρωτῇ καὶ αὐτῷ τῷ νάπυι. ποτήματα δὲ ἁπλᾶ μὲν ἀρνογλώσσου σπέρμα ἢ λαπάθου σπέρμα ἢ ῥοιᾶς σίδια ἢ οὖα ξηρὰ ἢ ὄμφακα ξηρὸν ἐξ Ἀμιναίας σταφυλῆς ὅσον τριώβολον, ἀπυρέτοις σὺν οἴνου αὐστηροῦ κυάθοις ϛ̄, πυρέσσουσι δὲ σὺν ὕδατι ὀμβρίῳ· ἧσσον δὲ στομάχου ἅπτεται ἀλεκτορίδων κοιλία ξηρὰ ἐμπασσομένη τῷ ποτῷ· καὶ τὰ διουρητικὰ δέ, οἷον σέλινον, ἀδίαντον καὶ τὰ ὅμοια, πινόμενα μετοχέτευσιν ἐργάζεται. σύνθετα δὲ ἥ τε Πολυείδου σφραγίς ἐστιν καὶ ὁ διὰ τοῦ ἠλέκτρου τροχίσκος ὅ τε διὰ τῆς Αἰγυπτίας ἀκάνθης καὶ τὸ κλειδίον καλούμενον καὶ ὁ διὰ σπερμάτων. καὶ τοῦτο δὲ κάλλιστόν ἐστιν· λαπάθου ἀγρίου σπέρματος 𐅻 ᾱ ∠′, ἀρνογλώσσου σπέρματος 𐅻 ᾱ,

1 ἢ *om. a* ἑτέρων] intestinorum *a* τῆς δὲ *om.* D 3 συντρέχειν] CFGK: γρ. συντρέχην *mrg.* $B^{3}$: συμπλέκειν ADEHM*a*, *in ras.* B 4 τε καὶ ἀναδιδόναι *om. a* λεῖα τε καὶ] *om. a*: λεῖα καὶ K 4. 5 κάθυγρα καὶ ἄπεπτα DK 5 ἐπίπαν D 7 μᾶλλον ἐπιτεταμμένα K δηλοῦσθαι K 8 τούτῳ] D: τοῦτο? K: τούτ͂ G: τούτων ABCEFHM: in hoc *a* 9 λινοσπέρμῳ *e corr.* D
10 σχῖνος] DFGM: σχοῖνος C: ἐχῖνος ABEHK*a* συνεψόμενοι DK: συνεψημένα F 11 καὶ *(pr.) om. a* ἐπαυξομένου] CDGHK, *in ras.* B: ἐπαυξανομένου AEFM 12 συνεβάλομεν K 13 δὲ *om.* K*a* μετά] διά K 14 μὲν *om.* E 15 σπερμάτων DE*a et e corr.* $B^{3}$ διὰ *(alt.)*] *om.* K: δι' ADFH 17 δρώπακα M, *corr.* $M^{3}$ 18 τῇ] D: τὴν ABCEFGHKM κηρωτῇ] D: κηρωτὴν ABCEFGHKM αὐτῷ] *corr. ex* αὐτὸ M τὸ GM, *corr.* M ποτήματα] K: ποτίματα F: ποτίμα$^{\tau}$ CG, *e corr.* B: ποτίσματα D: πότιμα ABEHM ἁπλᾶ μὲν] δοτέον ἁπλᾶ D 19 λάπα$^{\theta}$ D σπέρμα *(alt.) om.* DK 19 ῥοιᾶς] ῥοιὰς ἢ D ᾠὰ K 20 τρίβολον ABEHM, ο *supra add.* BM: τριῶν ὀβολῶν D σὺν] μὲν σὺν D 21 οἴνῳ αὐστηρῷ DFK
κυάθους F?K δὲ *(pr.) om.* K 23 δὲ] τε K 24 τε] τοῦ K 25 διὰ τοῦ] δι' D ὅ . . . καλούμενον *(26) om.* D 27 ἐστιν] ἐστιν ὅ τε διὰ τῆς αἰγυπτίας ἀκάνθης καὶ τὸ κλειδίον καλούμενον καὶ τὸ τοῦ D ἀγρίου *om.* D σπέρματος *(pr.)*] *comp.* DK: σπέρμα ABCEFGHM*a* ἀρνογλώσσου] καὶ ἀρνογλώσσου D σπέρματος *(alt.)*] *comp.* DK: σπέρμα ABCEFGHM*a*

ὑποκιστίδος χυλοῦ < ϛ̄, κόμμεως ἢ ἀκακίας· ἀναλάμβανε Κυδωνίων ἀποτριτωθέντων τῷ ἀφεψήματι.

Ἄλλο. κυμίνου, πεπέρεως, ῥοὸς Συριακῆς, βαλαυστίου ἀνὰ 𐅻 α̅ ∠′, 3
σιδίων 𐅻 α̅, σιλφίου 𐅻 ∠′ ἢ ξηροῦ < α̅· ἔμπασσε τῷ ποτῷ ἢ φυρῶν ὀξυμέλιτι πρωὶ καὶ ἑσπέρας.

Ἄλλο. μύρτων μελάνων κοχλιάριον α̅ ∠′, ἀνίσου, ῥόδων ξηρῶν, 4
οἰνάνθης ἀνὰ κοχλιαρίου τὸ ∠′, φοινικοβαλάνους κ̅· ποίει τροχίσκους καὶ δίδου < α̅ μεθ' ὕδατος ἢ μετὰ κράματος. καὶ ἡ διὰ ἐχιδνῶν δὲ θηριακὴ τούτοις ἄριστόν ἐστι βοήθημα.

ἡ δὲ τροφὴ δριμείας μὲν καὶ χολώδους οὔσης τῆς ἀποκρίσεως 5
διά τε χόνδρου καὶ ὀρύζης ἄλικός τε καὶ τῶν παραπλησίων γινέσθω συνεψομένων αὐτοῖς τῶν στυφόντων τινός, ἀπίου, μήλου Κυδωνίου, μεσπίλου καὶ τῶν ὁμοίων· καὶ τὸ ἄπεφθον δὲ γάλα τούτοις ἁρμόσει. ποτὸν δὲ ἢ οἶνος ὑδαρὴς λεπτὸς ἤ τι τῶν ἡδέων ἔστω πομάτων. φλεγματικώτερα δὲ αὐτῶν ἐκκρινόντων ἐπὶ τἀναντία τὴν τροφὴν μετάγωμεν σπέρματά τέ τινα τῶν εὐστομάχων παραμιγνύντες, ἄνισον ἢ κύμινον ἢ σελίνου σπέρμα· καὶ ἡ φακὴ δὲ δὶς ἑψηθεῖσα πολλάκις αὐτοὺς ὤνησεν ἐσθιομένη σὺν ὄξει βραχεῖ ἢ ὀξυμέλιτι αἵ τε κράμβαι δίσεφθοι καὶ αὐταί· κάλλιον δὲ τὴν δευτέραν ἕψησιν αὐτῶν ἐν ὀξυκράτῳ γίνεσθαι. οἶνον δέ τινα τῶν παλαιοτέρων καὶ θερμοτέρων πινέτωσαν.

## μα′. Περὶ τεινεσμοῦ.

Ὁ τεινεσμὸς ἔστι μὲν ὅτε τῆς δυσεντερίας προηγεῖται, πολλάκις δὲ καὶ αὐτὸς μόνος πρὸς ὀλίγον γενόμενος ἀποπαύεται. ἔστι δὲ τὸ πάθος προθυμία πρὸς ἔκκρισιν ἀπαραίτητος οὐδὲν ἐξάγουσα πλὴν ὀλίγων αἱμωπῶν ἢ καὶ μυξωδῶν, ἃ σχεδὸν τῆς ὅλης αἴτια καθέστηκε νόσου, οἰδηματώδης τε φλεγμονὴ κατὰ τὸ ἀπευθυσμένον γενομένη ἔμφασιν αὐτοῖς ἐγκειμένης παρέχεται κόπρου καὶ ἐπιζήτησιν ἀποκρίσεως. ὁ δὲ Γαληνὸς ἱστορεῖ καὶ λίθον τινὰ διὰ τῆς ἕδρας ἐκκριθῆναι κατὰ

μα′ *cf. Aëtius IX 44* 28 Γαληνὸς] *VIII 384*

1 χυλοῦ] D: χυλὸν FK, *comp.* ABCEGHM ἢ] < η D ἀναλάμβανε] ἴσον ἀναλαμβανόμενα D 3 ἄλλο *om.* AE ῥοὸς] ἢ ῥοὸς K: *om.* F ῥοὸς . . . ἢ *(4)*] mali granati *a* βαλαυστίων D 4 ∠′] α̅ ∠′ DHK, *corr.* H φυρῶν] misce *a* 5 πρωὶ] χρῶ πρωὶ D καὶ *om.* *a* 6 ἄλλο *om.* AE κοχλιάριν BHM, *corr.* M: *comp.* AEGK α̅ *om.* *a* 7 οἰνάνθης *om.* *a* κοχλιαρ ∠′ FG: κοχλιάριον ∠′ C 8 διὰ] *om.* C: δι' DFGHK δὲ *om.* M*a* 9 τούτων D 10 κρίσεως K 11 γινέσθω] fit *a* 12 αὐτοῖς] δὲ αὐτοῖς K: αὐτοῖς καὶ D τινός] aliquibus *a*: τινὸς οἷον D 13 τούτων K ἁρμόζει D 14 ποτὸν δὲ] *seq. ras. 4—5 litt.* M: *om.* *a* 15 flegmatica *a* τροφὴν] τροφὴν αὐτῶν D 16 τέ *om.* D ἄνισον] οἷον ἄνισον D 17 δὲ *om.* M*a* δὶς] δι AK: *corr. ex* δι MB[3]: πολλάκις δὲ τε H: sepe *a* πολλάκις *om.* H*a* 19 κάλλιστον D 20 καὶ] τε καὶ K θερμῶν CGK 22 ἔστι μὲν] ἔστιν K τῆς *om.* D 25 αἱμωπῶν ἢ] αἱματωδῶν D καὶ *om.* *a* 26 τε] δὲ D γιγνομένη K: γινομένη D 27 ἀποκρίσεως] ἀποκρίσεως ἄγει D 28 δὲ *om.* *a* κατὰ] ACGHM: κατὰ τὰς DEFK, *e corr.* BM

τεινεςμώδεις ςυςτάςεις. πολλάκις δὲ καὶ δι᾽ ἔμφραξιν κόπρου κατὰ τὸ λεπτὸν ἔντερον ςυςτᾶςαν τεινεςμὸς ἠκολούθηςεν, ἐπὶ μὲν τοῖς ςτύφουςι καὶ παρεμπλαςτικοῖς πλέον αὐξόμενος, ἐπικλύςματι δὲ δριμυτέρῳ, οἷον μελικράτῳ ςὺν ἁλςίν, ἢ ἐπί τινι τῶν διὰ ςτόματος μαλακτικῶν, οἷον δαμαςκηνῶν, ἰςχάδων, λινοζώςτεως, ὀροῦ γάλακτος, ἐκκριθείςης κόπρου παραχρῆμα παυςάμενος. χωρὶς οὖν τοιαύτης αἰτίας γενομένου τεινεςμοῦ ἁρμόζει τὴν μὲν φλεγμονὴν ταῖς ὠμηλύςεςι θερμαῖς καὶ ταῖς δι᾽ οἴνου τε καὶ ἐλαίου μυρςίνου ἢ ῥοδίνου ἢ ὀμφακίνου ἐμβροχαῖς κατ᾽ ὀςφύος τε καὶ ἤτρου ἐπιτιθεμέναις παραμυθεῖςθαι, τὰ δὲ ἐμπεπλαςμένα τῷ ἀπευθυςμένῳ μυξώδη καὶ διὰ μελικράτου ἐνέςεως ἀποςμήχειν. καὶ ἅλμη δὲ πολλάκις ἐνεθεῖςα τὸ δέον ἐξήνυςεν· ἀρκοῦςι δὲ ἁλῶν ⟨ $\overline{\varsigma}$ ἐν κοτύλῃ θερμοῦ ὕδατος. παραμυθεῖςθαι δὲ τοὺς πόνους καὶ τὰς ἐντάςεις ἐγκαθίςμαςι διὰ τήλεως ἢ μαλάχης ἢ λινοςπέρμου· οἱ δὲ πολλάκις ἐπέτυχον καὶ τοῦτο· ἐγκάθιςμα. βάτου καὶ μυρςίνης καὶ κυτίνου καὶ δάφνης χλωρῶν ἴςον· ἕψει ἐν ὕδατι· ἔςτι δὲ Μαρκέλλιον. ἐν βάθει δὲ τῆς φλεγμονῆς καὶ τῶν ἐρεθιςμῶν ὑπαρχόντων ἐνετέον ςιτώδεις χυλοὺς μετά τινος τῶν ςτυπτικῶν ἡψημένους· καὶ ἔλαιον δὲ γλυκὺ ἐνεθὲν καὶ καταςχεθὲν ὥραις πλείοςι τὴν περιωδυνίαν ἔλυςεν. ςυχνῆς δὲ τῆς ἐξαναςτάςεως οὔςης καὶ ἀγαθῖδα διὰ ςτυμμάτων θερμῶν τῇ ἕδρᾳ προςτιθέςθωςαν ἢ πίτυρα θερμὰ ἐν ἀποδέςμῳ ἢ ςπόγγον ἤ τι τῶν τοιούτων.

## μβ΄. Περὶ δυςεντερίας.

1 Ἡ δυςεντερία ἕλκωςίς ἐςτι τῶν ἐντέρων, ποτὲ μὲν ἐκ μεταπτώςεως τεινεςμοῦ ἢ τῶν εἰρημένων τῆς γαςτρὸς ἐκταράξεώς τινος γινομένη, ποτὲ δὲ τοῦ πάθους αὐτὴ καταρχομένη, ἐφ᾽ ἧς ἀποκρίςεις γίνονται πρῶτον χολώδεις ποικίλαι, εἶτα πρὸς ὀλίγον αἱματώδεις καὶ ἐπὶ τέλει ἰχωροειδεῖς, ὁποῖαι ἀπὸ τῶν νεκρῶν εἰώθαςι ῥεῖν ςωμάτων· ἡ δὲ ἀπὸ χολῆς μελαίνης ἀρχομένη δυςεντερία θανάςιμός ἐςτι τὸν μεθ᾽ ἑλκώςεως δηλοῦςα καρκίνον. εἰ μὲν οὖν ἀναμεμιγμένα τῇ κόπρῳ τὰ

16—21 *cf. Oribasius, Synops. IX 13* μβ΄ *cf. Alexander Trall. II 415 sqq.; Aëtius IX 43* μβ΄ 1 *cf. Oribasius, Synops. IX 12*

1 ςυντάςεις FGM*a*: ςυςτάςεις *supra add.* M 3 αὐξανόμενος D ἐπικλύςμαςι δὲ δριμυτέροις D 4 mellicrati *a* 5 ἰςχάδων] ἢ ἰςχάδων ἢ ςταφυλῆς παμπόλλου καὶ πέπονος καὶ D ῥοῦ D 6 παυόμενος *e corr.* D οὖν] *ins.* M 7 ἁρμόςει D ὠμαῖς λύςεςι D 8 μυρςινίνου D 9 ἤτρου] *om.* AE, *mrg.* E² 10 καὶ *(pr.) om.* D*a* 11 δὲ *(alt.)*] autem et *a* 12 ἐνςτάςεις BHKM, *corr.* BM 13 ἐν καθίςμαςι BK ἢ *(pr.) om.* D καὶ *(pr.)*] ποιήςαντες καὶ D 14 τοῦτο] τοῦτο τῷ CFG: τούτῳ τῷ C² ἐγκαθίςματι CF: *comp.* G κυτίνου] CDFGK, *e corr.* M: κοτίνου AB EHM: timi *a* 15 χλωρῶν] ABEHKM*a*: χλωρῶν καὶ κυπαρί(ς)ςου CFG: καὶ κυπαρίςου (ς *supra*) D: καὶ κιπαρίςου *supra add.* M² ἴςον] CDFG: τὸ ἴςον K: ἴςων ABEHM*a* ὕδατι] ὕδατι καὶ πυρία μετὰ ςπόγγων D 19 ἐπαναςτάςεως H 20 ςπόγγῳ D 24 ἐκταράξεως] ἐκταράξεων DB³: ἐκ προκατάρξεως K 26 πρὸς ὀλίγον] CFGK: πρὸς λόγον ABDEHM: *om. a* 28 μεθ᾽] DFK, *e corr.* M: μετ᾽ ABCEGHM

τῆς ἑλκώσεως ἐκκρίνοιτο σημεῖα μετὰ πόνων τε καὶ στρόφων, ἐν τοῖς λεπτοῖς ἐντέροις γίνωσκε τὴν ἕλκωσιν τῶν διὰ στόματος μάλιστα βοηθημάτων χρῄζουσαν· εἰ δὲ ἀμιγὴς ἡ κόπρος διεξέρχοιτο, τῶν παχέων ἐστὶν ἐντέρων τοῖς ἐνέμασι μᾶλλον πειθομένη. ὅταν δὲ πολλοῦ κατὰ μόνας ἔκκρισις αἵματος γένηται, τὸ πάθος αἱματηρὰν δυσεντερίαν λέγουσιν. ἐκκρίνεται μήν ποτε καὶ αἷμα μελάντερον τοῦ κατὰ φύσιν καὶ στιλπνὸν μὴ πέττοντος καλῶς τοῦ ἥπατος τὴν ἀναδιδομένην τροφήν. καὶ δι᾽ ἀτονίαν δὲ τῆς καθεκτικῆς ἢ τῆς ἀλλοιωτικῆς αὐτοῦ δυνάμεως πολλάκις ἐκκρίνεται διὰ γαστρὸς ὅμοια κρεῶν νεοσφαγῶν ἀποπλύματι· ἡπατηρὰν δὲ ταύτην καλοῦσι δυσεντερίαν, περὶ ἧς ἐν τῷ περὶ ἥπατος λεχθήσεται λόγῳ.

2 κοινῶς μὲν οὖν τοῖς ἐπὶ κοιλιακῶν τε καὶ τῶν ἄλλων παρὰ φύσιν ἐκκρίσεων εἰρημένοις χρηστέον· ἰδίως δὲ Λημνία σφραγὶς καὶ τὴν ἤδη νεμομένην ἰᾶται δυσεντερίαν πινομένη τε καὶ ἐνιεμένη προαποκλυσθέντος τοῦ ἐντέρου μελικράτῳ πρότερον κἄπειτα ἅλμη, καὶ ἀνδράχνης χυλὸς ἐπιτήδειος δυσεντερικοῖς πινόμενος καὶ αὐτὴ ἡ ἀνδράχνη ἑφθὴ ἐν ὀξυκράτῳ ἐσθιομένη· ἁρμόττει δὲ καὶ ἀρνόγλωσσον καὶ βάτου καρπὸς καὶ τὰ φύλλα καὶ ἀλθαίας τῆς ῥίζης τὸ ἀφέψημα, ἵππουρις δι᾽ ὕδατος ἢ οἴνου πινομένη καὶ ὁ χυλὸς αὐτῆς, μορέας ἄωρος ὁ καρπὸς ξηρανθεὶς καὶ τούτου μᾶλλον τὰ βάτινα μόρα ὁμοίως ξηρανθέντα. ξηραίνει δὲ τὰ κατὰ τὴν κοιλίαν ῥεύματα καὶ ᾠὰ δι᾽ ὄξους ἑψηθέντα καὶ βρωθέντα, βέλτιον δέ, εἰ μίξας αὐτοῖς τινα τῶν πρὸς δυσεντερίαν ταγηνίσῃς καὶ δῷς φαγεῖν· χρησιμώτατον δέ ἐστιν πρὸς τοῦτο ὀμφάκιον, ῥοῦς ἐρυθρὸς καὶ ὁ χυλὸς αὐτοῦ, σίδια, κηκίς, γίγαρτα, μέσπιλα, μύρτα, κράνεια, κοχλιῶν ὅλων ὀπτηθέντων ἡ τέφρα. σύνθετον δὲ τοῦτο· τῆς τῶν κοχλιῶν τέφρας μέρη δ̄, κηκῖδος μέρη β̄, πεπέρεως μέρος ᾱ· χνοῶδες ποιήσας τοῖς ὄψοις ἐπίπαττε ἢ ἐν ὕδατι ἢ οἴνῳ λευκῷ ὑδαρεῖ δίδου πίνειν· γενναίως ὠφελεῖ δυσεντερικούς, ὅσοις οὐδέπω σηπεδονῶδες ἕλκος γέγονεν. καὶ ἡ τῶν ὀστοφαγησάντων δὲ κυνῶν κόπρος ξηρὰ σὺν γάλακτι τετυρωμένῳ διὰ τῆς τῶν καχλήκων καθέσεως πινο-

11 λεχθήσεται] μϛ´ 1 13—30 *cf. Oribasius, Synops. IX 15 = Ad Eunap. IV 87—88*

1 ἐκκρίνοιντο K 2. 3 βοηθημάτων μάλιστα D 4 εἰσὶν K 5 αἵματος ἔκκρισις D λέγουσιν] προσαγορεύουσιν K: ὀνομάζουσιν D 6 μέν K ποτε *om.* DFM μελάντερον αἷμα K αἷμα] αἷμά ποτε D τοῦ] *om.* F: ποτε τοῦ M 6. 7 καὶ στιλπνὸν] CFGK, *e corr.* $A^3$M: καὶ στιρπνὸν BHM: στριπνὸν ADE: *om. a* 10 περὶ ἧς] ἥτις *e corr.* K περὶ *(alt.)*] περὶ τοῦ D 12 θεραπεία *praemittit* M 13 ἐκκρίσεων] CFG, *e corr.* $DM^3$: ἐκκρίσεως ABEHKM*a* 14 δυσεντερίαν ἰᾶται D 15 ἅλμης CFG, *corr.* C 16 ἐπιτήδεια D πινόμενος] *mut. in* πινομένη K: πινόμενα D 17 καὶ *(pr.) om.* K ἀρνογλώσσου E: -ου *supra add.* $M^3$ καρπὸς] ὁ καρπὸς CFG 18 δι᾽] τε δι᾽ D 19 ἢ] *supra scr.* K μοραίας DK: *deinde supra add.* ἢ K ὁ *(alt.) om.* CFG 23 ταγηνίσεις D δῷς] AEG*a*: δὺς F: δὸς BCDHKM 24 ῥοῦς] καὶ ῥοῦς D ὁ] CDFGK: *postea ins.* B: *om.* AEHM

26 μέρη *(pr.)*] μ/$^{o}$ *e corr.* D μέρη *(alt.)*] μ/$^{υ}$ D μέρος] μ/$^{υ}$ D 27 ἢ *(pr.)*] EK: καὶ D: *om.* ABCFGHM*a* 28 γενναίως] γενναίως γὰρ D 29 ἐγγέγονε D κύων G 30 σὺν] ἐν D κοχλάκων D

3 μένη μεγάλως ὀνίνησι. σύνθετα δὲ ὅ τε διὰ τῆς Αἰγυπτίας ἀκάνθης τροχίσκος ἐστὶν καὶ ὁ Φιλίππου καὶ ὁ διὰ τοῦ ἐλαφείου κέρατος ὅ τε διὰ σπερμάτων καὶ ὁ τρίγωνος, καὶ τὰ διὰ τοῦ μάκερος καταπότια θαυμαστά. κάλλιστος δὲ καὶ οὗτος· ὀπίου, κρόκου, λυκίου Ἰνδικοῦ, ἀκακίας, ῥοός, λιβάνου, κηκῖδος, ὑποκιστίδος, σιδίων, σμύρνης, ἀλόης ἴσα· ὕδατι δίδου τριώβολον.

Ἄλλο. ῥοὸς ∠ η̄, κηκῖδος, σιδίων ἀνὰ ∠ δ̄· δίδου κοχλιάριον ᾱ οἴνῳ.

Ἄλλο. ῥοὸς ∠ η̄, κηκῖδος, ἀκακίας, κόμμεως ἀνὰ ∠ β̄, ὀπίου ∠ ᾱ· δίδου ∠ ᾱ ἐν οἴνῳ κεκραμένῳ.

ἔκλειγμα δὲ αὐτοῖς ἁρμόσει τοῦτο· μύρτων μελάνων ℥ ᾱ, ῥοῦ Συριακοῦ ℥ ᾱ, φοινίκων Θηβαϊκῶν λι. β̄, μήλων Κυδωνίων τῶν σαρκῶν λι. ᾱ, ῥοιὰς ὀξείας σὺν τοῖς κελύφοις ῑ, οἴνου στύφοντος ℥ ιβ̄· ἕψε, ἕως τὸ τρίτον λειφθῇ, καὶ διηθήσας ἔμβαλε μέλιτος λι. ς̄ καὶ ἑψήσας ἕως πάχους δίδου ἐκλείχειν. δῆλον δέ, ὅτι καὶ καταπλάσματα διὰ τῶν στυπτικῶν ἔσονται, ὧν τὴν ὕλην ἔχεις.

4 ἐνέματα δὲ τοῖς δυσεντερικοῖς ἁρμόσει διὰ τοὺς ἐνοχλοῦντας τεινεσμοὺς χυλὸς ὀρύζης ἢ χόνδρου ἢ τοιούτου τινὸς μετὰ στέατος αἰγείου ἢ τραγείου καὶ τὰ ἐν τῷ περὶ τεινεσμοῦ λεχθέντα. εἰ δὲ αἷμα ἀποστάζοι, ἐνετέον χυλὸν πολυγόνου ἢ ἀρνογλώσσου μετὰ ἀκακίας ἢ ὑποκιστίδος ἢ τοιούτου τινός· εἰ δὲ ἐπείγοι, καὶ ἴσχαιμόν τι ἐνιέναι, οἷον τέφραν οἰσυπηρῶν ἐρίων ἢ σπόγγου καινοῦ βραχέντος πίσσῃ ὑγρᾷ ἢ αἵματι βοείῳ ἢ στυπτηρίᾳ ὑγρᾷ καὶ καυθέντος ἢ ὀνίδος χυλῷ. καὶ ὁ τοῦ Ἄνδρωνος δὲ τροχίσκος ἀγαθὸν φάρμακόν ἐστιν ὅ τε τοῦ Μούσα καὶ οἱ παραπλήσιοι. καὶ ὑπόθετα δὲ κολλούρια τῶν πάνυ πρακτικωτάτων εἰσίν, ἐφ᾽ ὧν μάλιστα καὶ πόνοι περὶ τὴν ἔκκρισιν γίνονται. νομῆς δὲ συστάσης περὶ τὰ ἔντερα, ἣν διαγινώσκομεν τῇ τε δυσωδίᾳ καὶ σήψει τῶν ἐκκρινομένων καὶ τῷ μὴ κατ᾽ ἀρχὰς εὐθὺς ἀλλὰ μετὰ χρόνον αὐτὴν γίνεσθαι, τοῖς ἐσχαρωτικοῖς τῶν ἐνεμάτων χρησόμεθα, οἷοί εἰσιν οἵ τε Φαυστιανοὶ προσαγορευόμενοι τροχίσκοι καὶ ὁ διὰ χάρτου καὶ ὁ Βιθυνὸς ὅ τε θρόνος καὶ ὁ διὰ τῶν φελλῶν, διὰ φακῆς ἀποζέματος ἤ τινος τῶν στυφόντων ἐνιέμενοι. καὶ τοῦτο δὲ τῶν πάνυ μοι πεπειραμένων ἐστὶ τὸ ἔνεμα· ὀμφακίδος κεκαυμένης (ἔστι δὲ τὸ

μβʹ 3 *cf. Aëtius IX 48* μβʹ 4 *cf. Aëtius IX 49*

2 ἐστὶν] HKM, -ν *eras.* B: ἐστὶ CDFG: *om.* AE 3 σπερμάτων] *comp.* ABG: σπερῆς C: pente *a* 4 κάλλιστα D ταῦτα D 5 σμύρνης] μυρσίνης CG: μυρσύνης F 7—8 *om.* A 11 ἁρμόζει D ℥ ᾱ *om.* D 12 ℥] ∧ CG, *ut saepius*: ἀνὰ ℥ D 13 ῑ] ἢ K ιβ̄] ῑ D ἕψει D 14 τὸ] *om.* FHK: *supra scr.* M 15 καὶ] *supra scr.* M 17 ἁρμόζει D 18 χυλὸς] τάδε· χυλὸς D 20 ἀποστάζει D χυλὸν ἐνετέον D 21 καὶ *om.* *a* 22 κενοῦ CG, *e corr.* B 23 ἢ αἵματι . . . ὑγρᾷ *om.* D καὶ καυθέντος] DFG: κεκαυθέντος C: καυθέντος ABEHKM*a* χυλῷ] χυλῷ χρηστέον ἢ αἵματι βοείῳ ἢ στυπτηρίᾳ ὑγρᾷ D 24 δὲ *om.* F*a* 26 εἰσί F: ἐστίν E 27 ἣν] ἥν τε K 28 σήψει] τῇ σήψει D τῷ] ABDHM*a*: τὸ CEFGK 29 αὐτὴν *om.* M 30 φαυστινιανοὶ DEK καὶ ὁ διὰ χάρτου] *om.* G: *mrg.* C²: καὶ οἱ χάρτου F 31 θρόνος] BCFGKM: θρόνιος EC²M³: χρόνιος AD: θρόμος H*a* διὰ (*alt.*)] καὶ ὁ διὰ D 33 μοι] *supra scr.* M: *om.* *a*

κοῖλον, ἐξ οὗ ἐκπέφυκεν ἡ τῆς δρυὸς βάλανος, οἷςπερ οἱ βυρςεῖς χρῶνται), ἀρςενικοῦ, ςυμφύτου, ῥοῦ Cυριακοῦ τὸ ἴςον· τούτων κοπέντων ὅςον κοχλιάρια $\bar{\beta}$ ἀναλαβὼν χυλῷ ὀρύζης καὶ χυλῷ ἀγχούςης τῆς τὸ ἀκανθῶδες καὶ πλατὺ καὶ μέλαν ἐχούςης φύλλον, ἣν χοιροςπέλεθον καλοῦςι, καὶ τῶν ᾠῶν τῷ λευκῷ ἐξ ἴςης ὅςον Ϝ $\bar{\beta}$ ἢ $\bar{\gamma}$ παράπεμπε.

5 ἐπιθέματα δὲ τὰ ἐπὶ τῶν κοιλιακῶν εἰρημένα. καὶ τὰ κατὰ τῆς γαςτρὸς δὲ καταχρίςματα τῆς ςτυφούςης τε καὶ ξηραντικῆς ὕλης ὑπάρχοντα ςύν τινι τῶν ἐχεκόλλων, κόμμεως, λιβάνου, ταυροκόλλης, γύρεως, ἐπὶ τοῖς παραπληςίοις καταπλάςμαςιν χώραν ἐχέτω.

6 τροφὴ δὲ τούτοις ψόγαλα τὴν ἀρχὴν ἔςτω κἄπειτα τὰ διὰ τῶν ςιτωδῶν ῥοφήματα καθ' ἑαυτά τε καὶ ςὺν γάλακτι ἑψόμενα. καὶ τὸ γάλα δὲ μετρίως ἑψόμενον ἄριςτόν ἐςτιν. λαχάνων δὲ οὐκ ἀναγκαία μὲν ἡ χρῆςις, ὅμως δὲ δοτέον ἀπογεύεςθαι ςέρεως ἑφθῆς καὶ ἰντύβου καὶ ἀρνογλώςςου καὶ τῆς διςέφθου κράμβης καὶ τῶν ὀπωρῶν τὰς ςτυφούςας ἀποπτυομένων τῶν ςαρκῶν αὐτῶν ἢ ἄλλως τραχύνειν δυναμένων τὰ ἔντερα. πολλῆς δὲ τῆς ἐπὶ τὸ θερμὸν δυςκραςίας οὔςης καὶ ἴντυβον δοτέον ὠμόν, καὶ ὕδατος ἀπορροφείτωςαν ψυχροῦ· τὸ ἄλλο δὲ ποτὸν ὕδωρ ὄμβριον ἔςτω, κεκμηκότος δὲ τοῦ ςτομάχου καὶ οἶνος. εἰς ὕςτερον δὲ καὶ τῶν πτηνῶν τὰ ξηρότερα καὶ εὔπεπτα λαμβανέτωςαν· καὶ λουτροῖς δὲ χρήςθωςαν γλυκέςιν. εἰ δὲ ῥευματίζοιντο πρὸς αὐτῶν, ςπόγγον μέγαν ἢ ψῖχας ἄρτου ςιλιγνίτου βρέξας οἴνῳ Ἀςκαλωνίτῃ ἤ τινι τῶν ςτυφόντων θερμῷ ἐπίθες τε καθ' ὅλου τοῦ ἐπιγαςτρίου καὶ ἐπιδήςας οὕτω λούεςθαι κέλευε.

## μγ'. Περὶ κωλικῆς διαθέςεως.

1 Τὸ κῶλον μέρος ὂν τοῦ παχέος ἐντέρου τὴν μὲν ἔκφυςιν ἀπὸ τῆς δεξιᾶς ἔχει λαγόνος, ἐπὶ τὴν ἀριςτερὰν δὲ φέρεται δίκην ζώματος, ὀδύναι δὲ τούτῳ χαλεπώταται γίνονται διὰ πλείονας αἰτίας· ἢ γὰρ διὰ παχύν τε καὶ φλεγματικὸν χυμὸν ἐναποληφθέντα μεταξὺ τῶν

μβ' 6 *cf. Aëtius IX 45* μγ' *cf. Alexander Trall. II 335 sqq.*
μγ' 1—3 *cf. Aëtius IX 30*

1 ἡ] ὁ AE οἷςπερ] AE: ὥςπερ K: οὕςπερ BCFGHM: ἧπερ D: quo *a* 2 ῥοὸς D 3 $\bar{\beta}$ κ͞ο (χ supra) D χυλῷ *(pr.)*] DM²: χ (υ supra) CEGH: χυλὸν ABFKM*a* χυλῷ *(alt.)*] DM²: χ (υ supra) EH: χυλὸν ABCFGKM*a* 4 φύλλον] τὸ φύλλον K 6 τὰ *(pr.)*] τῶν B κατὰ *om.* D 9 παραπληςίως K 10 ᾠὰ D ἔςτω *om.* A 13 μὲν *om.* E ἡ *om.* CFG δὲ] D: *om.* ABCEFGHKM*a* ἀπογεύςαςθαι D 14 διςέφθου] DKM²*a*: δυςέφθου F: διέφθου ABCEGHM καὶ τῶν ὀπωρῶν] pomorum uero *a* τὰς ςτυφούςας] ὅςαι ςτύφουςιν D 15 αὐτῶν] τῶν αὐτῶν K ἢ] καὶ E*a*: καὶ τῶν D ἄλλως] *mut. in* ἄλλων J: his *a* 15. 16 δυναμένων τὰ ἔντερα] CDFGK, *e corr.* B: ἔντερα δυναμένων ABHM(*a*): ἔντερα δυναμένοις E 16 τὸ *om.* M τῷ θερμῷ D 17. 18 τῷ ἄλλῳ δὲ K: τὸ δὲ ἄλλο M 18 οἶνον K 20 κεχρήςθωςαν D 21 μέγα K ἄρτου] ἄρτου ἢ D 22 θερμῶν A ἐπίθες τε] AM: ἐπιτίθει D: superpone *a*: ἐπιθέςται H: ἐπιθεῖςθαι K: ἐπίθετε B: ἐπιθετέον CEFGM² 23 οὕτως K λούεςθε M 27 δὲ *om.* CFG 28 τε καὶ] aut *a* ἐναποληφθέντα] DFH: ἐναπολειφθέντα ABCEGKM*a*

χιτώνων αὐτοῦ ἢ διὰ πνεῦμα παχὺ καὶ φυςῶδες οὐκ ἔχον διέξοδον ἢ διὰ φλεγμονὴν τοῦ ἐντέρου ἢ διὰ δριμεῖς καὶ δακνώδεις χυμούς. τοῖς μὲν οὖν διὰ παχὺν καὶ φλεγματικὸν ὀδυνωμένοις χυμὸν δι᾿ ὅλου μὲν τοῦ ἐπιγαστρίου κατὰ τὸ βάθος ἡ ὀδύνη γίνεται, μάλιστα δὲ κατὰ τὴν θέςιν τοῦ κώλου, τρυπανώδους γινομένης τῆς ςυναιςθήςεως, ςτρόφοι τε τούτοις ἐνοχλοῦςι καὶ ἐρυγαὶ καὶ ναυτίαι καὶ ἔμετοι παντοίων, μάλιςτα τοῦ φλέγματος, ἥ τε γαςτὴρ αὐτοῖς ἐπέχεται χαλεπῶς, ὡς μήτε φῦςαν διεξιέναι, ἐκκριθὲν δέ ποτε τὸ κόπριον βολβίτῳ παραπλήςιον ὁρᾶται κοῦφόν τε καὶ φύςης μεςτόν· προηγεῖται δὲ τούτων ὡς μάλιςτα ψυχρῶν τε καὶ παχυχύμων ἐδεςμάτων ςυνεχὴς προςφορὰ πληςμονή τε καὶ ἀπεψία καὶ ἀργία καὶ τὰ τούτοις ςύμφωνα. τοῖς δὲ διὰ πνεῦμα φυςῶδες ὀδυνωμένοις τάςεως μᾶλλον ςυναίςθηςις γίνεται. τοῖς δὲ διὰ φλεγμονὴν ζέςεως ἐντοπίου γίνεται ςυναίςθηςις καὶ πυρετὸς οὐκ ἀγεννὴς ἐπίςχεςίς τε ςὺν τῇ κόπρῳ καὶ τῶν οὔρων, καὶ ςφυγμὸς ἐνοχλεῖ κατὰ τὴν γαςτέρα, δίψα τε καὶ καῦμα καὶ τούτοις ἐνοχλεῖ καὶ ναυτίαι καὶ χολῆς μᾶλλον ἔμετοι μηδὲν ἐπικουφίζοντες· καὶ ἁπλῶς ἡ χαλεπωτάτη τῶν κωλικῶν ἐςτιν αὕτη διαθέςεων τὴν εἰς τὸν εἰλεὸν ἀπειλοῦςα μετάςταςιν. τοῖς δὲ διὰ δριμεῖς καὶ δακνώδεις χυμοὺς ὀδυνωμένοις, ὥςπερ καὶ τοῖς ἐπὶ φλεγμονῇ, καῦμά τε καὶ δίψα καὶ ἀγρυπνία γίνεται, πυρέττουςι δὲ ἢ οὐδὲ ὅλως ἢ ἐκείνων ἧττω καὶ οὐροῦςι δριμὺ καὶ χολώδη τε διαχωροῦςι καὶ πολλάκις ἐπὶ τῇ τῆς γαςτρὸς διαχωρήςει πλέον ὀδυνῶνται καὶ τῇ τῶν θερμοτέρων ἐδεςμάτων τε καὶ πομάτων προςφορᾷ παροξύνονται μᾶλλον.

2 τὰς μὲν οὖν διὰ ψυχρούς τε καὶ γλίςχρους καὶ παχεῖς χυμοὺς ὀδύνας ἰᾶςθαι προςῆκεν οὐ θερμαίνοντας ςφοδρῶς· ὑπὸ γὰρ τῶν θερμαινόντων ἱκανῶς χέονται καὶ πνευματοῦνται μᾶλλον οἱ τοιοῦτοι χυμοί. προςήκει τοίνυν αὐτοὺς τέμνειν τε καὶ πέττειν διὰ τῶν ἀφύςων καὶ λεπτυνόντων καὶ ξηρῶν φαρμάκων χωρὶς τοῦ θερμαίνειν ςφοδρῶς κατ᾿ ἀρχὰς τοῦ νοςήματος. προεκκοπρώςαντας οὖν τὴν γαςτέρα τοῖς ἁρμοδίοις κλύςμαςιν ἐνετέον ἐλαίῳ, ἐν ᾧ ἀφήψηται κύμινον ἢ πήγανον, μετὰ ςτέατος χηνὸς ἢ ὄρνιθος ἢ διὰ ῥιζῶν ςικύου ἀγρίου ἀφεψή-

μγʹ 2—4 *cf. Oribasius, Ad Eunap. IV 86*

1 ἤ] ἢ καὶ M, *sed* καὶ *del.* φυςῶδες καὶ παχὺ M, *sed corr.* (β—α) 3 τοῖς] ABCDFGK: τοὺς EHM*a* ὀδυνωμένοις] CDFGK, *e corr.* A: ὀδυνωμένους ABEM*a* 5 τυμπανώδους K: τομώδους *supra add.* K² 6 τε] ADEHKM*a*: δὲ BCFG τούτους AE παντοῖοι DK*a* 7 μάλιςτα τοῦ] καὶ μάλιςτα K: μάλιςτα δὲ τοῦ D χαλεπῶς *om. a* 8 μήτε] (*h. e.* μηδὲ) μηδὲ D 9. 10 τούτων ὡς *om. a* 11 καὶ τὰ . . . ςύμφωνα *om. a* 13 γίνεται *om.* M 14 τε . . . κόπρῳ] stercoris *a* 15 τε] τε προςέτι D καὶ *(sec.) om. a* τούτοις ἐνοχλεῖ καὶ *om.* D 18 τοῖς] *corr. ex* τοὺς M ὀδυνωμένους AHM, *corr.* M 20 ἢ οὐδὲ] DK: οὐδὲ F: *om.* ABCEGHM*a* ἧττον DF 21 τε *om.* D 22 διαχωρούςῃ K 24 γλίςχρους τε καὶ ψυχροὺς D χυμοὺς καὶ παχεῖς CFG 25 ὀδύνας *om.* D προςήκει D θερμαίνοντας] DFHK: θερμαίνον^τ CG: θερμαίνοντα BEM: θερμαίνονται A 27 τοίνυν αὐτοὺς] δὴ τούτους D 28 καὶ *(pr.)*] τε καὶ D ξηραινόντων D 29 προεκκοπρώςαντας] δεῖ τοίνυν προεκκοπρῶςαι D: purgandum *a* 30 ἐνετέον] εἶτα ἐνετέον D: *om. a* ἀφέψηται BK

ματος καὶ cμύρνης < α̅ καὶ μέλιτος καὶ ἐλαίου ἢ διὰ cμύρνης καὶ μέλιτος καὶ τοῦ Cικυωνίου ἐλαίου· καὶ τῷ ἐλαίῳ δὲ τῷ κοινῷ πολλάκις ἐνεθέντι cυνεκκριθὲν ὑαλῶδες φλέγμα παραχρῆμα τὴν ὀδύνην ἔπαυσεν. εἰ δὲ διὰ τὸ cφοδρὸν τῆς ὀδύνης καὶ τὸ ἔνεμα κατέχοιεν, βαλανιστέον αὐτοὺς διὰ μέλιτος, κυμίνου, νίτρου, πηγάνου cπέρματος ξηροῦ ἢ κράμβης καυλῷ καλῶς ἐξεcμένῳ καὶ ἅλμῃ ἐμβραχέντι ἢ τέφρᾳ κράμβης μέλιτι φυραθείcῃ ἢ κολοκυνθίδι λείᾳ cὺν μέλιτι καὶ νίτρῳ καὶ κυμίνῳ· τὰ δὲ βαλάνια δακτύλων ἔστω ς̅, ὅπως ὑπερπεράcῃ τὸν cφιγκτῆρα· διαχρίειν τε τὴν ἕδραν κυκλαμίνου χυλῷ cὺν μέλιτι καὶ νίτρῳ ἢ κενταυρίῳ cὺν μέλιτι καὶ νίτρῳ. ἐνέματα δὲ τῆς ὀδύνης ἐπιμενούcης πρὸς τοῖς εἰρημένοις ἔστω ῥητίνης τερεβινθίνης ℥ α̅ ἢ ὀποπάνακος < α̅ ἢ χαλβάνης < δ̅, κεδρέας < δ̅, ἀcφάλτου τὸ ἴcον μετὰ νίτρου < α̅ καὶ ὕδατος ℥ α̅ καὶ ἐλαίου πηγανίνου ℥ ε̅ ἢ πλέον. ἐμβροχὰς δὲ κατὰ τῶν ἀλγούντων ἐπιβλητέον διὰ κυμίνου ἢ ἀνηθίνου ἢ Cικυωνίου ἐλαίου. καταπλαστέον δὲ τῷ τριcπέρμῳ μετὰ κυμίνου, δαφνίδων, cελίνου cπέρματος. ἐπιθέματα δὲ τό τε διὰ cπερμάτων ἔστω καὶ τὸ διὰ δαφνίδων τό τε διὰ μελιλώτων καὶ τὸ πολυάρχιον. ἐγκαθιστέον δὲ αὐτοὺς ἐν 3
ἀφεψήματι τήλεως, ἀλθαίας, χαμαιμήλων, ἀρτεμιcίας, ἀνήθων, δάφνης καὶ τῶν παραπληcίων· καὶ εἰς ἔλαιον δὲ θερμὸν ἢ ὑδρέλαιον αὐτοὺς ἐμβιβαστέον. ποτήματα δὲ ἀψίνθιον καὶ κύμινον ἴcον ἢ πάνακα μεθ' ὕδατος ἢ καcτορίου καὶ ἀνίcου καὶ πεπέρεως < α̅ μετ' ὀξυμέλιτος. μὴ ἐνδιδούcης δὲ τῆς ὀδύνης ποτίζειν αὐτοὺς τῇ διὰ τριῶν πεπέρεων ἢ τῇ θηριακῇ· καὶ cιναπιcμῷ δὲ καὶ δρώπακι χρηστέον ἐν ταῖς ἀνέcεcι καὶ αὐτοφυέcι λουτροῖς· τῶν δὲ δι' ὕδατος ποτίμου λουτρῶν ἀπεχέcθωcαν, πλὴν εἰ μὴ διὰ τὴν περίcταcιν τῆς ὀδύνης ἀναγκάζοιντο, ἡνίκα δεῖ προενιέντας αὐτούς τινι τῶν εἰρημένων φαρμάκων λούειν καὶ πυριᾶcθαι κελεύειν ἐν τοῖς διαπύροις τοίχοις ἐμπαττομένους τινὰ τῶν νιτρωδῶν cμηγμάτων. ἰcχυρᾶς δὲ τῆς ὀδύνης οὔcης καὶ τοῖς μετρίως παραμυθουμένοις χρηστέον [ἐcτίν], οἷός ἐcτιν ὅ τε διὰ τοῦ

1 ἢ . . . ἐλαίου *(2) om.* D  2 καὶ *(alt.) om. a*  4 καὶ *om.* D*a*  τὰ ἐνέματα DK  κατέχοιεν] μὴ κατέχοιεν D  5 cπέρματος] προcβάλλοντας cπέρμα D  ξηρὸν D  ἢ] DK: *om.* ABCEFGHM*a*  6 καυλὸν D  ἐξεζεcμένα D: ἐζεcμένῳ K*a*  ἐν βραχέντι CEGK: ἐμβραχέντα D  τέφραν D  7 φυραθεῖcαν D  κολοκυνθίδα λείαν D  9 τε] δὲ M*a*  ἢ . . . νίτρῳ *(10) om.* E  κενταυρίου CGK  10 cὺν . . . νίτρῳ] ὁμοίως CFG: *om.* D  ἐνέματα] DK: ἐνέματι ACEFGM: ἐνέματη H: ἔνεμα *a*, *e corr.* B  11 ἔστω] ἔστω τάδε D  ῥητίν/ (η) G: ῥητίνη C  τερμινθίνης K: τερεβιν (θ) G: τερεβινθίνη C  12 < δ̅ *(pr.)*] καὶ D  κεδρέας < δ̅] K: κεδρίας ἀνὰ < δ̅ D: *om.* ABCEFGHM*a*  13 δὲ] τε DK  14 ἀνίθου FG: ἀνήθ(ου) C: ἀνήθου D  16 ἐπιθέματα . . . δαφνίδων *om.* E  τε *om.* D  καὶ τὸ] ἢ καὶ D  17 δὲ] τε D  18 ἀνήθου D*a*  19 καὶ *(alt.) om. a*  20 ποτίcματα D  δὲ] τε προcφέρειν D  21 <] ἴcον < DK: ἴcα < F  μὴ *om.* D  22 τριῶν] β̅ D  23 καὶ *(pr.)*] aut *a*  δὲ *om. a*  24 δὲ *om.* E  25 περίταcιν D  ἀναγκάζοιτο CFGM  26 πράως ἐνιέντας D  27 ἐν τοῖς] αὐτοῖς CFG, *corr.* C[3]  τόποις ἐμπαττομένου τινὸς D  29 ἐcτίν *om.* CDFGM

καστορίου τροχίσκος ἐνιέμενος καὶ ὁ ἀστὴρ ἐνιέμενός τε καὶ πινόμενος καὶ τὰ τούτοις ὁμογενῆ φάρμακα· τὰ γὰρ ἰσχυρὰ τῶν ναρκωτικῶν φυλακτέον πρὸς ὀλίγον μὲν παραμυθούμενα, χρονιωτέραν δὲ τὴν διάθεσιν ἐργαζόμενα τῷ τε παχύνειν τὴν ὕλην καὶ τῷ πυκνοῦν τοῦ ἐντέρου τοὺς πόρους. ἤδη δὲ λεπτυνθέντος τοῦ φλέγματος καθάρωμεν αὐτοὺς διὰ τῆς ἱερᾶς πτερουμένης ἢ τῶν καταποτίων τούτων· ἀλόης, εὐφορβίου, Κνιδίου κόκκου καθαροῦ, σκαμμωνίας τὸ ἴσον· ἡ δόσις γρ. β̄. δίαιτα δὲ θερμοτέρα τε καὶ ξηροτέρα τούτοις ἁρμόσει κατ᾽ ἀρχὰς μὲν ἀσιτοῦσιν, ἔπειτα δὲ καὶ δριμυφαγοῦσι· πράσα γοῦν αὐτοῖς δοτέον ἑφθὰ μετὰ κονδίτου καὶ σέλινα καὶ τὸν ἕλειον ἀσπάραγον, ὠμὰ σκόρδα, καὶ μάλιστα τοῖς μὴ πρὸς ταῦτα δυσχεραίνουσιν, καὶ αὐτοῦ δὲ τοῦ κονδίτου πινέτωσαν καὶ ἄρτου σὺν αὐτῷ λαμβανέτωσαν· εἰς ὕστερον δὲ καὶ τὰς λοιπὰς εὐχύμους τε καὶ εὐπέπτους αὐτοῖς δοτέον τροφὰς
4 φυλαττομένους πλησμονήν τε καὶ ἀπεψίαν. εἰ δὲ πνεῦμα φυσῶδες εἴη τὸ τὴν ὀδύνην ἐργαζόμενον, μετὰ τὰ ἄφυσα τῶν ἐνεμάτων τε καὶ πομάτων καὶ σικύαι ὡς μέγισται διάπυροι κολληθεῖσαι κοῦφαι καθ᾽ ὅλου τοῦ ἐπιγαστρίου πολλάκις ἤρκεσαν πρὸς θεραπείαν. φλεγμονῆς δὲ κατὰ τὸ ἔντερον οὔσης φλεβοτομήσωμεν ἀπ᾽ ἀγκῶνος· εἰ δὲ τὰ τῆς δυσουρίας ἐπικρατεῖ, καὶ τὴν ἐν τῷ σφυρῷ τέμωμεν καὶ τοῖς εἰρημένοις χρησώμεθα βοηθήμασιν πλὴν τῶν δριμέων καὶ τῶν καθαιρόντων ἰσχυρῶς, τοῖς δὲ πραΰνουσι μᾶλλον ἐνέμασί τε καὶ καταπλάσμασι καὶ ἐπιβρέγμασι καὶ τῇ εἰς ἔλαιον ἐμβάσει χρησώμεθα σικύας τε καὶ τούτοις προσβάλωμεν, κηρωτήν τε κατὰ τοῦ ἐπιγαστρίου θήσομεν ἔχουσαν κηροῦ ℔ ε̄, χαμαιμηλίνου ℔ β̄ ∠′, ῥοδίνου ℔ β̄ ∠′, φαβατίνου ἀλεύρου ℔ ∠′, κρόκα ᾠῶν ε̄· χυλῷ λινοσπέρμου λείου. λεπτῶς τε καὶ πυρεκτικῶς αὐτοὺς διαιτῶμεν ἄχρι λύσεως φλεγμονῆς. εἰ δὲ διὰ δριμεῖς καὶ δακνώδεις ὀδυνῶνται χυμούς, ἐνετέον αὐτοὺς ἐλαίῳ, ἐν ᾧ ἀφήψηται τῆλις ἢ ἀλθαία, σὺν ἀνάλῳ στέατι νεαρῷ χηνὸς ἢ ὄρνιθος, ἢ καὶ χυλῷ πτι-

1 ἐνιέμενος . . . ἀστὴρ] DK: *om.* ABCEFGHM*a* 2 ναρκωτικῶν] *corr. ex* σαρκωτικῶν BA[3]: *mut. in* σαρκωτικῶν H[3] 4 ἐργαζόμενοι K 5 δὲ] ὡς K 6 πτερουμένης] acuta *a* 7. 8 γρ. β̄] DEK: γραμμ^α β̄ A: γραμμάρια β̄ BCFG *et corr. ex* γραμμαρίων β̄ M: γραμαρι ᾱῡ H[3]: tertia pars ʒ *a* 8 δὲ *om.* CFG τε *om.* DK ἁρμόζει D 9 οὖν E αὐτοῖς] τούτοις D δοτέον αὐτοῖς E 10 σελίνου DK ὠμὰ] καὶ ὠμὰ D σκόροδα D 11 πρὸς *om.* D δυσχεραίνουσι CDFGM, -ν *eras.* B 13 αὐτοῖς *om.* CFG 15 τὰ *om.* AE 16 καὶ *om.* E*a* σικύαις K: *om.* E: σικύαι *post* μέγισται *ins.* E[2] ὡς *om.* D καθ᾽] δι᾽ D 17 τοῦ] CDFGK: *om.* ABEHM κατὰ] γενομένης κατὰ CG: γενομένης περὶ F 18 οὔσης *om.* CFG τὰ] τὸ K 19 ἐπικρατῇ ABCG: ἐπικρατίη H 20 βοηθήμασι BCDFM: βοηθήμα(τ) G καθαιρόντων ἰσχυρῶς] ἰσχυρῶς θερμαινόντων D 21 πραΰνουσιν ἐνέμασι μᾶλλον καὶ D μᾶλλον *om.* *a* 22 σικύαις K καὶ *(alt.)* *om.* *a* προσβαλοῦμεν D 23 τε] δὲ K θήσομεν *om.* *a* 24 χαμαιμήλου DK ℔ β̄ ∠′ *(pr.)* *om.* CFG*a* ℔ *(tert.)*] ἀνὰ ℔ CFG*a* 25 χυλοῦ D *ante* λείου *supra add.* ἢ HM[3] λεπτῶς] *corr. ex* λεπτῷ J: tenui *a* 26 αὐτοῖς K 27 ὀδυνοῖντο K αὐτοῖς F: μὲν αὐτοῖς K: μὲν αὐτοὺς D ἀφέψηται K 28 ἀνάλῳ] D: ἀλῷ K: ἁπαλῷ CFGH, *e corr.* B: ἁπλῷ ABEM*a* νεαρῷ *om.* D καὶ *om.* *a*

cάνης cὺν ῥοδίνῳ ἢ καὶ χυλῷ λινοcπέρμου, ποτιcτέον τε αὐτοὺc τὴν διὰ τῆc ἀλόηc πικρὰν ἀντίδοτον, λουτροῖc τε χρηcτέον διὰ γλυκέων ὑδάτων, καὶ τροφαῖc ῥοφηματώδεcιν ἐκ χόνδρου ἢ πτιcάνηc χρηcτέον ἰχθύων τε τοῖc πετραίοιc, καὶ τὸ cύμπαν ἁπλῶc τῆc διαίτηc ὑγρότερον ἔcτω καὶ ψυχρότερον. ἀπέχεcθαι δὲ τῶν δριμέων ἁπάντων ἐδεcμάτων τε καὶ φαρμάκων καὶ τῆc δι' ἐμβροχῶν τε καὶ καταπλαcμάτων πυρίαc οἴνου τε πόcεωc, καὶ μάλιcτα παλαιοῦ. ἐπικρατούcηc δὲ τῆc ὀδύνηc καὶ τοῖc τὴν αἴcθηcιν ναρκοῦcι χρηcτέον· βλάπτει γὰρ ἥκιcτα τῶν ἄλλων τὰc τοιαύταc διαθέcειc παχύνοντα καὶ μετρίωc ἐμψύχοντα τοὺc λεπτοὺc καὶ δακνώδειc χυμούc.

Οἶμαι δὲ καὶ τὴν νῦν ἐπικρατήcαcαν κωλικὴν διάθεcιν ἐπὶ τοιού- **5** τοιc γενέcθαι χυμοῖc ἀρξαμένου μὲν τοῦ πάθουc ἀπὸ τῶν κατὰ τὴν Ἰταλίαν χωρίων, καὶ ἐν ἄλλοιc δὲ πολλοῖc τῆc τῶν Ῥωμαίων πολιτείαc φοιτήcαντοc τόποιc κατὰ λοιμικήν τινα μετάδοcιν, ἐφ' ᾧ πολλοῖc μὲν εἰc ἐπιληψίαν, ἑτέροιc δὲ εἰc παράλυcιν τῶν κώλων cωζομένηc τῆc αἰcθήcεωc, τιcὶ δὲ καὶ εἰc ἀμφότερα γέγονεν ἀπόcκηψιc· καὶ τῶν μὲν εἰc ἐπιληψίαν μεταπεcόντων οἱ πλείουc ἀπέθανον, τῶν δὲ εἰc παράλυcιν οἱ πλείουc ἐcώθηcαν ὥcπερ ἐν κρίcει μεταcτάcηc τῆc αἰτίαc. τοὺc οὖν οὕτωc νοcοῦνταc ἰατρόc τιc κατὰ τὴν Ἰταλίαν ἐθεράπευεν ἄπιcτόν τινα ψυκτικὴν ἐπιτηδεύcαc καὶ τολμηροτάτην δίαιταν· θριδακίναc τε γὰρ αὐτοῖc παρεῖχεν ἀνέφθουc ψυχρίζων αὐτὰc ἴντυβά τε ὁμοίωc ὑπὲρ κόρον ἐcθίειν cταφυλάc τε καὶ μῆλα καὶ τῶν ἰχθύων τοὺc cκληροcάρκουc τά τε ὀcτρακόδερμα πάντα καὶ πόδαc βοῶν βούλβαc τε καὶ τὰ παραπλήcια, οὐ μόνον τῇ δυνάμει ἀλλὰ καὶ τῇ θίξει ψυχρά· οἴνου δὲ cπανίωc μέν, ὅτε δὲ παρεῖχεν, ὕδατι ψυχρῷ τοῦτον ἐκίρνα, καὶ τὸ ψυχρὸν δὲ ὕδωρ ἢ καὶ ὀξύκρατον ψυχρὸν ἐδίδου πάcηc ἑτέραc θερμῆc τε καὶ μέcηc ἀπέχων τροφῆc, καὶ πλείcτουc οὕτω κατὰ τὸ παράδοξον ἐξιάcατο καὶ τῆc εἰc ἐπιληψίαν ἢ παράλυcιν ἤδη τινὰc ἀρξαμένουc μεταπτώcεωc.

8 χρηcτέον] *inc.* L

1 ῥόδῳ CF: *comp.* G τε] δὲ D αὐτοὺc] *seq. ras. 16 litt.* M τὴν] τῇ D 2 πικρᾷ ἀντιδότῳ D 3 χρηcτέον *om. a* 5 ἀπεχέcθωcαν D 6 ἐδεcμάτων *om.* K 7 πυρίαιc K 9 καὶ] ται καὶ L 10 τοῖc λεπτοῖc KL δακνώδεcι χυμοῖc K 12 γίνεcθαι H*a* ἀρξομένου L 15 ἐπιληψίαν] ἐπιληψίαν μετέπεcεν D ἑτέροιc . . . ἐπιληψίαν *(17) om.* H 16 καὶ εἰc] καὶ οἷc ABEM, *corr.* M: *om. a* ἀπόcκηψιc] τουπὸ cκιψηc L 18 οὕcπερ D ἐν κρίcει] ἔκκριcιc K 19 τοὺc . . . νοcοῦνταc] τοῦ νοcήματοc D οὕτω CFGL ἐθεράπευcεν EKL, *e corr.* B 20 πιcτήν K τολμηροτάτην] CDGK: τολμηρωτάτην L: τολμηροτάτην τὴν F: τολμηροτέραν τὴν ABEHM*a* 21 αὐτοῖc *om. a* ἀνέφθου K 23 τοῖc cκληροcάρκοιc K βούλβαc] *(h. e. vulvas)* ABCGHKM: βουλβοὺc D: βολβὰc E: βολβοὺc FJM[3], *mrg.* C[3]: *evan.* L: *om. a* 24 ἀλλὰ] *om.* HM: *supra scr.* B[3] καὶ *(alt.) om. a* θρίξει AE, *sed corr.* 25 ψυχρόν L ὅτε δὲ] *om.* D: ὅτε δὲ παρεῖχεν *mrg.* D[3] ὕδατι] *mrg.* D[3]: ὕδατι δὲ D τοῦτον] DKLD[3]M[3]: τούτῳ CG: τοῦτο ABEFH: *om.* M 26 τὸ . . . ἢ] *mrg.* D[3]: τῷ ψυχρῷ δὲ ὑδαρεῖ D καὶ *(alt.) om. a* 27 ἀπείργων D πλείcτηc K 28 ἐπίληψιν K ἢ] et *a*

## μδ΄. Περὶ εἰλεοῦ.

Ὀξύτατον ὑπάρχον πάθος καὶ ἐπώδυνον ὁ εἰλεὸς ἔχει τι σύμπτωμα τοῦ κινδύνου βαρύτερον· οἱ γὰρ κρατηθέντες οἰκτίστῳ θανάτῳ τελευτῶσι πρὸς τῷ τέλει κόπρον διὰ στόματος ἀνάγοντες. συνίσταται δὲ τὸ πάθος ἐπὶ ἀπεψίαις τε καὶ ἐμφράξεσιν, ἐπειδὰν τὰ φθαρέντα μείνῃ, ἐπί τε δηλητηρίοις φαρμάκοις καὶ ἐπὶ ταῖς τῶν ἐντέρων εἰς ὄσχεον κατολισθήσεσι καὶ ἐπὶ φλεγμονῇ τῶν ἐντέρων, ὡς τὰ πολλὰ κωλικῆς ὑπαρξαμένης διαθέσεως. τὰ μὲν οὖν παιδία ταῖς ἐμβροχαῖς τε καὶ τοῖς καταπλάσμασιν ἐνέμασί τε καὶ βαλανισμοῖς καὶ πυρίαις, ὡς ἐν τῷ περὶ κωλικῶν εἴρηται, θεραπευτέον· τὰ δὲ μειράκια καὶ τοὺς ἀκμάζοντας φλεβοτομητέον ἀνυπερθέτως ἐπαφαιροῦντας, εἰ δὲ μή, σικυαστέον καθ' ὅλου μὲν τοῦ ἐπιγαστρίου πολλαῖς τε καὶ κούφαις σικύαις, κατὰ δὲ τῶν ἀλγούντων καὶ μετὰ κατασχασμοῦ, ἀνατριπτέον τε καὶ διασφιγκτέον αὐτῶν τὰ κῶλα, καὶ τότε τοῖς δραστικωτέροις κλύσμασί τε καὶ ἐνέμασι χρηστέον ἐγκαθίσμασί τε καὶ ταῖς εἰς ἔλαιον θερμὸν ἐμβάσεσιν ἀντιδότοις τε καὶ καθάρσεσι καὶ πᾶσιν ἁπλῶς τοῖς πρὸς κωλικοὺς πλὴν τῶν διὰ δριμεῖς τε καὶ δακνώδεις χυμοὺς ὀδυνηθέντων τὸ κῶλον. θαυμαστῶς δὲ ποιεῖ πρὸς αὐτούς, κἂν ἐμοῖεν, ἄνηθον ἑψηθὲν καὶ ποθέν, μετὰ δὲ τὸ πιεῖν ἄρτον εἰς θερμὸν ὕδωρ ἐμβαλὼν εὐθὺς δὸς φαγεῖν θερμοὺς τοὺς ψωμούς. πρὸς δὲ τοὺς μὴ κατέχοντας τὴν τροφὴν ῥοῦν καὶ κύμινον τρίψας ἐν ταὐτῷ δὸς πιεῖν ἐν ὀξυμέλιτι κυάθοις ϛ̄. τοὺς δὲ ἐπὶ δηλητηρίῳ περιπεσόντας ἐν εἰλεῷ ἐμεῖν ἀναγκαστέον δι' ὕδατος θερμοῦ πόσεως (ἔχεις δὲ πάντων τῶν δηλητήριον εἰληφότων τὴν σημείωσιν ἐν τῷ ε΄ βιβλίῳ)· εἶτα ποτιστέον ἔλαιον θερμὸν ἢ ζωμοὺς λιπαρούς, ἵνα πάλιν ἐμέσωσιν, μετὰ δέ τινας ἡμέρας τῇ θηριακῇ ποτιστέον. ἐπιμενούσης δὲ τῆς ἐμφράξεως σχιστῷ γάλακτι μετ' ὀλίγης σκαμμωνίας ἢ ἀλόης ἤ τινος τῶν καθαρτικῶν κενοῦν τὴν κοιλίαν. εἰ δὲ διὰ τὴν εἰς ὄσχεον τοῦ ἐντέρου κατολίσθησιν τὸ πάθος γένοιτο, σχηματίσαντες αὐτοὺς εὐθέως ἀνωρεπεῖς ἀναθλίψωμεν εἰς βουβῶνα τὸ κατολισθῆσαν ἔντερον ἐπιδέσμῳ τε τοῦτο κατάσχωμεν.

μδ΄ *cf. Aëtius IX 28* 10 περὶ κωλικῶν] μγ΄ 2—3 17—21 *Oribasius, Synops. IX 16 = Ad Eunap. IV 90*

5 ἀπεψίαν L ἐμφράξεις L 6 μείνῃ] fuerint *a* 7 ὄσχεσιν AE, -σι- *eras.* A 9 ἐν] ἐπὶ HM*a* 10 τῷ περὶ] τῶν M*a* 12 μὲν *om. a* 13 κατασχασμῶν D 14 τότε *om. a* 14. 15 τε καὶ ἐνέμασι *om. a* 15 χρηστέον] DL: *om.* ABCEFGHKM*a* ἐγκαθίσμασί τε] ἐνκαθήσμασίν τε L: *om.* ABCDEFGHKM*a* 17 τε *om.* DK χυμοῖς L θαυμαστὰ L 18 τὸ] τοῦ CFG, *corr.* C 19 πιεῖν] πονῆν L ὕδωρ] ζέον L 21 ὀξυμέλι^τ GL κυάθους AE δηλητηρίων HL 22 εἰς εἰλεὸν DL δι'] CDGL: *om.* ABEFHKM*a* 23 δηλητήριον] CDGH, *e corr.* B: δηλητήρια *e corr.* M: δηλητηρίων ABEFKLM τὴν *om.* M 24 ε΄] DEB²M²: β̄ ABCGHM: δευτέρῳ F(L?): ι̅β̅ K ποτιστέον] ποτιστέον αὐτοὺς CDFG ἐλαίῳ θερμῷ D ζωμοῖς λιπαροῖς D 25 (τὴν) θηριακὴν L 26 δὲ *om.* E 29 ἀνωρεπεῖς] ἀνωρεπεῖς εὐθὺς K

## με΄. Περὶ τῶν κατὰ τοὺς νεφροὺς καὶ τὴν κύστιν παθῶν, καὶ πρῶτον περὶ λιθιάσεως.

1 Τὴν τάξιν τῆς διδασκαλίας ἡμᾶς ἀναγκάζει παρεξιέναι τῶν νοσημάτων ἡ συγγένεια· κοινὸν γάρ ἐστι κωλικῶν τε καὶ τῶν λίθον ἐχόντων ἐν τῷ νεφρῷ τό τε κατ᾽ ἀρχὰς ἐπέχεσθαι τὴν γαστέρα καὶ σφοδρῶς ὀδυνᾶσθαι καὶ ἀνορεκτεῖν καὶ ἀπεπτεῖν καὶ στροφοῦσθαι. ἴδιον δὲ τὸ τοῖς μὲν κωλικοῖς ἐπιτεταμένα ταῦτα πάντα μᾶλλον γίνεσθαι, τοῖς δὲ νεφριτικοῖς ἧττον, καὶ τοῖς μὲν κωλικοῖς κατὰ τὴν δεξιὰν λαγόνα μᾶλλον εἶναι τὴν ὀδύνην καὶ ἀνιέναι μέχρι στομάχου καὶ ἥπατος καὶ σπληνός, καὶ τὴν κόπρον ἐπέχεσθαι παντελῶς, ὡς μήτε φύσας διεξιέναι, ὅτε δὲ πρὸς ἀνάγκην ἐκκρίνωσιν, φυσώδη αὐτὴν εἶναι βολβίτῳ παραπλησίως, καί ποτε καὶ ὑαλῶδες ἐκκρίνεσθαι φλέγμα, καὶ τὸ οὖρον πλεῖον καὶ φλεγματῶδες ἐκδίδοσθαι· τοῖς δὲ νεφριτικοῖς τὴν μὲν ὀδύνην κατ᾽ αὐτῶν τῶν νεφρῶν ἐστηρίχθαι βαρεῖαν δίκην σκόλοπος ἐμπεπαρμένου, τόν τε κατ᾽ εὐθὺ δίδυμον ὀδυνᾶσθαι (καὶ νάρκη γίνεται μηροῦ τοῦ κατ᾽ ἴξιν), ἐκκρίνειν τε καὶ αὐτομάτως μὲν κατὰ τὸ σπάνιον, πάντως δὲ ἐπὶ κλύσμασι, τὴν κοιλίαν φύσας τε καὶ κόπρον χολωδεστέραν, τὰ δὲ οὖρα ὀλίγα καὶ ψαμμώδη μᾶλλον ἐκδίδοσθαι, καὶ στύφεσθαι τὸν οὐρητικὸν πόρον.

2 ταῦτα τῶν ἐν τοῖς νεφροῖς λίθων τεκμήρια τελείοις μᾶλλον ἀνδράσι γινομένων· ἡ δὲ κατὰ κύστιν τῶν λίθων πῆξις παιδίοις μᾶλλον γίνεσθαι φιλεῖ. σημεῖα δὲ καὶ τούτων ἄπεπτόν τε καὶ ὑπόλευκον οὖρον μετὰ ψαμμώδους ὑποστάσεως, κνῶνταί τε συχνῶς καὶ ψηλαφῶσι τὸ αἰδοῖον καὶ ἐντείνουσι καὶ συχνῶς εἰς οὖρον ἐπείγονται καὶ στραγγουροῦσιν. ὑλικὸν μὲν οὖν αἴτιον τῆς τῶν λίθων γενέσεώς ἐστι παχὺς καὶ γεώδης χυμός, ποιητικὸν δὲ πυρώδης θερμασία τῶν νεφρῶν ἢ τῆς κύστεως. ἀλλ᾽ ἐπὶ μὲν τῶν νεφρῶν τοῖς θρύπτουσι τοὺς λίθους καὶ τέμνουσι χρῆσθαι φαρμάκοις ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς· τοιαῦται δέ εἰσιν αἵ τε τῶν βασιλικῶν ἀσπαράγων ῥίζαι καὶ τοῦ βάτου καὶ ὕαλός τε κεκαυμένος καὶ ἀγρώστεως ῥίζα καὶ ἀδίαντον καὶ βδέλλιον δάφνης

με΄ 1—2 *cf. Alex. Trall. II 463 sqq.; Aëtius XI 4—5* 20—24 *cf. Alex. Trall. II 489 sq.* 27 — p. 242, 13 *Orib., Synops. IX 24 = Ad Eunap. IV 100*

2 *om.* E 4 ἐχόντων λίθον DKL λίθων ABCEFGHM: lapides *a* 5 *ante* σφοδρῶς *ins.* τὸ D 6 τὸ] *om.* A: *supra scr.* F 7 κωλικοῖς μὲν D πάντα ταῦτα KL 8 τοῖς] τὸ τοῖς D 10 μήτε] (*h. e.* μηδὲ) μηδὲ D φῦσαν M*a* 11 ἐκκρίνωσι AFKM *et supra scr.* ου D: -ν *eras.* B παραπλησίαν D 13 καὶ] ἢ καὶ D δίδοσθαι L: ἐκκρίνεσθαι EF τὴν . . . νεφρῶν *(14)*] κατ᾽ αὐτὸν τὸν νεφρὸν τὴν ὀδύνην D 14 αὐτὸν τὸν νεφρὸν AEHKM ἐνεστηρίχθαι DKL 15 νάρκην γίνεσθαι DL 16 μηροῦ] τοῦ μορίου D ἰξίον CG: ἰξίων F τε] μὲν CH: *om.* F 17 ἐπὶ] ἐπὶ τοῖς L φυσᾶσθαι L 18 τὰ δὲ] καὶ D 20 τῶν] μὲν τῶν D τοῖς *om.* DM 20. 21 ἀνδράσιν ἐγγινομένων D 21 γινομένων] L: γινόμενα ABCEFGHKM: fiunt *a* κατὰ] κατὰ τὴν CDG: καττὴν *in ras.* B 22 ἐγγίνεσθαι D 23 κνῶνταί τε] CFG: κνῶντε KL: κνῶν *seq. ras. magna* B: κνῶνται ADEHM*a*: *antea ins.* καὶ D συχνῶς] ACEFGK: *om.* B: στυχνον? L: συνεχῶς DHM*a* 23 καὶ . . . συχνῶς *(24)*] *mrg.* B (συχ- *in ras.*) 24 ἐντείνονται D: ἐντηνους L στραγγουριῶσιν D 26 δὲ] ACDEFGL: *om.* BHK*a*: *ins.* M 27 μὲν *om.* K 28 τέμνεσθαι D 29 δὲ] μὲν L τοῦ] αἱ τοῦ D 30 τε *om.* L

τε τῆς ῥίζης ὁ φλοιὸς καὶ ἀλθαίας τὸ σπέρμα καὶ τῶν ἐρεβίνθων οἱ μέλανες κριοὶ οἵ τε τῶν σπόγγων λίθοι καὶ τὸ σκιλλητικὸν ὄξος καὶ φοῦ καὶ μῆον καὶ ἄσαρον καὶ καρπησία καὶ σαρξιφαγές, τὸ δὲ σίον καὶ ἐσθιόμενον καὶ πινόμενον σκολύμου τε ῥίζα καὶ ἐρύσιμον καὶ πριονῖτις· λουτροῖς τε συνεχῶς χρήσθωσαν καὶ μετὰ τὸ λουτρὸν εὐθύς τινα τῶν εἰρημένων πινέτωσαν. ἐμβροχαῖς τε καὶ καταπλάσμασι καὶ πυρίαις καὶ ἐγκαθίσμασι τοῖς χαλαστικοῖς τε καὶ παρηγοροῦσι χρηστέον ἐκ τῶν κωλικῶν αὐτὰ μεταφέροντας. σύνθετα δὲ πόματα ταῦτα· πηγάνου ἀγρίου καὶ μαλάχης ἀγρίας καὶ σελίνου τὰς ῥίζας ἑψήσας μετ᾽ οἴνου καὶ τὸ ὑγρὸν ἐκθλίψας ὕδατί τε κεράσας δίδου κοτύλας β. κατάπαστον δὲ τοῦτο· βαλσάμου καρποῦ, λίθου τοῦ ἐν τοῖς σπόγγοις, γλήχωνος ξηρᾶς, μαλάχης ἀγρίας τοῦ σπέρματος ἴσα κόψας δίδου κοχλιάριον μετ᾽ οἴνου κεκραμένου κοτυλῶν β. καὶ τὸ ξηρανθὲν δὲ τράγειον αἷμα καὶ οἱ τέττιγες ξηροὶ χωρὶς τῶν πτερῶν καὶ τῶν ποδῶν καὶ οἱ τηκόλιθοι δι᾽ οἰνομέλιτος ἐν τῇ τοῦ λουτροῦ θερμῇ δεξαμενῇ διδόσθωσαν καὶ τὰ δι᾽ αὐτῶν σκευαζόμενα σύνθετα φάρμακα ἥ τε νεφριτικὴ φοῦσκα καὶ τὰ πρὸς τοῦτο συντιθέμενα κονδῖτα. καὶ ὁ τρωγλοδύτης δὲ τῶν ἄγαν ἐπαινουμένων ὑπάρχει βοηθημάτων· ἔστι δὲ στρουθίον ἁπάντων τῶν ὀρνέων τὸ σμικρότατον πλὴν τοῦ λεγομένου βασιλίσκου· μικρὸν γὰρ ἐκείνου μόνου μεῖζόν ἐστιν καὶ προσεοικὸς αὐτῷ χρόαν μεταξὺ τεφροῦ καὶ χλωροῦ, λεπτόραμφον, ἐν τοίχοις μάλιστα καὶ φραγμοῖς διαιτώμενον, ὃ ταριχευθὲν ὅλον ὠμόν τε συνεχῶς ἐσθιόμενον τούς τε γεγονότας λίθους ἐξουρηθῆναι ποιεῖ καὶ τοῦ λοιποῦ γεννᾶσθαι κωλύει· καὶ καυθέντος δὲ τούτου ὅλου σὺν τοῖς πτεροῖς ζῶντος ἡ τέφρα πᾶσα καθ᾽ ἑαυτήν τε καὶ μετὰ πεπέρεως καὶ φύλλου συμμέτρου δι᾽ εὐκρατομέλιτος πινομένη τὸ αὐτὸ τοῦτο
3 πέφυκε δρᾶν. πρὸς δὲ τὴν ὀξύτητα τῶν ὀδυνῶν καὶ τὴν ἀγρυπνίαν ἥ τε σώτειρα καὶ ἡ Φίλωνος ἀγαθὰ φάρμακα· καὶ φλεβοτομία δὲ παραληφθεῖσα τὴν ὀδύνην πολλάκις ἐξεκούφισε ταχεῖαν τοῦ λίθου ποιου-

17—26 *Aëtius XI 11* με΄ 3 *cf. Alexander Trall. II 473 sq.*

1 φλοιὸς] χυλὸς D ἀλθέου CG, *corr.* C[2] 2 κριοὶ] *mrg.* D[5]: κόκκοι D 3 καρσια *mrg.* *a* δὲ] τε D*a* καὶ *(ult.)* *om.* *a* 4 πιννόμενον καὶ ἐσθιόμενον L πριονίτης DEFK 5 κεχρήσθωσαν D 6 ἐμβροχαῖς] καὶ ἐμβροχαῖς M 6. 7 καὶ ἐγκαθίσμασι] ἐγκαθίσμασί τε D 7 τε *om.* D παρηγοροῦσι] παρηγορεῖν δυναμένοις D 8 μεταφέροντες B: μεταφερόντων L ταῦτα *om.* B 9 καὶ σελίνου] τὸ σπέρμα D 10 τε] ADEKL, *e corr.* B: *om.* CFGHM*a* κοτύλας] K: κ̊ ABCEFGHLM: κ̊ͯ D: coclearia *a* κατάπαστον] ABCEGHM*a*: κατάπασμα D: κατάπλαστον FK 12 τὸ σπέρμα D κεκραμμένου EH: κεκραμμένος K 13 κοτυλῶν] κ̊ ABCEFGHKLM: κ/ͧ D: coclearis *a* καὶ *om.* *a* 14 ποδῶν καὶ τῶν πτερῶν E ἐν] *om.* *a* 15 δεξαμενῇ] *om.* *a*: δεξαμενͅ K σκευαζόμενα *om.* *a* 16 σύνθετα *om.* A φάρμακα σύνθετα M, *sed corr.* (β-α) τούτοις F: ea *a* 17 δὲ *om.* C*a* 18 στρουθίον *om.* *a* τὸ *om.* D μικρότατον D 19 *post* γὰρ *supra add.* ὂν E[2] 20 καὶ *(pr.)* *om.* L χρόαν] τὴν χροιὰν D λεπτόραͧφον B: λεπτοράφιον CFG 23 δὲ *om.* M 25 καὶ φύλλου *om.* *a* φύλλων συμμέτρων D εὐκράτου μέλιτος D τοῦτο *om.* M*a* 27 δὲ] τε CG: *om.* *a* παραληφθεῖσα *om.* *a* 28 ἐξεκούφισε] CDG, *e corr.* B: ἐξεκούφησε L: ἐξεκούφισεν FK: ἐξεκούφιζε AHM: ἐξεκούφιζεν E ποιουμένου K

μένη τὴν ἔκκρισιν. προφυλακτικὰ δὲ τῆς τῶν λίθων γενέσεως ἔστω πρῶτον μὲν εὔχυμός τε καὶ σύμμετρος τροφὴ καὶ γυμνάσια ὀσπρίων τε παντοίων καὶ τῶν σιτωδῶν τῆς συνεχοῦς χρήσεως τυροῦ τε καὶ γάλακτος καὶ τῶν δι᾽ αὐτοῦ σκευαζομένων ὄψων οἴνου τε μέλανος καὶ κρεῶν πλήθους καὶ πάντων ἁπλῶς τῶν παχυχύμων ἀποχὴ καὶ τῶν ἄγαν θερμῶν καὶ δριμέων, ὑδρογάρων φημὶ καὶ κονδίτων καὶ τῶν παραπλησίων· οὐ γὰρ ταῦτα τοὺς μήπω γενομένους λίθους κωλύει συστῆναι καὶ τοὺς ἤδη γεγονότας θρύπτειν ἢ ἐκκρίνειν πέφυκεν. πινέτωσαν δὲ τὸ ὀξύμελι μετά τινος τῶν ἁπλουστέρων διουρητικῶν, ἀδιάντου, σελίνου, ἀγρώστεως ἀφεψήματος, καὶ μετὰ βαλανεῖον νήστεις πρὸ τοῦ οἴνου εὔκρατον ὕδωρ πινέτωσαν κἂν τῷ μέσῳ τοῦ ἀρίστου ψυχρὸν ἐπιρροφείτωσαν, εἰ μή τι κωλύοι, πλήθους τε κακοχυμίας συναισθανόμενοι διὰ φλεβοτομίας ἢ καθάρσεως κενούσθωσαν. πάντων δὲ κάλλιστον εἰς προφυλακὴν λίθων τὸ μετὰ βαλανεῖον, πρὶν οἴνου ἢ τροφῆς ἑτέρας λαβεῖν, ὕδωρ εὔκρατον πίνειν. καὶ τοὺς ἐν κύστει δὲ λίθους ἐπὶ τῶν παίδων τοῖς ἰσχυροτέροις κατεργάσῃ βοηθήμασιν ἐκ τῶν εἰρημένων ἐκλέγων αὐτά· ὑπεραυξηθέντος δὲ τοῦ λίθου ἢ καὶ κατὰ τὸν τράχηλον ἐμφραχθέντος τῆς κύστεως τῷ διασεισμῷ ἢ καθετηρισμῷ ἢ καὶ τῇ λιθοτομίᾳ, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήσεται, χρηστέον.

## Περὶ φλεγμονῆς. 4

Εἰ δὲ φλεγμονὴ τῶν νεφρῶν ἢ τῆς κύστεως εἴη, τῇ τε κατὰ τὸν τόπον μετὰ βάρους πυρώσει καὶ ἀλγηδόνι καὶ τῷ πυρέττειν καὶ παραπαίειν καὶ ἐμεῖν χολώδη ἄκρατα καὶ μὴ δύνασθαι οὐρεῖν, καὶ μάλιστα τῆς κύστεως φλεγμαινούσης, διαγινωσκομένη, φλεβοτομητέον αὐτίκα καὶ τοῖς παραμυθουμένοις αἰονήμασί τε καὶ καταπλάσμασι χρηστέον διὰ πηγάνου καὶ ἀνήθου καὶ τήλεως καὶ ἀλθαίας ῥίζης κλύσμασί τε μαλακοῖς καὶ ἐνέμασι δι᾽ ἐλαίου καὶ μήκωνος καὶ στέατος χηνός· ἐπὶ δὲ τῆς κύστεως καὶ ὀπίου ὀβολοῦ ∠ʹ μετὰ σμύρνης καὶ κρόκου καὶ ἐλαίου παραπεμπτέον τῇ ἕδρᾳ, καὶ τὸ μελίκρατον αὐτοὺς προποτιστέον ἀπ-

μεʹ 4 *cf. Alexander Trall. II 475 sqq.; Oribasius, Synops. IX 24 = Ad Eunap. IV 100; Aëtius XI 16* 19 εἰρήσεται] *VI 60*

3 χρήσεως] χρήσεως εἰργέσθωσαν D 4 αὐτῶν CG: αὐτὴν F: αὐτοὺς K: εο *a* ὄψων *om. a* 5 πλῆθος M παντοίων A ἁπλῶς] ἁπλῶς ἔστω D 6 καὶ *(pr.)*] τε καὶ H 7 οὐ . . . πέφυκεν *(8) om.* D οὐ] τὰ *in ras.* B ταῦτα] αὐτὰ K: τὰ αὐτὰ L: *mut. in* τούτων ἀποχὴ οὐ μόνο(ν) B[3] γεναμένους L 8 καὶ] ἀλλὰ καὶ CFGM ἐκκρίπτειν L 9 τὸ *om.* D τῶν] τοῦ ὅσα . . L ἀδιάντου] οἷόν ἐστιν ἀδιάντου D 10 ἀφέψημα D 11 κἂν] *mut. in* καὶ B τὸ μέσον K μέσῳ] καιρῷ D 12 κωλύοι] κωλύοι· οὐ γὰρ μόνον ταῦτα τοὺς μήπω γενομένους λίθους κωλύει συστῆναι ἀλλὰ καὶ τοὺς ἤδη γεγονότας θρύπτειν ἢ ἐκκρίνειν πέφυκε D πλήθους] DKL: πλῆθος ABCEFGHM τε] δὲ D: τε ἢ L κακοχυμία K 15 μεταλαβεῖν D 16 παίδων] DKL: παιδίων ABCEFGHM 18 διασεισμῷ] DF: διασοσμῷ H: διὰ σεισμῶν ABCEGKLM*a* ἢ *(pr.)*] FL: ἢ τῷ D: *om.* ABCEGHKM*a* καθετηρισμῶν L ἢ *(alt.) om.* AE: *ins.* D καὶ *om.* D 19 εἴρηται K χρηστέον *om.* K 22 καὶ *(tert.)*] καὶ τὸ K καὶ παραπαίειν *om.* D 23 ἀκράτου L 24 διαγιγνώσκομεν ἢ K: διαγινώσκομεν D αὐτίκα] τοίνυν αὐτίκα D 26 τήλεως] τήλεως ῥίζης A ῥίζης . . . ἐλαίου *(27) om.* E 28 ὀβολοῦ] CDFGK: ὀβολοὺς L: ὀβολὸν ABEHM*a* ∠ʹ] τὸ ∠ʹ D: δ̄ L: *om. a* καὶ κρόκου *om.* D 29 τῷ μελικράτῳ D αὐτῷ L ἀπεχομένους D

ἔχοντας τῶν πάνυ διουρητικῶν καὶ πολλοῦ πόματος, πλὴν εἰ μὴ δριμὺ καὶ χολῶδες αὐτοῖς ὑγρὸν πλεονάζοι· τότε γὰρ τῷ ποτῷ πλείονι χρηστέον καὶ ἀθρόον ἔκ τινος τῶν ἀδήκτων διουρητικῶν· πινέτωσαν δὲ λινοσπέρμου μέρη β̄, ἀμύλου μέρος ᾱ, κοχλιάριον ἐν ὕδατι, τοῦ τε σικύου καὶ τοῦ πέπονος τὸ σπέρμα λαμβανέτωσαν. πυρώδους δὲ συναισθήσεως οὔσης περὶ τοὺς νεφροὺς ἐπιβλητέον αὐτοῖς ῥάκη ἐξ οἰνοροδίνου ἢ ὑδροροδίνου ἢ μηλίνου ἢ κηρωτὴν διὰ κηροῦ καὶ ῥοδίνου καὶ χαμαιμηλίνου καὶ κρόκων ᾠῶν συγκειμένην σὺν ὄξει βραχεῖ ἢ χυλῷ πολυγόνου· εἰς ὕστερον δὲ καὶ τῇ διὰ χυλῶν μετὰ χαμαιμηλίνου χρηστέον. ἀπέχεσθαι δὲ καὶ τῶν ἄγαν θερμῶν διὰ τὴν εἰς πῦον μεταβολὴν καὶ τῶν ἄγαν ψυχόντων· σκιρροῦνται γὰρ ὑπὸ τούτων ῥᾳδίως οἱ νεφροί. λουτρῶν δὲ τῆς φλεγμονῆς ἐνισταμένης ἀπέχειν αὐτούς, καὶ διαίτῃ τῇ πυρεκτικῇ τε καὶ ἀφλεγμάντῳ προσαγορευομένῃ χρηστέον.

## Περὶ ἀποστήματος καὶ ἑλκώσεως τῶν οὐρητικῶν μορίων.

Ἀλγήματα περὶ λαγόνας ἀνώμαλοί τε φρῖκαι καὶ πυρετοὶ ἄτακτοι σημαίνουσιν ἀπόστασιν ἐν νεφροῖς, τὴν δὲ κατὰ κύστιν πρὸς τοῖς εἰρημένοις ἡ κατὰ τὸν τόπον ὀδύνη δηλοῖ. τὸν δὲ πεπονθότα νεφρὸν εὑρήσεις ἐκ τοῦ τὸν ἄνθρωπον ἐπὶ τὸ ὑγιὲς ἀνακεκλιμένον πλευρὸν κατὰ τὸ ἀντικείμενον ἀλγεῖν, ὥσπερ ἀποκρεμαμένου τοῦ νεφροῦ· ἐφ᾽ ὧν τοῖς ἐγκαθίσμασι δι᾽ ὑδρελαίου χρηστέον καὶ καταπλάσμασι διὰ γύρεως καὶ ἐλαίου καὶ ῥητίνης ἢ ὀροβίνου ἀλεύρου μετὰ μέλιτος ἢ καρδαμώμου ἢ περιστερᾶς κόπρου μετὰ ἰσχάδων. πῦον δὲ δι᾽ οὔρων ἀθρόως ἐκκριθὲν δηλοῖ τὴν ῥῆξιν τοῦ ἀποστήματος καὶ ἕλκος ἐν τῷ μορίῳ. ἐπειδὴ δὲ καὶ χωρὶς ἀποστήματος ἑλκοῦνται τὰ οὐρητικὰ διὰ ῥῆξιν ἀγγείου ἢ διάβρωσιν ἐκ δριμείας ὕλης ἢ λίθου παραξέσαντος, διοριστέον τὴν ἐν νεφροῖς ἕλκωσιν τῆς κατὰ τὴν κύστιν ἢ τοὺς οὐρητῆρας ὧδε· νεφρῶν μὲν ἑλκωθέντων κατὰ τὰς ψόας ὀδυνῶνται μετὰ βάρους καὶ ἀκωλύτως οὐροῦσι, καὶ τὸ πῦον ἀναμεμιγμένον τοῖς οὔροις εὑρίσκεται σαρκωδῶν μορίων ἐν αὐτοῖς ἐμφερομένων· τῆς δὲ κύστεως

με´ 5 *cf. Alexander Trall. II 481 sqq.; Oribasius, Synops. IX 24 = Ad Eunap. IV 100* 5 δὲ] *des.* L

1 τῷ πάνυ διουρητικῷ K πολλοῦ] τοῦ πολλοῦ D 1. 2 χολῶδες καὶ δριμὺ D 2 αὐτοὺς CFG πλεονάζει D τῷ] *om.* L: *ras. 2 litt.* B: τὸ H ποτῷ] *om.* L 3 καὶ ἀθρόον] καθαρῷ ἢ L: καθαρῶν F: καὶ ἀθρόως H: καὶ θαρρῶν D: et simul *a* τῶν] καὶ τῶν D διουρητικῶν τῶν ἀδήκτων A ἀδήκτων] ἀδήκτων καὶ FG διουρητικῶν] διουρητικῶν δίδου D 4 λινόσπερμον BH: *comp.* KM μέρη β̄] partem I *a* μέρος ᾱ] μ̈ β̄ E ἐν ὕδατι] ᾱ ὕδατος D 5 δὲ] τε L 6 ῥάκη] ῥάκκη ἢ K οἴνου ῥοδίνου FK 7 ἢ μηλίνου . . . χαμαιμηλίνου *(8) om.* D 8 *post* χαμαιμηλίνου *add.* ἢ μιλήνου *mrg.* B σὺν] ἢ σὺν D ἢ] *ed. pr.*: καὶ J: *om.* ABCDEFGHKM*a* 9 χυλὸν D 10 δὲ] DEM: *om.* ABCFGHK*a* 11 ῥάδιον D 13 τῇ *om.* D προσαγορευομένῃ *om.* D*a* χρῆσθαι K 14 διουρητικῶν D 17 τὸν *(pr.) om.* D 19 τὸ] τὸν AE ἀποκεκρεμαμένου M: ἀποκαικρεμαμένου H: ἀποκρεμαμμένου *corr. ex* ἀποκεκραμμένου B 20 τοῖς *om.* D 24 ἐπεὶ M διουρητικὰ D διὰ] ἢ διὰ D 25 ἀγγείων M διάβρωσιν] δι᾽ ἀνάβρωσιν D 26 τὴν *(alt.)*] *supra scr.* M[3]

ἑλκωθείϲηϲ εἰϲ κτένα καὶ ὑπογάϲτριον ϲφοδρῶϲ ὀδυνῶνται καὶ δυϲουροῦϲι, καὶ τὸ πῦον μετὰ τὴν οὔρηϲιν ὑφιζάνει κάτω, καὶ λεπίδεϲ ἐν αὐτῷ δυϲώδειϲ ἢ πεταλώδειϲ ἐμφέρονται· αἱ δὲ πιτυρώδειϲ ὑποϲτάϲειϲ ψωριᾶν δηλοῦϲι τὴν κύϲτιν. τῶν δὲ οὐρητήρων ἑλκωθέντων καὶ ἡ μῖξιϲ τοῦ πύου μεταξύ πωϲ ἔχει, καὶ τριχοειδῆ μᾶλλον ἐμφέρεται τοῖϲ οὔροιϲ, καὶ ὁ πόνοϲ κατὰ τὸ μεταξὺ χωρίον νεφροῦ καὶ κύϲτεωϲ γίνεται. εἰ δὲ πῦον ἢ αἷμα ἐκκρίνηται καὶ χωρὶϲ τῆϲ τῶν οὔρων ἐκδόϲεωϲ, οὐδενὸϲ τῶν εἰρημένων ἀλλὰ τοῦ αἰδοίου δηλοῦται ἡ ἕλκωϲιϲ. προποτιϲτέον τοίνυν τοὺϲ ἑλκωθένταϲ τὰ οὐρητικὰ μελικράτῳ ἢ τῷ τῆϲ τήλεωϲ ἀφεψήματι ϲὺν μέλιτι ἢ ϲικύου ϲπέρματι ϲὺν γλυκεῖ. τοῖϲ δὲ πῦον οὐροῦϲιν τὴν Ἀρμενίαν βῶλον δοτέον ἢ ναρθήκων καυθέντων τὴν τέφραν, ὅϲον τριϲὶ δακτύλοιϲ ἆραι, μετὰ γλυκέοϲ· καὶ ἡ γαλακτοποϲία δὲ μεγάλωϲ τούτουϲ ὀνίνηϲιν. ϲύνθετα δὲ ταῦτα· λινοϲπέρμου, ϲικύου ϲπέρματοϲ, τραγακάνθηϲ ἀνὰ < β̄, ἀμύλου ∠΄ δ̄· τροχίϲκουϲ ἀνάπλαϲϲε.

Ἄλλο. ϲτροβίλουϲ κ̄, ϲικύου ἡμέρου ϲπέρματοϲ κοτύλαϲ μ̄, ἀμύλου < ᾱ· ἀναλάμβανε εἰϲ κοτύλαϲ β̄ ἀποζέματοϲ νάρδου < ε̄, ϲελίνου ϲπέρματοϲ < ε̄.

6 ὁ δὲ Ἀρχιγένηϲ ἐν τῇ πρὸϲ Ἀττικὸν ἐπιϲτολῇ τῆϲ δυϲουρίαϲ ἐπειγούϲηϲ φηϲὶ λαμβάνεϲθαι μήκωνοϲ λευκῆϲ πεφωϲμένηϲ ϲπέρματοϲ λείου < ᾱ ἐμπαϲϲομένην ἀφεψήματι ϲχοίνου ἢ καλάμου ἢ γλυκυρίζηϲ. τὰϲ δὲ ἑλκώδειϲ ὀδύναϲ παραιρεῖται τοῦτο· ϲικύου ϲπέρματα κεκαθαρμένα ἀριθμῷ λ̄, ϲτροβίλια ιβ̄, ἀμύγδαλα πικρὰ λελευκαϲμένα λε̄, κρόκου ὅϲον χρῶϲαι· νῆϲτιϲ προϲφερέϲθω καθ' ἡμέραν μετὰ γάλακτοϲ ἢ προτρόπου· πραΰτερον δ' ἂν γίνοιτο, εἰ ἀντὶ τῶν ϲτροβίλων μαλάχηϲ ϲπέρματοϲ ἴϲον λάβοι. ὑγιάζειν δὲ δύναται, φηϲίν, τὰϲ ἐν κύϲτει ἑλκώ-

3—4 *Oribasius, Synops. IX 27* 13—18 *cf. Oribasius, Synops. IX 24 = Ad Eunap. IV 100* με΄ 6—7 *cf. Aëtius XI 29*

1 εἰϲ] DK: *om.* ABCEFGHM*a* ϲφόδρα E δυϲουροῦϲι] CGK: δυϲουροῦϲιν M: δυϲορηοῦϲι A: δυϲουριοῦϲι BEH: δυϲουριῶϲι D: οὐροῦϲι F 3 δυϲώδειϲ] ὑμενώδειϲ *Or* ἢ] et *a* 4 οὐρητικῶν D 5 μᾶλλον *om.* AE*a* 6 καὶ *(alt.)*] τε καὶ D 7 εἰ] ἡ BH ἐκκρίνεται ACDH*a* 9 τὰ οὐρητικὰ] τοῖϲ διουρητικοῖϲ D μελίκρατον M*a*, *corr.* M 12 ἄραϲ K γλυκέωϲ AHK: *comp.* CG 13 τούτοιϲ BH ὀνίνηϲι DFK, -ν *eras.* B linospermum *a* 14 ϲπέρματοϲ] F, *e corr.* B: *comp.* K: ϲπέρμα ACDEGHM*a* τραγακάν^θ EG: tracacanthum *a* ἀμύλου ∠΄ δ̄] DK: *om.* ABCEFGHM*a*: ἀμίλου < δ *add.* B³ 16—p. 246, 17 *om.* D 16 ϲτροβήλια CG: ϲτροβίλοιϲ AE ϲπέρματοϲ] CFGKB³: *om.* ABEHM*a* κοτύλαϲ] κ^ο ABCEFGHKM: κόκκουϲ *Or a* μ̄] CFGK: μ̄ τοῦ ϲπέρματοϲ ABEHM, *corr.* B³ 17 κοτύλαϲ] coclearia *a* < ε̄ *om. a* ϲπέρματοϲ] CFG: *comp.* BK: ϲπέρμα AEHM: sperma ana *a* 18 ε̄] ᾱ K 20 accipe *a* πεφωγμένηϲ K ϲπέρματοϲ] *ed. Basil*: ϲπέρμα ABCEFGHKM*a* 21 λείου] tere *a* 22 παραιρεῖται] ABCFGHKM: παραιτεῖται C²: παρηγορεῖ EM³*a* τούτῳ H: τοῦ τε K ϲπέρματα] *comp.* K: ϲπέρμα ABCEFGHM*a* κεκαθαρμένῳ K: κεκαθαρμένου M 23 ἀριθμῷ] κόκκουϲ E: *om. a* ϲτροβίλῳ M λελεπιϲμένα E 24 ἢ προτρόπου] ABCFGHKM: ἢ καὶ πρὸ τροφῆϲ E: ἢ πρὸ τροφῆϲ M²: *om. a* 25 τῶν *om.* K ϲτροβίλων] *e corr.* A: ϲτροβηλίων CG: ϲτροβιλίων K 26 φηϲίν] ACG: *comp.* EK: φηϲί BFM: φύϲει H

σεις καὶ τὸ κῦφι καὶ αἱ κυφοειδεῖς ἀντίδοτοι. ἐγὼ δὲ ἐπὶ τῶν παλαιοτέρων τούτῳ χρώμενος οὐκέτι ἐδεήθην ποικιλωτέρου· χαμαίδρυος, χαμαιπίτυος ἀνὰ < κ̄δ̄, ἀσάρου, πεπέρεως λευκοῦ ἀνὰ < ζ̄, κιναμώμου < ᾱ ὡς ἔνι λειοτάτου· δίδωμι κοχλιάρια β̄ διὰ Κρητικοῦ γλυκέος, εἰ δὲ πυρέσσοι, ὕδατος κυάθοις γ̄, δήξεως δὲ ἑλκώδους ὑπαρχούσης καὶ ἀμύλου β̄ κοτύλας καὶ σικύου σπέρματα ι̅ε̅ προσβάλλων τοῦ δέοντος ἐφικνοῦμαι.

7 ταῦτα μὲν ἐκ τῶν Ἀρχιγένους. καὶ τὰ διὰ φυσαλλίδων δὲ φάρμακα ἥ τε διὰ τοῦ σπέρματος τῆς ἀγρίας μαλάχης ἀντίδοτος καὶ ἡ διὰ τραγημάτων εὐχρηστεῖ. ἐπιθετέον δὲ καὶ κατὰ περίνεον καὶ ἦτρον κηρωτὰς μὲν διά τε ὑσσώπου πλυτοῦ καὶ βουτύρου καὶ στέατος χηνῶν καὶ στύρακος, εἰς δὲ τὴν κύστιν ἐγχέοντας διὰ κλυστηριδίου μελίκρατον ὑδαρέστατον ἢ γάλα μετ' ἐλαχίστου μέλιτος ἢ μετὰ σικύου σπέρματος ἢ τὸ λευκὸν τοῦ ᾠοῦ μετὰ πομφόλυγος ἢ τῶν εἰρημένων φαρμάκων τινός. νεμομένου δὲ τοῦ ἕλκους ἐνετέον τὸν διὰ χάρτου τροχίσκον ἢ τὸν Βιθυνὸν καὶ καταπλάττειν διὰ φοινίκων καὶ σταφίδων μετὰ κηκίδος, ἀκακίας, ὑποκιστίδος, στυπτηρίας.

## 8 Περὶ αἱμορραγίας.

Ἀτονοῦντες οἱ νεφροὶ πολλάκις οὐ δύνανται τὰ οὖρα ἴσχειν, ἀλλ' εὐρύτεροι ὄντες χαλῶσί τι τοῦ αἵματος ἐκ τῆς φλεβός, καὶ ἄλλας δὲ παχύτητας ἐῶσιν. αἱμορραγοῦσι νεφροὶ πολλάκις καὶ κατὰ περίοδον, καθάπερ αἱμορροΐδες· κενωθέντες δὲ ὑποκουφίζονται· ἐφ' ὧν οὐδὲν δεῖ παρενοχλεῖν ταχέως αὖθις στελλομένου τοῦ αἵματος· εἰ δὲ ἐπιμένοι, φλεβοτομητέον ἀπ' ἀγκῶνος. καὶ τοῖς πρὸς αἱμοπτυϊκούς τε καὶ τὰς ἄλλας αἱμορραγίας φαρμάκοις ἐπί τε νεφρῶν καὶ τῆς αἱμορραγούσης χρηστέον κύστεως· μάλιστα δὲ συμφύτου ῥίζαν καὶ τραγάκανθαν οἴνῳ βεβρεγμένην δοτέον αὐτοῖς πολυγόνου τε καὶ ἀρνογλώσσου χυλὸν σὺν ὀξυκράτῳ ἢ ἀμύγδαλα πικρὰ μετὰ γλυκέος, ἢ τοῦτο· σχιστῆς

19—27 *Oribasius, Synops. IX 26; cf. Aëtius XI 2—3*
28—p. 247, 1 *Oribasius, Synops. IX 24 = Ad Eunap. IV 100*

1 καὶ *(pr.) om. a* 2 τοῦτο KM 5 ὕδατος] FGK: *comp.* E: ὕδατι ABCHM κυάθοις] $\kappa^{\upsilon}$ ABCEGKM: κυάθους F: $\overset{o}{\kappa}$ H: coceariis *a* 6 $\overset{o}{\kappa}$ β̄ CEG: $\kappa^{\upsilon}$ β̄ F κοτύλας] $\kappa^{o}$ ABHKM: coclearia *a* σπέρματα] *comp.* EK σπέρμα ABCFGHM: seminis *a* 7 ἀφικνοῦμαι FK 8 ἀρχιγένου CG φυσαλίδων EF δὲ *om.* F*a* 10 εὔχρηστος K: utilia *a* ἐπίθετον K κατὰ] K: κατὰ τὸ F: κατὰ τὸν ABCEGHM 14 λεπτὸν K 16 Βιθυνὸν] ACEGK*a*: βιθύνων F: βυθίνον H, *e corr.* B: βυθίνιον M καὶ *(pr.)*] aut *a* 18 νεφρῶν *add.* EM³ 20 τι] *om.* A: *supra scr.* E ἄλλου K: δι' ἄλλας D 21 παχύτητας] τινας *in ras. mai.* D ἐῶσιν] αἰτίας D αἱμορραγοῦντες F*a*: αἱμορραγοῦσιν HK, -ν *eras.* B: αἱμορραγοῦσιν οἱ D καὶ *om.* D 22 ἀποκουφίζονται D ἐφ' ὧν *om.* AE 23 τοῦ αἵματος στελλομένου D ἐπιμένοι] CDGK: ἐπιμένει ABEFHM*a* 24 τοὺς K τε *om.* K 25 φαρμάκων K 26 κύστεως χρηστέον D τραγακάνθης D 28 γλυκέος] DE, *e corr.* M: *comp.* CG: γλυκέως ABFHKM τούτῳ ABEM

< ᾱ, τραγακάνθης < β̄, κόμμεως ὀβολοὶ ε̄, γλυκεῖ. καταπλάττειν τε ὠμῇ λύσει δι' ὀξυκράτου καὶ ῥοδίνου ἢ τῷ διὰ τῶν φοινίκων καὶ σιλιγνίτου μετὰ ἀκακίας ἢ ὑποκιστίδος ἑψομένων ἐν οἴνῳ στύφοντι ἢ ὀξυκράτῳ. ἐπὶ δὲ τῆς κύστεως αἱμορραγούσης καὶ σικύαις κατὰ κενεώνων καὶ ἰσχίων χρησόμεθα. διοριστέον δὲ τὸ αἱμορραγοῦν μόριον τῇ τε κατὰ τὸν τόπον ὀδύνῃ καὶ τῷ ἀναμίγνυσθαι τῷ οὔρῳ τὸ αἷμα ἢ μή, καθάπερ ἐπὶ τοῦ πύου λέλεκται. θρομβωθέντος δὲ τοῦ αἵματος ἐν τῇ κύστει γνώσῃ μὲν τοῦτο τῷ τε ἀθρόως ἐπισχεθῆναι τὸ οὖρον μετὰ τὴν τοῦ αἵματος οὔρησιν καὶ τῷ αἱμάλωπάς τινας, ὡς εἰκός, διεξιέναι ἢ διαίμους ὑγρασίας. δίδου δὲ τὸ ζέμα τῆς ἀρτεμισίας πίνειν καὶ τοῦ ἑλιχρύσου ἢ κονύζης ἢ ῥεφάνου σπέρμα ἢ ὀπὸν σιλφίου ἢ Κυρηναϊκὸν ἢ σελίνου χυλόν, ἐν ὄξει κεκραμένον ἕκαστον, ἢ λαγωοῦ πυτίαν ἢ νεβροῦ ἢ ἐρίφου ἐν οἴνῳ ἢ ὀξυμέλιτι ἢ στακτὴν σὺν ἐλαίῳ, καὶ σπόγγους ἔξωθεν ἐξ ἅλμης ἢ στακτῆς δοτέον θερμῆς. εἰ δὲ μὴ λύοιτο, τέμνειν τὸν περίνεον, ὥσπερ ἐπὶ τῶν λιθιώντων, καὶ κομισάμενον τοὺς θρόμβους προσηκόντως θεραπεύειν.

## Περὶ σκληρίας νεφρῶν. 9

Ὅσαι δὲ σκληρότητες κατὰ νεφροὺς γίνονται, ὀδύνας μὲν οὐκέτι παρέχουσι, δοκεῖ δὲ ὥσπερ τι αὐτοῖς ἐκ τῶν κενεώνων κρέμασθαι, καὶ ναρκώδεις μέν εἰσιν ἰσχίων, ἀκρατεῖς δὲ σκελῶν, οὐροῦσι δὲ ὀλίγα, τὴν δὲ ὅλην ἕξιν τοῖς ὑδατουμένοις μάλιστα ἐοίκασι. τούτους ἁπαλύνειν κηρωταῖς καὶ μαλάγμασι, τρίψεσι καὶ πυριάσμασι, καὶ οὐρητικὰ προσφέρειν καὶ τὴν γαστέρα ὑποκλύζειν.

## Περὶ διαβήτου. 10

Ὁ διαβήτης ταχεῖα τῶν πινομένων ἐστὶ διέξοδος οὐρουμένων τοιούτων, οἷάπερ ἐπόθη· διὸ καὶ διψῶσιν ἀμέτρως, ὅθεν καὶ διψακὸς ἐκλήθη τὸ πάθος, συνιστάμενον ἀσθενούσης μὲν τῆς καθεκτικῆς τῶν νεφρῶν, ἐρρωμένης δὲ μᾶλλον τῆς ἑλκτικῆς καὶ ὅλον ἐξικμαζούσης τὸ σῶμα διὰ θερμασίαν ἄμετρον.

10—16 *Oribasius, Synops. IX 29* με' 9 *Oribasius, Synops. IX 25; Aëtius XI 17* με' 10 *Alexander Trall. II 493 sq.; Oribasius, Synops. IX 32; cf. Aëtius XI 1*

1 ᾱ] δ̄ CDFGK: *deinde ins.* ἢ D ὀβολοὺς DK γλυκεῖ] σὺν γλυκεῖ D τε *om.* F 2 καὶ *(pr.)*] τε καὶ D 3 ἐν *om.* K ἢ *(alt.)*] ἢ καὶ D 4 καὶ *(pr.) om.* K*a* καὶ *(alt.)*] τε καὶ K 6 ἀναμεμίχθαι D 8 τε *om.* D 9 τῷ] τὸ D αἱμάλωπάς] ἅμα λεπτὰς *e corr.* D 10 δὲ] τε D *supra scr.* δ ἀπόζεμα DE 11 ἢ *(pr.)*] et *a* κορύζης BE, *corr.* B ῥαφάνου D 12 λαγῶαν D 13 νεβροῦ ἢ ἐρίφου] νεφρὸν ἐρίφειον D οἴνῳ ἢ] DK: *om.* ABCEFGHM*a* ἢ στακτὴν σὺν ἐλαίῳ *om.* D 14 στακτὴν D δοτέον] προσθετέον D: θετέον J θερμῆς] σὺν ἐλαίῳ θερμῷ D 15 τὸν] *corr. ex* τὸ D περιτόναιον D 18 κατὰ] κατὰ τοὺς M 19 ὥσπερ *om.* CFG τι] DK: *om.* ABCEFGHM*a* 20 εἰσι τὰ ἰσχία D δὲ] τε D 21 τούτοις ABEH: τούτους οὖν D 22 τρίψεσι] καὶ τρίψεσι D πυριάσμασι] -σ- *eras.* K: πυριάμασι D 28 νεφρῶν] νεφρῶν δυνάμεως AE*a*: δυνάμεως *supra add.* M[3]

πρὸς ταύτην οὖν ἐνιστάμενοι τὰς τροφὰς πλείονάς τε καὶ δυσμεταβλήτους καὶ μὴ καθύγρους δώσομεν, οἷον ἄλικα μετὰ ῥοσάτου ἢ ῥοδομήλου ἢ ὑδρομήλου ἢ οἴνου τῶν μὴ παλαιῶν ἢ ἄλλως θερμῶν τινος, λαχάνων δὲ ἴντυβα, σέριν, θριδακίνας, καὶ ἰχθύων τοὺς πετραίους, καὶ τῶν συῶν τοὺς πόδας τε καὶ τὰς μήτρας, ἀπίους τε καὶ μῆλα καὶ ῥοιάς, καὶ πίνειν ψυχρόν. προποτιστέον δὲ αὐτοὺς πολυγόνου χυλὸν καὶ ἑλένιον ἐν οἴνῳ μέλανι καὶ φοινίκων ἀπόβρεγμα καὶ μύρτων. καταπλαστέον δὲ ὑποχόνδριον καὶ νεφροὺς ἄλφιτον ἐν ὀξυροδίνῳ καὶ φύλλα ἀμπέλου καὶ κοτυληδόνος καὶ ἑλξίνης καὶ ἀνδράχνης, ἱδρῶτάς τε ποιεῖν αὐτοῖς καὶ ἐμέτους ἀπὸ ψυχροῦ πόσεως, καὶ τῶν διουρητικῶν παντοίων ἀπέχεσθαι, κατ' ἀρχὰς δὲ καὶ φλεβοτομεῖν οὐδὲν ἄτοπον.

## ·11 Περὶ στραγγουρίας καὶ δυσουρίας.

Μήτε φλεγμονῆς μήτε λίθου μήτε ἄλλου τινὸς τῶν εἰρημένων παρόντος, εἰ μὲν δριμύτης εἴη κατὰ τὸ οὖρον, καὶ ἡ ὅλη ἕξις ἢ καὶ τὰ λοιπὰ σημεῖα χολὴν ἐμφαίνοι, διὰ ταύτην ἢ δυσουρία ἢ στραγγουρία συνίσταται, καὶ δεῖ τοῖς ἀλλοιοῦσι ταύτην καὶ κατακιρνῶσι κεχρῆσθαι πτισάνης τε χυλῷ καὶ ἰχθύσι καὶ βαλανείοις καὶ τῇ συμφώνῳ διαίτῃ τῶν δριμέων ἀπεχομένους καὶ οἴνου καὶ γυμνασίων καὶ θυμοῦ καὶ βραδυσιτίας. εἰ δὲ τῶν τε οὔρων ἡ λεπτότης τε καὶ λευκότης καὶ τὰ λοιπὰ σημεῖα ψυχρὰν ἄγει δυσκρασίαν, οἶνός τε θερμὸς ἁρμόσει καὶ κονδῖτα καὶ τὰ διουρητικὰ τῶν φαρμάκων τε καὶ βρωμάτων ἐγκαθίσματά τε θερμότερα. πρὸς δὲ τῷ λευκῷ καὶ παχυτέρων φαινομένων τῶν οὔρων φλεγματικὸν ὑποληπτέον χυμὸν ἐμφράξαντα τὸν τράχηλον τῆς κύστεως, καὶ δεῖ ὀξυμέλιτι χρῆσθαι καὶ τοῖς δι' ὑσσώπου καὶ γλήχωνος ἢ ὀριγάνου ἢ θύμου ἢ σιλφίου ἐνεψηθεῖσιν μελικράτῳ καὶ ἐμβροχαῖς θερμοτέραις. εἴτε δὲ χυμὸς παχὺς εἴτε λίθος εἴτε θρόμβος ἤ τι τῶν τοιούτων ἐμφράξαν ἐμποδίζοι τῇ τῶν οὔρων διόδῳ, καθετηρίζειν αὐτούς, εἰ μὴ φλεγμονὴ τοῦ μορίου παρείη. τὰς δὲ ἐν πυρετοῖς δυσουρίας ἰᾶσθαι ἐμβροχῇ διὰ πηγανίνου ἢ ἀνηθίνου ἢ παλαιοῦ ἐλαίου. ἐπεχομένης δὲ τῆς κοιλίας ἐνιέσθωσαν τήλεως ἢ μαλάχης ἀφεψήματι,

1—11 *cf. Oribasius, Synops. IX 33* με´ 11 *Alexander Trall. II 485 sqq.; cf. Aëtius XI 19—20*

1 γοῦν K 3 ydromilo aut rodomilo *a* ἢ ὑδρομήλου] *ras. magn.* B μὴ] *om.* E: *supra scr.* C ὅλως D: alio *a* 4 θριδακίνην D 6 προποτιστέον] potandum *a* 6. 7 χυλῷ καὶ ἑλενίῳ D 7 ἀποβρέγματι D 8 ἄλφιτον] ἐξ ἀλφίτων D 9 φύλλων D 10 αὐτοὺς AEH 11 πάντων D κατ' ἀρχὰς δὲ καὶ] et in principio *a* 14 ἡ *om.* D ὅλη ἕξις] χολὴ ἑξῆς K: χολῆ ἕξεισι D 15 ἢ *(pr.)*] ἡ *e corr.* D: *om.* *a* ἢ *(alt.)*] et *a* 16 δεῖ] δὴ BHK 17 τε *om.* K βαλανεῦσι K 21 κονδεῖτον D 24 δεῖ ὀξυμέλιτι] τῷ δι' ὀξυμέλιτος D κεχρῆσθαι D 25 σιλφίου ἢ θύμου M μελικράτῳ] ἐν μελικράτῳ D 26 παχὺς χυμὸς D 27 τῇ] τὴν BF: τι K δίοδον F, *e corr.* B[s]: *om.* K 29 πηγάνου FK*a* aneto *a* 30 κοιλίας] γαστρὸς D

ἐγκαθιζέσθωσαν τε καὶ οὗτοι οἱ προλεχθέντες εἰς ὑδρέλαιον ἤ τι τῶν εἰρημένων εἰδῶν ἀφέψημα σὺν τῷ ἐλαίῳ. κηρωτὴ δὲ αὐτοῖς ἁρμόσειεν αὕτη· ἀγρίας μαλάχης ῥίζαι ἐν Σικυωνίῳ σὺν ὀλίγῳ ὕδατι ἕψονται, ἕως οὗ φρυγῶσι, καὶ αὐταὶ μὲν ῥίπτονται, τῷ δὲ ἐλαίῳ μίγνυται χυλὸς πηγάνου τὸ τέταρτον μέρος καὶ κηροῦ καὶ καστορίου τὸ αὔταρκες.

### Περὶ παραλυθείσης κύστεως. 12

Ἡ ποτὲ μὲν δυσουρία, ποτὲ δὲ τῶν οὔρων ἀκούσιος οὔρησις ἕπεται ἐν τῷ περὶ παραλύσεως ἔμπροσθεν εἰρημένῳ.

### Περὶ ἐνουρούντων. 13

Χάλασις τοῦ κατὰ τὸν τράχηλον τῆς κύστεως μυὸς τοῦτο τὸ πάθος ἐργάζεται· διὸ τοῖς παισὶν ὡς μάλιστα συμβαίνει. κοινῶς μὲν οὖν τοῖς τονοῦσιν ὡς μάλιστα χρηστέον, οἷον οἰνελαίῳ θερμῷ καὶ τοῖς παραπλησίοις, φυλαττομένους καὶ τὰ ἰσχυρῶς ψύχοντα, περιθάλποντας δὲ μᾶλλον αὐτούς, ὡς οἷόν τε· καὶ γὰρ ἡ ψῦξις οἷον παραλύσεως ἔμφασιν ἐργάζεται. φυσικῶς δὲ ταῦτα δρᾷ· ἀλέκτορος λάρυγγα καύσας δὸς πιεῖν νήστει ἐν ὕδατι χλιαρῷ ἢ λευκανθέμου ἄνθη ὁμοίως, ἢ λαγωοῦ ὄρχιν ἐπιξύων εἰς οἶνον εὐώδη δὸς πιεῖν, ἢ καλαμίνθην καὶ σμύρναν ἐν οἴνῳ δὸς πιεῖν πρὸ τοῦ δείπνου, ἢ πηγάνου ἀγρίου σπέρμα φρύξας δὸς πιεῖν ἐπὶ τρεῖς ἡμέρας. καταχριέσθω δὲ καὶ τὸ αἰδοῖον αὐτοῦ Κιμωλίαν μετὰ χυλοῦ περδικιάδος.

## μϛʹ. Περὶ τῶν τοῦ ἥπατος παθῶν.

Ποικίλα τοῦ ἥπατος ὑφισταμένου πάθη (καὶ γὰρ ἀτονίαις καὶ 1
φλεγμοναῖς ἐρυσιπέλασί τε καὶ σκίρροις καὶ ἀποστήμασι καὶ ἕλκεσι καὶ ἐμφράξεσιν ἁλίσκεται) περὶ πρώτης τῆς ἀτονίας αὐτοῦ λεκτέον, καθ᾽ ἣν ἰδίως ἡπατικοὺς καλεῖν τοὺς πεπονθότας εἰώθασιν. εἰ μὲν οὖν χυλοποιηθέντα μὲν κενοῖ τὰ διαχωρήματα, ὑγρότερα δέ, τῆς εἰς ἧπαρ ἀνα-

8 ἔμπροσθεν] *p. 165, 11 sqq.* μεʹ 13 *cf. Oribasius, Ad Eunap. IV 108; Aëtius XI 25* μϛʹ 1 *cf. Alexander Trall. II 397 sqq.*

1 τε] δὲ DFK τε . . . προλεχθέντες] uero *a* καὶ οὗτοι] καὶ EJ: καὶ οὗτοι καὶ *e corr.* J ἢ] ἢ εἰς ἀφέψημα D 2 ἀφέψημα] K*a*: εἰς ἀφέψημα ABCEFGHM: *om.* D τῷ *om.* D 3 ⟨ἂν⟩ αὕτη? ῥίζα AF ἕψονται] DK: ἑψοῦνται *e corr.* M: ἕψωνται CG: ἑψῶν τε F: ἑψόντε *e corr.* B: ἑψοῦντες AEHM*a* 5 τὸ *(pr.) om.* CFG αὔταρκες] ἀρκοῦν D 6—8 *om.* D*a* 6 παρεθείσης E: παρὰ θείσης A 8 εἴρηται K 11 διὸ *om.* K συμβαίνει] ABEKM*a*: συμβαίνη H: συμβαίνειν εἴωθε(ν) CDFG$M^3$ 12 ὡς μάλιστα *om.* D 13 καὶ] μὲν D: *om. a* 14 αὐτά K 16 πίνειν K 17 ἐν οἴνῳ CDFG εὐώδει CD δὸς πιεῖν] CDFGKM: πιεῖν δὸς ABEH*a* ἢ] et *a* καὶ *om.* CFG 18 ἐν οἴνῳ] DK: *om.* ABCEFGHM*a* πρὸ . . . πιεῖν *(19) om.* A ἢ] et *a* 19 ἡμ$^{ε}$ γ̄ K 20 Κιμωλίαν] κιμωλίᾳ D: *om. a* 22 καὶ *(alt.)*] τε καὶ E 24 τῆς] D: οὖν τῆς *e corr.* A: *om.* BCEFGHKM: οὖν *supra add.* $C^2$ 25 εἰώθαμεν K μὲν *om.* F*a* οὖν] *supra scr.* $M^3$ χυλοποιηθέντων CFG, *corr.* $C^2$ 26 μὲν *om.* D*a* ὑγρότερα δὲ] et humidiores *a* τὴν εἰς τὸ ἧπαρ ἀνάδοσιν D

δόσεως ἐνδεέστερον ἢ μηδ᾽ ὅλως γινομένης ἀπαθοῦς μενούσης τῆς γαστρός, τὴν ἑλκτικὴν ὑποληπτέον τοῦ ἥπατος ἀσθενεῖν δύναμιν, εἰ δὲ ὅμοια πλύματι κρεῶν νεοσφαγῶν, τὴν ἀλλοιωτικήν τε καὶ αἱματοποιητικὴν προσαγορευομένην. ἀλλ᾽ εἰ μὲν διὰ θερμὴν ἀσθενεῖ δυσκρασίαν, τοῦ χρόνου προϊόντος τρυγωδέστερον φέρεται καὶ δυσώδης πάνυ χολῇ κατακορὴς τῇ χρόᾳ παχεῖα, ἤδη δὲ καὶ τῆς οὐσίας αὐτῆς συντηκομένης τοῦ ἥπατος ὅλον τε συντήκεται τὸ σῶμα καὶ πυρέσσουσι καὶ ἀνορεκτοῦσι καὶ χολὴν ἐμοῦσι. ψυχρᾶς δὲ τῆς δυσκρασίας ὑπαρχούσης οὔτε συνεχεῖς ἐκκρίσεις οὔτε πολλαὶ γίνονται· χρονίζει γὰρ τὸ πάθος· καὶ δι᾽ ἡμερῶν τινων καταρρήσσει γαστὴρ ἀθροώτερον, ἧττον δὲ δυσώδη, καθάπερ ἰλὺν αἵματος παχέος ἐγγὺς τῇ μελαίνῃ χολῇ. καὶ πλείονα δὲ καὶ ποικίλα χρώματα τὴν ψυχρὰν δηλοῖ δυσκρασίαν, ὅ τε πυρετὸς αὐτοῖς ἀμυδρὸς φαίνεται καὶ τὸ πρόσωπον ἀσύμπτωτον, καὶ μᾶλλον ὀρέγονται τῶν σιτίων. τούτων δὲ τῶν δυσκρασιῶν ὁποία ἂν εἴη, τῆς μὲν ξηρᾶς αὐτῇ συμπλεκομένης ξηρότερα φαίνεται τὰ διαχωρήματα καὶ ὀλιγώτερα, καὶ διψῶσι μᾶλλον, τῆς δὲ ὑγρᾶς ὑγρότερά τε καὶ πλείονα, καὶ ἧττόν εἰσι διψώδεις.

2 φλεγμαίνοντος δὲ τοῦ ἥπατος κοινῶς μὲν ἅπασι πόνος γίνεται κατὰ τὸ δεξιὸν ὑποχόνδριον διήκων ἄνω μὲν ἄχρι κλειδός, κάτω δὲ ἄχρι νόθων πλευρῶν, καὶ πυρετὸς ὀξὺς καὶ βηχία ξηρὰ καὶ δίψα καὶ ἀνορεξία καὶ δύσπνοια, ἥ τε γλῶσσα πρῶτον μὲν ἐρυθρὰ φαίνεται, ὕστερον δὲ μέλαινα, ἐμοῦσί τε χολήν, καὶ ἡ γαστὴρ ἐπέχεται. παραπλησίων δέ πως ὄντων σημείων καὶ τοῖς πλευριτικοῖς ἐν τῷ περὶ πλευρίτιδος τὴν διαφορὰν αὐτῶν εἰρήκαμεν.

ἐρυσιπέλατος δὲ συστάντος ἐν τῷ ἥπατι τά τε τῆς φλογώσεως ἐπεκτείνεται, καὶ καυσοῦνται, καὶ μαρασμὸς ἐπιγίνεται.

3 ἰδίως δὲ τῶν μὲν σιμῶν φλεγμαινόντων τοῦ ἥπατος αἵ τε ναυτίαι

4—17 *Oribasius, Synops. IX 19; cf. Aëtius X 1* μϛʹ 2—3 *cf. Alexander Trall. II 379 sqq.; Aëtius X 3* 24 εἰρήκαμεν] λγʹ 1

1 ἢ . . . γινομένης] στοχαζόμεθα γίνεσθαι D γινομένης] CGK: γιγνομένης ABEHM: γενομένου F μενούσης] EK: μὲν οὔσης ABCFGHM*a*: μὲν τοίνυν μενούσης D 4 δυσκρασίαν ἀσθενεῖ D ἀσθενῇ BH: *om.* A *(qui hic a m. 2 vitiatus est)* 5 φέρεται] φαίνεται D: φένεται B, *sed* -ν- *in ras.* δυσώδης] K, *in ras.* A²: δυσῶδες BCDEFGHM*a* 6 χολὴ κατακορὴς] χολῇ τε κατακορές ἐστι D χολὴν F: quod egeritur felle *a* habundanter colore infecto *a* παχεῖα] καὶ παχὺ D *post* παχεῖα *add.* καὶ κατακορὴς τῇ χρόᾳ *in ras.* A²: καὶ χολὴ παχεῖα καὶ κατακορὴς τῇ χρόᾳ *mrg.* C² αὐτῇ B 7 τε *om.* D 10 καταρρήσσει] D: καταρήσσει FK: καταρρήσει AEGHM: καταρήσει B γαστέρα F: ἡ γαστὴρ DK 11 δὲ] ABCDK: τε EFGHM*a* δυσῶδες F μελαίνῃ χολῇ] DK: melancholie *a*: μελαίνῃ ABCEFGHM: χολῇ *supra add.* A² 13 ἀμυδρότερος CE, *corr.* C καὶ *(alt.)*] sed *a* 16 καὶ ὀλιγώτερα] CDFGB³*a*: *om.* ABEHKM μᾶλλον] μᾶλλον καὶ ὀλιγώτερα ABEHK, *in ras. maiore* M³, *corr.* B³ ὑγρᾶς] γαστρὸς D, *corr. mrg.* D³ 18 κοινὸς CFG μὲν *om.* E 19 ἄνω μὲν *om.* K μέχρι FH κλειδός] κλειδὸς ἄνω K 20 μέχρι H βὴξ K 23 πως] ποσὸν K καὶ *om. a* 25 φλογώσεως] φλεγμονῆς CFG 27 μὲν *om.* K

καὶ οἱ ἔμετοι καὶ αἱ ἀνορεξίαι καὶ αἱ φλογώσεις ἐπιτείνονται, καὶ λειποθυμίαις καταψύχονται πολλάκις, ὥστε τὰς ὑδερικὰς παρεγχύσεις ἐντεῦθεν ἄρχεσθαι· τῶν δὲ κυρτῶν αὐτοῦ φλεγμαινόντων τὰ λοιπὰ τῶν εἰρημένων καὶ ὄγκος σαφὴς κατὰ περιγραφὴν τῇ τε ὄψει καὶ τῇ ἁφῇ κατάδηλος. ταῦτα μὲν ἰσχυρᾶς τε καὶ μεγάλης τῆς φλεγμονῆς ὑπαρχούσης· εἰ δὲ ἀμυδρά τις εἴη, κελεύσομεν τῷ κάμνοντι μέγα ἀναπνεῦσαι, καὶ ἐὰν περὶ τὸ δεξιὸν ὑποχόνδριον ὀδυνᾶσθαι φαίη, μετρίαν τοῦ ἥπατος ὑποληπτέον εἶναι φλεγμονήν. εἰ δὲ κατὰ τὴν θέσιν τῶν ἐπικειμένων μυῶν ἐπιμήκης ὁ τῆς φλεγμονῆς ὄγκος φαίνοιτο μηδενὸς τῶν εἰρημένων παρόντος, αὐτοὺς ἐκείνους φλεγμαίνειν γινώσκομεν. βάρους δὲ μετὰ διατάσεως καὶ ὀδύνης συναίσθησις κατὰ τὸ δεξιὸν ὑποχόνδριον χωρὶς ὄγκου καὶ πυρετοῦ ἔμφραξιν δηλοῖ τῶν φλεβῶν, καθ' ἃ μέρη συνάπτουσιν αἱ τῶν ἐπὶ πύλαις τε καὶ σιμῶν τοῦ ἥπατος ταῖς ἐν τοῖς κυρτοῖς. εἰς ἀπόστασιν μὲν οὖν τῆς φλεγμονῆς τρεπομένης ἥ τε ὀδύνη καὶ ἡ διάτασις αὐτοῖς αὔξεται, καὶ ἄλογα ῥίγη προσγίνεται, καὶ ἐπὶ τὸ εὐώνυμον πλευρὸν οὐ δύνανται κατακλίνεσθαι μᾶλλον ὀδυνώμενοι τὸ ἧπαρ· συρραγέντος δὲ τοῦ ἀποστήματος ἢ διὰ οὔρων ἢ διὰ γαστρὸς ἔκκρισις ἀθρόα πύου γίνεται. εἰ δὲ εἰς σκιρρώδη διάθεσιν ὁ ὄγκος μεταπέσοι, αἱ μὲν ὀδύναι μειοῦνται, ὁ δὲ ὄγκος ἐναργής ἐστι μετὰ σκληρίας, τὰ δὲ πέριξ ἰσχνοῦνται σώματα· τοῦ δὲ χρόνου προϊόντος δύσκολος ἡ διάγνωσις· φθάνει γὰρ ὕδερος ἐπιγίνεσθαι, καὶ τὸ ὅλον ὑποχόνδριον ὑπὸ τῆς ὑγρότητος καλύπτεται.

Πρὸς μὲν οὖν τὴν θερμὴν τοῦ ἥπατος δυσκρασίαν χρηστέον τοῖς 4
ἐμψύχουσι καὶ τονοῦσι μετρίως τὸ σπλάγχνον, οἷάπερ ἐστὶν ἥ τε σέρις καὶ τὸ κιχώριον ποτὲ μὲν ὠμὸν ἐσθιόμενον, ποτὲ δὲ ἡψημένον σὺν κοριάννῳ· καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ πινόμενον καὶ ὁ χυλός, οὐ μὴν ἀλλὰ καὶ αὐτὸ ξηρὸν ἐπιπαττόμενον μελικράτῳ, πρός τε τὰς θερμὰς καὶ ψυχρὰς δυσκρασίας τοῦ ἥπατος ὠφελεῖ. καὶ τὸ ἴντυβον δὲ καὶ τὸ τρώξιμον καὶ ὁ σόγχος τῶν παραπλησίων εἰσί· ποιεῖ δὲ καὶ κιτρίου

μϛ' 4 *cf. Oribasius, Synops. IX 18; Alexander Trall. II 383*

1 οἱ *om.* K   αἱ *(pr.) om.* K   φλογώσεις] DE: φλογώδεις ABCFGHM: φλεβώδεις K: inflationes *a*   λιποθυμίαις K: λειποθυμίαι ABCEGHM*a*: λειποθυμίαι καὶ FM[3]: αἱ λειποθυμίαι D   2 πολλάκις] τε πολλάκις D   ὡς D   ὑδερικὰς] CDFGKMA[2]B[2]: ὑδρικὰς ABEH   3 ἄρχεσθαι] γίνεσθαι D   λοιπὰ] λοιπά τε D   4 ὄγκοι D   σαφεῖς D   5 κατάδηλος] κατάδηλοι γίνονται D   6 μεγάλα CFG   8 εἶναι *om.* H   9 ὑποκειμένων AE   ὁ] αὐτοῖς ὁ D   10 γινώσκωμεν HK*a*   11 βάρος DK   μετὰ *om.* A   13 ἐπὶ πύλαις] ἐπιπολαῖς F   ταῖς] τοῖς K   15 αὐξάνεται K   16 ἐπὶ] τὸ ἐπὶ K   18 πύου] CDFGK: πύων ABEHM*a*   σκιρώδη CEGM, *e corr.* BD: κιρώδη BD: σκειρώδη A: κιρρώδη F: κηρώδη K: κιρρώδην H   20 μετὰ] μετὰ τῆς K: τῆς *supra scr.* B[3]   δὲ *(pr.)*] τε K   σώματα] τοῦ σώματος C   21 ἐπιγενέσθαι K   22 operiri *a*   23 μὲν οὖν] μὲν F: uero *a*   24 καὶ τονοῦσι *om.* K   τε *om.* M   25 ἐσθιόμενον ὠμόν D   26 καὶ *(pr.) om. a*   οὐ μὴν] non solum *a*: οὐ μόνον *supra scr.* B[3]   27 ξηρὸν] siccum et *a*   28 δυσκρασίας καὶ ψυχρὰς DK   δὲ] τε D: *om. a*   καὶ *(tert.)*] *del.* M   29 δὲ *om.* DM*a*

χυλοῦ κύαθος εἰς μελίκρατον καὶ πτέρεως χυλὸς ὁμοίως. εἰ δὲ καὶ σὺν ἐμφράξει μετρίᾳ γένηται ἡ δυσκρασία, δι' οἴνου τῶν λεπτῶν τινος καὶ διουρητικῶν αὐτὰ διδόναι· καὶ καταπότιον δὲ λαμβάνον κιχωρίου ⟨ δ̅, χαμαιπίτυος ῥίζης ⟨ δ̅, ἐν μέλιτι ἑφθῷ δίδου καρύου Ποντικοῦ μέγεθος, καὶ ὕδωρ ἐπιρροφείτω θερμόν. καὶ τὰ δι' ὀπίου δὲ καὶ σπέρματος ὑοσκυάμου προποτιστέον αὐτοὺς καὶ αὐτὴν τὴν τοῦ Φίλωνος ἀντίδοτον. ἐφ' ὧν δὲ τὰ τῆς θέρμης ἐπιτείνεται, καὶ ῥόδινον ὡς ὅτι κάλλιστον αὐτοῖς ἢ μήλινον διδόναι πίνειν, τροφὴν δὲ χυλὸν πτισάνης ἢ χόνδρου σὺν ὑδροροσάτῳ λαμβανέτωσαν καὶ ἄρτον ὁμοίως ἐξ ὕδατος μετά τινος τῶν τοιούτων ἡδέων πομάτων, καὶ ἁπλῶς εἰπεῖν τὰς ἐμψυχούσας μετρίως χωρὶς τοῦ ἐμφράττειν τροφὰς λαμβανέτωσαν οἴνου τὸ παράπαν ἀπεχόμενοι, πλὴν εἰ μὴ δι' ἑτέραν αἰτίαν, οἷον ἀτονίαν στομάχου, τούτου χρῄζοιεν· καὶ τότε τῶν λεπτῶν καὶ ὀλιγοφόρων τινὸς ὑδαρῆ διδόναι. καὶ τὸ ἐν ἥπατι δὲ ἐρυσίπελας παραπλησίως θεραπευτέον. ψυχρᾶς δὲ τῆς δυσκρασίας ὑπαρχούσης διὰ τῶν ἐναντίων ἰέναι· ἄρτον τε οὖν αὐτοῖς σὺν οἴνῳ δοτέον καὶ τὴν δίσεφθον ἢ τρίσεφθον κράμβην, καστάνων τε γευέσθωσαν καὶ σταφίδων καὶ ὄρνιθος κατὰ τὸ ἀρκοῦν, καὶ οἴνου πινέτωσαν· προποτιστέον δὲ αὐτοὺς τὸ εὐπατόριον ἢ τὸ ἄσαρον ἢ τὸ διὰ πεπέρεων, κἀκ τῶν ἔμπροσθεν πρὸς κοιλιακούς τε καὶ δυσεντερικοὺς ἀναγεγραμμένων ἐπιλεκτέον τὰ πρόσφορα. αἱ δὲ κυφοειδεῖς καλούμεναι πρὸς μὲν τὰς θερμὰς δυσκρασίας οὐδὲ ὅλως ἁρμόζουσιν, πλὴν εἰ μὴ ὀλίγη τις ἡ θέρμη σὺν ὑγρότητι πλείονι γένοιτο· πρὸς δὲ τὰς ψυχρὰς ἄριστα βοηθήματα, καὶ μᾶλλον, εἰ σὺν ὑγρότητι ἢ ἐμφράξει γένοιντο τοῦ ἥπατος.

5 ὑπὸ δὲ παχέων καὶ γλίσχρων χυμῶν τῆς ἐμφράξεως γενομένης τήν τε μυάκανθαν καὶ μάλιστα τὸν ταύτης διδόναι καρπὸν καὶ δάφνης τῆς ῥίζης τὸν φλοιὸν τό τε εὐπατόριον δι' ὀξυμέλιτος ἢ ἀφεψήματος θέρμων πικρῶν μετὰ πηγάνου καὶ πεπέρεως· καὶ τὸ ἄλευρον δὲ τῶν θέρμων πινόμενον καὶ καππάρεως ῥίζης μέρη β̅, κόστου μέρος α̅ μετὰ

3—5 *Aëtius X 2* 19 ἔμπροσθεν] *capp. 40, 42* μς' 5 *cf. Alexander Trall. II 393 sqq.; Aëtius X 2—3*

1 χυλοῦ] χυλὸς D ἐν μελικράτῳ D πτέρεως] π̍ε π̍ε CK, *corr. mrg.* C[2] σὺν *om.* K 2 γίνεται K 3 αὐτοῖς D λαμβάνον] K(*a*), *e corr.* D: λαμβανόμενον ABCEFGHM ⟨ δ̅ *om.* D*a* 4 ῥίζης *om.* D ⟨] ἀνὰ ⟨ D*a* μέλιτι ἑφθῷ] melicrato *a* μέγεθος] τὸ μέγεθος DK 5 sorbeant *a* τὰ] τῇ D δι'] διὰ τοῦ M δὲ] *supra scr.* B: τε A 6 αὐτὴν] αὐτῇ D: *om. a* τὴν] τῇ D: *om.* M ἀντιδότῳ D 8 ἢ μήλινον αὐτοῖς D ἢ *(pr.)*] et *a* χυλὸν] CDFGK: χυλὸς AM*a*: χυλοῦ *e corr.* B: *comp.* E: χυλὸ H 9 ὁμοίως *om.* H*a* 13 τούτου] DKB[3]: τότε ABCEFGHM*a* χρῄζοιεν . . . διδόναι. καὶ *(14)*] utantur subtili aliquo et aquoso *a* τότε] τότε δὲ D τινὸς] ABCDEFGHKM: τινὰ B[3]M[2]J[2] ὑδαροῦς D 14 παραπλησίον K θεραπεύειν D 15 μετιέναι D 16 αὐτοῖς] ADEFK(*a*): αὐτοὺς BCGHM καὶ] aut *a* ἢ] ἢ καὶ DK 17 ἀσταφίδων K 18 τὸ] τοῦ D εὐπατόριον] CG*a*: εὐπατορίου D: ἐσπατόριον F: ἡπατόριον ABEHKM 19 τοῦ ἀσάρου D τὸ] τοῦ D ἔμπροσθεν *om.* D τε] δὲ K 20 καὶ] καὶ πρὸς K 21 μὲν *om. a* 22 γένηται BH 24 ἢ ἐμφράξει] ἡ ἔμφραξις D γένοιτο BED 25 δὲ *om. a* 27 ὑπατόριον E: ἡπατώριον D 28 πικρῶν *om. a* 29 καὶ] ποιεῖ καὶ D μέρη] μ/ υ D μέρος] τε μ/ ε D

οἴνου καὶ τὸ διὰ βακάνου πρὸς τὰς ὑπὸ παχέων καὶ γλίσχρων χυμῶν ἐμφράξεις ἥ τε ἶρις καὶ ὁ τῶν πιστακίων καρπὸς καὶ τὸ λέπος πράσιόν τε καὶ ἀμύγδαλα πικρὰ καὶ ὁ δι᾽ αὐτῶν τροχίσκος, δρακοντίου καὶ ἄρου ἡ ῥίζα καὶ τὸ ἀγαρικὸν καὶ τὸ σκιλλητικὸν ὄξος τε καὶ ὀξύμελι. ἧπαρ δὲ λύκου ξηρὸν λειωθὲν καὶ διδόμενον ὅσον κοχλιαρίου ποσὸν ἁπάσαις ταῖς τοῦ ἥπατος ἁρμόζει διαθέσεσι μετὰ γλυκέος οἴνου· καὶ ἡ θεοδώρητος δὲ ἀντίδοτος τῶν ἀρίστων ἐστὶ φαρμάκων ἐπί τε τῶν τοῦ ἥπατος ἐμφράξεων καὶ τῶν σκίρρων καὶ χρονίων φλεγμονῶν ἐπί τε κωλικῶν καὶ ἰκτερικῶν, ὁμοίως δὲ καὶ ἡ δι᾽ ὀξυμέλιτος πικρά. τροφὰς δὲ τούτοις θερμοτέρας τε καὶ ἐκφρακτικὰς δοτέον, οἷον πράσα δι᾽ ὀξυμέλιτος καὶ τὸν ἕλειον ἀσπάραγον καὶ κάππαριν ὁμοίως, καὶ τὰ λοιπὰ δὲ ὄψα διά τινος τῶν θερμαινόντων τε καὶ ἐκφρακτικῶν ἀρτυμάτων ἑψόμενα καὶ οἶνον λεπτὸν καὶ παλαιόν, φυλαττομένους τὰ παχύχυμα καὶ βαλανεῖα συνεχῆ, καὶ μάλιστα μετὰ τροφήν. χρονίζοντος δὲ τοῦ πάθους καὶ φλεβοτομίαν καὶ κάθαρσιν παραληπτέον μηδενὸς κωλύοντος.

φλεγμαίνοντος δὲ τοῦ ἥπατος φλεβοτομητέον ἀνυπερθέτως ἀπ᾽ 6
ἀγκῶνος [τοῦ] δεξιοῦ καὶ συχνὸν ἀφαιρετέον τῆς δυνάμεως ἐξαρκούσης καὶ ἔξωθέν τε καταπλαστέον τὸ σπλάγχνον ἀλεύρῳ κριθίνῳ καὶ τήλεως καὶ λινοσπέρμῳ μετὰ φοινίκων ἢ μήλων Κυδωνίων καὶ μελιλώτων ἄνθους καὶ ἀψινθίας καὶ χαμαιμηλίνου, καὶ καθόλου τοῖς μαλακτικοῖς ἐπιμικτέον καὶ τὰ στύφοντα. ἐπιθέματα δὲ τό τε Νειλέως ἔστω καὶ τὸ εὐῶδες τό τε Φιλαγριανὸν καὶ τὸ Ἀπολλοφάνους τό τε διὰ μελιλώτων καὶ τὸ κοπτόν. πρὸς δὲ τὰς μεγίστας φλεγμονὰς πάνυ διὰ πολλῆς πείρας ἐστὶ τοῦτο· ἀψινθίου κόμης, νάρδου Κελτικῆς, ἀσάρου, κρόκου ἀνὰ ℥ ᾱ, ἴρεως, σμύρνης, στύρακος, βδελλίου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ℥ β̄, μυελοῦ μοσχείου ℥ δ̄, κηρωτῆς σχινίνης λι. δ̄· ὀξύμελί τε δοτέον αὐτοῖς ἁπλᾶ τε βοηθήματα, οἷον ἄσαρον, νάρδον Κελτικὴν ἢ Ἰνδικήν, σχοῖνον, πετροσέλινον· καὶ δεῖ ἐρεθίζειν τὴν γαστέρα διὰ τῆς ἀκαλήφης ἢ λινοζώστεως ἐσθιομένων ἑφθῶν. κατὰ δὲ τὰς παρακμὰς καὶ ἐπιθύμου καὶ πολυποδίου διδόναι ἐν μελικράτῳ. καὶ διὰ κλυστῆρος δὲ κενοῦν τὴν κοιλίαν, ἐν ἀρχῇ μὲν διὰ μελικράτου σὺν ἁλσὶν ἢ νίτρῳ,

μς' 6 *cf. Oribasius, Synops. IX 18; Alexander Trall. II 385 sqq.; Aëtius X 4*

1 τὸ] τὰ B 2 ὁ *om.* D καρπὸς] ὁ καρπὸς D πράσιόν . . . δρακοντίου *(3) om.* E 4 καὶ *(pr.)*] τε καὶ D τε καὶ] καὶ τὸ D 5 ξηρὸν λύκου D κοχλιάριον D 7 ἐστὶν EHK 8 τῶν *(alt.) om.* DK σκίρου D 12 δὲ *om. a* 18 τοῦ *om.* K *supra* συχνὸν *scr.* πολὺ D² 19 καὶ *(pr.) om.* K τε] τε καὶ K: δὲ F 20 λινοσπέρμου K: λινοσπέρμων F: *comp.* D 21 ἄνθεσι D ἀψιν$^{θ}$ καὶ χαμαιμηλίνῳ D 24. 25 πείρας πολλῆς D 25 ἄσαρος D 26 στύρακος σμύρνης DK βδελλίου] καὶ βδελλίου D amoniaci bdellii *a* 27 ὀξύμελί] ἐν ὀξυμέλιτι D τε *om.* AD 28 αὐτοῖς] erit *a* τε] δὲ D*a* οἷον] ταῦτα D ἄσαρ D ἢ *om.* K 29 δεῖ ἐρεθίζειν] διερεθίζειν DK: διαιρεθίζειν F 30 κατὰ δὲ] et circa *a* 31 καὶ *(pr.) om. a* καὶ *(sec.)*] uel *a*

παρακμῆς δὲ γενομένης μίγνυε ὕςςωπον ἢ ὀρίγανον ἢ κνῆκον ἢ κενταύριον καὶ κολοκυνθίδα. καὶ καθόλου τὰ μὲν cιμὰ τοῦ ἥπατος διὰ τῆς κοιλίας, τὰ δὲ κυρτὰ δι' οὔρων ἐκκαθαίρεται. τροφὴν δὲ τούτοις χυλὸν πτιςάνης δοτέον, ἐν ᾗ cέλινον καθήψηται. τῆς δὲ φλεγμονῆς ἐρυςιπελατώδους γενομένης τὴν θεραπείαν ἔμπροςθεν εἰρήκαμεν. ἀποςτάςεως δὲ γενομένης cυνεργητέον τῇ cυρρήξει καταπλάττοντα μὲν τῷ τριςπέρμῳ μετὰ ῥητίνης, μάννης, πίςςης, ἀλθαίας ῥιζῶν, περιςτερᾶς κόπρου, cπυράθων αἰγῶν, προποτίζοντα δὲ ἀφέψημα πολίου, καπνοῦ τοῦ ἐν ταῖς κριθαῖς ἀποτριτωθέν, ἀφέψημα θλάςπεως ἢ κιχωρίου καὶ χαμαίδρυος ῥίζης· cυρρήξεως δὲ γενομένης μελίκρατόν τε καὶ τὰ ἐπὶ τῶν ἑλκωθέντων νεφρῶν εἰρημένα, ἔξωθεν δὲ τὴν Μναςαίου καὶ τὰ λοιπὰ μαλακτικὰ καὶ τὴν ἱκέςιον ἐπιθετέον ἢ τὴν διὰ τῶν ἰτεῶν.

7 cκιρρωθέντος δὲ τοῦ ἥπατος ὀλίγη μὲν ἡ τῆς ἰάςεως ἐλπὶς εἰς ὕδερον μεταπιπτούςης τῆς διαθέςεως, ὅμως δὲ τοῖς μαλακτικοῖς ἐπιμικτέον ἀμμωνιακόν, βδέλλιον, μυελούς τε καὶ cτέατα καὶ τὰ τούτοις ὁμοδύναμα· ποτίζειν δὲ τὰ ἐκφράττοντα καὶ διαρρύπτοντα τὸ cπλάγχνον, οἷάπερ εἰcὶ τά τε διουρητικὰ καὶ λίθων θρυπτικά, μετὰ τῶν ἀρτίως πρὸς τὴν τοῦ ἥπατος ἔμφραξιν εἰρημένων καὶ τῆς τροφῆς δηλονότι καταλλήλως ἁρμοςθείςης.

## μζ΄. Περὶ καχεξίας.

Τὴν ἀρχὴν τῶν ὑδρωπικῶν παθῶν καχεξίαν καλεῖν εἰθίςμεθα· θεραπεύειν δὲ αὐτὴν χρὴ φλεβοτομοῦντας, εἰ μή τι κωλύοι, μεμεριςμένως ἄχρι τρίτης καὶ τετάρτης ἡμέρας ποιοῦντας τὴν ἀφαίρεςιν, κενωτέον δὲ μάλιςτα τοὺς δι' ἐπίςχεςιν αἱμορροΐδων ἢ καταμηνίου καθάρςεως εἰς τὸ πάθος ἐμπεςόντας, ὥςπερ οὖν τοὺς διὰ πλῆθος κενώςεως ἀφεκτέον τῆς φλεβοτομίας· πάντως δὲ καθαρτέον τῇ διὰ κολοκυνθίδος ἱερᾷ. ἡ δὲ δίαιτα ἔςτω λεπτὴ καὶ ξηραίνουςα, καὶ χρῆςις αὐτοφυῶν ὑδάτων παραλαμβανέςθω, cτυπτηριωδῶν καὶ νιτρωδῶν μᾶλλον, εἶτα θειωδῶν· τὸ δὲ ἄλλο λουτρὸν ἐκ μακροτέρων διαςτημάτων παραλαμβα-

5 ἔμπροςθεν] *p. 252, 14* 11 εἰρημένα] με΄ 5 μϛ΄ 7 *Oribasius, Synops. IX 20; cf. Aëtius X 6* μζ΄ *Oribasius, Synops. IX 21; cf. Aëtius X 19*

1 μιγνύειν DK 2 καὶ *(pr.)*] ἢ ED 4 ᾗ] ᾧ DH cέλινα E 5 γενομένης] οὔςης E, *mrg.* γρ. γενομένης 6 καταπλάττοντας D μὲν *om. a* 6. 7 τὸ τρίςπερμον D 7 πίττης μάνᵛης D ῥίζης D 8 προποτίζοντας D δὲ *om. a* πολίου . . . ἀφέψημα *(9) om.* D 9 θλάςπεως] πολίου E: πολίου θλάςπεως K 10 *post* ῥίζης *ins.* πινέτω B[3] τε] τε ἁρμόςει D 11 τὴν] μετὰ τὴν K: τοῦ CFG 12 καὶ τὴν] DF: καὶ ABEHM: τὴν CGK τῶν] *ras.* B ἰτεῶν] δι' ἰτεῶν ἔμπλαςτρον D 14 δὲ *om. a* 15 cτέατα] CDFGK, *post ras.* B: τὰ cτέατα AEHM 16 δὲ] τε D διεκφράττοντα K 17 τε *om.* D μετὰ] DK: καὶ μετὰ ABCEFGHM*a* 21 ὑδρωπικῶν] ὑδερικῶν CDFG παθῶν *om.* CFG 22 ταύτην CFG κωλύει EF, *corr.* F 24 καταμηνίων FG 25 ἐμπεςόντας] ἐλθόντας CFG, *corr. mrg.* C[2] τοὺς] τοῦ K πλήθους BH **26** πάντας *e corr.* MJ 27 ἱερᾶς K

νέτωσαν· καὶ γυμναζέσθωσαν παντοδαπῶς, μάλιστα δὲ διὰ τῶν καλουμένων ἰατραλειπτῶν, εἰς ὕστερον δὲ καὶ ἐλλεβοριζέσθωσαν. θαυμαστῶς δὲ ὀνίνησιν αὐτοὺς καὶ προποτισμὸς ἀψινθίου καὶ κοτταβισμοὶ καὶ δρώπακες. εἰ δὲ τὸ πάθος εἰς ὕδρωπα μεταπέσοι, τῇ τῶν ὑδρωπιώντων ὑπαγέσθω θεραπείᾳ κατὰ τὸν ἐκτεθησόμενον τρόπον.

## μη΄. Περὶ ὑδέρων.

Τοῦ ἥπατος σφοδρῶς καταψυγέντος, ὁτὲ μὲν κατὰ πρωτοπάθειαν 1
ἤτοι φλεγμήναντος ἢ σκιρρωθέντος ἢ ἄλλως πως αὐτοῦ παθόντος, ὁτὲ δὲ κατὰ συμπάθειαν ἑτέρων μορίων, ἀποτυχία τῆς ἐξαιματώσεως γίνεται, καὶ καλεῖται τὸ πάθος ὕδερος, ἐφ᾽ οὗ ποτὲ μὲν πλῆθος πνεύματος μετ᾽ ἐλαχίστης ὑγρότητος ἀθροίζεται μεταξὺ περιτοναίου καὶ ἐντέρων, ὥστε πληττόμενον τὸ ἐπιγάστριον ἠχεῖν δίκην τυμπάνου· διὸ καὶ τυμπανίας ὕδερος ἀπὸ τούτου προσηγόρευται, συνιστάμενος ἀπό τε τῶν περὶ τὸν στόμαχον καὶ τὴν κοιλίαν καὶ τὸ κῶλον ἐμπνευματώσεων καὶ πυρετῶν χρονίων, ἔσθ᾽ ὅτε δὲ καὶ ἀπὸ σκληρίας περιτοναίου ἢ μήτρας ἐπὶ γυναικῶν ἢ σκίρρου. ποτὲ δὲ τὸ ἀνάπαλιν πλῆθος ὑγροῦ σὺν ἐλαχίστῳ πνεύματι ἐν τοῖς αὐτοῖς ἀθροίζεται χωρίοις, ὥσπερ ἐν ἀσκῷ τινι φυλασσόμενον· ὅθεν τὸ πάθος ἀσκίτης ὕδερος ὀνομάζεται, συνιστάμενος καὶ αὐτὸς ἐκ τῶν εἰρημένων αἰτίων, τὸ δὲ πλεῖστον ἀπὸ σκληρίας καὶ σκίρρου περὶ τὸν σπλῆνα καὶ τὸ ἧπαρ καὶ τῶν περὶ τὰ ἔντερα χρονίων ῥευμάτων· ἐφ᾽ ὧν συμβαίνει τὴν μὲν γαστέρα ἐξογκοῦσθαι, τὸ δὲ λοιπὸν ἐκτήκεσθαι σῶμα μὴ τρεφόμενον. ἔστι δὲ ὅτε καθ᾽ ὅλον τοῦ σώματος τὸν ὄγκον ψυχρότερόν τε καὶ φλεγματικώτερον αἷμα περιέχεται πῆ μὲν ἀπὸ τοῦ ἥπατος τοιοῦτο φερόμενον, πῆ δὲ καὶ πάσης τῆς σαρκὸς τοῦ σώματος οἷον ἐξυδατουμένης τικτόμενον, ὥστε λευκὸν καὶ φλεγματῶδες τὸ σῶμα φαίνεσθαι νεκρῷ παραπλήσιον· καὶ καλεῖται λευκοφλεγματίας ἢ ὑποσαρκίδιος ὕδερος ἢ ἀνὰ σάρκα, συνιστάμενος ἀπό τε πυρετῶν μακρῶν καὶ στομάχου καχεξίας καὶ ἐπισχεθεισῶν χρονίων αἱμορροΐδων καὶ γυναικείου ῥοῦ καὶ δυσπνοίας καὶ ἀλόγων ἀγρυπνιῶν καὶ τῶν τούτοις ἐμφερῶν αἰτίων.

Θεραπεύοντες οὖν αὐτοὺς κοινῶς μὲν ἀπὸ κενώσεως ἀρχόμεθα, 2
ἀλλ᾽ ἐπὶ μὲν ἀσκίτου καὶ τυμπανίου διὰ τῆς τῶν ὑδραγωγῶν φαρμάκων δόσεως, ἐπὶ δὲ τοῦ ἀνὰ σάρκα διὰ φλεβοτομίας, μάλιστα δι᾽ ἐπί-

μη΄ 1—2 *cf. Oribasius, Synops. IX 22; Ad Eunap. IV 97; Alexander Trall. II 439 sqq.; Aëtius X 20—22*

1 δὲ *om.* E  2 καὶ *om. a*  3 κοτταβισμὸς A: κοττακισμοὶ E  5 ὑπαγέσθωσαν CDFG*a*  7 καταψυχθέντος D  9 δὲ] *om.* ABEH*a*: *supra scr.* M[3]  τῆς] τὶς AE, *mut. in* τῖς A  12 δίκην τυμπάνου ἠχεῖν D  13 προσαγορεύεται D  14 τὸν] DK: *ras.* M: *om.* ABCEFGH  16 ἐπὶ] ἀπὸ K  17 χωρίοις] μορίοις CF  20 τὸ *om.* K  21 ῥευμάτων χρονίων CFG  γαστέρα μὲν D  23 ὅλου EFK  24 τοιοῦτον CDFG: τὸ οὕτω K  25 οἷον] *om.* M: οἶν K  ἐνυδατουμένης K  27 ἢ *(pr.)*] DK: *om.* ABCEFGHM*a*  30 ἐμφερομένων D: *supra scr.* γρ. ἐμφερῶν D[2]  31 ἀρξόμεθα D: ἀρχώμεθα HK  32 μὲν *om. a*  33 δι᾽] δ᾽ AE

cχεcιν αἱμορροΐδων ἢ καθάρcεωc ἐμμήνου cυcτάντοc τοῦ πάθουc, πλὴν εἰ μὴ φθάcαιεν ἐν καχεξίᾳ γενόμενοι φλεβοτομηθῆναι· κἀνταῦθα οὖν, ὡc ἐπὶ τῶν καχεκτικῶν, δεῖ κατὰ μέροc ταμιεύεcθαι τὴν κένωcιν. εἶτα βόλβιτον βοὸc ἀγελαίαc ξηρὸν ἀκριβῶc λειώcαc ἕψει ἐν ὀξυκράτῳ ἢ ὀξυμέλιτι καὶ θείου τὸ τέταρτον μέροc προcεμπάcαc ὅλῳ τῷ τῆc γαcτρὸc ἐπίβαλλε κύτει ἢ cπυράθουc αἰγὸc ἐν οὔρῳ παιδὸc ἢ αἰγὸc γλοιοῦ πάχοc κατάπλαccε· διὰ γαcτρὸc ἄκρωc αὐτοὺc καθαίρει. καὶ τοῖc διὰ ζύμηc δὲ καὶ ἰcχάδων καὶ τιτάνου καὶ νίτρου καὶ ἴρεωc καρδαμώμου τε καὶ θείου ἀπύρου καὶ ἀμμωνιακοῦ δαφνίδων τε καὶ τῆc ἀγρίαc cταφίδοc καὶ τῆc τῶν ἀγρίων περιcτερῶν κόπρου ἢ πάντων ἤ τινων ἐκ τούτων δι᾿ ὀξυμέλιτοc χρηcτέον καταπλάcμαcιν· μεθ᾿ ἃ τὸ διὰ τῆc αἰγείαc κόπρου cπογγίον προcαγορευόμενον ἐπίθεμα θαυμαcίωc κενοῖ τὴν ὑγρότητα διά τε τῶν ἀδήλων πόρων καὶ διὰ γαcτρόc· ἐc ὕcτερον δὲ τὰc ξηραινούcαc ἐπιθετέον ἐμπλάcτρουc, τὴν διὰ ἰτεῶν, τὴν ἱκέcιον ἢ τὴν τοῦ κουρέωc ἢ τὴν διὰ δαφνίδων ἢ τὸ πολυάρχιον ἢ τὸ διὰ cπερμάτων ἐπίθεμα. καὶ τοῦτο δὲ θαυμαcτόν ἐcτι· διαρπάζει γὰρ ἐκ τοῦ βάθουc τὸ ὑγρόν· λίθου πυρίτου < ιβ̄, θείου ἀπύρου < ιβ̄, ἀμμωνιακοῦ θυμιάματοc < ιβ̄, κυμίνου < ιϛ̄, νίτρου < ιβ̄· ἀνάλαβε κηρῷ βραχεῖ καὶ τερεβινθίνῃ καὶ εἰc δέρμα ἐπιπλάcαc ἀπόθου δι᾿ ὅληc τῆc γαcτρόc. προποτίζειν δὲ αὐτοὺc καθέψοντα τὴν ῥίζαν ἐν οἴνῳ, ἢ cίκυον ἄγριον ἐν οἴνῳ ἀποβρέξαc αὐcτηρῷ ἡμέραc γ̄ δίδου κύαθον ᾱ
3 προcτιθεὶc καθ᾿ ἑκάcτην ἡμέραν ἄχρι κυάθων γ̄. πολυμίγματον δὲ τοῦτο· βαλcάμου, νάρδου, καccίαc, κυμίνου, γλυκυρίζηc, ὑπερικοῦ, cχοίνου, ἀcάρου, δαύκου, ἀμώμου, cμύρνηc, πετροcελίνου, καλάμου ἀρωματικοῦ, πεπέρεωc, cεcέλεωc, cπονδυλίου ἴcα· ποιεῖ δὲ καὶ ἕκαcτον καθ᾿ ἑαυτό. καὶ πάντα δὲ τὰ διουρητικὰ ὁμοίωc· δίχα δὲ βάρουc τὴν οὔρηcιν κινεῖ cκίλλα ὀπτὴ μετὰ μέλιτοc λειανθεῖcα καὶ ὡc ἔκλειγμα διδομένη· ἐνεψηθείη δ᾿ ἂν καὶ τοῖc πινομένοιc ὕδατι. καὶ τοῦτο δὲ ἄγαν καλόν· τοῦ ἐντὸc τῆc cκίλληc λι. β̄ εἰc οἴνου αὐcτηροῦ ξε γ̄ ἑψήcαc ἕωc ἀποτριτώcεωc δίδου ἐκ τοῦ οἴνου καθ᾿ ἡμέραν ἀρξάμενοc ἀπὸ μύcτρου

μη′ 3 *cf. Aëtius X 26*

1 ἢ] et *a* ἐμμήνων CFG: ἐμμήν̃ου D 2 φθάcαιεν] D: φθάcειεν ABCEFGHKM(*a*) ἐν *om.* K 5 προcεμπλάcαc K *Or* 6 ἐπίβαλλε] DFK: ἐπίβαλε ABCEGHM cπυράθου AE ἢ αἰγὸc] *del.* B 7 ἄκρωc] ἄκρωc γὰρ D 8 ἰcχάδων . . . καὶ *(pr. 9) om.* E ἴρεωc] ἴρεωc καὶ D 9 τε] *om.* AD 12 διὰ *om.* K αἰγείαc] ἀγρίαc D θαυμαcτῶc D 13 ἐc *om.* D 15 ἢ *(pr.)*] καὶ K τοῦ *om.* M ἢ *(ult.)*] καὶ E 17 πυρίτιδοc D < ιβ̄ *(pr.)*] *om.* CDFG*a*: *corr. ex* ῑβ M θείου ἀπύρου < ιβ̄] *om.* K < ιβ̄ *(alt.) om.* CDFG*a* 18 < *(pr.)*] ἀνὰ < CDFG: nitri ana ʒ *a* νίτρου < ιβ̄ *om. a* 19 τερμινθίνῃ DEM: τερμιν<sup>θ</sup> CG: τερμίνθιον F ἐμπλάcαc M ἀπόθου] ἐπίθεc D ὅλου D 20 κατέψονταc D ῥίζαν] ῥίζαν ἀκτέαc M: ῥίζαν τῆc ἀκτέαc M²: ἀκταίαc *add. mrg.* C²: ῥίζαν τῆc καλαμίνθηc *Or* 20. 21 cικύων ἀγρίων D 21 ἡμέραc] ἡμ<sup>έ</sup> CFGM²: μ<sup>ε</sup> ABDEKM*a*: με H 22 καθ᾿ *om.* D ἑκάcτηc ἡμ<sup>έ</sup> D πολυμάγματον D 23 cχίνου DF*a* 24 ἄcαροc D καλάμου] καρδαμώμου K 25 cφονδυλίου K 26 οὐρητικὰ M κινεῖ] ποιεῖ F: euacuat *a* 28 καὶ *(pr.) om. a* ὕδαcι DJ*a* 29 ἀποτριτώcεωc] οὗ ἀποτριτωθῇ D 30 ἐκ τοῦ οἴνου *om.* D

ἕως 𐅻 ᾱ. διουρητικὸν δὲ καὶ τοῦτο κάλλιστον· ςτυπτηρίας ὑγρᾶς ἡλίκον κύαμον ὕδατι διαλύςας διηθήςας τε δι᾽ ὀθόνης πότιζε ἐπὶ τρεῖς ἡμέρας ἢ παρὰ μίαν. ἁρμόζει δὲ καὶ τούτοις ἥ διὰ τοῦ ὀξυμέλιτος πικρὰ ἥ τε θεοδώρητος καὶ ὁ διὰ τῶν πικρῶν ἀμυγδάλων τροχίςκος. ὑδραγωγὰ δὲ πλείονα μέν εἰςι, πεπειραμένα δὲ ταῦτα· Κνίδιοι κόκκοι μ̄ ἢ ν̄ ἢ λαθυρίδες κ̄ ἢ λ̄ ἢ εὐφορβίου κεράτια ε̄ ἢ ζ̄ ἢ λεπίδος χαλκοῦ ∠ β̄ ἢ γ̄ μετὰ ψιχῶν ἀναληφθεῖςαι καὶ καταπότια γενόμεναι ἢ τῆς ἀκτῆς τῆς ῥίζης τοῦ φλοιοῦ ὁ χυλὸς ποθεὶς μετὰ κονδίτου ἢ χαμελαίας φύλλων καὶ χαλκοῦ κεκαυμένου καὶ ἀνίςου τὸ ἴςον· δίδου ἐν ὕδατι, κατ᾽ ἀρχὰς μὲν ∠ ᾱ, διαςτήςας δὲ καὶ β̄ καὶ πλείω. καὶ ταῦτα δὲ θαυμαςτὰ καταπότια· ἀλόης, εὐφορβίου, κόκκου Κνιδίου ἀνὰ 𐅻 ᾱ, ῥέου 𐅻 ∟΄· ἀνάλαμβανε χυλῷ κράμβης καὶ πλάςςε καταπότια· δίδου κεράτια ζ̄ ἢ θ̄. καὶ ἡ διὰ τοῦ καρυοφύλλου δὲ ἀντίδοτος ὕδωρ ἄγει θαυμαςτῶς. καὶ οἶνον δὲ πειρατέον αὐτοῖς ὑδραγωγὸν διδόναι, ἔςτι δὲ κάλλιςτος οὗτος· ςκίλλης 𐅻 γ̄, ςελίνου ςπέρματος, καππάρεως ῥίζης φλοιοῦ, πεπέρεως ἀνὰ ∠ δ̄, κόκκου Κνιδίου λελεπιςμένου ∠ ᾱ, φύλλου ∠ ᾱ, μαλαβάθρου ςφαιρία β̄, οἴνου καλλίςτου κοτύλαι ιβ̄, μέλιτος ὠμοῦ λι. ς̄· κόψας ςήςας ἔμβρεχε τῷ οἴνῳ, τὴν δὲ ςκίλλαν ςυλλέαινε· ἡ δόςις κύαθοι γ̄. μετὰ δὲ τὴν τοῦ ὑγροῦ κένωςιν καὶ θηριακῇ χρηςτέον· καὶ τοῦ βολβίτου δὲ καυθέντος ὅςον κοχλιάριον δι᾽ οἴνου πινόμενον καθ᾽ ἡμέραν μεγάλως ὀνίνηςι. καὶ κλύςμαςι δὲ χρηςτέον δριμυτέροις, πλὴν εἰ μὴ τὰ τῆς γαςτρὸς αὐτομάτως ἐξυγραίνοιτο· τηνικαῦτα γὰρ μᾶλλον ἐπιξηραίνειν αὐτὴν προςήκει. ἐπὶ δὲ γυναικῶν ὑδρωπιωςῶν καὶ πεςςῷ χρηςτέον τῷδε· ἀνίςου, καρδαμώμου, κυμίνου, νίτρου, ἀριςτολοχίας, τήλεως, γλήχωνος, ςύκων τοῦ ἐντὸς ἴςα ςουςίνῳ ἀναληφθέντα προςτιθέςθω. μετὰ δὲ ταῦτα καὶ τοῖς αὐτοφυέςι χρηςτέον ὕδαςιν ἐπιμόνως 4 καὶ τῷ ψαμμιςμῷ, τῶν δὲ ἄλλων λουτρῶν αὐτοὺς ἀφεκτέον· εἰ δέ ποτε καὶ λούοιντο, χρήςθωςαν ἐν τῷ λουτρῷ τοῖς διὰ νίτρου τε καὶ ἁλῶν καὶ νάπυος τιτάνου τε καὶ τῶν παραπληςίων ἐμπάςμαςι. ταῦτα

μη΄ 4 *cf. Alexander Trall. II 455 sqq.; Aëtius X 31*

2 κύαμον] κύμινον K: κύαμ D  ἡμ γ̄ D  τρεῖς *om.* AE  3 δὲ *om.* D  διὰ τοῦ] δι᾽ D  5 μ̄] ἢ μ̄ K  6 κεράτια] κ D  ἢ *(quart.) om. a*  7 καὶ] καὶ ἐπιτεθεῖςαι ἢ καὶ D  γενόμεναι] AEHKM*a*: *comp.* DG: *om.* F: γενόμενα BC  8 τοῦ] ἢ τοῦ D  ὁ χυλὸς] χυ D  φύλλα D  9 καὶ *(alt.) om.* B  10 θαυμάςια D  11 ῥέου] ἴρεως D  ∟΄] τὸ ∟΄ ADE: ᾱ ∟΄ F  12 χυλὸν K  πλάττων D  κεράτια] κ D  θ̄] ε̄ D  13 δὲ *om. a*  καὶ *om. a*  14 δὲ *(pr.)*] τε K  οὗτος *om.* K  15 ςπέρμα CDGK  ῥίζαν D  16 ∠ ᾱ *(pr.) om.* D  ∠ *(tert.)*] ἀνὰ ∠ D  17 κοτύλαι] ABEHM*a*: κ CDGK: κοχλιάρια F  λίτρας BHKM  ςείςας AGK: ςίςας E: et cernens *a*  18 τῷ *om.* D  κύαθοι] uero coclearia *a*  19 καὶ *(pr.)*] *om. a*: καὶ τῇ DK  τοῦ *(alt.) om.* E  22 ἐξυγραίνοιτο αὐτομάτως τὸ τηνικαῦτα D  23 προςήκειν K  ὑδρωπιωςῶν] D: ὑδροπιοςῶν H: ὑδρωπιουςῶν ABCEFGKM  καὶ *om. a*  πεςςῶν K  24 τῷδε] τῷ δι᾽ D  καρδαμώμου] καὶ καρδαμώμου D  25 ἴςα ςουςίνῳ] DB[3], *mrg.* C[2]: ἴςου οἴνῳ K: ἴςα ςιςούνῳ ABCEFGHM*a*  26 χρηςτέον ὕδαςιν] λουτροῖς καὶ ὕδαςι (ὕδατι F) δοτέον CFG  27 καὶ τῷ] κάτω K  28 καὶ *(pr.) om. a*  τε *om.* E  καὶ *(alt.)* . . . τε *(29) om.* D

μέν γε καὶ χωρὶς λουτροῦ χρήσιμα ξηρά τε καὶ σὺν ἐλαίῳ τῇ γαστρὶ προστριβόμενα, ἐπὶ δὲ τῶν ἀνὰ σάρκα καὶ τοῖς λοιποῖς μέρεσι, γυμναζέσθωσάν τε, καθ' ὅσον οἷόν τε, καὶ ξηροτριβείσθωσαν ἐν ἡλίῳ· καὶ ἡ λοιπὴ δὲ δίαιτα ξηραντικωτέρα παραλαμβανέσθω. ταρίχους οὖν ἐσθιέτωσαν καὶ νᾶπυ καὶ σκόρδα καὶ τῶν ὀρνέων τὰ ἄγρια καὶ ξηρὰ καὶ λαχάνων ἀσπάραγον, γιγγίδια, πράσα, σινήπια, καυκαλίδας καὶ τὰ λοιπὰ τῶν ἀγρίων· καὶ τῶν ἁλῶν τῶν θηριακῶν ἢ τῶν Ἰαμβλίχου τοῖς ὄψοις ἐπιμιγνύτωσαν οἴνῳ τε χρήσθωσαν παλαιῷ, λεπτῷ, διουρητικῷ, εἰ δὲ παρείη, τεθαλασσωμένῳ, ἀπεχόμενοι πλείονος μὲν πόματος παντός, ὕδατος δὲ τὸ παράπαν.

5 σὺν πυρετῷ δὲ συνισταμένου τοῦ ὕδρωπος τῶν μὲν θερμοτέρων καὶ δριμυτέρων ἐδεσμάτων τε καὶ βοηθημάτων ἀφεκτέον, ἐπιμίκτως δὲ τούτοις χρηστέον πρὸς τὸ κατεπεῖγον ἐνισταμένους. ἐπὶ δὲ τοῦ τυμπανίου τά τε καθαρτικὰ καὶ τὰ τοῦ ὅλου σώματος συντηκτικὰ περιαιρετέον καὶ τῶν διουρητικῶν τὰ δραστήρια, τοῖς δὲ λεπτύνειν τε καὶ διαφορεῖν τὰ πνεύματα δυναμένοις ἔσωθέν τε καὶ ἔξωθεν χρηστέον καὶ σικύας κούφας κολλητέον συνεχῶς κατὰ πάσης τῆς γαστρός. τοὺς δὲ τὸν ἀσκίτην ἔχοντας, εἰ μὴ τοῖς εἰρημένοις ὑπείξοιεν βοηθήμασιν, ἐπὶ τὴν παρακέντησιν ἀκτέον οὐδενὶ τῶν ἄλλων ὑδέρων ἁρμόζουσαν.

## μθ'. Περὶ σπληνός.

1 Τοῦ σπληνὸς ἕλκειν πεφυκότος ἀπὸ τοῦ ἥπατος τὸν μελαγχολικὸν χυμόν, ὅστις οἷον ἰλύς ἐστι τοῦ αἵματος, εἰ μὲν ἡ ἑλκτικὴ τούτου δύναμις ἀσθενήσοι, ἢ ὁ πόρος ἐμφραχθείη, δι' οὗ τοῦτο πρότερον εἵλκετο, μέλας ἴκτερος συνίσταται τοῦ αἵματος ἀκαθάρτου παρ' ὅλον φερομένου τὸ σῶμα. ἀλλ' εἰ μὲν βάρος καὶ διάτασις εἴη κατὰ τὸν σπλῆνα ἢ καὶ ὀδύνη, ἔμφραξις δηλοῦται, εἰ δὲ μηδὲν τούτων, ἀσθένεια τῆς ἑλκτικῆς. ἔμετος δὲ τῆς μελαίνης γινόμενος χολῆς ἄνευ πυρετοῦ καὶ τῆς ἄλλης κακοηθείας τὴν καθεκτικὴν τοῦ σπληνὸς ἀσθενεῖν δηλοῖ δύναμιν. ἡ δὲ τῆς ἀποκριτικῆς αὐτοῦ ἀσθένεια τὴν ἀνορεξίαν οἴσει μηκέτι φερομένου τοῦ μελαγχολικοῦ περιττώματος παρὰ τὸ στόμα τῆς γαστρὸς καὶ τὴν

μη' 5 *cf. Alexander Trall. II 459 sq.*

20 ABDEGHKM*a*(F)

1 καὶ *(alt.)*] *om. a*: *eras.* B  2 τῶν] τοῦ CFG  ἀνασάρκων M  3 καθ' . . . τε *om.* D  4 λαμβανέσθω E  τάριχος D  5 σκόροδα DK  6 γιγγίδια] CDGK: γιγγίδα ABEFHM*a*  σίνηπι D  7 ἢ] et *a*  τοῖς] ἢ τοῖς D  8 χρησάσθωσαν E  9 πλείονος] CDFGK: πλέονος ABEHM  πόματος *om.* F  παντός] πάντως D: *om. a*  11 μὲν *om. a*  12 ἐπιμίκτοις D  13 ἐνιστάμενος D  17 καὶ] *in ras.* B: ἢ EFH  κολλητέον] CDFGK*a*: χρηστέον ABEHM: χολητέον B[3]  18 ὑπείξειεν CF: ὑπείξειε K  19 ὑδέρων *om.* D  20 hinc neglexi C  21. 22 τὸν μελαγχολικὸν χυμὸν ἀπὸ τοῦ ἥπατος D  22 αἵματος] σώματος AE, *corr.* E[2]  23 ἀσθενήσῃ K  ὁ] DFG: *om.* ABEHKM  25 εἴη] ἢ K  26 μηδὲν] μηδὲν εἴη D  28 καθελκτικὴν K  ἀσθενεῖν] *corr. ex* ἀσθενῆ DK  ἀσθενεῖν δηλοῖ δύναμιν] DFGK: δηλοῖ δύναμιν ἀσθενεῖν ABEHM*a*  ἡ] εἰ AEF, *corr.* E[2]

ὄρεξιν ἐπεγείροντος. ἐμφραττομένου δὲ κατ᾽ αὐτὸν τὸν σπλῆνα τοῦ
μελαγχολικοῦ χυμοῦ πρῶτον μὲν φλεγμονὴ τούτου γίνεται τῇ τε ζέσει
καὶ τῇ ὀδύνῃ καὶ τῇ τάσει δηλουμένη, ὕστερον δὲ καὶ εἰς σκίρρον
μεταπίπτει τοῦ μὲν ζέοντος καὶ ὀδυνηροῦ παυσαμένου, μένοντος δὲ
τοῦ ὄγκου καὶ τῆς σκληρίας. τούτοις οὖν καὶ τὸ στόμα δυσῶδες γίνε-
ται, καὶ τὰ οὖλα διαβιβρώσκεται, καὶ τὰ ἐν τοῖς σκέλεσιν ἕλκη ἀκατ-
ούλωτα μένει· ἐφ᾽ οἷς συμπαθήσαντος τοῦ ἥπατος, ὡς ἔφαμεν, ὕδερος
γίνεται. τὰς μὲν οὖν δυσκρασίας αὐτοῦ παραπλησίως ταῖς τοῦ ἥπατος
θεραπεύσομεν, φλεγμονῆς δὲ παρούσης φλεβοτομητέον αὐτοὺς ἀπ᾽ ἀγ-
κῶνος ἀριστεροῦ ἢ κατὰ τὴν ἄκραν χεῖρα διὰ τὸ ἐκ μακροτέρου δια-
στήματος γίνεσθαι τὴν ἀντίσπασιν ἢ διά τινα φυσικὴν συγγένειαν. εἶτα 2
καταπλαστέον διὰ τῶν λεπτυνόντων ἄνευ τοῦ σαφῶς θερμαίνειν παρα-
πλέκοντάς τινα καὶ νῦν τῶν στυφόντων· τοιοῦτον δέ ἐστιν αὐτοφυῶς
τὸ καλούμενον ἁλὸς ἄνθος. ἔστι δὲ καὶ τοῦτο θαυμαστὸν τὸ κατά-
πλασμα· τήλεως 𐅻 δ̅, κριθίνου, καρδαμώμου ἀνὰ 𐅻 α̅, σύκων λιπαρῶν
λι. α̅, περιστερεῶνος πόας ξηρᾶς 𐅻 α̅· τὰ σῦκα δεῖ ἀποβρέχειν ὄξει
δριμυτάτῳ καὶ ἕψειν μετὰ τῶν ἄλλων ἤδη προκεκομμένων κἄπειτα
αὖθις ἕψειν. ἤγουν κόπρον αἰγείαν μετὰ ὠμῆς λύσεως ἑψήσας ἐν ὀξυ-
κράτῳ κατάπλασσε· ἐχέτω δέ, εἰ βούλει, καὶ τοῦ ἁλὸς ἄνθους. προ-
πυριῶντα δὲ τῷ κυπρίνῳ μετ᾽ ὀλίγου ὄξους χρῆσθαι τοῖς μαλάγμασι
πρῶτον μὲν τοῖς ἁπλουστέροις, ὁποῖόν ἐστι τοῦτο· κηροῦ λι. α̅ ∠′, ταυ-
ρείου λι. α̅, νίτρου 𐅻 γ̅, τερεβινθίνης, ἄγνου σπέρματος, καππάρεως ῥί-
ζης φλοιοῦ ἀνὰ 𐅻 ε̅· ἑψήσας τὰ τηκτὰ ἔμπασον τὰ ξηρά· καὶ τὸ Νει-
λέως δὲ κάλλιστον. τῆς δὲ φλεγμονῆς ἐπὶ τὸ σκιρρῶδες μεταπιπτούσης
τοῖς ἰσχυροτέροις χρηστέον, ὥστε καὶ τὴν ἐπιφάνειαν ἀμύσσεσθαι, οἷόν
ἐστι τό τε διὰ τῶν σπυράθων τῶν αἰγείων καὶ τὸ κίτρινον, ἐπὶ τού-
τοις δὲ τό τε Μαχαιρίωνος καὶ τὸ τοῦ κουρέως καὶ τὸ διὰ δαφνίδων
καὶ τὸ διὰ ἰτεῶν. τοῦτο δὲ καὶ αὐτὸς πειράσας ἐπέτυχον· ἀρσενικοῦ
𐅻 β̅, σανδαράχης 𐅻 β̅, τερεβινθίνης 𐅻 ς̅, πίσσης ξηρᾶς λι. α̅, χαλβάνης
𐅻 α̅, ὀποπάνακος 𐅻 α̅, καππάρεως ῥίζης φλοιοῦ, μυροβαλάνου, ἀμμω-
νιακοῦ θυμιάματος ἀνὰ 𐅻 δ̅, ναρδίνου ἢ κυπρίνου 𐅻 ε̅. καὶ τὸ ἀμμω- 3
νιακὸν δὲ σὺν ὄξει ἐπιχριόμενον κατὰ σπληνὸς πολλάκις ὤνησεν· καὶ
πινόμενον δὲ ὅσον γρ. γ̅ ἢ δ̅ σὺν γράμματι καστορίου ἐν τῇ ἐμβάσει

7 ἔφαμεν] *p. 255, 7 sqq.* μθ′ 2—3 *Oribasius, Synops. IX 23 = Ad Eunap. IV 99; cf. Aëtius X 9—11*

1 αὐτὸν *om. a* 3 ὕστερον δὲ *om. a* 6 βιβρώσκεται K 11 διάσπασιν K ἢ] DFGK: ἢ καὶ ABEHM*a* τινα] τὴν K 13 καὶ νῦν] *om.* A: καὶ D τοιοῦτο K: τοιαῦτα D δὲ *om. a* 15 σύκων . . . 𐅻 α̅ *(16) om.* D 17 συνέψειν D προκειμένων F: προκημένων H 18 αὖθις] statim *a* ἤγουν] ἢ D 19 ἄνθους] DF: ἄνθος ABEGHKM*a* 20 κεχρῆσθαι B 21 ∠′ *om.* FH ταυρείου] *e corr.* M: ταυρίου ABEFGHK*a*: κενταυρίου D 22 σπέρματος] DFM[3]: *comp.* G: σπέρμα ABEHKM: seminis et *a* 23 ἔμπασσε D: ἔμπασε F 25 ὥστε . . . ἀμύσσεσθαι *om.* D 26 τῶν *(pr.) om.* DE τῶν αἰγείων] αἰγῶν D 29 𐅻 β̅ *(pr.) om.* DFG*a* 𐅻 *(sec.)*] ἀνὰ 𐅻 DFG*a* 30 𐅻 α̅ *(pr.) om.* DFG 𐅻 *(alt.)*] ἀνὰ 𐅻 DFG 32 κατὰ] κατὰ τοῦ D 33 γράμματι] γρ α̅ D

τοῦ λουτροῦ προμαςηςαμένων αὐτῶν ἰςχάδα καὶ ἀποπτυςάντων ἢ ἀμμωνιακοῦ μέρη β̄, καςτορίου μέρος ᾱ· δίδου < ᾱ. ταῦτα καὶ τοὺς ςκιρρωθέντας ὀνίνηςιν, ὥςπερ καὶ ὁ τῆς καππάρεως φλοιὸς ὄξει λειωθεὶς καὶ καταπλαςθείς, ὃς δὴ καὶ πινόμενος δι' ὄξους ἢ ὀξυμέλιτος κενοῖ παχεῖς καὶ γλίςχρους χυμούς, ἔςθ' ὅτε δὲ καὶ αἷμα. καὶ ὁ τῆς ἰτέας φλοιὸς ὁμοίως καταχρίεται, καὶ ἡ τέφρα τῶν χαλκείων καταπλαττομένη ςὺν ὠμῇ λύςει δι' ὀξυμέλιτος, καὶ ὁ τοῦ κενταυρίου χυλὸς ἔξωθεν ἐπιτιθέμενος καὶ πινόμενος καὶ θέρμων πικρῶν τὸ ἀφέψημα μετὰ πηγάνου καὶ πεπέρεως πινόμενον καὶ τὸ ἄλευρον. αὐτῶν καταπλαττόμενον καὶ ὕδωρ, ἐν ᾧ πολλάκις ἐναπεςβέςθη ςίδηρος, πυρέςςουςι καθ' ἑαυτὸ διδόμενον κύαθοι γ̄, ἀπυρέτοις δὲ μετ' οἴνου καὶ μετ' ὄξους κύαθος ᾱ, ἢ λαπάθου ἀγρίου ῥίζης μετὰ ςκίλλης τριώβολον ἢ χαμαίδρυος ἢ ἑρπύλλου ὀξύβαφον, πάντα μετ' ὀξυμέλιτος· ἀναγαλλίδος τῆς τὸ κυανὸν ἄνθος ἐχούςης χυλοῦ διώβολον πότιζε μετ' ὀξυκράτου ἢ ὄξος ςκιλλητικὸν ἢ ὀξύμελι. ςύνθετα δὲ ταῦτα· πάνακος ῥίζης, ἀμμωνιακοῦ θυμιάματος, καππάρεως ῥίζης φλοιοῦ, ςτρουθίου, ςκίλλης ὀπτῆς τοῦ ἐντὸς ἴςα· δίδου < ᾱ· ποιεῖ καὶ ἀςθματικοῖς καὶ ὑδρωπικοῖς.

Ἄλλο. μυρίκης καρποῦ < δ̄, πεπέρεως < δ̄, ναρδοςτάχυος < β̄, ἀμμωνιακοῦ θυμιάματος < β̄· λείου ὄξει ςκιλλητικῷ καὶ δίδου < ᾱ ὀξυμέλιτι.

## 4 Πρὸς ἐςκιρρωμένον ςπλῆνα.

Κυκλαμίνου < κ̄, βρυωνίας < γ̄, δικτάμνου < β̄, ςκίλλης ὀπτῆς < η̄, ςτρουθίου < ς̄, καππάρεως ῥίζης < ς̄· δίδου τροχίςκον τριωβολιαῖον ἐν ὀξυμέλιτι. καὶ ὁ δι' ἐρείκης δὲ τροχίςκος ἐπιτήδειός ἐςτι. τροφαὶ δὲ τούτοις λεπτυντικαί, δριμεῖαι, ξηραί, καὶ ποτὸν ὀλίγιςτον, γυμνάςιά τε καὶ τρίψεις καὶ ςιναπιςμοὶ παραλαμβανέςθωςαν, ἔςθ' ὅτε δὲ καὶ ςικύαι μετ' ἐγχαράξεως.

μθ' 4 *cf. Aëtius X 13*

1 προαπομαςηςαμένων D ἰςχάδων FG 2 μέρη] μ D μέρος] μ D 4 δι'] μετ' H ἢ] καὶ D*a* 5 ἔςθ' . . . φλοιὸς *(6) om.* D δέ] δὴ K 7 δι'] et *a* 8 τὸ] τε K 9 ἁλμυρὸν K 10 πυρέςςουςι *om.* D 11 κύαθοι] *a*: *comp.* ABDEFGHM: κυάθων K 12 κύαθος] *comp.* ABDEFGHM: κύαθον K*a* ἀγρίας K τριώβολον] H: τριωβόλου *e corr.* D: τριόβολον ABEFGKM 13 μετ'] D: ἢ ABEFGHKM*a* 14 κυανοῦν D χυλῷ D 14. 15 ὄξους ςκιλλητικοῦ D 15 ἢ ὀξύμελι *om.* D 17 καὶ *(pr.)*] δὲ καὶ FG καὶ *(alt.) om. a* 18 Ἄλλο *om.* EK < δ̄ *(pr.) om.* DF < *(sec.)*] ἀνὰ < DF < β̄ *om.* D*a* 19 θυμιάματος *om.* E < *(pr.)*] ἀνὰ < D*a* ςκιλλητικῷ *om.* E ὀξυμέλιτι *om.* D 21 Πρὸς] *om.* K: πε M 22 δικτάμου AE*a*, *corr.* A 23 < ς̄ *(pr.) om.* D*a* < *(alt.)*] ἀνὰ < D*a* τριώβολον D: τριοβολαῖον H: τριοβόλιον K ἐν] DK*a*: *om.* ABEFGHM 25 δριμεῖαι] καὶ δριμεῖαι DF 26 ςιναπιςμὸς K παραλαμβανέτωςαν FG

## ν΄. Περὶ ἰκτέρου.

Ὁ μὲν ἴκτερος ἀνάχυσίς ἐστι χολῆς ἐν ὅλῳ τῷ σώματι γινομένη, 1 ποτὲ μὲν μελαίνης, περὶ ἧς ἐν τοῖς σπληνικοῖς εἴπομεν, ποτὲ δὲ τῆς ξανθῆς· διαφοραὶ δὲ τούτων πλείονές εἰσιν, ὧν αἰτίαι τε καὶ διαγνώσεις αὗται· εἰ μὲν γὰρ ἐπὶ πυρεκτικῇ νόσῳ ἀθρόως γεγονὼς ὁ ἴκτερος ἀποπαύσοι τὸν πυρετόν, κριτικός ἐστιν ἐκ τοῦ βάθους ἔξω μεταστάσης τῆς ὕλης συνεστηκὼς οὐδὲ φαρμακείας δεόμενος, ἀλλ' ἐπὶ λουτροῖς καὶ μετρίᾳ τρίψει ταχέως ἀποκαθιστάμενος· εἰ δὲ σὺν πυρετῷ γίνοιτο καὶ χολώδεσι διαχωρήμασι, βάρους μὲν ὄντος κατὰ τὸ δεξιὸν ὑποχόνδριον φλεγμονὴ ζέουσα δηλοῦται τοῦ ἥπατος, δι' ἣν ἐκχολούμενον τὸ αἷμα καθ' ὅλον τὸ σῶμα φέρεται, χωρὶς δὲ βάρους ζέσεως οὔσης ἐν αὐτῷ διὰ δυσκρασίαν μόνην θερμὴν τοῦ ἥπατος τὸ πάθος συνίσταται· εἰ δὲ χωρὶς πυρετοῦ γίνοιτο λευκῶν ὑπαρχόντων τῶν διαχωρημάτων, τῆς χοληδόχου κύστεως δηλοῦται τὸ πάθος ἤτοι τῶν πόρων αὐτῆς, βάρους μὲν ὄντος κατὰ τὸ δεξιὸν ὑποχόνδριον ἐμπεφραγμένων, ἄνευ δὲ τούτου κατὰ δύναμιν ἀσθενούντων ἤτοι τὴν ἑλκτικὴν τοῦ ἐξ ἥπατος ἕλκοντος ἢ τὴν ἀποκριτικὴν τοῦ ἐξωθοῦντος εἰς ἔντερα· μὴ καθαιρόμενον γὰρ τὸ αἷμα χολῶδες εἰς ὅλον ἀναδίδοται τὸ σῶμα, καθάπερ ἐπὶ τοῦ μέλανος ἐλέγομεν ἰκτέρου. εὐθὺς δὲ τούτοις καὶ τὰ οὖρα χολωδέστατα κατακόρως ἐκδίδοται. γίνεται δὲ ἴκτερος καὶ διὰ δυσκρασίαν θερμὴν τῶν στερεῶν σωμάτων εἰς χολὴν μεταβαλλόντων τὸ λόγῳ τροφῆς αὐτοῖς φερόμενον, ὥσπερ εἰς φλεγματικὴν ὑγρότητα ἐπὶ τῶν ἀνὰ σάρκα συνισταμένων ὑδέρων ἡ μεταβολὴ γίνεται· διαγνωστέον δὲ τὸν τοιοῦτον ἴκτερον ἐκ τοῦ μὴ ἀθρόως ἀλλὰ κατὰ μέρος γίνεσθαι μηδενὸς τῶν εἰρημένων παρόντος. καὶ διὰ πόσιν δὲ δηλητηρίου φαρμάκου καὶ διὰ ἰὸν ἔξωθεν ἔκ τινος ἰοβόλου προσπίπτοντα συνίσταται τὸ ἰκτερικὸν πάθος.

Τῆς μὲν οὖν θερμῆς δυσκρασίας τοῦ ἥπατος καὶ τῆς φλεγμονῆς 2 αὐτοῦ καὶ τῆς τῶν δυνάμεων ἀσθενείας τὴν θεραπείαν ἔμπροσθεν ἐν τῷ περὶ αὐτοῦ λόγῳ διήλθομεν, ἣν καὶ ἀπαραλλάκτως ἐνταῦθα μετενεκτέον, ἵνα μὴ ταυτολογῶμεν. ἐμπεφραγμένων δὲ τῶν πόρων τῆς χοληδόχου κύστεως ἀμφοτέρων ἢ καὶ θατέρου μόνον φλεβοτομητέον αὐτοὺς ἀπ' ἀγκῶνος δεξιοῦ· τινὲς δὲ καὶ τούτων καὶ τῶν διὰ φλεγμονὴν τοῦ ἥπατος ἰκτερικῶν τὴν ἐγγὺς τοῦ μικροῦ δακτύλου τῆς δεξιᾶς χειρὸς τέμνουσι φλέβα. καταπλάσμασι δὲ τοῖς ἀφλεγμάντοις χρηστέον, καὶ διὰ τῆς ἱερᾶς αὐτοὺς καθαρτέον, ἐπιτήδειοι δὲ καὶ οἱ κλυστῆρες.

ν΄ *cf. Aëtius* X 17—18    3 εἴπομεν] *p. 258, 21 sqq.*    19 ἐλέγομεν] *p. 258, 24*    29 ἔμπροσθεν] *cap.* μϛ΄

4 τούτοις D    ὧν] ὧν αἱ E    καὶ] καὶ αἱ E    5 μὲν *om. a*    7 δεόμενον K    8 δὲ] δὲ καὶ A    γένοιτο D: γίγνοιτο EHK    13 γίγνοιτο HK    16 κατὰ] κατὰ τὴν D    17 ἢ] DFGK: ἤτοι ABEHM    19 τούτοις *om.* K    καὶ *om. a*    22 προσφερόμενον D    εἰς] οὖν εἰς D    23 ὑφισταμένων D: *om. a*    29 ἐν *om.* M    32 καὶ] κα M: *om. a*    φλεβοτομεῖν D    34 δακτυλίου E, -ί- *ins.* M³    36 κλυστῆρες] DFGM³: καυστῆρες BHKM: καυτῆρες AE*a*, *e corr.* B

προποτιστέον δὲ τοὺς ἰκτερικοὺς cελίνου ἢ ἀδιάντου ἢ λαπάθου ἢ ἑρπύλλου ἀποτριτωθέντων ἀφέψημα, ἢ ἀψίνθιον ἔμπαςςε τῷ ποτῷ. ἄκρως δὲ ποιεῖ ῥαφάνου χυλός, κύαθοι β̄ μετ' οἴνου κυάθου ᾱ ποτιζόμενοι, καὶ χυλὸς κιχωρίου, κύαθοι β̄ ἢ γ̄ κατ' ἰδίαν καὶ μετ' οἴνου. τοὺς δὲ ἐπὶ φλεγμονῇ τοῦ ἥπατος ἰκτερικοὺς πότιζε οἰνομέλιτι ἢ ἀφεψήματι ἀριστολοχίας λεπτῆς ἢ ὑπερικοῦ ἢ ἀδιάντου ἢ cτρουθίου ἢ ἐρυθροδάνου ὁμοίως, ἢ κέρατος ἐλαφείου ῥινήματος ∠ ᾱ μετ' οἴνου ἢ cταφυλίνου ἐν οἴνῳ ἑψηθέντος εἰς ἀποτρίτωςιν τὸ ἀφέψημα ἢ θείου ἀπύρου ∠ ᾱ ἐν ᾠοῖς ῥοφείτωςαν· ταῦτα καὶ τοὺς ἐπὶ ἐμφράξει μεγάλως ὠφελεῖ. τοῦ δὲ cπέρματος τῆς ἀτραφάξυος γρ. η̄ μετὰ χρυςαττίκου ἢ ἄλλου γλυκέος ἐν τῇ ἐμβάςει πινόμενα κένωςιν ἱκανὴν ἐργάζεται. καλῶς δὲ ἂν ἡ πικρὰ δοθείη ἥ τε ξηρὰ καὶ ἡ δι' ὀξυμέλιτος καὶ ἡ θεοδώρητος καὶ ὁ διὰ τῶν πικρῶν ἀμυγδάλων τροχίςκος. δίδου καὶ κιναμώμου ὅcον τοῖς τριςὶ δακτύλοις ἆραι ἐν οἰνομέλιτος κυάθῳ ᾱ ἢ ὕδατι κεκραμένον ἢ cμύρνης κυάμου μέγεθος μετὰ πεπέρεως κόκκων ε̄ ἴcου τε κιναμώμου.

3 τοὺς δὲ διὰ θερμὴν δυςκραςίαν τῶν cτερεῶν ἰκτεριῶντας ἁπαλαῖς τρίψεςι καὶ γυμναςίοις ςυμμέτροις καὶ ἀλοιφῇ καὶ λουτροῖς ἀκτέον καὶ τῇ ὑγραινούςῃ τε καὶ μετρίως ἐμψυχούςῃ τροφῇ, χυλοῦ πτιςάνης καὶ ἰντύβων καὶ cέρεως καὶ τῶν κιχωρίων ἰχθύων τε καὶ οἴνου λεπτοῦ ὑδαροῦς.

περὶ δὲ τῶν ἐπὶ δηλητηρίου πόςεςιν ἢ ἐπὶ δήξεςιν ἰοβόλων εἰς τὸ πάθος ἐλθόντων κατὰ τὸ πέμπτον εἰρήςεται βιβλίον.

ἐναπειλημμένης δὲ χολῆς περὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόςωπον ἐλατηρίου ὀροβιαῖον μέγεθος μετὰ γάλακτος γυναικείου ἔνςταζε τῇ ῥινὶ ἐν βαλανείῳ καὶ εὐθέως καθίει εἰς τὴν ἔμβαςιν κελεύων μὴ καταδύειν τὴν κεφαλήν, καὶ μετὰ τὸ λουτρὸν ἀναληπτικῶς διαιτήςας αὖθις ἔγχει τὸ ἔρρινον ἐν ἡλίῳ. ποιεῖ καὶ κυκλαμίνου χυλὸς καὶ πραςίου καὶ μελανθίου. καὶ ὄξος δὲ δριμύτατον ἀνελκέτω ταῖς ῥιςὶν ἱςτάμενος ἐν τῇ

3—29 *cf. Oribasius, Ad Eunap. IV 98*

1 δὲ *om. a* 2 ἀφεψήματι D 3 ῥαφανίου E, -ι- *ins.* M² χυλός] F*a*: *comp.* ADEGHKM: χυλῷ B κύαθοι] *a*: *comp.* ADEFGHKM *et in ras.* B ποτιζόμενος D 4 χυλὸς] *a*: χυλῷ F: χυλοῦ A: *comp.* BDEGHKM 7 ὁμοίως] ABEHM*a*: *om.* D ὁμοίως . . . οἴνου *om.* FGK ἢ *(pr.) om. a* 9 ταῦτα] ἢ ἐρυθροδάνου ὁμοίως ἢ κέρατος (κέρας FG) ἐλαφίου (ἐλαφείου G) ῥινήματος ∠ ᾱ μετ' οἴνου ταῦτα FGK ταῦτα καὶ] ταὐτὸν D 10 γρ. η̄ *om.* FG ἢ] ἢ μετὰ D: οἴνου ἢ F 11 δὲ] δ' *postea ins.* B: δὲ καὶ D 12 ἥ τε] εἴτε K: aut *a* καὶ *(pr.)*] aut *a* 13 καὶ *(alt.)*] δὲ καὶ D 14 οἰνομέλιτι DFK: *comp.* E κεκραμένον] *scripsi*: κεκραμένῳ DEFGHM*a*: κεκραμμένῳ BK: κρεμαμένῳ A 15 κυάμου] κυάθου K ἴcου] ADEHKM: ἴcον BFG*a* 17 ἰκτεριῶντας] D: ἰκτεριοῦντας ABEFGHKM 19 ὑγραινούςῃ] DE²M³: ὑγιαινούςῃ ABEFGHKM*a* χυλοῦ] *a*: *comp.* ABF: τε χυλὸν K: τε χυλῷ G: τε χ^υ HM: ἤτοι χ^υ *e corr.* E²: τῇ τε διὰ χυλοῦ D καὶ *(alt.)*] καὶ τῇ δι' D 22 δηλητηρίων D 26 καθίειν M: καθιεὶς D: καθείη BH κέλευε D 27 τοῦ λουτροῦ FG 28 καὶ *(pr.)*] DFGK: δὲ καὶ ABEHM*a* ὁ χυλὸς τῆς κυκλαμίνου D 29 ἐν τῇ ἐμβάςει ἱςτάμενος K

ἐμβάσει καὶ κρατείτω τοὺς μυκτῆρας ἕως ὀλίγου, καὶ θαυμαστῶς κενωθήσεται.

## να΄. Περὶ προπτώσεως ὀμφαλοῦ.

Τὴν μὲν αἰτίαν καὶ τὴν χειρουργικὴν θεραπείαν τῆς τῶν ὀμφαλῶν ἐξοχῆς ἐν τοῖς χειρουργουμένοις ἐροῦμεν· ἐπειδὴ δέ τινες καὶ διὰ φαρμακείας εἰς τὸ κατὰ φύσιν ἐπανῆλθον, ταύτην ἐνταῦθα λεκτέον. στυπτηρίας σχιστῆς < ε̅, τρυγὸς οἴνου < η̅, ῥοδίνου < ι̅, κηκίδων ὀμφακίνων < β̅· οἴνῳ διεὶς καὶ μέλιτος ποιήσας πάχος ἐπίβρεχε ἔξωθεν ἐπιρρίπτων σπογγάριον ὀξυκράτῳ δεδευμένον καὶ ταινιδίῳ καταλάμβανε.

Ἄλλο. ἐρεγμοῦ λεπύρων καὶ κηκίδων καὶ βαλαυστίου τὸ ἴσον· ἕψε ἐν ὕδατι, ὅταν δὲ διαλυθῇ, τρίψας ἐπιμελῶς ἐπιτίθει σὺν τῷ σπόγγῳ, καθάπερ προείρηται.

Ἄλλο. μολίβδου ῥινήματος < ι̅ϛ̅, κωνείου, μάννης, ψιμυθίου, ὑποκιστίδος χυλοῦ ἀνὰ < α̅· οἴνῳ διαλύσας χρῶ, καθὰ προείρηται.

## νβ΄. Πρὸς τὸ ἀνήβους καὶ ἀγενείους ἐπὶ πολὺ μένειν καὶ πρὸς τὰς τῶν μορίων καὶ διδύμων φυλακάς· ἐν ταὐτῷ δὲ καὶ ψίλωθρα.

Κιμωλίας γῆς καὶ ψιμυθίου τὸ ἴσον· ἀναλάμβανε ὑοσκυάμου χυλῷ, 1
ὥστε σχεῖν γλοιοῦ πάχος, εἶτα ἐπιβάλλων ἐλαίου σχινίνου, ὅσον ἐξαρκεῖ, ἀνάκοπτε καὶ χρῶ.

Ἄλλο. Κωνείου χυλὸν καὶ στρύχνου καὶ ὑοσκυάμου καὶ θέρμου τῶν ἁπαλωτάτων φύλλων καὶ ψυλλίου τὸ ἴσον· τρίψας χρῶ πρότερον ἀποσμήξας καὶ λούσας· δεῖ δὲ πρὶν ἡμέρας ὑδροποτεῖν.

### Ψίλωθρον ἀφανιστικὸν τριχῶν. 2

Ὀνίσκων κατοικιδίων τῶν σφαιρουμένων < β̅, σανδαράχης < δ̅, ἀσβέστου < η̅, ὄξους παλαιοῦ κύαθον α̅, κονίας συκίνης κοτύλην α̅· ἕψε ἐν χύτρᾳ καὶ χρῶ ἐν βαλανείῳ.

να΄ *Galenus XIV 463 sq.* 5 ἐροῦμεν] *VI 51* 25—27 *Aëtius VI 63*

1 τοὺς] καὶ τοὺς B 3 πτώσεως ABHM*a* 4 χειρουργικὴν] χειρουργίαν καὶ D 7 τρυγὸς οἴνου] tartaru *a* 8 οἴνῳ] DFGK*a*: οἴνου ABEHM 9 σπόγγον D: σπογγάριν M καταλαμβάνων D 10—12 *om.* G: *post lin. 14* D 10 βαλαυστίων DF ἕψει D 12 καθὼς D 13 μολιβδίνου FG κωνείου] DF: κωνίου ABEGHKM(*a*) μάννης *om. a* 14 καθὼς D · 15 ἀνήβους *et* ἀγενείους permutat *a* 16 τῶν μορίων καὶ *om. a* μορίων] αἰδοίων E ταὐτῷ δὲ] hoc *a* 19 σχεῖν] ABDEHM: ἔχειν FGK ἐπιβαλὼν DF 21 κωνείου] DFKM: κωνίου ABEGH(*a*) θέρμων E 23 *nonne* ἡμέρας ⟨γ̅⟩ *vel sim.*? 24 ψίλωθρα ἀφανιστικὰ D 26 κύαθον . . . συκίνης *om.* D κοτύλην] κ° ABEFGHM: κ°χ D*a*: *om.* K α̅ *om.* K α̅ . . . μέρη *(pr. p. 264, 1) om.* H ἕψει D 27 καὶ] μετὰ κονίας συκίνης D

Ἄλλο. ἀσβέστου κονίας μέρη β̅, ἀρσενικοῦ μέρη β̅, Κιμωλίας μέρος α̅· ἑψήσας ἐν ὕδατι χρῶ, ὡς εἴρηται.

Ἄλλο ἁπλοῦν καὶ ἄοσμον. κονίας ἀσβέστου ℥ α̅, σανδαράχης Ϝ α̅· ἕψε, ὡς εἴρηται, καὶ χρῶ.

τὰ δὲ ἄτριχα ἐν τοῖς ὀφθαλμικοῖς εἴρηται.

## νγʹ. Περὶ βουβωνοκήλης καὶ ἐντεροκήλης καὶ ὑδροκήλης.

**1** Αἱ μὲν κατὰ ῥῆξιν τοῦ περιτοναίου γινόμεναι κατολισθήσεις τῶν ἐντέρων χαλεπαὶ λίαν εἰσίν, αἱ δὲ διὰ ἀραίωσιν εὐιατότεραι τοῖς παιδίοις μᾶλλον ὡς ὑγροτέροις συμβαίνουσαι, καὶ πολλὰ πάνυ χωρὶς χειρουργίας διά τε τῶν ἐπιτιθεμένων φαρμάκων καὶ τῆς προσηκούσης ἐπιδέσεως ἐθεραπεύθησαν. χρηστέον ταῖς ὑπογεγραμμέναις δυνάμεσιν τοῦτο μόνον ἡμῶν προσθέντων, ὡς μόνῳ τῷ τόπῳ τὰ πάθη διαφέρουσιν· ἔτι μὲν γὰρ ἄνω κατὰ τὸν βουβῶνα τοῦ ἐντέρου μένοντος βουβωνοκήλη, κάτω δὲ πρὸς ὄσχεον ἤδη κατενεχθέντος ἐντεροκήλη προσαγορεύεται. σιδίων τοίνυν < ι̅, κηκῖδος ὄμφακος < ε̅, ἑψήσας ἐν οἴνῳ αὐστηρῷ κυάθοις γ̅ λεάνας τε ἐπιτίθει προανατρίψας τὸ ἔντερον καὶ προκαταντλήσας ὕδατι ψυχρῷ ἐπίλυε δι᾽ ἡμερῶν ι̅ μένοντος ἐπὶ κλίνης τοῦ θεραπευομένου ἐπὶ λ̅ ἡμέρας καὶ πίνοντος κυπαρίσσου ἀφέψημα μετὰ οἴνου ἢ σφαιρίων κυπαρίσσου τριώβολον ἐν κράματι· τὸ δὲ φάρμακον ἐπὶ παίδων ποιεῖ.

Ἄλλο. ἀνακόλλημα· συμφύτου ῥίζης, πρασίου χυλοῦ, ἀμυγδάλων πικρῶν, κόμμεως ἴσα.

Ἄλλο. τερεβινθίνης Ϝ α̅ ∠ʹ, κηροῦ, λιβάνου, σμύρνης, ἰχθυοκόλλης, κοχλιῶν σὺν τοῖς ὀστράκοις ἀνὰ Ϝ α̅· τὴν ἰχθυόκολλαν ὄξει πρόβρεχε ἡμέραις τρισίν.

Ἄλλο. κυπαρίσσου σφαιρίων Ϝ α̅ ∠ʹ, κηκίδων Ϝ α̅, σιδίων Ϝ ∠ʹ, ταυροκόλλης Ϝ γ̅, μάννης λιβάνου Ϝ ∠ʹ, συμφύτου Ϝ ∠ʹ, κοχλιῶν σὺν τοῖς ὀστράκοις Ϝ α̅· τὰ σφαιρία καὶ τὰ σίδια οἴνῳ στύφοντι ἑψήσας ἐπὶ πολὺ καὶ λειώσας μῖξον τὰ λοιπὰ καὶ ἀναλαβὼν χρῶ.

Ἄλλο. ἀλόης, σιδίων, λιβάνου, ὑποκιστίδος χυλοῦ, κόλλης τεκτονικῆς, πίσσης, ἀσφάλτου ἀνὰ Ϝ α̅ ∠ʹ, οἴνου γλυκέος τὸ ἀρκοῦν.

1—4 *Galenus XII 454 sq.; Aëtius VI 64* 5 εἴρηται] κβʹ *19*
23—31 *cf. Aëtius XIV 24*

2 ἐν *om.* K 4 ἕψει D 5 *om. a* 7 κατολισθήσεις] κάτω αἰσθήσεις K 9 πολλαὶ D 11 ταῖς] οὖν ταῖς D: δὲ ταῖς J[2] 12 τῷ τόπῳ *om.* K 13 ἔτι μὲν] est *a* 15 ε̅] ι̅ D οἴνῳ αὐστηρῷ] *mut. in* οἴνου αὐστηροῦ D 16 κυάθους D*a* τε *om.* D 17 ψυχρῷ] χρῶ FG 18 ἡμ^ε λ̅ K κυπαρίσσων DF 19 τὸ δὲ] *corr. ex* τὸ B: hoc *a* 21 Ἄλλο *om.* D 25 ἡμέρας EM, *corr.* M: ἡμ^ε DK τρισίν] γ̅ DK 26—31 *om.* D 26 ∠ʹ *(alt.)*] α̅ H: ∠ʹ κοχλιῶν σὺν τοῖς ὀστράκοις Ϝ α̅ E 27 Ϝ *(sec.)*] Ϝ α̅ AE: ἀνὰ Ϝ F κοχλιῶν . . . α̅ *(28) om.* E 28 καὶ *om.* FG

Ἕτερον ποικιλώτερον· ποιεῖ καὶ τελείοις τοῖς μὴ χρονίσασιν. 2

Χρυσοκόλλης, ταυροκόλλης, σαρκοκόλλης, ἰχθυοκόλλης, λίθου γαγάτου, λίθου αἱματίτου, ῥοῦ Συριακοῦ, ῥοῦ βυρσοδεψικοῦ, ἀκακίας ἀνὰ Ϝ α̅ L′, λίθου πυρίτου ἀπύρου, μάγνητος τοῦ φυσῶντος, στυπτηρίας σχιστῆς, μάννης λιβάνου ἀνὰ Ϝ α̅, πίσσης Βρυττίας Ϝ ε̅, κοχλιῶν μετὰ τῶν ὀστράκων Ϝ α̅, ἑλκύσματος Ϝ δ̅, κηκίδων Ϝ α̅, λεπίδος στομώματος Ϝ α̅, χαλκοῦ Ϝ α̅, ἀσφάλτου Ϝ ς̅, μυρσινάτου τὸ ἀρκοῦν· οἴνῳ στύφοντι τὰ ξηρὰ ἀναλαβὼν ἀμολύντῳ χρῶ.

εἰ δὲ μὴ καρτερῶσι κεῖσθαι, τῷ τριγώνῳ τούτους ἐπιδέσμῳ παχυτέρῳ καὶ δυναμένῳ πιλοῦν τὸ ἔντερον ἀσφαλῶς ἐπιδεσμεῖν. ἀπεχέσθωσαν δὲ φυσωδῶν τροφῶν καὶ οἴνου πλείονος καὶ συνεχῶν βαλανείων καὶ συντόνου κινήσεως, οἷον δρόμου, πηδήσεως, βοῆς καὶ τῶν παραπλησίων.

Πρὸς ὑδροκήλας, ὥστε κενῶσαι τὸ ὑγρόν. 3

Πεπέρεως κόκκους ρ̅, δαφνοκόκκων < π̅, νίτρου < κ̅, κηροῦ < μ̅· ἐλαίου κοτύλη L′ ἀναλαβὼν χρῶ.

Ἄλλο κάλλιστον. λίθου Ἀσίου ἄνθους < ις̅, σταφίδος ἐκγιγαρτισθείσης < λβ̅, κυμίνου Αἰθιοπικοῦ < η̅, νίτρου ἐρυθροῦ < η̅· λειώσας ἐπίθες πυριῶν ὀψὲ καὶ πρωί· τινὲς καὶ θείου < η̅.

Ἄλλο. ἄσβεστον γλοιῷ ἀναλαβὼν ἐπιτίθει σὺν κηρωτῇ καὶ βραχὺ νίτρου μῖξον τῇ ἀσβέστῳ.

Ἄλλο. ῥίζας κράμβης καύσας ἀναλάμβανε τὴν σποδιὰν στέατι χοιρείῳ παλαιῷ τετηκότι, ἐπίλυε δὲ διὰ τρίτης.

πρὸς δὲ τὸ μὴ πάνυ συλλογὴν ὑγροῦ γενέσθαι χρῶ μαλάγματι τούτῳ· κηροῦ λι. β̅ L′, πίσσης Ϝ δ̅, ἀμμωνιακοῦ θυμιάματος Ϝ δ̅, στυπτηρίας ὑγρᾶς Ϝ α̅ L′· ποιεῖ δὲ καὶ ἡ δι᾽ αἰγείρων καὶ αἱ λοιπαὶ ἐπισπαστικαί.

## νδ′. Περὶ φλεγμονῆς διδύμου καὶ ὀσχέου καὶ πρὸς ἕτερα αὐτῶν πάθη.

Τοῦ μὲν ὀσχέου τὴν φλεγμονὴν διαγνωστέον ἐκ τοῦ κατὰ τὴν 1 πρώτην τῆς χειρὸς ψαῦσιν αὐτοὺς ὀδυνᾶσθαι κἀκ τοῦ τὴν πυράκτωσιν

2—8 *cf. Aëtius XIV 24*  23—26 *Aëtius XIV 22*  νδ′ 1—2 *cf. Aëtius XIV 21*

1 Ἕτερον] ἄλλο D  ποιεῖ] ὃ ποιεῖ D  καὶ] καὶ τοῖς K  2 σαρκοκόλλης *om.* B  3 λίθου *om.* AE  ῥοῦ *(alt.)*] DFG: *om.* ABEHKM*a* 4 πυρίτιδος D  ἀπύρου *om. a*  μαγνίτου AE: μαγνήτιδος D  τῆς φυσώσης D  5 βηρυτίας D  ε̅] *corr. ex* α̅ M[3]  κοχλιῶν . . . α̅ *(6 alt.) om.* E 6 Ϝ α̅ *(alt.) om.* D  7 Ϝ α̅ *(pr.) om.* D  Ϝ *(sec.)*] ἀνὰ Ϝ D  8 ἀμολύντως DF  9 καρτεροῖεν D  τούτοις FG  12 τόνου K  τῶν] τῶν τούτοις D  15 < *(pr.) om.* AE*a*  κ̅] η̅ DFG  16 κοτύλη] κ° ABDEG HKM: κ/ F: coclearío *a*  17 κάλλιστον *om.* EF  λίθου . . . Ἄλλο *(22) om.* D  ἄνθος E  19 πρωὶ καὶ ὀψέ A  τινὲς] τινὲς δὲ M  20 βραχεῖ H 23 δὲ *om.* K  25 L′ *om.* K  Ϝ δ̅ *(pr.) om.* D*a*  Ϝ *(alt.)*] ἀνὰ Ϝ D*a* 28 διδύμων EFG

καὶ τὴν σκληρίαν ἐπιτεταμένα φαίνεσθαι· τοῦ δὲ διδύμου φλεγμαίνοντος οὐδὲ πρὸς τὴν ἐλαφρὰν ψαῦσιν ὀδυνῶνται, ἀλλ' ἐπερειδομένων τῶν δακτύλων, καὶ τὸ ἔρευθος ἥ τε σκληρότης αὐτοῖς κατὰ τὴν ἐπιφάνειαν ἧσσον φαίνεται, τῇ δὲ ἐπερείσει σκληρία κατὰ τὸ βάθος ὑπαντᾷ, καὶ πυρετὸς ἔσθ' ὅτε γίνεται.

2 ἰδίως μὲν οὖν ταῖς τῶν διδύμων φλεγμοναῖς ἁρμόζει φλεβοτομία κατὰ τὸ σφυρόν, κοινῶς δὲ πάσαις τά τε καταπλάσματα καὶ κηρωταί. καταπλαστέον τοίνυν αὐτοὺς κυαμίνῳ ἀλεύρῳ ἡψημένῳ ἐν κράματι μετὰ σταφίδων λιπαρῶν ἐκγιγαρτισθεισῶν, καὶ κυμίνου ἢ ἀσφοδέλου ῥίζαν ἑψήσας καὶ λεάνας μίσγε παλῇ ἀλφίτου ἴσῃ καὶ κατάπλασσε ἢ λινόσπερμον ἐν κράματι ἢ τῆλιν ἐν μελικράτῳ ἢ κρίνου ῥίζαν ἐν μελικράτῳ ἢ τρυγὶ προσφάτῳ οἴνου μετὰ παλῆς ἀλφίτου ἢ ἠριγέροντα ἢ κορίαννον χλωρὸν μετὰ σταφίδων ἐξῃρημένων τὰ γίγαρτα. εἰ δὲ πολλὴ ἡ πύρωσις εἴη, φύλλοις ὑοσκυάμου σὺν ἀλεύρῳ πυρίνῳ ἢ ἐξ ἐρεβίνθων κατάπλασσε ἢ καλάμου φύλλοις ἢ κολοκύνθῃ ὠμῇ. χρονίου δὲ τῆς διαθέσεως οὔσης μετὰ σκληρίας σικύου ἀγρίου ῥίζαν ἑψήσας ἐν μελικράτῳ καὶ λειοτριβήσας μετὰ αἰρίνου ἀλεύρου κατάπλαττε. καὶ τοῦτο δὲ καλὸν βοήθημα· σταφίδων ἐκγιγαρτισθεισῶν ℔ ε̅, ἐρεβίνθων ἐκζεσθέντων ℔ α̅ ∠′, κυμίνου ℔ α̅, θείου ℔ θ̅, νίτρου ℔ α̅, ῥητίνης ℔ γ̅ ∠′· λείου πάντα σὺν μέλιτι καὶ καταπλάσματι χρῶ. κηρωταὶ δὲ αὗται· ἐλαίου κύαθος α̅, κολοφωνίας ℔ ς̅, μολυβδαίνης, κυμίνου, σταφίδων, κυαμίνου ἀλεύρου ἀνὰ ℔ δ̅, κηροῦ ℔ β̅· ἕψε τὴν μολύβδαιναν σὺν τῷ ἐλαίῳ ἕως ποσῆς συστάσεως, εἶτα ἐπίβαλλε κηρὸν καὶ ῥητίνην καὶ ἐπάρας ἀπὸ τοῦ πυρὸς ἡμιψυγὲς ἐπίχει ταῖς σταφῖσι λείαις καὶ τοῖς ἀλεύροις.

Ἄλλο. ἐλαίου ἀνηθίνου καὶ ῥοδίνου, κηροῦ, πιτυΐνης ἀνὰ ℔ ε̅, κυμίνου ℔ β̅ ∠′, ὀνίδα κόπρον ℔ α̅ ∠′· λείου σὺν τῇ ὀνίδι τὸ κύμινον καὶ ψυγείσης τῆς κηρωτῆς μίσγε καὶ συλλείου, εἶτα θεὶς ἐν ῥάκει χρῶ ἄνωθεν ἐπιθεὶς ἔριον ἐλαίου ὀμφακίνου, ἢ βουτύρῳ καὶ ῥητίνῃ ἴσοις χρῶ.

3 ἐὰν δὲ ἀπὸ ἱδρώτων ἕλκη ἐν ὀσχέῳ γένηται, κηκῖδα λείαν ἢ στυπτηρίαν ἐπίπασσε λίπει καὶ τραγείᾳ χολῇ καὶ περίχριε.

8—10 *cf. Oribasius, Synops. IX 36 = Ad Eunap. IV 103* 28—30 *Oribasius, Synops. IX 35 = Ad Eunap. IV 102*

1 ἐπιτεταμένας ? δὲ *om. a* 2 οὔτε D 3 καὶ] *ras.* D αὐτοῖς] DK: αὐτῆς ABEFGHM: *om. a* 4 ἥσσων ABEFM ἐπερείσει] *om.* F: ἐπερείσει δήσει K: πιλήσει ἡ D 7 κηρωτή K 9 καὶ *om.* M 10 πάλιν DG ἴσῳ D: ἴσα FG καὶ *(alt.)*] DFG: *supra add.* B: *om.* AEHKM*a* 12 τρυγὴ K: τρύγα D*a*: τρυγὸς F προσφάτου DFK: recentem *a* παιπάλης D ἢ *(sec.) om.* A ἢ *(tert.)*] D*a*: *om.* ABEFGHKM 14 ἡ] D: *om.* ABEFGHKM εἴη] ἢ D ἢ] et *a* 16 ῥίζας D 19 γ̅ *om.* D 20 καταπλάσμασι D κ^υ ABDEFHKM: κ^ο G: ciatum *a* 21 καλοφ^α D 22 ἕψει D: ἕψαι F σὺν τῷ] εὐτόνως ἐν D ποσῆς *om.* D 25—p. 267, 5 *om.* D 26 κόπρου E *et e corr.* M σὺν τῇ] αὐτῇ AE 27 ψυγεῖσαν τὴν κηρωτὴν FG, *e corr.* B συλλείου] psillium *a* 28 ἐπιτιθεὶς FG: ἐπιτίθει E ἐλαίου] ex oleo *a* ἴσως F: ἴσον E 29 κικῖδι K ἢ] et *a*

πρὸς δὲ τοὺς ἀφθῶντας διδύμους γῆν Κιμωλίαν μεθ' ὕδατος προκαταχρίσας ἔασον ξηρανθῆναι καὶ κατανίψας ὕδατι θερμῷ μυρσίνην ξηρὰν καὶ σμυρνίου μικρὸν τρίψας κατάπλασσε.

τὰς δὲ ἐκσαρκώσεις τὰς ἐπὶ τῶν διδύμων τέφρα κληματίνη νίτρῳ καὶ ὕδατι φυραθεῖσα ἰᾶται καταπλασσομένη.

κνησμοῦ δὲ περὶ ὄσχεον ὄντος νίτρον, σταφίδα ἀγρίαν, στυπτηρίαν ὑγρὰν ὄξει λειοτριβήσας καὶ ῥοδίνῳ κατάχριε ἐν βαλανείῳ, μετὰ δὲ τὸ λούσασθαι κατάχριε ᾠοῦ τὸ λευκὸν μετὰ μέλιτος.

## νε'. Περὶ γονορροίας καὶ ὀνειρωγμοῦ.

Ἡ γονόρροια σπέρματός ἐστιν ἀκούσιος ἀπόκρισις συνεχῶς γινομένη χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως διὰ τὴν τῆς καθεκτικῆς δυνάμεως ἀσθένειαν γινομένη· ἐφ' ἧς ἁρμόζει ἐφ' ἡσυχίας τηρεῖν σκέποντας τήν τε ὀσφὺν καὶ τὰ ἐφήβαια πιλήμασι δι' οἴνου καὶ μηλίνου ἢ οἰνανθίνου, ἑξῆς δὲ καταπλάσσειν τοῖς διὰ φοινίκων, μήλων, οἰνάνθης, ἀκακίας τε καὶ ὑποκιστίδος καὶ ῥοὸς καὶ τῶν ὁμοίων, ἐγκαθίζειν τε σχίνου καὶ βάτου καὶ τῶν παραπλησίων ἐν οἴνῳ ἀφεψήμασιν ἢ καὶ ὕδατι καὶ τροφαῖς χρῆσθαι ἀναξηραντικαῖς. μετὰ δὲ τοὺς πρώτους χρόνους ἄγειν ἐπὶ γυμναστικὴν ἀγωγήν, δι' ἧς τό τε ὅλον σῶμα καὶ τὰ πεπονθότα μέρη εἰς ῥῶσιν περιαχθήσεται.

πρὸς δὲ τὸν τοῦ σπέρματος πλεονασμὸν ἐν τοῖς ὑγιεινοῖς αὐτάρκως εἴρηται κατὰ τὸ πρῶτον βιβλίον, ἔνθα καὶ πρὸς τοὺς μὴ δυναμένους συνουσιάζειν γέγραπται καὶ πρὸς ὀνειρωγμούς. προσωφελοίη δ' ἂν αὐτοὺς καὶ στρωμνὴ ψυχροτέρα καὶ κατάκλισις σώματος ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερά, καὶ ὅσα φάρμακα ψυχρὰ ὑποχριόμενα τῇ ὀσφύι, ὁποῖά ἐστι τό τε κορίαννον καὶ κώνειον καὶ τὸ ψιμύθιον καὶ ἀνδράχνη, πάντα δὲ μετ' ὄξους.

## νϛ'. Περὶ σατυριάσεως.

Ἡ σατυρίασις παλμός ἐστι τοῦ αἰδοίου φλεγμονώδει τινὶ διαθέσει τῶν σπερματικῶν ἀγγείων ἑπόμενος μετ' ἐντάσεως· καὶ εἰ μὴ παύσαιτο

1—8 *cf. Aëtius XIV 20* 1—5 *Oribasius, Synops. IX 36 = Ad Eunap. IV 103* νε' *cf. Aëtius XI 33—34* 10—11 *Oribasius, Synops. IX 37* 21 εἴρηται] *I 38* 22 γέγραπται] *I 36* 22—26 *Oribasius, Synops. IX 38* νϛ' *Oribasius, Synops. IX 37; cf. Aëtius XI 32*

2 κατανίψας] FG: κατάνιψαι ABEHKM*a* μυρσίνην] et mirsinum *a* 8 τῷ λευκῷ D 10 ἔκκρισις D 14 δὲ *om. a* κατάπλαττε D 15 τε καὶ *om.* D καὶ ῥοός] ῥοῦ D: et malo granato *a* 16 οἴνου F ἀφεψημένων D καὶ *(tert.) om.* D*a* 17 ὕδατι] DK*a*: ὕδασι BEFGM: ὕδασιν AH χρῆσθαι] DFGK: χρήσασθαι ABEHM 18 γυμναστικῆς ἀγωγῆς D διαγωγήν FG τε τὸ K 19 ἀχθήσεται D 23 αὐτοὺς καὶ *om. a* κλίσις D 24 ἐπ'] *om.* FG*a*: ἐπὶ D ψυχρὰ *om.* E 25 τὸ *(alt.) om.* G 28 παλμός ἐστι] DFGK: ἐστι(ν) παλμὸς ABEHM*a* 29 ἐντάσεως BHM, *corr.* B παύσοιτο D

ὁ παλμόϲ, καταϲκήπτειν εἴωθεν εἰϲ πάρεϲιν τῶν ϲπερματικῶν ἀγγείων ἢ ϲπαϲμόν, καὶ ἀπόλλυνται ὀξέωϲ οἱ ϲπαϲθέντεϲ, τελευτῶντεϲ δὲ φυϲῶνται γαϲτέρα καὶ ἱδροῦϲι ψυχρόν· ἔϲτι δὲ τὸ νόϲημα ϲπάνιον μέν, καὶ γυναιξὶ δὲ ϲυμβαῖνον.

φλεβοτομεῖν οὖν αὐτίκα καὶ δίαιταν ἐφεξῆϲ λεπτήν τε καὶ ἄοινον ἐπιτρέπειν καὶ καθῆραι μὲν ἰϲχυρῶϲ μηδέποτε, ἡϲυχῇ δέ. ἄριϲτον μὲν οὖν ἐϲτι τεῦτλον καὶ μαλάχη καὶ τῆϲ λινοζώϲτεωϲ ὀλίγον καὶ τῶν κογχαρίων ὁ ζωμόϲ· οὐ κάκιον δὲ καὶ ἁπλῶϲ κλύζειν. τὰϲ δὲ οὐρητικὰϲ δυνάμειϲ φυλακτέον. ἐπιφέρειν δὲ καὶ τῇ ὀϲφύι τῶν ψυχόντων, οἷον ϲτρύχνου χυλὸν ἢ ἀνδράχνηϲ ἢ ὑοϲκυάμου ἢ κωνείου. ἀναγκαῖον δὲ καὶ τὸν καυλὸν καὶ τὸν περίνεον τῶν πραϋνόντων ψυκτηρίων καταχρίειν τινί, οἷον λιθαργύρῳ, Κιμωλίᾳ, ψιμυθίῳ, ὄξει διειμένοιϲ ἢ ὕδατι ἢ οἴνῳ γλυκεῖ ἢ ϲιραίῳ. ὕπτιον δὲ ἀναπαύεϲθαι βλαβερόν. πίνειν δὲ τὴν τῆϲ νυμφαίαϲ ῥίζαν καὶ ἶριν καὶ ἀδίαντον· τοῦ δὲ πηγάνου ϲυμφέροι ἂν καὶ τῷ γονορροϊκῷ καὶ τῷ ϲατυριῶντι. τροφὴν δὲ διδόναι ϲιτώδη ὀλίγην καὶ δίψει πιέζειν. ἐπιμένοντοϲ δὲ τοῦ πάθουϲ ϲικυαϲτέον μετὰ καταϲχαϲμοῦ· εἰ δὲ πλῆθοϲ παρακέοιτο, καὶ βδέλλαιϲ κενοῦν καὶ τὰϲ κοιλίαϲ ὠμῇ λύϲει καταπλάϲϲειν.

## νζ΄. Περὶ πριαπιϲμοῦ.

Ὁ πριαπιϲμόϲ ἐϲτιν αὔξηϲιϲ αἰδοίου μόνιμοϲ εἰϲ μῆκόϲ τε καὶ κύκλον ὀγκουμένου χωρὶϲ ὁρμῆϲ τῆϲ πρὸϲ ἀφροδίϲια· φυϲῶδεϲ δέ ἐϲτι δηλονότι πνεῦμα τὸ ἐξογκοῦν τὸ μόριον τικτόμενον ἐξ ὑγρῶν [καὶ] γλίϲχρων καὶ παχέων ὑπὸ θερμότητοϲ μετρίαϲ. πρόδηλον οὖν, ὡϲ οὐ δεῖ τὰ μόρια θερμαίνειν, ἀλλὰ ψύχειν ἐπιεικῶϲ τῇ ῥοδίνῃ κηρωτῇ μεθ' ὕδατοϲ ἀνακοπτομένῃ καὶ διὰ τοῦ χαμαιμήλου τῷ τε αἰδοίῳ καὶ ταῖϲ ψόαιϲ ἐπιτιθέντα. τὴν δίαιταν καὶ φάρμακα προϲάγειν τῆϲ λεπτυνούϲηϲ δυνάμεωϲ ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶϲ, προϲάγειν δὲ καὶ τὰ φυϲικῶϲ ἐνεργοῦντα τὰ διὰ τῆϲ πείραϲ εὑρημένα. τήν τε οὖν νυμφαίαν πίνειν

νζ΄ *Oribasius, Synops. IX 39 = Ad Eunap. IV 104; cf. Alexander Trall. II 499 sq.; Aëtius XI 32*

3 μέν *om. a* 4 δὲ] DK: *om.* ABEFGHM*a* ϲυμβαίνειν FG 5 ἐφεξῆϲ] K: *om.* ABDEFGHM*a* τε *om.* D 6 καθῆραι] *Or*: καθ' ἡμέραν ABDEFGHKM*a* μὲν *(pr.)*] μένον K: δὲ F: *om. a*: μὲν μηδέποτε *Or* ἰϲχυρῶϲ . . . δέ] ἰϲχνοῦν δὲ ἡϲυχῇ *Or* μηδέποτε] μηδέποτε δὲ DK*a*: δὲ *add. mrg.* B δέ] *om.* DFG*a*: *in ras.* B μὲν *(alt.) om.* K*a* 8 ξυϲμόϲ AE κακὸν DF διουρητικὰϲ D*a* 9 ψυχόντων] ψυχόντων τινά D 11 καὶ *(pr.) om.* K 12 ἢ] D(F?)G*a*: *supra scr.* B$^3$: *om.* ABEHKM 14 piganum uero *a* δὲ *(alt.)*] τε D πηγάνου] πηγάνου λαμβάνειν D 16 ὀλίγην] ὅλην K 17 παράκειται DFG 18 καταπλάττειν DFG 20 αὔξηϲιϲ αἰδοίου ἐϲτὶ D 21 χωρὶϲ] D: χωρὶϲ τῆϲ ABEFGHKM τῆϲ *om.* D δέ] τε DH ἐϲτι . . . μόριον *(22)*] ἐϲτι τὸ μόριον δηλονότι $\overline{\text{πνϲ}}$ ἐκεῖ D 22 πνεῦμα] *corr. ex* $\overline{\text{πνϲ}}$ F: πνεύματοϲ G τὸ *(pr.) om.* G τικτομένου D καὶ *om. Or* 23 καὶ παχέων] humoribus *a*: καὶ παχέων χυμῶν DK οὖν] D: *om.* ABEFGHKM*a* 25 τοῦ] τοῦτο K τῷ . . . προϲάγειν *(26)*] ὅϲα τε D 26 ἐπιθέντα EM διαίρεϲιν FG 27 ἐπιφανῶϲ] DK: φανερῶϲ ABEFGHM 28 εὑρημένα] DFGB$^3$: εἰρημένα ABEHKM*a* πίνειν καὶ *om.* D

καὶ τούτοις διδόναι καὶ τὸ τοῦ ἄγνου σπέρμα καὶ πηγάνου χλωροῦ τοῖς ὄψοις μιγνύντα· τοῦτο δὲ κατ᾽ ἀρχὰς μὴ διδόναι (θερμαίνει γὰρ ἱκανῶς), ἀλλ᾽ ὕστερον μετὰ τὴν χρῆσιν τῶν ἄλλων λεπτυνόντων. κενώσει δὲ χρώμενον δι᾽ ἐμέτων τοῦτο ποιεῖν· αἱ γὰρ διὰ τῆς κάτω γαστρὸς ῥευματίζουσι πολλάκις γειτνιῶντα τὰ μόρια. καὶ γυμνασίαν δὲ καὶ τρῖψιν παραληπτέον πρὸς τὴν τῶν πνευμάτων διαφόρησιν. οὐδενὶ τῶν εἰρημένων ἁρμόζει συνουσία, πλὴν ἐφ᾽ ὧν διὰ τὴν ταύτης ἀποχὴν πλεονάζειν στοχαζόμεθα.

## νη΄. Περὶ ἀπράκτων μορίων.

Οἱ τοῦτο τὸ πάθος ἔχοντες οὐχ ὁρμῶσι πρὸς ἀφροδίσια καὶ ἄθυμοι διὰ τοῦτο γίνονται· αἰτία δὲ τούτων ἢ τῶν μορίων παράλυσις ἢ σπέρματος ἔνδεια. τῶν τε οὖν γεννητικῶν τοῦ σπέρματος ἐν τοῖς ὑγιεινοῖς κατὰ τὸ πρῶτον βιβλίον εἰρημένων καὶ τῶν παρορμώντων εἰς συνουσίαν κατὰ τὴν ἁπλῆν δύναμιν νυνὶ τὰ ἰσχυρότερα προσθετέον. κοινῶς μὲν οὖν τοῖς πρὸς παράλυσιν ἀκόποις κἀνταῦθα χρηστέον· ἰδίως δὲ καύσας ἀσκαλαβώτην λειοτρίβησον, εἶτα ἐπιβαλὼν ἔλαιον χρῖσον τοῦ δεξιοῦ ποδὸς τὸν μέγαν δάκτυλον καὶ συγγίνου· εἰ δὲ βούλει παύσασθαι, ἀπόπλυνον τὸν δάκτυλον. καὶ τὸ διὰ τῶν ἀσκαλαβωτῶν δὲ πολυμίγματον φάρμακον τῶν δραστηρίων ἐστί. προποτίζειν δὲ τοῖς ἐντατικοῖς, οἷόν ἐστι πρῶτον τοῦτο· πεπέρεως, κωναρίων, πετροσελίνου, ἐλαφείου αἰδοίου ῥινήματος, τερεβινθίνης ἴσα· μέλιτι ἀναλάμβανε.

Ἄλλο. ἐρεβίνθων ὠμῶν, κωναρίων ἀνὰ ℔ β̄, εὐζώμου, πεπέρεως ἀνὰ ℔ ᾱ· μέλιτι δίδου δίδραχμον σὺν οἴνῳ.

καὶ ἡ σατυριακὴ λεγομένη πολυσύνθετος ἁρμόσει καὶ τὰ τούτοις παραπλήσια. σκοπεῖν δὲ καὶ τὰς ἄλλας τοῦ πάθους αἰτίας καὶ κατάλληλον αὐταῖς ἐπιφέρειν τὴν διόρθωσιν.

## νθ΄. Αἰδοιικὰ καὶ ἑδρικά.

Τὰ ἐν αἰδοίοις ἕλκη καὶ τὰ κατὰ τὴν ἕδραν χωρὶς φλεγμονῆς 1 ὄντα ξηραινόντων πάνυ δεῖται φαρμάκων, οἷά ἐστι τό τε διὰ τοῦ κεκαυμένου χάρτου καὶ ἄνηθον κεκαυμένον ξηρὸν καὶ κολοκύνθη κε-

13 εἰρημένων] *I 35—36* 19—23 *Galenus XIV 487 sq.* 28 — p. 270, 6 *Oribasius, Synops. IX 34 = Ad Eunap. IV 101*

1 καὶ *(sec.) om. a* 2 piganum uiride *a* 4 δέ] τε FG τοῦτο ποιεῖν] ποιεῖν τοῦτο K: bibere hoc *a*: τοῦτο δὲ ποιεῖν μάλιστα μετὰ τροφήν FGJ[2] 8 πλεονάζειν] τὸ σπέρμα πλεονάζειν FGJ[2]: τὸ σπέρμα *post* πλεονάζειν *ins.* M[3] 11 αἰτίαι FGK 14 νυνὶ *om.* D ἰσχυρὰ E προσθεκτέον M 17 συγγίγνου ABHM: συνγίνου K 18 τὸ *om.* K 20 ἐνστατικοῖς B, *sed corr.*: συντακτικοῖς K οἷόν] ὧν D κωναρίων] κ̊/ κ̄ κοκκοναρίων D 22—26 *om.* D 22 ἀνὰ ℔] ʒ *a* 23 ℔] ʒ *a* 28 τὰ *(alt.) om.* FK χωρὶς] χωρὶς μὲν D 29 πάνυ *om.* FG τοῦ *om.* E 30 ἀνήθου κεκαυμένου D ξηρίον D κολοκύνθης D: κολοκύντη FGK κεκαυμένης D

καυμένη. τοῖς δὲ ἀνίκμοις καὶ προσφάτοις τῶν ἑλκῶν καὶ ἡ ἀλόη φάρμακον ἀγαθόν ἐστιν ἐπιπαττομένη ξηρὰ χνοώδης· πάντων δὲ αὐτῶν ἀνωδυνώτατόν τε καὶ οὐδενὸς ἧττον δραστήριον ὁ πομφόλυξ ἐστίν. εἰ δὲ ὑγρότερα τύχοι τὰ ἕλκη, πίτυος φλοιὸς καθ' ἑαυτὸν καὶ λίθος αἱματίτης· εἰ δὲ καὶ βάθος αὐτοῖς τι συνείη, τοῖς εἰρημένοις μάννης μικτέον. νομῆς δὲ οὔσης καταπλαστέον φακῇ μετὰ σιδίων καὶ τῷ κοράκῳ δι' ὀξυμέλιτος προσαγορευομένῳ χρηστέον τῷ τε Βιθυνῷ καὶ τῷ διὰ χάρτου. ῥαγάδας δὲ τὰς ἐν αἰδοίοις καὶ ἕδρᾳ ὠφελεῖ ῥητίνη φρυκτὴ σὺν ῥοδίνῳ τριβεῖσα, ὥστε γενέσθαι γλοιῶδες, μιγνυμένου καὶ ᾠοῦ λεκίθου καὶ ὀπίου, ἢ κισσοῦ φύλλων ξηρῶν κεκαυμένων ἡ τέφρα τριβεῖσα σὺν ῥοδίνῳ ἐν μολυβδίνῃ θυΐᾳ προσφερέσθω. καὶ ὁ δι' οἰνελαίου δὲ τροχίσκος καὶ τὸ λιθοφρύγιον πάνυ καλά εἰσι πρός τε ῥαγάδας καὶ τὰ περὶ τὴν στεφάνην ῥυπαρὰ ἕλκη, καὶ μάλιστα ὅταν ἀποσύρειν μὴ δύνανται.

2 Ἕτερον ἀπουλοῦν καὶ τὰς δριμύτητας ἀμβλῦνον.

Καδμίας κεκαυμένης καὶ πεπλυμένης 𐅻 β, ῥόδων ἀπωνυχισμένων τῶν φύλλων 𐅻 ϛ· ξηρὸν ἐπίπασσε προαπονίπτων οἴνῳ.

πρὸς δὲ τὰ κονδυλώματα· χαλκίτεως, ὑσσώπου κηρωτῆς, μυελοῦ ἐλαφείου, βάτου φύλλων ἴσα μετὰ κηρωτῆς, καὶ ὁ δι' οἰνελαίου ὁμοίως.

εἰ δὲ κατὰ τὸν καυλὸν ἔνδον τῆς τοῦ αἰδοίου τρήσεως ἀφανὲς ἕλκος γένηται, γινώσκεται ἐκ τοῦ πῦον ἢ αἷμα κενοῦσθαι χωρὶς οὐρήσεως. θεραπεύεται δὲ πρῶτον μὲν ὑδαρεῖ μελικράτῳ κλυζόμενον, ἔπειτα δὲ γάλακτι, κἄπειτα μίξαντας τῷ γάλακτι τὸ τοῦ ἀστέρος κολλούριον ἢ τὸν λευκὸν τροχίσκον ἢ τὸν διὰ λωταρίων ἐν μολυβδίνῃ θυΐᾳ παραπέμπειν ἤγουν καὶ πτερὸν βάψαντας διαχρίειν, εἶτα λεπτὸν στρεπτὸν χρίσαντας ἐνθεῖναι. κάλλιστον δέ ἐστι καὶ τὸ λαμβάνον κηκῖδος καὶ πομφόλυγος ἀμύλου τε καὶ ἀλόης ἴσα λειωθέντα ῥοδίνῳ καὶ χυλῷ ἀρνογλώσσου.

6—8 *Aëtius XIV 17* 8—14 *cf. Aëtius XIV 15* 8—11 *Oribasius, Synops. IX 35 = Ad Eunap. IV 102* 16—17 *Aëtius XIV 15* 24—28 *cf. Oribasius, Synops. IX 34 = Ad Eunap. IV 101*

1 καὶ *(alt.) om. a* 2 ἐπιπαττομένη] BDGK: ἐπιτατομένη F: ἐπιπλαττομένη AEHM*a* δὲ *om.* ABEH αὐτῶν] DK: *om.* ABEFGHM*a* 3 τε] *om.* ADEFG: *corr. ex* δὲ K οὐδὲν FG 4 ἐστί BGHK φλοιὸς] ὁ φλοιὸς F 5 εἰ] τούτοις ἁρμ° εἰ D καὶ] *ins.* M: *om. a* συνῇ D *Or*: συνήει K 7 προσαγορευόμενον F: *comp.* G: προσαγορευομένου H τε] δὲ G 8 δὲ] τε FG 10 καὶ ὀπίου] ὀπτῆς *Or*: καὶ ἀπίου D ἢ] DFG: ἤγουν ABEHKM: *om. Or* κεκαυμένων *om.* D 11 ἐν] FG: ἐν τῇ ABDEHKM μολυβδίνῃ] DK: μολιβδίνῃ G: μολυβδίνῳ F: μολυβδαίνῃ ABEHM 12 λινοφρύγιον K 13 ἐν τῇ στεφάνῃ D 14 δύνωνται D 15 ἀπουλοῦν] E*a*, *e corr.* M: ἁπλοῦν ABDFGHK καὶ *om.* D 16 πεπλυμμένης D: π^ε G: π^ε π^ε ABEFGHKM: piperis *a* 17 τῶν *om.* M ξηρῶν D οἴνῳ] DFG: ἀπίῳ ἢ οἴνῳ K: ἀπίῳ ABEHM*a*: οἶνον *mrg.* B[3] 19 μετὰ *om.* K ὁ δι' οἰνελαίου] ῥοδίνου ἐλαίου DFG ὁμοίως] δὲ ὁμοίως M 21 ἐκ] μὲν ἐκ DFG 23 δὲ *om.* F*a* μίξαντες K τὸ] τὸν D τὸ . . . ἢ *(24) om.* K κολλούριον . . . λευκὸν *(24)*] καλούμενον D 24 μολυβδαίνῃ ABEHM*a* 25 ἤγουν] ἢ D: *om. a* καὶ] *del.* K λεῖπον K 26 χρίσαντας] DFG: χρίσαν ABEHKM: inunctum *a* ἐντιθέναι D τὸ] τοῦτο M 27 καὶ *(alt.)*] τε καὶ D χυλοῦ K

3 πρὸς δὲ τοὺς τοῦ αἰδοίου πόνους· βουτύρου καὶ ῥητίνης ἴσοις τακεῖσι καλῶς ἐπιπλάττειν, ἢ λινοσπέρμου χυλῷ λείου σμύρνης καὶ ῥητίνης φρυκτῆς τὸ ἴσον καὶ ἐπιτίθει.

πρὸς δὲ τὸ οἰδοῦν αἰδοῖον· ἀμπέλου φύλλων ἁπαλῶν < $\bar{α}$, ψιμυθίου < $\bar{ε}$· τρίψας κατάπλασσε. χρῶ δὲ καταντλήσει θαλάττῃ ψυχρᾷ καὶ ἀναπαύσει καὶ ἀναδήσει τοῦ καυλοῦ.

θύμους τοὺς ἐν αἰδοίοις ἀποθεραπεύει καὶ οὐκ ἐᾷ πάλιν αὔξεσθαι τέφρα κληµάτων σὺν ὄξει καταπλασθεῖσα ἰτέας τε τοῦ φλοιοῦ κεκαυμένου ἡ τέφρα. καθόλου δὲ ὅ τε θύμος καὶ ἡ μυρμηκία καὶ ἀκροχορδὼν διὰ μὲν τῶν σφοδρῶς ἑλκούντων φαρμάκων ἀποσπασθήσεται, διὰ δὲ τῶν σηπόντων νεκρωθήσεται· ἰδίως δὲ ἐλατήριον μεθ᾽ ἅλων ἐπιτεθέν, ὄλυνθοι μετ᾽ ὄξους καὶ νίτρου καὶ ἀλεύρου, ὀπὸς συκῆς χριόμενος, σμαρίδος κεφαλὴ ταριχηρὰ καυθεῖσα, ἰὸς μετὰ θείου ἀπύρου καυθείς, τιθυμάλλου ὀπὸς χριόμενος, ὠκίμου φύλλα μετὰ χαλκάνθου, ἡλιοτροπίου τοῦ μεγάλου καρπὸς σὺν οἴνῳ καταπλασθείς.

## Πρὸς φλεγμονὴν δακτυλίου. 4

Ψιμυθίου 𐅻 $\bar{δ}$, πομφόλυγος 𐅻 $\bar{α}$ ἢ καδμίας ἁπαλῆς, λιβάνου 𐅻 $\bar{α}$, σέρεως χυλοῦ κοτύλην $\bar{α}$· ἄνιε κατὰ βραχὺ τὸν χυλὸν ἐπιβάλλων, ἕως οὗ ἀναλωθῇ, εἶτα ποιήσας κηρωτὴν ἐξ 𐅻 $\bar{β}$ κηροῦ καὶ ῥοδίνου λι. $\bar{α}$ ἀναξύσας μίγνυε μαλάσσων εὐτόνως· ἔνιε δὲ διὰ πυουλκοῦ καὶ ἐπάνω ἐπίδει. ποιεῖ δὲ καὶ πρὸς ῥαγάδας φλεγμαινούσας καὶ τὰς μετὰ πυρώσεως ἢ δηγμοῦ ἐν ἕδρᾳ ἑλκώσεις.

## Πρὸς ἐρυσιπέλατα περὶ ἕδραν. 5

Τῆς διὰ χυλῶν λι. $\bar{α}$, ῥοδίνου τὸ αὔταρκες, ἄρτου καθαροῦ λι. $\bar{α}$, ὀπίου 𐅻 $\bar{α}$, κρόκου 𐅻 $\bar{α}$· ὁ κρόκος καὶ τὸ ὄπιον βρέχεται γλυκεῖ, ὁ

νθ′ 3 *Oribasius, Synops. IX 35 = Ad Eunap. IV 102* νθ′ 4 *Oribasius, IV 601* 24 — p. 272, 2 *Aëtius XIV 2*

1 πρὸς . . . πόνους] *pro titulo* ABEHM*a* δὲ *om. a* ῥητίνης] ῥοδίνης D: ῥοδίνου F 2 ἐπιπλάττειν] DF: ἐπιπράττειν G: ἐπιπλάττει K: ἐπίπλαττε ABEHM*a* λείῳ FG σμύρνης] σὺν σμύρνῃ FG καὶ *om.* D 3 ῥητίνη G 5 δὲ] δὲ καὶ FGK: καὶ *supra add.* B ψυχρᾷ θαλάσσῃ D 7 τοὺς] δὲ τοὺς DFG: δὲ *postea add.* B 8 τέφρα] καὶ τέφρα K: ταῦτα τέφρα D τε *om.* D 9 καὶ *(alt.)*] καὶ ὁ DFG 10 μὲν *om. a* ἑλκοῦν BHM, *corr.* B³ 11 νεκρωθήσεται] DFGK: euacuabuntur *a*: νεκρὰ γίνεται ABEHM δὲ] δὲ ποιεῖ D 13 σμαρίδος . . . χριόμενος *(14) om.* D σμαρίδιος K 14 φύλλου K 15 καρπὸς] ὁ καρπὸς D καταπλασθείς] ABDEHM: καταπλαττόμενος FG: κατάπλασσε K 17 𐅻 *(pr. et sec.)* ʒ *a* ἢ *om.* D*a* 𐅻 *(tert.)*] ana ~ *a* 18 $\overset{o}{κ}$ ABEFGHKM: $\overset{υ}{κ}$ D: coclearium *a* ἄνιε] J: ἔν(ε)ιε ABEGHKM: ἐνιέναι D: *om.* F: ἄνειε *e corr.* B³ ἐπιβάλλοντα D 19 ἔπειτα D εἶτα . . . κηρωτὴν *om.* FG ἐξ *om.* D $\bar{β}$] $\bar{ς}$ D 20 ἀναζέσας D, *e corr.* J ἐνιέναι D, *corr. mrg.* D³ 21 ἐπιδεῖν D, *corr. mrg.* D³ καὶ *(pr.) om.* D 22 ἢ] et *a* 23 πρὸς ἐρυσιπέλατα] πέταλα AE, *corr. mrg.* E³ περὶ] τὰ περὶ D 24 χυλοῦ DF λι. $\bar{α}$] καὶ D 25 ὀπίου] DFGK: κρόκου ABEHM*a* 𐅻 $\bar{α}$ *(pr.) om.* D κρόκου] DFGK: ὀπίου ABEHM*a* 𐅻 *(alt.)*] ἀνὰ 𐅻 D καὶ] μὲν καὶ D ὁ] ὁ δὲ D

ἄρτος ὕδατι, εἶτα λειωθεῖσιν αὐτοῖς ἐπιβάλλεται ἡ διὰ χυλῶν καὶ τὸ ῥόδινον καὶ μαλάσσεται. ποιεῖ δὲ καὶ πρὸς θερμοτάτας ποδάγρας.

Ἄλλο, πρὸς φλεγμονὴν δακτυλίου.

Ψιμύθιον οἴνῳ καὶ ῥοδίνῳ ἐν μολυβδίνῳ ἰγδίῳ καὶ μολυβδίνῳ δοίδυκι λειώσας κατάχριε ἢ ψιμύθιον καὶ ᾠοῦ τὸ λευκὸν καὶ ῥόδινον ἐν τῷ αὐτῷ ἰγδίῳ λειώσας, ἕως γλοιῶδες γένηται, κατάχριε.

6 Ἑδρικὸν πρὸς περιωδυνίας.

Ὑοσκυάμου φύλλων τῶν ἁπαλῶν, ἀνδράχνης φύλλων τῶν ἁπαλῶν, ψιχῶν βραχεισῶν εἰς οἶνον, ᾠῶν ὀπτῶν τῶν πυρρῶν τὸ ἴσον, ῥοδίνου τὸ ἀρκοῦν· μετὰ τὸ πυριάσαι τὸν τόπον ῥόδων καὶ μελιλώτων ἀποζέματι ἐπίθες τὸ κατάπλασμα.

7 Ἑδρικὸν κάλλιστον πρὸς τὰς τοῦ δακτυλίου φλεγμονὰς καὶ πρὸς ἐξοχάδας.

Ψιμυθίου, λιθαργύρου, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου ἀνὰ γρ. ϛ̄, τερεβινθίνης 𐅻 ᾱ, κηροῦ 𐅻 ∠΄· τὰ ξηρὰ λείωσον χυλῷ στρύχνου ἢ ὑοσκυάμου ἢ ἀνδράχνης καὶ τὰ τηκτὰ μίξας ἀναλάμβανε καὶ μαλάξας ῥοδίνῳ χρῶ. καὶ ἡ φικοτύχη δὲ τὸ φάρμακον καὶ τὸ διὰ μολυβδαίνης πρὸς τὰς τοῦ δακτυλίου φλεγμονὰς ὅ τε διὰ τῶν λωταρίων καὶ ὁ δι᾽ ἁλικακκάβου καὶ ὁ διάροδος τροχίσκος τῶν εὐδοκίμων εἰσὶν ἑδρικῶν τε καὶ αἰδοιικῶν.

8 Πρὸς ἐξοχάδας δακτυλίου.

Φλεγμαινουσῶν μὲν τῶν ἐξοχάδων τοῖς τε λεχθεῖσι κοινῶς χρηστέον καὶ ἰδίως τῷδε τῷ τροχίσκῳ· ψιμυθίου 𐅻 γ̄, πομφόλυγος 𐅻 ᾱ, λιθαργύρου 𐅻 β̄, μαστίχης γρ. ϛ̄· ὑοσκυάμου χυλῷ ἀναλάμβανε· ἀφλεγμάντων δὲ οὐσῶν κυπαρίσσου σφαιρίων καυθέντων τὴν τέφραν ἐπίπαττε οἴνῳ προαπονίψας ἢ κολοκύνθης ξηρᾶς τοῦ φλοιοῦ καυθέντος ἢ φοινίκων ὀστῶν τὴν τέφραν ὁμοίως ἢ λεπύρων ᾠῶν καὶ μαράθρου τὴν τέφραν ὁμοίως ἢ χυλῷ ῥοιᾶς τῶν φύλλων ἴσῳ οἴνῳ λευκῷ μίξας

1 χυλοῦ DF 3—6 *om.* D 3 *om.* F πρὸς] GK: ποιοῦν καὶ πρὸς ABEHM: faciens ad *a* δακτυλίου] BGK: *om.* AEHM*a* 4 ψιμυθίου FGM 6 γλοιῶδες] FGK*a*: γλοιώδης ABEHM 7 ὀδύνας D(*a*) 8 τῶν ἁπαλῶν *(pr.)*] *om.* FG: τῶν ἁπαλῶν ἢ D ἀνδράχνης . . . ἁπαλῶν *om.* A 9 ψιχῶν] ἢ ψιχῶν D εἰς οἶνον] ἐν οἴνῳ D: εἰς ὕδωρ FG 13 πρὸς *om.* D*a* 15 ∠΄] ϛ̄ FG ἢ] DFG: *om.* ABEHKM*a* 16 ἀνάλαβε DFG 18 ὅ] ποιεῖ ὅ D διὰ FG 23 τῷ] *om.* K: *ins.* M 𐅻 ᾱ *om.* *a* 24 𐅻 β̄] ana ⩪ I *a*: 𐅻 ᾱ H χυλοῦ FH: *comp.* GK ἀναλάμβανε] Λι. ᾱ ∠΄ K ἄλλο *mrg.* K 27 ὀστῶν] assatarum *a* ἢ . . . ὁμοίως *(28)* *om.* F 27 καὶ] aut *a* μαράθρου] G*a*: μαράθου D: μαράθρων ABEHKM 28 τὴν *om.* D ὁμοίως] GKM: *om.* ABDEH*a* χυλῷ] AEHM*a*: *comp.* D: χυλοῦ G, *e corr.* B: χυλὸν FK ἴσῳ] ἴσα ἐν D: ἐν FG: equaliter *a* προσμίξας D

πρόσκλυζε ἐπὶ ἡμέρας ζ̅. πρὸς δὲ τὰς τυλώδεις ἐξοχὰς τίτανον καὶ ἀρσενικὸν μετὰ ὄξους δριμέος λειώσας ἐν βαλανείῳ καὶ ἐν ἡλίῳ κατάχριε.

## Περὶ αἱμορροΐδων. 9

Τῶν αἱμορροΐδων πλείω τοῦ δέοντος κενουμένων ἐξυδατοῦσθαι τὴν ἕξιν συμβαίνει καὶ πονηρῶς ἀποσίτους γίνεσθαι. κίνδυνος δὲ καὶ λάβρου τῆς αἱμορραγίας γινομένης, ὥσπερ αὖ καὶ τοῦ αἵματος εἰς τὸ παντελὲς ἐπισχεθέντος· ὅθεν ἐργώδης ἡ θεραπεία. διὸ πλειόνων οὐσῶν τῶν αἱμορροΐδων μίαν ὑπολιπεῖν χρὴ καθάρσεως ἕνεκα. τινὲς δέ εἰσιν ἀνωτέρω μὴ φαινόμεναι καὶ διὰ τοῦτο δυσίατοι· αἱ δὲ τυφλαὶ ἀποκρίνουσι μὲν οὐδέν, ἐπώδυνοι δὲ μᾶλλόν εἰσιν. πρὸς μὲν οὖν ταύτας κυκλαμίνου χυλὸν κατάχριε, καὶ ἀναστομοῦνται· πρὸς δὲ τὰς ἀμέτρως κενουμένας ἐν ὕδατος κοτύλαις η̅ ἕψεται ἀκάνθης Αἰγυπτίας, ἀκτῆς φύλλων, ἀρτεμισίας ἀνὰ Γ° ε̅, ἕως λειφθῇ τὸ ἥμισυ, καὶ σιδηρίτιδος Γ° δ̅, εἶτα αἱ μὲν βοτάναι ῥίπτονται, τῷ δὲ ὕδατι μίγνυται ξηρὸν τοῦτο· μελαντηρίας < ι̅, στυπτηρίας στρογγύλης < η̅, λιθαργύρου < δ̅, κηκῖδος Γ° γ̅, μίσυος < β̅, σώρεως < β̅· λύσας τὸ ξηρὸν ἐν τῷ ἀφεψήματι καταιόνησον ἑπτάκις τῆς ἡμέρας, τῇ δὲ ἐπιούσῃ ὡσαύτως ἑτέραν σκευασίαν ἰσόσταθμον καταιόνησον καὶ τῇ τρίτῃ ὁμοίως· εἰ δὲ ἐπιμένοι τι λείψανον, τῇ τετάρτῃ κατακεντήσας ῥαφίδι, εἰ αἰσθάνοιτο ἢ αἱμάσσοι, τὸ μὲν ἀφέψημα ὁμοίως ποίει, τοῦ δὲ ξηροῦ τὸ ἥμισυ μίσγε, καταιονήσας δὲ παράπτου τῷ ξηρῷ, ἵνα ἀκριβῶς καυθῶσιν, διὰ δὲ τὴν φλεγμονὴν ἄρτῳ κατάπλασσε.

Ἄλλο. ἄρτον καθαρὸν ἐμβρέξας εἰς γάρον πρωτεῖον καὶ καύσας ἐν χύτρᾳ καινῇ καὶ λειώσας κατάπλασσε οἴνῳ προαποπλύνων· ποιεῖ καὶ πρὸς ἐξοχάδας. 10

Ἄλλο. σώρεως < β̅, χαλκίτεως < α̅, μίσυος < α̅, χαλκάνθου < γ̅, σχιστῆς < θ̅, χαλκοῦ κεκαυμένου < α̅, μελαντηρίας < α̅· χρῶ ξηρῷ.

3—10 *Oribasius, Synops. IX 40* 7—8 *cf. Aëtius XIV 5*
11—22 *Aëtius XIV 6; Oribasius vol. IV 601* 26—27 *Aëtius XIV 6*

2 ἀρρενικὸν ABH: ἀρενικὸν M ἐν βαλανείῳ] D: καλὸν εἰ BFGHM*a*: καλὸν ἢ AEK καὶ] *om. a* κατάχριε] DE: καταχρίεις ABFGHKM*a* 4 πλείω] πέρα D 5 γενέσθαι E: αὐτοὺς γίνεσθαι D καὶ *(alt.)*] *om. a* 6 αὖ] οὖν FGM: *om. a* 7 παντελῶς AE 8 ὑπολειπτέον D χρὴ] *om.* D
11 χυλὸς καταχριέσθω D 12 ἐν] *om.* DK ὕδατος] DK: ὕδατι ABEFGHM*a* κοτύλαις] κ°/ ABDEFGHKM: coeleariis *a* ἕψονται D*a*: ἕψε G: ἕψαι F 14 δ̅] ε̅ D 15 < ι̅, στυπτηρίας] *Aëtius*: *om.* ABDEFGHKM*a*
η̅] η̅ ἢ B κηκῖδος . . . β̅ *(16 pr.)*] μίσυος < β̅ κηκῖδος D 16 σώρεως] DG, *e corr.* E: σέρεως AFHK*a*: σέρεος B: ͣͣσέρεως M < β̅] ἀνὰ < ι̅ D λύσας] DFGK: *e corr.* B: λύσον ABEHM*a* 19 αἱμάσσοιτο DFG 21 ἄρτον D 24 κενῇ BFGM 25 ἐξοχάδας] EFH: *comp.* A: ἐξοχάδια BGM: ἐξόχια DK 26 Ἄλλο] *mg.* D³ σώρεως] FGK: σέρρεως D: σέρεως ABHM*a*
< α̅ *(pr.)*] *om.* D*a*: < β̅ F < *(tert.)*] ana ζ *a* < α̅ *(tert.)* . . . < α̅ *(pr. 27)* *om.* D 27 < α̅ *(pr.)* *om.* FG < *(tert.)*] ἀνὰ < DFG

11 τροφαὶ δὲ ταῖς μὲν ὑπερκενουμέναις ὀλίγαιμοί τε καὶ ἀπέριττοι ἁρμόζουσι καὶ ξηραντικαὶ καὶ στύφουσαι, οἷός ἐστιν ὅ τε πλυτὸς χόνδρος δι᾽ ὀξυκράτου καὶ ὄρυζα καὶ ἄλιξ καὶ τῶν λαχάνων ἴντυβά τε καὶ κιχώρια καὶ ἀνδράχνη καὶ τῶν οἴνων οἱ στύφοντες· ἐπὶ δὲ τῶν ἀποτυφλωθεισῶν αἱμορροΐδων ἁρμόσουσιν αἱ ταύταις ἐναντίαι, μάλιστα δὲ τευθίδων καὶ σηπιῶν καὶ πολυπόδων νάρκης τε καὶ τῶν σελαχίων ἐδωδὴ καλῶς ἂν ἁρμόσοι· ταρακτικὰ γάρ ἐστι ταῦτα τοῦ αἵματος· καὶ τὰ τῶν καταμηνίων δὲ ἀγωγὰ τούτοις ἁρμόσει.

12 Πρὸς προπίπτοντας ἀρχούς.

Ἐρείκης καρποῦ, κηκίδων, ψιμυθίου, ἀκακίας, ὑποκιστίδος χυλοῦ, πίτυος φλοιοῦ, λιβάνου, σμύρνης Ἀμιναίας ἴσα· ξηροῖς κατάπλασσε προαπονίψας οἴνῳ αὐστηρῷ.

Ἄλλο. σκωρίας μολύβδου, ῥοῦ Συριακοῦ ἀνὰ < η̄, ῥόδων ἄνθους < δ̄, σμύρνης Ἀμιναίας < β̄· χρῶ ὡς τῷ πρώτῳ.

Ἄλλο. πίτυος φλοιοῦ, μάννης, λιθαργύρου ἀνὰ < η̄, κυπαρίσσου σφαιρίων ξηρῶν, μολυβδαίνης ἀνὰ < β̄· χρῶ, ὡς εἴρηται.

καὶ τὸ οὖρον αὐτοῦ τοῦ νοσοῦντος ἔτι θερμὸν προσαντλούμενον ὠφελεῖ.

ξ΄. Περὶ τῶν κατὰ τὴν μήτραν παθῶν, καὶ πρῶτον περὶ ἐμμήνου καθάρσεως.

Ταῖς πλείσταις ἡ κάθαρσις γίνεται περὶ τεσσαρεσκαιδέκατον ἔτος, ὀλίγαις δὲ θᾶσσον, κατὰ τὸ τρισκαιδέκατον ἢ δωδέκατον, οὐκ ὀλίγαις δὲ βράδιον τῶν δεκατεσσάρων ἐτῶν. χρόνος δὲ ἑκάστῃ καθάρσει τεταγμένος οὐκ ἔστι, πολλαῖς δὲ ἐπὶ δύο ἢ τρεῖς, ταῖς πλείσταις δὲ ἐπὶ πέντε ἡμέρας ἐκκρίνεται, ἄλλαις δὲ καὶ ἄχρι ἑπτά, σπάνιαι δὲ καὶ ἄχρι δωδεκάτης ἐκαθάρθησαν. παύονται δὲ τῶν καθάρσεων αἱ μὲν περὶ τὸ πεντηκοστὸν ἔτος, σπάνιαι δὲ μέχρι τῶν ἑξήκοντα, ἐνίαις δὲ ἀπὸ πέντε καὶ τριάκοντα, καὶ μάλιστα ταῖς καταπιμέλαις, λήγειν ἤρξατο τὰ καταμήνια. στραγγευομένης οὖν τῆς καθάρσεως λούειν περὶ τὴν προθεσμίαν καὶ προποτίζειν ἢ σησάμῳ ἢ κεφαλωτῷ πράσῳ μετὰ πεπέρεως

νθ΄ 12 *cf. Aëtius XIV 7* ξ΄ *cf. Aëtius XVI 4*

1 δὲ *om. a* ταῖς] τῶν D: his qui *a* μὲν *om.* FG*a* ὑπερκενουμένων D pauci *a* 2 ἁρμόσουσι ABK: *om.* D καὶ *(pr.) om. a* 5 δὲ *om. a* 7 ἂν *om.* K ἁρμόσοι] ABEHM: *comp.* D: ἁρμόσει FG: ἁρμόσῃ K: conuenit *a* ταῦτα *om.* D 8 ἁρμόσει] πρόσφορα D: conueniunt *a* *seq. lin. 15—18* D 9 πίπτοντας DFGM(*a*) 11 ἴσα . . . Ἀμιναίας *(14) om.* D 11 κατάπασσε *Aëtius* 14 χρῶ *om.* K τὸ πρῶτον FHK 15—18 hic *om.* D 15 κυπαρίσσων D 18 ὠφελεῖ] FGK: βοηθεῖ ABDEHM*a* 20 ἐμμήνων FG, *e corr.* B 21 τεσσαρισκαιδέκατον BDFHKM 22 ι̅β̅ ἢ τρισκαιδέκ[α] D 23. 24 οὐκ ἔστι τεταγμένος E 24 δὲ *(pr.)*] enim *a* 25 καὶ *(pr.) om. a* 26 δωδεκάτης] X *a* 27 δὲ *(alt.)*] δὲ καὶ E 28 καταπιμέλοις D τὰ *om.* FGM

καὶ πηγάνου εἰς τὸ αὐτὸ ἡψημένοις· ἡ δὲ πόσις διὰ γλυκέος γινέσθω Κρητικοῦ, κοτύλην δὲ πιοῦσα περιπάτοις κινείτω τὰ ἔμμηνα. ἐσθιέτω δὲ τευθίδας, σηπίας, πολύποδας, καὶ ὅσα τοῦ αὐτοῦ γένους ἐστί· τοῦ γὰρ αἵματος ἰδίως εἰσὶ ταρακτικά.

## ξα΄. Περὶ ἐποχῆς ἐμμήνων.

Ἐπέχεται ἡ ἔμμηνος κάθαρσις ποτὲ μὲν ὅλου τοῦ σώματος ἀρ- 1
ρώστως διακειμένου, ποτὲ δὲ τῆς ὑστέρας αὐτῆς ἴδιον πάθος ἀναδεδεγμένης διὰ ψῦξιν ἐντόπιον ἢ πληγὴν ἢ δυσκρασίαν ἐκ γενετῆς ἢ ἐπίκτητον κάκωσιν, ὡς τὸ πολὺ δὲ ἐκ τῶν ἀμβλώσεων καὶ διά τι μέρος τῶν κυριωτέρων πρωτοπαθῆσαν, οἷον ἧπαρ ἢ κοιλίαν ἢ θώρακα ἤ τι τῶν τοιούτων ἐν χρονίῳ γεγονὸς πάθει· ἐπισχεθεῖσα δὲ πολλῶν καὶ χρονίων παθῶν εἴωθεν αἰτία γίνεσθαι. ὅταν μὲν οὖν διά τινα τῶν ἐντοσθιδίων πρωτοπάθειαν ἀποκόπτηται ἢ στραγγεύηται ἡ κάθαρσις, προὐργιαίτατόν ἐστιν ἡ τοῦ πρωτοπαθήσαντος θεραπεία καὶ μετ' αὐτὴν ἡ τῆς ὑστέρας ὑπόμνησις· τὴν δὲ τούτων σημείωσιν ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν. ὅταν δὲ μηδὲν ἐκείνων παρῇ, δῆλόν ἐστιν αὐτὴν
πρωτοπαθεῖν τὴν ὑστέραν. μὴ κωλυούσης οὖν ἡλικίας ἢ ἕξεως ἢ ἑτέρου 2
τινὸς φλεβοτομίᾳ χρηστέον μὴ πρὸ τῆς τῶν ἐμμήνων προθεσμίας, παρελθούσης δὲ ἐπιμετρείσθωσαν ἡμέραι δέκα· ἀφαιρείσθω δὲ μήτε πλέον $\bar{\beta}$ ∟΄ λιτρῶν μήτε ἔλαττον μιᾶς. εἴτε δὲ φλεβοτομήσαιμεν εἴτε μή, τῇ διὰ κολοκυνθίδος ἱερᾷ καθαίρειν διδόντας δύο δραχμῶν πλῆθος ἐν $\bar{ϛ}$ κυάθοις μελικράτου. πυρετοῦ δὲ παρόντος τῇ μὲν ἱερᾷ χρῆσθαι οὐκ ἐγχωρεῖ, εὔκαιρον δέ ἐστι φλεβοτομεῖν ἐν ταῖς πρώταις τοῦ πυρέσσειν ἡμέραις. μετὰ δὲ τὴν κάθαρσιν ἀναληπτέον ἐπ' ὀλίγας ἡμέρας, ἐν δὲ ταῖς ἑξῆς γυμναζέσθω περιπάτοις καὶ τρίψεσι τῶν κάτω καὶ λουέσθω· τροφαὶ δὲ ἁρμόζουσιν εὐδιοίκητοι καὶ ὑγραί, λάχανα τὰ γλυκέα ἅπαντα, ἰχθύων οἱ πετραῖοι, πτηνῶν τὰ ἁπαλώτερα, γαλακτοποσίαι, μελιττώματα, οἶνος λεπτὸς λευκὸς μὴ πάνυ παλαιός· ἄθετα κρέα καὶ ὄσπρια
πλὴν πτισάνης. πλησίον δὲ τῆς προθεσμίας γενομένης διδόναι τῶν θα- 3
λασσίων τὰ σελάχια καὶ τὰ μαλάκια, ὡς εἴρηται, καὶ τὰ ὀστρακόδερμα

19 *sqq. Oribasius vol. IV 633* 30 εἴρηται] *cap. 60*

2 τὰ] DK, *e corr.* B: τά τε AEFGHM 3 σηπίας, πολύποδας *om.* D 6 ἡ] δὲ ἡ D 9 ἐκ] ἀπὸ D 10 πρωτοπαθησάντων K ἥπατος D ἢ *(pr.) om.* K 10. 11 κοιλίας ἢ θώρακος ἤ τινος D 11 γεγονότος D 13 ἢ] et *a* 16 παρῇ *om.* K δῆλόν] ABDEHM: πρόδηλόν FGK, *e corr.* B 19 ἀφαιρείσθωσαν FG πλεῖον FK 20 $\bar{\beta}$ ∟΄] δύο ἡμίσεως GK: $\bar{\beta}$ καὶ ἡμισείας D δὲ *om.* ABHM φλεβοτομήσομεν D μήν B 21 διὰ] διὰ τῆς D ἱερᾷ] ἱερᾷ δεῖ D διδοῦντας BHM 22 κυάθοις] GK: *comp.* ABDEFM: $\overset{o}{\kappa}$ H: cocleariis *a* 23 ἐστιν AGM: *om.* B 24 ὀλίγαις ἡμέραις D 25 γυμναζέσθωσαν D καὶ *(pr.)*] D*a*: *om.* ABEFGHKM λουέσθωσαν D 26 ὑγραί] DFGK, *e corr.* B: ὑγρά AEHM*a* λάχανα] λαχάνων τε D ἅπαντα] καὶ D: πάντα K 27 πτηνῶν] καὶ πτηνῶν D ἁπαλά DK 28 ἄθετα] ἐσθιέτωσαν δὲ ἄθετα D 29 πλησίον δὲ τῆς] πλείονος δὲ D 30 καὶ τὰ μαλάκια *om.* D

καὶ τὰ κεφαλωτὰ πράσα cὺν πηγάνῳ καὶ πεπέρει ἑψηθέντα, καὶ τὸ ἀφέψημα αὐτῶν πινέτωσαν. τότε δὲ καὶ δεσμοῖς τὰ κάτω διασφίγγειν μέρη ἐπὶ τρεῖς ἢ τέσσαρας ἡμέρας· ἐνστάσης δὲ τῆς προθεσμίας περιαιρείσθω μὲν ἡ σφίγξις, προποτιζέσθωσαν δὲ σμύρνης ὀβολὸν ἢ κυάμου μέγεθος ἢ καστόριον διὰ γλυκέος ἢ μελικράτου ἢ ἀφέψημα ἀρτεμισίας ἢ ἐλελισφάκου μετὰ λουτρὸν διὰ γλυκέος καὶ ἀψινθίου· ἀψινθίτης δὲ
4 παρ' ὅλην τὴν θεραπείαν προποτιζέσθω. παρελθούσης δὲ τῆς προθεσμίας καὶ μηδενὸς ἢ μὴ ἀξιολόγως ἐκκριθέντος ἀπὸ σφυροῦ φλεβοτομητέον, καὶ ἐπαφαιρείσθω· μετὰ δὲ τὴν ἑβδόμην ἢ ὀγδόην ἡμέραν τῇ διὰ τῆς ἱερᾶς χρήσθω καθάρσει καὶ μετὰ τετάρτην ἡμέραν δρωπακιζέσθω κατά τε ἤτρου καὶ ὀσφύος καὶ μηρῶν, ὑδροποτήσασα δὲ τρεῖς ἡμέρας καταπλασσέσθω νάπυ ἴσον πρὸς ἴσον ἄρτου βεβρεγμένου ἄχρι ὥρας ἰσημερινῆς, ἔπειτα λουέσθω· τῷ δὲ ἑξῆς μηνὶ ἰσχάδες ἀντὶ τοῦ ἄρτου μιγνύσθωσαν εἰς ἀφέψημα τήλεως καὶ μαλάχης καὶ γλήχωνος καὶ πηγάνου καὶ ἀρτεμισίας, εἰς δὲ τὸν κόλπον ἐγχυματιζέσθω Σούσινον ἢ ἀμαράκινον, καὶ πεσσὸς προστιθέσθω ὁ ἐννεαφάρμακος ἢ ὁ Λιβιανός· πεσσὸς δέ ἐστιν ἔριον διεξασμένον καὶ ἤτοι σφαιρωθὲν ἢ δακτύλου σχῆμα εἰληφός, ἐν ᾧ ἐγκατέχεται τὰ φάρμακα.

5 αὕτη μὲν οὖν ἡ θεραπεία πλείσταις ἤρκεσεν πρὸς κάθαρσιν· εἰ δὲ ἰσχυροτέρων δεήσοι φαρμάκων, εἰσὶ τάδε· ἶρις Ἰλλυρικὴ πινομένη μετ' οἴνου, καὶ κύπερις καὶ ἄρου ῥίζα καὶ κασία καὶ σχοίνου ἄνθος καὶ νάρδος ἑλενίου τε ῥίζης ἀφέψημα καὶ σμύρνης κυάμου Ἑλληνικοῦ μέγεθος σὺν γλυκεῖ πινόμενα ἐν ἡμίσει κυάθου μελικράτου καὶ δικτάμνου ἀφεψήματος κύαθοι β̄ καὶ ἀμμωνιακὸν καὶ σαγαπηνόν, ταῖς δὲ δυσπαθεστέραις τὸν στόμαχον καὶ ὀποπάνακος βραχὺ σφαιρωθὲν καὶ ἐν ἀπέφθῳ μέλιτι βραχέν· καὶ τὰ συνήθη δὲ ἡμῖν σπέρματα κινεῖν πέφυκεν, ἔλαττον δέ, οἷον μάραθρον, κύμινον, σέλινον, δαῦκος Κρητικός, σέσελι, ἄμμι, σίνων, ἐρέβινθοι καὶ κεδρίδες καὶ πάντα τὰ διουρητικά· πρόσθετα δὲ σμύρνα ἀψινθίου ἢ θέρμων ἀφεψήματι λεανθεῖσα ἢ πηγάνου χυλῷ λεανθεῖσα βδέλλιόν τε ὡσαύτως, στύραξ τε καὶ τῆς ἀγρίας ἐλαίας τὸ

1 σὺν] D: σὺν τῷ ABEFGHKM  2 ποτὲ D  δὲ] DFGK: *om.* ABEHM*a*  ἐπισφίγγειν D  4 σμύρνης] μυρρίνης D  5 καστορίου D  μελίκρατον F*a*  6 ἐλελίσφακον FG  διὰ] δὲ διὰ D  8 ἢ μὴ *om.* D  ἀποκριθέντος D  φλεβοτομεῖν D  9 ἐπαφαιρείσθω] K, *e corr.* B: ἐπαφαιρέσθω AEFGHM: ἐπαφαιρεῖσθαι D  δὲ τὴν *om.* K: δὲ D  ἡμέρας D  10 καθάρσει χρηστέον D  δρωπακιζέσθωσαν K  12 νάπυ] BFHM: νάπυι ADEGK  ἴσον πρὸς . . . βεβρεγμένου] ἐξ ἴσου ἔχοντι ἄρτον βεβρεγμένον D  13 ἰσχάδας K  16 Λιβιανός] D: λιβάνειος AEG: λιβάνιος BHKM: λίβανος F  17 ἐξασμένον K: διεξαμμένον D  καὶ ἤτοι *om. a*  19 πρὸς] εἰς *supra scr.* K  21 ἄρου ῥίζα καὶ *om.* D  ἄνθους K  22 τε *om.* BK  23 κυάθου] *comp.* D: ciato *a*  ἀφέψημα D  24 κύαθοι] K: *comp.* ABDEFGHM: ciatos *a*  25 καὶ *(pr.) om. a*  26 μέλιτι βραχέν] μέλι δοθὲν συνεβάλετο D  28 ἄμμι, σίνων] ἀμισινόν AEKM*a*: ἀμισηνόν D: ἀμισινῶν G  κερκίδες K, *e corr.* B  29 ἀψινθίου ἢ] ἀψίν^θ εἰς D  ἀφεψήματα K: ἀφέψημα D  λειανθεῖσα AEM: *om.* D  χυλῷ] χυλὸν D: χυλοῦ H  30 λεανθεῖσα *om. a*  τε *(pr.)*] δὲ K

κόμμι ἢ πηγάνου χυλὸς ὁμοίως ἢ μακρὰ ἀριστολοχία διαγλυφομένη εἰς σχῆμα κολλουρίου, παραπλησίως δὲ καὶ ἡ τοῦ μεγάλου κενταυρίου ῥίζα ἢ ἐλλεβόρου ἢ ὀπὸς σκαμμωνίας ἢ κολοκυνθίδος ἐντεριώνη καθ᾽ ἑαυτὴν καὶ ἀρτεμισία καταπλασσομένη μετὰ πηγάνου καὶ χαλβάνη ὑποθυμιωμένη. τὰ δὲ αὐτὰ καὶ τὰ ἔμβρυα πέφυκεν ἐκβάλλειν.

## ξβ΄. Περὶ ὑπερκαθάρσεως αἱμορραγούσης ὑστέρας.

Ὑπερκαθάρσεις δὲ γυναιξὶ γίνονται ποτὲ μὲν τῶν καταμηνίων 1 ἐπιτεινόντων καὶ ἀθροώτερον φερομένων, ποτὲ δὲ ἐπὶ τελείαις ἀποτέξεσιν, αἵτινες ὡς τὸ πολὺ καὶ αὐτομάτως παύονται· συνεχῶς δὲ καὶ ἐπὶ ἀμβλώσεσιν ἰσχυρῶς αἱμορραγοῦσιν, ὥστε πολλάκις ἐπιγίνεσθαι κίνδυνον. πρῶτον μὲν οὖν διασφίγγειν τὰ κῶλα ἀπό τε μασχαλῶν καὶ βουβώνων, διδόναι δὲ πίνειν ὀξύκρατον μὴ ψυχρὸν καὶ προσαντλεῖν ὀξυκράτῳ, ἐπιτιθέναι τε τοῖς τόποις πολλὰ ἔρια ἐξ οἴνου καὶ ἐλαίου ἢ ῥοδίνου ἢ μηλίνου ἢ μυρσίνου ἀποτεθλιμμένα. τροφὴν δὲ δοτέον χόνδρον πλυτὸν ἐξ ὀξυκράτου ἢ ὄρυζαν ἢ ἄλικα, ˙οἴνου δὲ ἀπέχοντας ὑδρόμηλον αὐστηρὸν ἢ ὀμφακόμελι ἤ τι τῶν τοιούτων αὐταῖς δοτέον· προποτίζειν δὲ βαλαύστιον ἐν ὀξυκράτῳ ἢ ὑποκιστίδος ἢ ἀκακίας χυλὸν ἢ λύκιον ἢ Σάμιον ἀστέρα ἢ ὄμφακα ξηρὸν ἢ ῥέον ἢ φελλοῦ ἐξ Ἰταλικοῦ κεραμίου καυθέντος τὴν σποδὸν ἢ σήσαμον ἐσθίειν ἐν ὀξυκράτῳ βραχέντα, ἕως οὗ τρυφερὸν γένηται. πρόσθετα δὲ διὰ τοῦ γυναικείου στέλλει τὰς αἱμορραγίας ὑποκιστίδος χυλὸς ἢ ἀκακίας σὺν μάννῃ λειωθέντες σὺν ὄξει. θαυμαστῶς δὲ ἀρήγει σπόγγος καινὸς ὑγρᾷ πίσσῃ δευθεὶς καὶ προστεθεὶς ἢ καιομένου αὐτοῦ ἡ σποδιὰ μετ᾽ ὄξους ἢ ὀξυκράτου προστιθεμένη, ὁμοίως δὲ καὶ ἡ τοῦ φελλοῦ τοῦ ἀπὸ Ἰταλικοῦ κεραμίου καυθέντος σποδιά. ἔξωθεν δὲ ἐπιτιθέμενα ὠφελεῖ τὰ 2 στύφοντα ἐπιθέματα καὶ τὰ διὰ φοινίκων καὶ Κυδωνίων καταπλάσματα προσειληφότα σίδια ἢ πρινοβαλάνου ἢ βάτου τοὺς ἀκρεμόνας ἢ σχίνου φύλλα, βαλαύστιον, ἀκακίαν, ὑποκιστίδα, κηκῖδα, βραχὺ στυπτηρίας.

ξβ΄ *cf. Oribasius, Synops. IX 42; vol. IV 634 sq.; Aëtius XVI 64*

1 χυλὸς] ADHM*a*: *comp.* EFGK: χυλοῦ B[2] ἢ] ἢ ἡ D 2 δὲ *om. a* 3 ἐλλέβορος DF 5 τὰ *(alt.) om.* D 6 αἱμορραγούσης] DFG: καὶ αἱμορραγούσης ABEHKM*a* 8 καὶ *om.* K 9 ὡς] ὡς ἐπὶ F καὶ *(pr.) om. a* 10 ἰσχυρῶς] σφοδρῶς D 12 δὲ] τε D πίνειν] DFG: πιεῖν ABEHKM 14 μυρσινίνου *e corr.* D διδόναι D 15 ἐξ] ἐν E, *e corr.* B: ἢ D ὀξύκρατον D: ὀξυκράτῳ E 16 ὑδρόμηλον] ὑδρόμελι D*a*: ὑδρόμελιν F δοτέον αὐταῖς D 18 φελλοῦ] φελὸν FG, *mg.* B[3] (γρ. καὶ): φύλλου D: φακοῦ ABEHKM*a* 20 βραχέν D οὗ] οὖν B διὰ τοῦ γυναικείου] ἰδία τὰς γυναικείας D 21 τὰς *om.* D emorrogiam *a* χυλὸς] *comp.* DGHK: χυλοῦ E: χυλὸν F acacia *a* 22 soluta *a* σὺν ὄξει λειωθέντες E σὺν] ἐν DFG ἀρήγει] ποιεῖ καὶ D καινὸς] K: οἴνῳ καινὸς D: οἴνῳ ἢ ABEFGHM*a* 23 κεκαυμένου D 24 προστιθεμένου G: προστιθέμενος F ἡ] D: ἡ ἀπὸ FGK: *om.* ABEHM φύλλου D τοῦ ἀπὸ] D: τοῦ ἀπὸ τοῦ B: ἢ ἀπὸ τοῦ AE: τούτου ἀπὸ τοῦ K: ἀπὸ τοῦ HM: *om.* FG 25 σποδιά] ἡ σποδιά E 27 προσειληφότα] DB[3]*a*: προσειληφότας K: προειληφότα ABEFGHM *scr.* πρινοβαλάνους τοὺς *om.* D 28 βραχὺ] paucam *a*: βραθύ *Bas.* στυπτηρίας] K: στυπτηρίαν ABDEFGHM*a*

μάλιστα δὲ τοῦτο· ταυρόκολλα βρέχεται ὀξυκράτῳ, ἕως οὗ διαλυθῇ, ἔπειτα εἰς ῥάκος ἰσχυρὸν ἐμπλάσσεται καὶ κολλᾶται τῇ ὀσφύι. ἐνεργῶς δὲ πρὸς τοῦτο ποιοῦσι καὶ αἱ κολλητικαὶ τῶν ἐμπλάστρων, οἷον ἁρμονία, Ἱκέσιος, Ἀθηνᾶ, μηλίνη, Ἰνδικὴ καὶ αἱ παραπλήσιοι. πεσσοῖς δὲ χρῆσθαι πρὸς αἱμορραγίαν· κηκῖδος τὸ ἐντὸς λεῖον καὶ λιβανωτὸν διεὶς ὕδατι προστίθει ἢ κυτίνους ῥοᾶς γλυκείας ὁμοίως ἢ πολύγονον λεῖον· συνθέτῳ δέ· στυπτηρίας σχιστῆς, κηκίδων τοῦ ἐντός, ἀκακίας χυλοῦ, μάννης ἀνὰ < δ̄, ᾠῶν ὀπτῶν λέκιθοι δ̄· τὰ ξηρὰ λεαίνεται χυλῷ ἀρνογλώσσου καὶ μίγνυται, ἐν δὲ τῇ χρήσει ἀναλαμβάνεται εἰς πεσσὸν ἐρίου καὶ ἀποβάπτεται εἰς ῥόδινον καὶ προστίθεται. καὶ σικύαι δὲ κοῦφαι μεγάλαι πολλάκις ὑπὸ τοὺς τιτθοὺς προστεθεῖσαι ἱκανῶς ἀντισπῶσιν.

3 ἐγκαθίσματα ταῖς αἱμορραγούσαις. ὀξυσχοίνου κεφαλῶν, μυρσίνης, ῥόδων, ῥάμνου φύλλων, βάτου ἀκρεμόνων ἴσα ἑψήσας ἐν ὕδατι ἐγκάθιζε.

Ἄλλο. ῥοιᾶς γλυκείας ῥίζης φλοιοῦ, μυρσίνης, κυπαρίσσου φλοιοῦ ἀνὰ μέρη γ̄, κηκῖδος μέρος ᾱ, ὕδατος τὸ ἀρκοῦν.

ἐγχυμάτιζε δὲ διὰ μητρεγχύτου χυλὸν ἀρνογλώσσου ἢ σέρεως ἢ πολυγόνου ἢ στρύχνου ἢ περδικίου ἢ ψυλλίου ἢ ὑποκιστίδος ἢ ἀκακίας, καὶ ἐντιθέσθω ταῦτα δι' ἐρίου ἢ δακτύλου ἢ μήλης ἢ πτεροῦ εἰς μῆκος ἐσχηματισμένου ἄχρι τοῦ στομίου. καὶ ὁ Ἄνδρωνος δὲ τροχίσκος ἐγχυματιζόμενος διὰ μητρεγχύτου μετά τινος τῶν εἰρημένων χυλῶν ἢ οἴνου στύφοντος ἐνεργές ἐστι φάρμακον.

## ξγ'. Περὶ γυναικείου ῥοῦ.

1 Ῥευματισμός ἐστιν ὑστέρας ὁ ῥοῦς ὅλου τοῦ σώματος ἐκκαθαιρομένου· τοιοῦτον δὲ τὴν ἰδέαν ἐστὶν τὸ κενούμενον, οἷον καὶ τὸ πλεονάζον, τὸ μὲν ἐρυθρόν, οἷον ἰχὼρ αἵματος, ἕτερον δὲ λευκὸν ἀπὸ φλέγματος, ὠχρὸν δὲ ἄλλο πικρόχολον, ἐνίοτε δὲ ὑδατῶδες· εἰ δὲ αἷμα καθαρὸν ὡς ἐν φλεβοτομίᾳ φέροιτο, προσέχειν ἀκριβῶς, μή τις ἀνάβρωσις γέγονεν ἐν τῇ μήτρᾳ. σημειωτέον δὲ τὸν ῥοῦν ἐκ τοῦ συνεχῶς ἐπι-

ξγ' *cf. Oribasius vol. IV 636; Ad Eunap. IV 111; Aëtius XVI 65*
23—29 *Oribasius, Synops. IX 46*

2 εἶτα D ἐναργῶς D 3 ταῦτα DFG ἀρμενία D 4 Ἱκέσιος] ἡ ἱκέσιος FG Ἰνδική] DFGM, *e corr.* B: ἰνδικαὶ K: ἰνδή AEH*a* 5 ἐντὸς λεῖον] ἐντόσθιον E: ἐντόσχιον A, *e corr.* E: ἐντὸς χίον HM*a*: ἐντὸς λείου D 6 ῥοᾶς] GK: ῥοιᾶς DF: ἢ ῥοὰς ABEHM*a* 7 composita *a* τοῦ] τὸ EK 9 ἐρίου] DFGK: ἐρεοῦν ABEHM*a* 10 καὶ *(tert.) om.* D*a* δὲ] τε D 12 ἐγκάθισμα HKM*a*, *e corr.* B ταῖς] δὲ ταῖς FG, *e corr.* B ὀξυσχοίνου . . . Ἄλλο *(15) om.* D 13 βάτου] *corr. ex* βάτον B: βάτων AEM 15 Ἄλλο *om.* AE 16 ὕδατος] K*a*: ὕδατι ABEFGHM: ὕδωρ D 20 ἐσχηματισμένον FG 24 ὁ ῥοῦς *om.* D 25 ἐστὶν] GHKM: ἐστὶ ABDEF 26 αἵματος] ἐξ αἵματος D 27 ἄλλο] BDFK: ἄλλο ἄλλο AEGHM*a* δὲ *(sec.) om.* AE εἰ δὲ] FGK, *mg.* B²: ἢ D: *om.* ABEHM*a* αἷμα] ἔμμα E: ὄμμα A 28 ὡς] οἷον E φέρεται D*a* ἀκριβῶς] οὖν ἀκριβῶς δεῖ D 29 τῇ *om.* E

καθυγραίνεσθαι τοὺς τόπους διαφόροις κατὰ χρόαν ὑγροῖς, τὴν δὲ κάμνουσαν ἀχροεῖν, ἀτροφεῖν, ἀνορεκτεῖν κἂν τοῖς περιπάτοις δυσπνοεῖν καὶ διῳδηκότας ἔχειν τοὺς ὀφθαλμούς· καὶ ποτὲ μὲν χωρὶς πόνου, ποτὲ δὲ μετὰ πόνου γίνεται καὶ ἢ μεθ᾽ ἑλκώσεως ἢ χωρὶς ἑλκώσεως ἤτοι φλεγμαινούσης ἢ ῥυπαρᾶς ἢ καθαρᾶς. ὅλῳ μὲν οὖν τῷ σώματι βοηθεῖν τοῖς ξηραίνουσιν ὑγροῦ τοῦ πάθους ὄντος χωρὶς τοῦ θερμαίνειν ἐπιφανῶς τρίψεσί τε τοῦ σώματος ὅλου καὶ χρίσεσι διὰ μέλιτος ἱκανῶς ἑψηθέντος καὶ διουρητικὰ φάρμακα διδόναι, οἷόν ἐστιν ὕδωρ ἐνεψηθέντος αὐτῷ ἀσάρου καὶ σελίνου, κενοῦν δὲ καὶ διὰ γαστρὸς ὅλον
τὸ σῶμα. πρὸς δέ γε τούτοις ἀνδράχνη ἐσθιομένη καὶ ὁ χυλὸς αὐτῆς 2
πινόμενος ὠφελεῖ, βαλαύστιον, βάτου ὁ καρπὸς καὶ τὸ ἄνθος, δρυὸς τὸ ὑπὸ τῷ φλοιῷ τοῦ πρέμνου τὸ ὑμενῶδες καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου, ἵππουρις, μάλιστα τὸν ἐρυθρὸν ῥοῦν, πινομένη δι᾽ ὕδατος ἢ οἴνου, ὑποκιστίς, σχίνου ὁ καρπὸς φρυγεὶς καὶ μετ᾽ οἴνου πινόμενος, Σάμιος ἀστήρ, Λημνία σφραγίς, πυτία λαγωοῦ ἢ ἐρίφου ἢ ἀρνὸς ἢ μόσχου ἢ ἐλάφου, γίγαρτα λεῖα, μύρτα, ὄμφαξ ξηρός, πίτυος φλοιός, καὶ τὰ ἐπὶ τῆς αἱμορραγούσης ὑστέρας εἰρημένα τὰ μὴ λίαν δραστήρια. ὅτε δὲ μετὰ πόνου φέρεται, διὰ μητρεγχύτου ἢ κλυστῆρος χυλὸν ἄλικος ἢ πτισάνης ἢ τράγου ἢ ὀρύζης ἐνετέον αὐτὴν μετά τινος τῶν ἀνωδύνων φαρμάκων, καὶ ἐν μὲν τοῖς παροξυσμοῖς παρηγορητέον, ἐν δὲ τοῖς διαλείμμασι (περιοδίζει γὰρ ἐνίοτε) μετασυγκρίνειν αἰώραις διαφόροις, περιπάτοις, ἀναφωνήσεσιν, ἀλείμμασι, σικύαις, δρώπαξι κατὰ τῶν ὑπερκειμένων, ἡλιώσεσι, τρίψεσι, ψιλώθροις, σμήγμασι, σιναπισμοῖς, ἐμέτοις ἀπὸ ῥεφανίδων, ἀναληπτικῇ ἐπιμελείᾳ, λουτροῖς, οἴνῳ, ποικίλῃ τροφῇ.

## ξδ΄. Περὶ φλεγμονῆς ὑστέρας καὶ παρεγκλίσεως.

Ἡ φλεγμονὴ τῆς ὑστέρας ἐκ πλειόνων αἰτίων γίνεται· καὶ γὰρ 1
ἐκ πληγῆς καὶ τῆς τῶν ἐμμήνων ἐποχῆς ἀπό τε ψύξεως καὶ πνευματώσεως, οὐχ ἥκιστα δὲ καὶ ἐξ ἀμβλώσεως καὶ ἐκ τοκετῶν διὰ κακὴν

5—10 *Oribasius, Synops. IX 46* 10—15 *Oribasius, Synops. IX 47*
ξδ΄ *Oribasius vol. IV 636 sq.; cf. Aëtius XVI 83*

1 διαφόρους BKM δὲ] τε D 2 ἀτροφεῖν, ἀνορεκτεῖν] D: ἄτροφον ἀνόρεκτον ABEFGHKM 3 χωρὶς] DK: μετὰ ABEFGHM*a* 4 μετὰ] DK: χωρὶς ABEFGHM*a* γίνεται] D: γίνεσθαι ABEFGHKM 6 χωρὶς . . . ὅλου *(7) om.* D 7 χρίσεσι] συγχρίειν *e corr.* D 8 ἑψηθέντος D 9 αὐτῷ] ἐν αὐτῷ DF ἄσαρ° D 10 δέ *om.* K γε *om.* M 12 τὸ *(pr.)*] DG*a*: τῷ FK: τὰ ABEHM 13 τῶν ἐρυθρῶν D 14 οἴνου *(pr.)*] οἴνου ἢ FGK, *e corr.* B καὶ] D: *om.* ABEFGHKM*a* 15 ἢ *(pr.) om.* FGK ἀρνοῦ D ἀρνὸς . . . φλοιός *(16) om.* H 16 ἐλάφου] DFGM(*a*): ἐλαφίου ABEK, *e corr.* M μύρτα] μύρτα ξηρά D 17 εἰρημένα *om.* K 18 ὅταν BD φέρηται D χυλὸν] *comp.* D 19 ἢ τράγου *om.* D αὐτῇ F, *e corr.* J 21 ἀλείμμασιν K 24 ῥαφανίδων D ἀναληπτικῇ ἐπιμελείᾳ] ἀλιναπτικῇ ἐπιμελείᾳ K: *om. a* 25 τροφῇ] cibis refectione studiosa *a* 27 Ἡ *om.* D 28 ἐμπνευματώσεως D 29 διὰ] ἢ διὰ D

κύηςιν. παρέπεται δὲ τῇ φλεγμονῇ τῆς μήτρας πυρετὸς ὀξὺς ὀδύνη τε τῆς κεφαλῆς καὶ τένοντος καὶ βάσεων ὀφθαλμῶν καρπῶν τε καὶ δακτύλων καὶ τραχήλου καταςπαςμός, παρέγκλιςις ἐπὶ τἀναντία, στομάχου ςυμπάθεια, μύςις τοῦ τῆς ὑςτέρας ςτομίου, ςφυγμοὶ μικροὶ πυκνοί. καὶ εἰ μὲν ἀμυδρὰ εἴη ἡ φλεγμονή, οὐκ ἰςχυρῶς αὐτὴν ὀδυνῶνται τὴν ὑςτέραν· εἰ δὲ ἰςχυρά, καὶ αὐτὴ πᾶςα ςφυγματωδῶς ὀδυνᾶται, ὅλη μὲν φλεγμαίνουςα δι' ὅλης αὐτῆς, εἰ δὲ μέρος φλεγμαίνοι, κατὰ τοῦτο μᾶλλον ἡ ὀδύνη διαςημαίνει· τῶν μὲν γὰρ ὄπιςθεν αὐτῆς μόνον φλεγμαινόντων τὸ ἄλγημα κατὰ τὴν ὀςφὺν γίνεται, καὶ τὸ ςκύβαλον ἐπέχεται θλιβομένου τοῦ ἀπευθυςμένου, τῶν δὲ ἔμπροςθεν ἥ τε ὀδύνη κατὰ τὸ ἦτρον καὶ ςτραγγουρία ἢ δυςουρία γίνεται τῆς κύςτεως θλιβομένης· τῶν δὲ πλευρῶν φλεγμαινόντων οἵ τε βουβῶνες τείνονται, καὶ τὰ ςκέλη βαρύνονται· τοῦ δὲ πτύγματος φλεγμαίνοντος κατὰ τὸν ὀμφαλὸν ὁ πόνος μάλιςτα γίνεται ςὺν ὄγκῳ· περὶ δὲ τὸ ςτόμιον οὔςης τῆς φλεγμονῆς κατὰ τὸ ἐπιγάςτριον ὀδυνῶνται, καὶ τῷ δακτύλῳ καθ-
2 ιεμένῳ ςκληρὸν καὶ ἀπηνὲς ὑποπίπτει τὸ ςτόμιον. ἐν οὖν τῇ θεραπείᾳ πρῶτον μὲν ἐμβροχῇ δι' οἰνελαίου ἢ οἰνοροδίνου χρηςτέον κατά τε ἤτρου καὶ ὀςφύος διὰ πιλημάτων ἐξ ἐρίου καθαροῦ χωρὶς ἐπιδέςεως καὶ ἀςιτίᾳ μέχρι διατρίτου, μεθ' ἣν φλεβοτομητέον ἀπ' ἀγκῶνος, εἰ μηδὲν κωλύοι. θρεπτέον δὲ χόνδρῳ ἐκ μελικράτου ἢ ἄρτῳ ἢ ᾠῷ ῥοφητῷ παρὰ μίαν· μετὰ δὲ τὴν πέμπτην καταπλαςτέον γύρει, λινοςπέρμῳ, τήλει διὰ μελικράτου, ἐν ᾧ κωδύαι ἀφεψηθεῖςαι ἐρρίφηςαν, καὶ ἐλαίου. εἰ δὲ ἀγανακτοίη πρὸς τὰς θερμαςίας ἡ φλεγμονὴ ἐρυςιπελατώδης οὖςα, μελίλωτον ἑψήςας ἐν γλυκεῖ καὶ τρίψας ἐπίβαλε λεκίθους ᾠῶν ὀπτῶν ςὺν ῥοδίνῳ ἢ μηλίνῳ ἢ κροκίνῳ καὶ κατάπλαςςε ἢ φοίνικας οἴνῳ κεκραμένῳ ζέςας λείου μετὰ πάλης ἀλφίτων καί τινος τῶν εἰρημένων μύρων καὶ κατάπλαςςε. παρακμῆς δὲ γενομένης κηρωτὴν ναρδίνην ἢ κυπρίνην ἐπιρριπτέον. παρ' ὅλην δὲ τὴν θεραπείαν καὶ τοῖς ἐγκαθίςμαςι χρηςτέον δι' ἀφεψήματος τήλεως, λινοςπέρμου, μαλάχης, ἀρτεμιςίας, ἐλαίου, ἐπὶ δὲ τῶν μὴ ἀνεχομένων τῆς θέρμης δι' ὕδατος θερμοῦ ῥοδίνου ἐπιχεομένου. πεςςοὺς δὲ καὶ ἐγχυματιςμοὺς

16—29 *Oribasius, Synops. IX 48*

1 κύηςιν] κένωςιν D: κύρςιν $F^3$: cistin *a*: μαίωςιν *Wellmann cp. Soran. II 2* 2 τε *om.* M καὶ *(pr.)*] καὶ τοῦ F βάςεως D 3 δακτύλου K παρέγκλιςις] καὶ παρέγκλιςις D 4 τοῦ] DFGK, *supra add.* $B^2$: *om.* ABEHM πυκνοί] καὶ πυκνοί D 6 ἰςχυρά *om.* D πᾶςα *om.* D 7 ὅλη] ἂν μὲν ὅλη D μὲν *om.* DF φλεγμαίνοι D φλεγμαίνοι *om.* D 8 μόνον] μερῶν D 9 κατὰ τὴν ὀςφὺν τὸ ἄλγημα D καὶ] D: *om.* ABEFGHKM*a* 10 τοῦ ἀπευθυςμένου θλιβομένου E 13 πτύγματος] DG: πτύςματος F: πύγματος ABEHKM*a* 14 μάλιςτα ὁ πόνος D 15 καθιεμένων FG 17 οἰνορροδίνου D: ῥοδίνου E: ναρδίνου M, *sed corr.* 18 καὶ] καὶ τοῦ BH, *corr.* B 19 διατρίτου] τρίτης ἡμέρας D εἰ] εἴ γε D 20 δὲ] τε DFGK 22 διὰ] τῇ διὰ D ἐν] καὶ ἐλαίου ἐν D 23 καὶ ἐλαίου *om.* D: ἐν ἐλαίῳ F 24 μελίλωτα D ἐπίβαλλε DGM 26 μετὰ] DFG*a*: κατὰ ABEHKM παιπάλης D ἀλφίτου FG 28 καὶ *om.* *a* 29 λινοςπέρμου] FGK: ἢ λινοςπέρμου ABDEHM*a* 30 θέρμης] θερμῆς ἀγωγῆς D 31 δὲ] τε D

παραληπτέον δι' ὑccώπου μὲν καὶ βουτύρου καὶ μυελοῦ ἐλαφείου καὶ
χηνὸc cτέατοc καὶ Coυcίνου μύρου καὶ κηροῦ Τυρρηνικοῦ, ἐφ' ὧν ἀν-
έχονται θερμαcίαc· καὶ ὁ χρυcοῦc δὲ προcαγορευόμενοc πεccὸc ἁρμόcει
ταύταιc καὶ ὁ ἐννεαφάρμακοc· ἐφ' ὧν δὲ μὴ ἀνέχονται, δι' ᾠοῦ καὶ 4
ῥοδίνου καὶ χηνὸc cτέατοc ἢ ὄρνιθοc. πρὸc δὲ τὰc πυρωδεcτέραc φλεγ- **3**
μονὰc τῆc διὰ χυλῶν ἐμπλάcτρου ἐν διπλώματι μετὰ ῥοδίνου τήξαc
μίγνυε χυλὸν ἀρνογλώccου ἢ cέρεωc ἢ κιχωρίου ἢ ἰντύβου. ἢ τούτῳ
χρῶ· cτέατοc χηνείου ἢ ὑείου προcφάτου ∠ δ̄, κηρωτῆc ῥοδίνηc ἢ Coυ-
cίνηc 𐅻 β̄, ᾠῶν ὀπτῶν λεκίθων 𐅻 ᾱ, κρόκου ∠ ᾱ, cμύρνηc τριώβολον,
ὀπίου ὀβολοὺc β̄ ἢ ἀντὶ ὀπίου κωδυῶν ἀφέψημα. πολλῆc δὲ τῆc ὀδύ-
νηc οὔcηc ὀποῦ μήκωνοc ὅcον φακοῦ μέγεθοc μετὰ γάλακτοc γυναικείου
ἢ χυλοῦ τήλεωc δίδου προcτίθεcθαι. πρὸc δὲ τὰc μετὰ cκληρίαc φλεγ-
μονὰc τὴν τετραφάρμακον ῥοδίνῳ λύcαc προcτίθει ἢ ἔγχει. καὶ τὰc
παρεγκλίcειc δὲ κατὰ μὲν τοὺc παροξυcμοὺc ἐμφερῶc ταῖc φλεγμοναῖc
θεραπευτέον, ἐν δὲ ταῖc ἀνέcεcι καὶ παρακμαῖc μαλακτικωτέροιc, χρο-
νιcάντων δὲ τοῖc μεταcυγκριτικοῖc, ἔξωθεν δὲ cκληρίαc οὔcηc μαλάγ-
μαcι χρηcτέον τῷ διὰ μελιλώτων, τῷ Μναcέου, τῇ Ἱκεcίου, τῇ μηλίνῃ
Cαραπίωνοc ἢ τῇ πυρίνῃ· διαίτᾳ δὲ κατ' ἀρχὰc μὲν λεπτῇ, παρακμῆc
δὲ γενομένηc ὀλίγηc ἐπὶ λουτρὸν ἀκτέον ποικιλωτέρᾳ τε καὶ ἁδροτέρᾳ
χρηcτέον τροφῇ.

## ξε'. Περὶ ἀποcτήματοc ὑcτέραc.

Τῆc φλεγμονῆc εἰc ἀπόcταcιν μεταβαλλομένηc τὰ μὲν λεχθέντα 1
cημεῖα ἐπιταθήcεται, προcέτι δὲ ἄτακτοι μετὰ φρίκηc αὐταῖc ἐπιcημα-
cίαι γίνονται, κατὰ μὲν τοὺc πρώτουc χρόνουc ἐπιτεταμέναι cὺν ταῖc
ὀδύναιc, τελείωc δὲ διαπυηcάντων ἐπὶ ποcὸν ἀνίενται· περὶ δὲ τὸν
τῆc ῥήξεωc καιρὸν οἵ τε πόνοι δριμύτεροι πολλάκιc ἔδοξαν ἐμπεcεῖν
νυγματωδῶc, καὶ τὰ πυρέτια cφοδρότερον ἐνοχλεῖ, καὶ ποτὲ μὲν οὖρον
ἐπέχεται, ποτὲ δὲ κόπροc, παρὰ τὸ πεπονθὸc τῆc ὑcτέραc μέροc γινο-
μένου τοῦ παραποδιcμοῦ, ποτὲ δὲ ὄγκοc παρὰ τὸ ἐφήβαιον καὶ οἷον

ξε' *cf. Aëtius XVI 85*

1 μὲν] τε H: *om. a* 2 ἐφ' ὧν] in quibus uero *a* 3 δὲ] τε K: *om. a* 4 ὁ] FGK: ἡ ABDEHM 6 χυλοῦ DG: χυλὸν F τήξαc] DFGK: τήξεωc ABEHM*a* 7 μιγνύειν K ἰντύβων FG τούτῳ] τούτοιc F: τι τῶν τοιούτων K 8 coυcίνηc ἢ ῥοδίνηc D 9 ὀπτῶν] λεπτῶν K 𐅻 ᾱ] ∠ ᾱ E: *om. a* ∠] ana ÷ *a* 10 ὀβολοὺc] ὀβολοῦ ∠ K 12 χυλοῦ *om.* D τὰc *om.* K 13 τετραφάρμακον] τε φάρμακον K καὶ *om. a* 14 μὲν *om. a* 15 δὲ *om. a* χρονιcάντων] χρηcτέον χρονιcάντων DG: χρηcτέον καὶ χρονιcάντων F: καὶ χρονιcάντων ABEHKM χρονιcάντων . . . μεταcυγκριτικοῖc *(16) om. a* 17 ἱκεcίῳ D μηλίνῃ] μηλίνου K: μηλίνῃ τῇ D 18 διαιτᾶν D λεπτῶc D 19 ἀκτέον] ἀκτέον καὶ AE τε *om.* AE 23 ἐπιτείνεται D αὐταῖc μετὰ φρίκηc D 24. 25 cὺν ἐπιτεταμέναιc ὀδύναιc D 24 ἐπιτεταμέναιc K: -c *supra add.* B²: *om. a* 27 νυγματωδῶc *om.* D: *des.* H *fol. 170ᵛ* cφοδρότερα M ἐνοχλεῖν D καὶ *(alt.) om.* K 28 δὲ *om. a* 29 παρὰ] π (ε supra) D

κλυδαςμοῦ ςυναίςθηςις, ὁπότε τὸ ἀπόςτημα μεῖζον ᾖ. τὸ δὲ ἐν τοῖς προχείροις τόποις καὶ διὰ διοπτριςμοῦ ἢ δακτύλων ἁφῆς καταλαμβάνεται πρὸς τῷ καὶ τὰς ὀδύνας ἰςχυροτέρας ἴςχειν διὰ τὸ νευρῶδες τοῦ ςτομίου, ὥςπερ οὖν τὸ ἐν τῷ πυθμένι καὶ κατὰ τὸν κόλπον ἀπονώτερόν ἐςτι, καὶ τοῖς μὲν δακτύλοις ὄγκος οὐχ ὑποπίπτει, τὸ δὲ ςτό-
2 μιον ἰςχνότερον δείκνυται. τῇ μὲν οὖν τάχιον ἐκπυήςει ςυνεργητέον διά τε καταπλαςμάτων τῶν διὰ τήλεως καὶ λινοςπέρμου καὶ κριθίνου ἢ ςιτίνου ἀλεύρου παραπλεκομένων αὐτοῖς ςύκων ἑφθῶν, ποτὲ δὲ καὶ περιςτερᾶς κόπρου. καὶ ἐγκαθίςμαςι δὲ τοῖς ἐπὶ φλεγμονῇ ςυνεχέςτερον χρηςτέον καὶ πεςςοῖς διὰ τερεβινθίνης καὶ ςμύρνης καὶ ὑςςώπου καὶ βουτύρου. ςυρραγέντος δὲ τοῦ ἀποςτήματος, εἰ μὲν ἐπὶ κύςτιν ἐνεχθῇ τὸ πῦον, γαλακτοποςίαις χρηςτέον καὶ ςικύου ςπέρματι ποτιςτέον· εἰ δὲ εἰς ἀπευθυςμένον ςυρραγῇ, φακοῦ καὶ ςιδίων ἀφεψήματι κλυςτέον· εἰ δὲ κατὰ τοῦ κόλπου ῥαγῇ, καθαροῦ μὲν ὄντος τοῦ πύου ῥόδινον ἐγχυματίζειν ἢ λελευκαςμένον ἔλαιον ἢ τὴν τετραφάρμακον βαςιλικὴν ἢ βούτυρον πρόςφατον, ἰχῶρος δὲ φερομένου λεπτοῦ δυςώδους ὡς ἀπὸ νομῆς ςτυπτικώτερον ἔςτω τὸ ἔνεμα διὰ μύρτων, φοινίκων, φακῆς· καὶ μετὰ τὴν ἔκκριςιν τῶν ὑγρῶν εἰ φλεγμαίνοιεν, ἐπιμενετέον τοῖς τε καταπλάςμαςι καὶ τοῖς ἐγκαθίςμαςι. περὶ δὲ τὸ ςτόμιον τῆς ὑςτέρας γενομένου τοῦ ἀποςτήματος καὶ μὴ ςυρρηγνυμένου μετὰ τὸ λεπτοποιηθῆναι τὰ ἐπικείμενα τῷ πύῳ ςώματα ἐπὶ τὴν διὰ χειρουργίας ἔκκριςιν τοῦ πύου τραπῶμεν, ὡς ἐν τοῖς χειρουργουμένοις εἰρήςεται.

## ξς′. Περὶ ἑλκώςεως ὑςτέρας.

1 Ἑλκοῦται πολλάκις ἡ ὑςτέρα διὰ δυςτοκίαν ἢ ἐμβρυουλκίαν ἢ φθορὰν ἢ ὑπὸ φαρμάκων δριμέων ἢ ὑπὸ ῥεύματος ἢ ἐξ ἀποςτημάτων ςυρραγέντων. εἰ μὲν οὖν πρόχειρος εἴη ἡ ἕλκωςις, διὰ διοπτριςμοῦ καταλαμβάνεται, εἰ δὲ διὰ βάθους, ἐκ τῶν ἐκκρινομένων· ὑγρὸν γὰρ ἀποκρίνεται διάφορον, φλεγμαίνοντος μὲν τοῦ ἕλκους ὀλίγον, αἱματῶδες ἢ τρυγῶδες, ςὺν περιωδυνίᾳ, ῥυπαροῦ δὲ ὄντος πλεῖον καὶ ἰχωρῶδες, ςὺν ἐλάςςονι πόνῳ, νεμομένου δὲ δυςῶδες, μέλαν, ςὺν ἀλγήμαςιν ἰςχυροτέροις καὶ τοῖς ἄλλοις τῆς φλεγμονῆς ςημείοις, διερεθιςμὸς

6—13 *Oribasius, Synops. IX 49* 19 *cf. Aëtius XVI 86* 22 εἰρήςεται] *VI 73* ξς′ *cf. Aëtius XVI 88*

ABDEGKM*a*(F)

1 ἢ] εἰ K: εἴη D 2 καὶ *om. a* 3 ἰςχυρὰς D 5 ὄγκος *om.* AE 6 τάχειον GM: ταχείᾳ K 10 πεςςοὶ ABM, *corr.* $B^2$: pesso *a* τερεβι$^{θ}$ν DEGK: τερεβίνθου F καὶ *(sec.) om.* FG 12 ςπέρμα D 14 τοῦ κόλπου] κόλπον F ῥαγῇ] DFG: ῥαγεῖ ἢ K: ῥαγείη ABEM 16 ὡς *om.* K 17 ἔνεμα] ἐνιέμενον D 18 εἰ] εἰ δὲ K τε *om.* D 19 περὶ] χρωμένους περὶ D 20 μετὰ τὸ] τῷ D 21 ςώματι FG ἐπὶ τὴν διὰ] DFGK: ἐπὶ τῇ διὰ ABE: ἐπιτήδεια M*a* ἔκκριςιν] DFGK: ἐκκρίςει ABEM 22 εἴρηται BEM 26 εἴη *om.* M 29 πλέον D: πλείονες F: putredo *a* ἰχωρῶδες] D$J^2$: ἰχῶρες ABEFGKM: sanies *a* 31 διερεθιςμός] ABEGM*a*: διερεθιςμοὺς F: ἐρεθιςμός τε D: ὁ δὲ διερεθιςμὸς K$B^2$

πρὸς τὰ χαλαστικὰ τῶν φαρμάκων, πρὸς δὲ τἀναντία κουφισμός· καθ-
αροῦ δὲ ὄντος ὑγρὸν ὀλίγον, ὁμαλόν, ἄοσμον, παχύ, λευκόν ὑπ᾽ εὐ-
αισθησίας. φλεγμαίνοντος μὲν οὖν τοῦ ἕλκους τοῖς πρὸς φλεγμονὴν
εἰρημένοις χρηστέον, ῥυπαροῦ δὲ ὄντος πτισάνης χυλὸν μετὰ μέλιτος
ἐγκλυστέον ἢ τὴν τετραφάρμακον μετὰ Cουσίνου ἢ μελικράτου ἡψη-
μένης ἐν αὐτῷ τήλεως ἢ μαλάχης ἢ πιτύρων ἢ φακοῦ λελεπισμένου,
πρὸς δὲ τὸ μᾶλλον ἀνακαθᾶραι καὶ πρασίου ἢ ὀρόβου, ἢ μέλιτι παρα-
πλέξαντα ὀρόβου τὸ ἄλευρον ἢ ἶριν ἢ στυπτηρίαν στρογγύλην ἤ τι
τῶν ἐμφερῶν παραπέμπειν, τούτοις δὲ αὐτοῖς καὶ ἔξωθεν καταπλάτ-
τειν μελικράτῳ πεφυραμένοις. ἰδιαίτερον δὲ ὠφελεῖ τόδε τὸ φάρμα- 2
κον· κρόκος κάλλιστος λεαίνεται μετὰ γυναικείου γάλακτος, εἶτα ἀνα-
ληφθεὶς κηρωτῇ ῥοδίνῃ μετὰ χηνείου στέατος ἐγχρίεται κροκύδι. τούτου
δὲ σπουδαιότερον καὶ πρὸς περιωδυνίας ἁρμόζον τοῦτο· κωδύαι μή-
κωνος ἐν γλυκεῖ κεκραμένῳ βρέχονται ἐπὶ ἡμέρας γ̄, εἶτα ἕψονται, ἕως
τακερωθῶσιν, εἶτα τρίβονται ἅμα ῥόδων φύλλων < ε̄ καὶ κρόκου < γ̄
παραμιγνυμένου τοῦ τῶν κωδυῶν ἀφεψήματος· εἶτα καταχεῖν αὐτῶν
τήξαντα σὺν ῥοδίνῳ κηροῦ < β̄ καὶ προστιθέναι ἐν πεσσῷ χρίσαντα
ῥοδίνῳ. ποιεῖ δὲ καὶ τὸ δι᾽ ᾠῶν καὶ κρόκου καὶ ῥοδίνου καὶ χηνὸς
στέατος καὶ ἐλαφείου μυελοῦ σκευαζόμενον· καὶ ἡ Αἰγυπτία δὲ ἡ δίχα
τοῦ ἰοῦ θαυμασίως ἁρμόζει πρὸς τὰς ἑλκώσεις. νομῆς δὲ οὔσης σὺν
φλεγμονῇ μὲν καταπλαστέον ἄρτῳ χλιαρῷ πεφυραμένῳ δι᾽ ὑδρομέλι-
τος καὶ ἐλαίου καὶ ἀλθαίας καὶ τήλεως καὶ φοινίκων λιπαρῶν· ἐνετέον
δὲ χυλὸν ἀρνογλώσσου, στρύχνου, πολυγόνου, σέρεως, πρῶτον μὲν καθ᾽
αὑτά, ὕστερον δὲ μετ᾽ οἴνου αὐστηροῦ ἢ ὄξους. ἄνευ δὲ φλεγμονῆς 3
τῆς νομῆς κατεπειγούσης ἐνετέον τὰ εὐτονώτερα, καθάπερ ἀφέψημα
σιδίων, ῥόδων, θαλασσίας, κυπαρίσσου, μήλων Κυδωνίων, βάτου, μύρτων,
σχίνου, ῥάμνου, ῥοῦ σκυτοδεψικοῦ δι᾽ οἴνου στύφοντος, ὕστερον δὲ καὶ
στυπτηρίας, ἀκακίας, λυκίου, ὑποκιστίδος· ἐκ δὲ τῶν αὐτῶν ἀφεψημά-
των ἔστω καὶ ἐγκάθισμα. μὴ προκόπτοντος δὲ ἐνιέναι τὸ διὰ χάρτου
μετ᾽ ὀξυκράτου τὸ πρῶτον, εἶτα ὄξους, ἢ τὴν ἀνθηρὰν ἢ χαλκῖτιν ἢ
χάλκανθον διὰ τῶν αὐτῶν ὑγρῶν καὶ τὰ τοῖς δυσεντερικοῖς ἁρμόζοντα.

10—18 *Oribasius, Synops. IX 50* 19—20 *Aëtius XVI 90*

2 ὑπ᾽ εὐαισθησίας *om.* D*a* 3 οὖν] D: *om.* ABEFGKM*a* 4 χυλὸν] *comp.* G: χυλοῦ F: χυλῷ D 5 τῇ τετραφαρμάκῳ D 7 μᾶλλον] μέλαν D μέλιτος K παραπλέξαντι K: παραπλέξαντας D: *comp.* G 8 ὀρόβου] DFG: τοῦ ὀρόβου ABEKM 10 πεφυρμένοις EK δὲ] τε B τὸ *om.* K 11 γάλακτος γυναικείου FGK 14 βρέχονται] DFG: βρέχοντι K: μίγνυνται ABEM*a* εἶτα] εἶτα δὲ K ἕψονται] D: ἕψωνται G: ἑψοῦνται ABEFKM 15 ῥόδων φύλλων] D: ῥόδου φύλλων FG*a*: ῥοδοφύλλων ABEKM καὶ] DFGK: *om.* ABEM*a* 16 τοῦ τῶν] τούτοις D κατέχειν K*a* αὐτῶν] αὐτῶν δεῖ D 17 σὺν *om.* D 20 θαυμαστῶς DFG 21 χλιαρῷ] καθαρῷ AD, *corr. mrg.* A (γρ.) πεφυρμένῳ E 26 θαλασσίας] ABEM*a*: θαλλίας DGK: θαλίας F, *e corr.* B 27 ῥοὸς DK δὲ *om.* K 28 λυκίου] ῥοῦ λυκίου D δὲ *om.* *a* 29 καὶ] δὲ καὶ F ἐγκαθισμός FG 30 ὄξος M ἀνθηρὰν] *inc.* L χαλκῖτιν] DK: χαλκίτην ABEFGLM 30. 31 ἢ χάλκανθον *om.* *a* 31 ἁρμόζον L

διδόναι δὲ τροφὴν εὔχυμον, ὀλίγην· καθαροῦ δὲ γενομένου τοῦ ἕλκους λούειν τε ποικιλώτερον καὶ τρέφειν καὶ οἶνον παρέχειν, ὅπως ἡ σάρκωσις ταχέως γίγνοιτο. ἐν πεσσοῦ δὲ μέρει προσθετέον τὴν διὰ μόρων ἀνειμένην διὰ καδμίας ἢ λαδάνου ἢ μολυβδαίνης. ἔξωθεν δὲ καὶ ἀπουλωτικὴν ἔμπλαστρον ἐπιθετέον ἐπιγαστρίῳ καὶ ἰσχίοις· ὥσπερ γὰρ τῶν καταπλασμάτων, οὕτω καὶ τῶν ἐμπλάστρων ἡ δύναμις διὰ τῶν ἀδήλων διενεχθήσεται πόρων.

## ξζ΄. Περὶ καρκίνου.

1 Τῶν ἐν μήτρᾳ καρκίνων οἱ μὲν μεθ' ἑλκώσεως, οἱ δὲ χωρὶς ἕλκους συνίστανται. ἐπὶ μὲν οὖν τῶν ἀνελκώτων ὄγκος εὑρίσκεται περὶ τὸ στόμιον τῆς ὑστέρας σκληρός, ἀνώμαλος, ὀχθώδης, χρόᾳ τρυγώδης, ἐνερευθής, ποτὲ δὲ καὶ ὑποπέλιος· καὶ πονοῦσιν ἰσχυρῶς κατά τε βουβῶνας καὶ ἐπιγάστριον καὶ ἦτρον καὶ ὀσφύν, ἀγανακτοῦσί τε πρὸς τὰς χειραψίας καὶ τὴν ποικιλωτέραν φαρμακείαν. ἡλκωμένου δὲ ὄντος τοῦ καρκίνου πρὸς ταῖς ὀδύναις καὶ σκληρίᾳ καὶ ὄγκῳ διαβεβρωμένα καὶ ἀνώμαλα τὰ ἕλκη θεωρεῖται, κατὰ μὲν τὸ πλεῖστον ῥυπαρά, ὀχθώδη, λευκανθίζοντα, εἰδεχθεῖς ἐπιπάγους ἔχοντα, τὰ δὲ δοκοῦντα καθαρὰ τρυγώδη, πελιά, ἐνερευθῆ καὶ δίαιμα φαίνεται, ἐκκρίνεται δὲ διηνεκῶς ἀπ' αὐτῶν ἰχὼρ λεπτός, ὑδατώδης, μέλας ἢ πυρρός, δυςώδης, ἐνίοτε δὲ καὶ αἷμα φέρεται, τά τε ἄλλα σημεῖα τὰ ἐπὶ φλεγμαινούσης ὑστέρας
2 εἰρημένα. τὸ μὲν οὖν πάθος ἀνίατον, ὥς που καὶ Ἱπποκράτης ἀπεφήνατο· παρηγορεῖν δὲ ὅμως αὐτὰς ἐγκαθίσμασι μὲν τοῖς διὰ τήλεως καὶ μαλάχης καὶ καταπλάσμασι τοῖς ὁμοίοις. λίαν δὲ παρηγοροῦσιν ἐν τοῖς παροξυσμοῖς μαλάχη ἢ ἀλθαία ἐν μελικράτῳ τακερωθεῖσα καὶ συλλειουμένη μετ' ὀλίγου ῥοδίνου καὶ καταπλασσομένη καὶ τὸ διὰ τῶν ἰσχάδων καὶ μελιλώτου καὶ πηγάνου καὶ λιβάνου καὶ βουνιάδος βοτάνης κοπτομένης ἐπιμελῶς σὺν ἐλαίῳ κατάπλασμα καὶ τὸ διὰ φοινίκων ἡψημένων ἐν γλυκεῖ προσλαβὸν λεκίθους ᾠῶν καὶ ἄλφιτα ἢ μήκωνος μετὰ κοριάννου ἢ πολυγόνου ἢ σέρεως. ταῦτα μὲν ἐν ταῖς περιωδυνίαις, μετὰ

ξζ΄ *cf. Aëtius XVI 94* 21 Ἱπποκράτης] *Morb. mul. II 24*
21—p. 285, 9 *cf. Oribasius, Synops. IX 51*

ABDEGKM*a*(FL)

1 δὲ] τε D εὔχυμον] εὐκοίλιον K: τὴν εὔχυλον L γινομένου D 2. 3 ταχέως ἡ σάρκωσις D 4 δὲ] τε FGK 7 ἐξενεχθήσεται FG πόρων διενεχθήσεται D 9 ἐν] DGK: ἐν τῇ ABEFLM 11 χρόᾳ . . . ἐνερευθής *(12) om.* G 12 βουβῶνος M 13 καὶ *(pr.) om.* KL ἐπιγαστρίου M: ὑπογάστριον AE τε] δὲ FG*a*: τε καὶ E 14 χειρουργίας AE*a* εἱλκωμένου GKL: ἡ- *in ras.* B 15 σκληρίᾳ . . . ὄγκῳ] τῷ ὄγκῳ καὶ τῇ σκληρίᾳ ἔτι καὶ D σκληρίαις F*a* 16 τὰ] DFGKL: τε ABEM 17 ἐπιπάχους AE(*a*) 19 ἀπ' αὐτῶν] D: ἀπάντων L: ἀπ' αὐτοῦ ABEFGKM*a* 20 τε] δὲ KLM τὰ] DL: *om.* ABEFGKM 21 τὸ] ἐμφαίνεται. τὸ D ὥς που] ὥσπερ D: sicut *a* καὶ *om. a* 22 δὲ *om. a* 23 καὶ] DEFGK*a*: *om.* ABLM τοῖς *(pr.)*] DFGK: τε τοῖς ABELM 24 ἀλθαία ἢ μαλάχη D ἢ *om.* K συνλειουμένη FGK: συνλειομένη L 26 καὶ *(pr.)*] δὲ καὶ D μελιλώτου] DK: μελιλώτων ABEFGLM*a* 27 κατάπλαττε D: τε *supra add.* B[2] τῷ D διά] διὰ τῶν D ἡψημένῳ D 28 ἐν *om.* D προσλαβὸν] ἐμβαλὼν D ἀλφίτων D 29 ἢ *(pr.)*] ἢ πηγάνου ἢ D

δὲ ταῦτα κηρωτὴ ἐπιρριπτέσθω διὰ ῥοδίνου ἢ μυρσίνου ἢ οἰνανθίνου ἢ μηλίνου μετὰ φοινίκων ἐν γλυκεῖ ἑφθῶν. ἰδίως δὲ συμπεφώνηται τὸ διὰ τῆς ὑποστάθμης τῆς ἐν τοῖς χαλκείοις, ἥτις ἐποπτηθεῖσα λειοτριβεῖται καὶ ἀναλαμβάνεται κηρωτῇ ῥοδίνῃ μέχρι συστάσεως ἐμπλαστρώδους. ταῦτα μὲν ἔξωθεν· ἔσωθεν δὲ παρηγορεῖ τοὺς τόπους καὶ ἔλαιον, ἐπειδὰν ἡλκωμένοι τύχοιεν, καὶ γάλα γυναικεῖον ἐγχυματιζόμενον ὅ τε χυλὸς τοῦ ἀρνογλώσσου χλιαρός· εἰ δὲ αἱμάσσοιτο, χυλὸς πολυγόνου σὺν βραχεῖ λιβανωτοῦ παρηγορεῖ καὶ πεσσοὶ διὰ κρόκου καὶ γυναικείου γάλακτος καὶ ὀποῦ μήκωνος καὶ ὑσσώπου. πάντων δὲ ἄμεινον ἐνεργεῖ 3
καὶ πρὸς τὰς ἑδρικὰς διαθέσεις τοῦτο· λιθαργύρου Ἰταλικῆς πεπλυμένης ℔ ε̄, λιβάνου ἄρρενος, ὑσσώπου, στέατος χοιρείου νεαροῦ, βουτύρου προσφάτου, κηροῦ Τυρρηνικοῦ ἀνὰ ℔ β̄, ῥοδίνου ℔ δ̄· τὴν λιθάργυρον λειώσας σέρεως χυλῷ τοῖς τηκτοῖς ἐνέβαλον. τροφὰς εὐδιοικήτους δοτέον εὐχύμους, οἶνον ὀλίγιστον ὑδαρῆ, φυλαττομένους δριμυφαγίας καὶ τροφῆς πλῆθος· ἑτοίμως γὰρ αὐταῖς τὰ σιτία διαφθείρεται.

## ξη΄. Περὶ σκίρρου καὶ σκληρωμάτων.

Σκιρροῦται ἡ μήτρα ποτὲ μὲν αἰφνίδιον μηδενὸς προφανέντος, 1
τὰ πολλὰ δὲ φλεγμονῆς προηγησαμένης καὶ μήτε λυθείσης μήτε εἰς ἀπόστημα μεταβληθείσης. ἐν εἴδει δὲ τοῦ σκίρρου καὶ τὸ λεγόμενον σκλήρωμά ἐστιν περὶ τῷ τραχήλῳ τῆς μήτρας ὡς μάλιστα συνιστάμενον, ὄγκον μὲν ὁμοίως ἔχον, ἧσσον δὲ ἀντίτυπον, μετὰ ἀλγήματος συμμέτρου· παρέπεται δὲ καὶ τούτοις παρέγκλισις ἐπὶ τὰ ἀντικείμενα, ὄγκος πρὸς λόγον τῆς πιλήσεως ἰσχυρός, ἀντίτυπος, μετὰ βάρους καὶ δυσκινησίας οὐ σκελῶν μόνον ἀλλὰ καὶ τοῦ ὅλου σώματος, ὄκνος τε πρὸς τὰς πράξεις· αἷς ἕπεται μὴ καλῶς ἀχθείσαις καχεξία ὑδερώδης. ἐν ἀρχῇ τοίνυν φλεβοτομητέον ἢ κάθαρσιν παραληπτέον διὰ τῆς Ἀρχιγένους ἱερᾶς, εἶτα καταπλάσματα διὰ ἰσχάδων, ὑσσώπου, νίτρου, ἀψινθίου, καὶ σικύας μετὰ κατασχασμῶν, μαλάγματα δὲ τὸ πολυάρχιον, τὸ διὰ σπερμάτων, τὸ διὰ δαφνίδων, ἐγκαθίσματα δι' ἀφεψήματος ἰσχάδων, ἀρτε-

ξη΄ *cf. Aëtius XVI 84*

1 οἰνανθί^α^ν L 2 μηλίνων ABEM, *corr.* B: μηλί^α^ν L ἑφθῷ D 4 ῥοδίνῳ F 6 ἐπειδὰν] ἐπειδὰν δὲ K: δὲ *add.* B³ εἱλκωμένοι BGKL τυγχάνοιεν D καὶ *om.* L 7 αἱμάσσοι K 11 ἄρσενος D χοιρείου] anserini *a* 13 ἐνέβαλον] AKLM: ἐνέβαλλον E: ἔμβαλλε D*a*, *e corr.* B: ἔμβαλε FG τροφὰς] ABEKLM*a*: τροφὰς δὲ DFG, *e corr.* B 14 εὐχύμους] καὶ εὐχύμους AD(L?): *om. a* 15 αὐταῖς] DFG: αὐτοῖς ABEKLM 16 σκληρωμάτων] DEL: σκληρώματος ABGKM*a*: σκιρρομάτων F 17 ἡ] δὲ ἡ L αἰφνίδιον] DK: εὐφνηδιον L: αἰφνιδίως ABEFGM 18 καὶ . . . λυθείσης *om.* K

20 σκίρωμα D ὡς *om.* K*a* 22 καὶ *om.* K ἐπὶ] π̂^ε^ D 23 πιλήσεως] D: πείσεως AEGKLM, *in ras.* B: ἢ ὕσεως F: *om. a* ἰσχυρός] EFGKL: ἰσχυρῶς ABDM*a* 24 ὅλου τοῦ D 25 αἷς] L: *om.* ABDEFGKM*a* μὴ . . . ἀχθείσαις *om. a* καλῶς] καλῶς δὲ D καχεξία] καὶ καχεξία D*a* 26 ἢ . . . παραληπτέον] καὶ D 27 εἶτα] καθαρτέον D: ἢ K κατάπλασμα E 28 σικύαις K: σικύαι *e corr.* D καταπλασμων L: κατασχαμου *mrg. a*

μιcίας, ἀλθαίας, γλήχωνος, πεccοὺς διὰ τερεβινθίνης, χαλβάνης, cμύρνης, ἴρεως, ὑccώπου, δρώπακας, ὑδάτων αὐτοφυῶν χρῆcιν νιτρωδῶν, ἀcφαλτωδῶν, ἰcχύος δὲ ὑπούcης καὶ ἐλλεβοριcμόν.

2 Πεccὸc μαλακτικός.

Κηροῦ Ποντικοῦ, ναρδίνου μύρου ἀνὰ ℔ γ̄, ἰρίνου, γλευκίνου, κυπρίνου ἀνὰ ℔ β̄, cτέατος ἀρκείου καὶ χηνείου, βουτύρου, ὑccώπου, μυελοῦ ἐλαφείου, τερεβινθίνης ἀνὰ ℔ ᾱ.

Ἄλλο. πολίου < β̄, cμύρνης < δ̄· μετὰ οἴνου Μενδηcίου λειώcας, ἰρίνῳ δεύcας προcτίθεcθαι δίδου.

Ἄλλο. κηροῦ Τυρρηνικοῦ, cτέατος μοcχείου, τερεβινθίνης, μυελοῦ ἐλαφείου, μέλιτος Ἀττικοῦ, ἐλαίου παλαιοῦ ἴcα.

Μεταcυγκριτικὸν καὶ πρὸc ἐμπνευματώcειc. cταφίδος λευκῆc χωρὶc τῶν γιγάρτων ℔ γ̄, πηγάνου χλωροῦ φύλλων ℔ β̄, ὕδατος θαλαccίου ℔ ᾱ ∠′, κυμίνου < δ̄, μέλιτος τὸ ἀρκοῦν· ἐπιχρίcας δὲ πεccὸν ἔμβαπτε κυπρίνῳ ἐλαίῳ καὶ προcτίθει.

Καὶ ὁ χρυcοῦc δὲ πεccὸc ὅ τε Λιβιανὸc καὶ ὁ ἐννεαφάρμακος ἁρμόζουcι τῇ διαθέcει· ἰδιαίτερος δὲ ὁ Τιτιανός.

## ξθʹ. Περὶ μύλης.

Καὶ ἡ μύλη cκιρρώδης ἐcτὶν ὄγκος, ποτὲ μὲν κατὰ τὸ cτόμιον τῆc μήτρας, ποτὲ δὲ καὶ καθ᾽ ὅλην αὐτὴν προφαινόμενος, ἁφῇ λιθώδης, μετὰ καταcπαcμοῦ τῶν ὑπερκειμένων καὶ ἰcχνάνcεωc ἀχροίας τε καὶ ἀνορεξίας, ἐποχῆc ἐμμήνων καὶ μαcθῶν ὄγκος, ὡc ὑπόνοιαν cυλλήψεωc ἐπί τινων γίνεcθαι κατ᾽ ἀρχάc· ὕcτερον δὲ χρόνῳ διακρίνονται. τινὲc δὲ καὶ ὑδέρου παρέχουcιν ὑπόνοιαν· καὶ τούτου δὲ διακριτέον αὐτὰc τῇ τε τοῦ ὄγκου cκληρίᾳ καὶ τῷ μὴ γίνεcθαι ἦχον ἐν τῇ τῶν δακτύ-

ξθʹ *cf. Aëtius XVI 80*

1 ἀλθαίας, γλήχωνος] DFGK: γλήχωνος ἀλθαίας ABELM*a*   πεccοὶ D   τερεβιν^θ DEGKL   2 δρώπακας] GK(L): δρώπακες D: δρώπακος ABEM*a*: δρώπακος χρίcμαcιν F   χρῆcιν] ABEFGKM*a*: χρῆcιc D   νιτρωδῶν] νιτρ^ω οδων ἢ L   3 ἐλλεβοριcμόν] KL: ἐλλεβοριcμός ABDEFGM*a*   5 νάρδου K: ναρ^δ L   γ̄] ῑ D   6 ἀνὰ ℔ β̄ *om.* FG   7 τερεβιν^θ DGKL: τερεβίνθης F: τερβινθίνης A: τερμινθίνης E*a*   8 ἄλλος L, *comp.* E   β̄] δ̄ KL   Μενδηcίου] μενδιcίου ADE: μὲν διαcίου K: quidem dissio *a*   9 προcτίθεcθαι *om.* D   10—17 *om.* D   10 ἄλλο] *mrg.* AK: ἄλλος L, *comp.* E   τερεβιν^θ GK: τερμιν^θ L   12 μεταcυγκριτικοῦ AKM: μεταcυνκριτικος L   cταφίδος] ἢ cταφίδος K   χωρὶc *om.* FG   13 χλωρῶν FGK: χχ^οο L   φύλλων *om.* L   14 ᾱ] β̄ FG   πεccοὺc FGK   16 Καὶ *(pr.) om. a*   Λιβιανὸc] FGKL: λιβάνιος ABEM*a*   17 ἰδιαιτέρωc E: ιδιαιτερον L   19 καὶ *om. a*   20 καὶ *om.* K   φαινόμενος K   ἁφῇ] ἐφ᾽ ᾗ D   21 μετὰ] *om. a*: ἀντιτυπία μετὰ D   21. 22 ἀνορεξία τε καὶ ἄχροια καὶ ἐποχὴ D   22 ὄγκος] immo ὄγκου: διογκοcεωc L   ὡc] φαίνεται ὡc καὶ D: ωcτε και L   ὑπόνοιαν] φανταcιαν L   23 γίνεcθαι κατ᾽ ἀρχάc] DFGKL: κατ᾽ ἀρχὰc γίνεcθαι ABEM*a*   χρόνῳ] DFGL*a*: χρόνου ABEKM   24 δὲ *(pr.) om. a*   ὑδέρου . . . ὑπόνοιαν] ἔμφαcιν ὑδέρου παρέcχον D   τούτου δὲ] DK: τουτου δε αυταc L: τοῦτο F: τούτῳ ABEGM*a*   αὐτὰc] DFGK: *om.* ABELM*a*

λων ἐπικρούcει, καθάπερ ἐπὶ τῶν ὑδέρων· ἐπί τινων δὲ κατὰ τὸ ἀληθὲc εἰc ὕδερον μετέcτη, ὅτε καὶ ἀνίατον ὡc τὰ πολλὰ τὸ πάθοc γίνεται. τιcὶ δὲ καὶ αἷμα φέρεται. κοινῶc μὲν οὖν κατάκλιcιc αὐταῖc ἐν οἰκήματι μικροτέρῳ καὶ cκοτεινῷ cυμφέρει καὶ μετρίωc ἀναψύχοντι κατὰ κλίνηc ἀκινήτου μετεωρότερα τὰ πρὸc τοὺc πόδαc ἐχούcαιc ἐν ἠρεμίᾳ· προκλητικὴ γὰρ πάcηc ῥύcεώc ἐcτιν κίνηcιc. καὶ τοὺc μὲν ὄγκουc τε καὶ τὰc cκληρίαc τοῖc ἐπὶ cκίρρων τε καὶ cκληρωμάτων μήτραc εἰρημένοιc ἰαcόμεθα, τὰc δὲ ὑδερικὰc παρεγχύcειc διὰ τῶν ἐν τῷ περὶ ὑδέρων λεχθέντων, τὰc δὲ αἱμορραγίαc ὥcπερ τὰc αἱμορραγίαc καὶ τὸν ῥοῦν. τινὲc δὲ τὴν μύλην cάρκα φαcὶν ἀδιάπλαcτον πρὸc αὐτοῖc τοῖc χιτῶcι τῆc μήτραc cυνιcταμένην καὶ ἀποτικτομένην ὥcπερ τὰ ἔμβρυα. καὶ τοῦτο δὲ τὸ εἶδοc τῇ χαλαcτικῇ ἀκτέον ἀγωγῇ, ὥcτε τάχιον ἐκκριθῆναι.

## ο΄. Περὶ ἐμπνευματώcεωc.

Ἐμπνευματοῦται ἡ μήτρα ἐκ ψύξεωc ἢ φθορᾶc ἢ δυcτοκίαc τοῦ cτομίου μύcαντοc ἢ θρόμβου παραcφηνωθέντοc ἐν αὐτῷ, ποτὲ μὲν ἐν τῇ κοιλότητι τοῦ κύτουc ἀποληφθέντων τῶν πνευμάτων, ποτὲ δὲ ἐν τοῖc ἀραιώμαcι τοῦ τῆc μήτραc cώματοc· αἷc ἕπεται ὄγκοc τοῦ ἦτρου καὶ τοῦ ὑπογαcτρίου μετὰ cκληρίαc καὶ πόνου νυγματώδουc διανύττοντοc μέχρι διαφράγματοc καὶ cτομάχου καὶ βουβώνων, πρόc τε τὴν ἐκ τῶν δακτύλων ἐπίκρουcιν ἦχοc τυμπανώδηc γίνεται. θεραπεύειν οὖν πρῶτον μὲν διὰ φλεβοτομίαc μηδενὸc κωλύοντοc, εἶτα κατὰ μὲν τοὺc παροξυcμοὺc ἀcιτίαιc καὶ ἐμβροχαῖc δι᾽ ἐλαίου πηγανίνου, ἐγκαθίcμαcι τε δι᾽ ἀφεψήματοc πηγάνου, γλήχωνοc, ἀρτεμιcίαc, καcίαc καὶ τοῖc ὁμοίοιc, καταπλάcμαcί τε διὰ cπέρματοc cελίνου, κυμίνου, ἀνίcου, μαράθρου, ἄμεωc, ἰρίνου ἀλεύρου, cικύαιc τε κούφαιc καὶ μετὰ καταcχαcμοῦ. χρονιζούcηc δὲ τῆc διαθέcεωc καθάρcει χρηcτέον διὰ τῆc πικρᾶc καὶ τῆc ἱερᾶc δρώπαξί τε καὶ cιναπιcμοῖc καὶ τῇ τῶν αὐτοφυῶν ὑδάτων χρήcει. ἡ δὲ μαῖα προλελιπαcμένον τὸν δάκτυλον καθεῖcα τὸν ἐπικείμενον θρόμβον, εἰ τύχοι, κομιζέcθω πράωc αὐτὸν ἐνδιαλύουcα, αὖθίc

8 εἰρημένοιc] *cap. 68* 9 λεχθέντων] *cap. 48* ὥcπερ] *cap. 62—63*
ο΄ *cf. Oribasius, Synops. IX 54; Aëtius XVI 78*

1 ἐπί τινων] AEFGLM*a*: ἐπιτείνων BK: ἐπιτεῖνον D κατὰ τὸ ἀληθὲc] τὸ πάθοc D 2 ὕcτερον K: ὕδερον πολλάκιc D ὅτε] DKL: ἐνίοτε δὲ ABEFGM*a* τὸ πάθοc *om.* D 4 ἐμψύχοντι DG: ψύχοντι F 5 κατὰ] ἐπὶ D ἐχούcαc FG: ἐχούcηc D 6 ἐcτὶ ῥύcεωc D ἐcτιν] L: ἐcτι K: ἐcτιν ἡ ABEFGM 7 τε *om.* D cκιρωμάτων D 8 δὲ *om.* KL 9 ὥcπερ *om.* A τὰc αἱμορραγίαc] *(sc.* τῆc μήτραc*) om.* A, *del.* B: τὰc αἱμορροΐδαc D 16 παραcφηνωθέντοc] DFGKLB[3]: παραcφηνώcαντοc ABEM*a* ἐν αὐτῷ *om. a* ἐν *(alt.) om.* D 17 ἐναποληφθέντων D 18 cτόματοc D 19 διάττοντοc K: διαιγοντοc L 22 διὰ] DFG: *om.* ABEKLM*a* φλεβοτομίαc] BDEFGM: φλεβοτομίαc μὲν A: φλεβοτομίᾳ K*a*: *comp.* L 23 ἀcιτίᾳ KL ἐγκαθίcμαcι . . . πηγάνου *(24) om.* D, *mrg.* L 24 καcίαc *om.* B καὶ . . . cπέρματοc *(25) om.* E 25 τε] DM*a*: τε καὶ ABEFGK, *e corr.* M: δε L ἀνίcου, μαράθρου] DFGK: ανιccου μαραθου L: μαράθρου ἀνίcου ABEM*a* 27 καθάρcει] και καθαρcει L 28 καὶ *(alt.) om.* K 30 διαλύουcα D

τε καταπλαστέον διὰ σύκου καὶ νίτρου καὶ ἀψινθίου. ἐπιθέματα δὲ μαλακτικὰ τὸ πολυάρχιον ἔστω καὶ τὸ διὰ σπερμάτων καὶ τὸ διὰ δαφνίδων, πεσσοί τε διὰ πηγάνου, μέλιτος, νίτρου· μάλιστα δὲ οὗτος ἁρμόσει· σύκων λιπαρῶν κεκομμένων < α̅, κυμίνου < β̅, ἀφονίτρου < α̅, διὰ δὲ τὴν δριμύτητα εἰς γάλα προκαταβαπτέσθω. καὶ οἱ μαλακτικοὶ δὲ τῶν πεσσῶν ἐπιτήδειοι.

## οα΄. Περὶ ὑστερικῆς πνιγός.

1 Ἡ ὑστερικὴ πνὶξ ἀναδρομὴ τῆς ὑστέρας ἐστὶν εἰς συμπάθειαν ἀγούσης τὰ κυριώτατα τῶν μορίων, ὡς καρωτίδας, καρδίαν, μήνιγγας. παρέπεται δὲ ταῖς πασχούσαις ἐγγίζοντος μὲν τοῦ παροξυσμοῦ νωθρότης διανοίας, ὄκνος, ἀτονία σκελῶν, ὠχρότης προσώπου, βλέμμα περιλίπαρον, ἐνστάσης δὲ τῆς πνιγὸς καταφορὰ καὶ παράνοια, κατάληψις τῶν αἰσθητηρίων μετὰ ἀφωνίας, σκελῶν συνολκή· εἶτα ἄρχονται ἐρεύθειν αἱ γνάθοι, καὶ τὸ πρόσωπον ὑποπίμπραται· μελλούσης δὲ ἀνίεσθαι προτρέχει τις ἐκ τῶν γυναικείων τόπων ὑγρασία πρὸς τὴν ἁφὴν καὶ βορβορυγμός, καὶ προοδεύει τι τῶν ἐντέρων, αὐτή τε χαλᾶται κατ' ὀλίγον ἡ ὑστέρα, καὶ οὕτως ἀπολαμβάνουσιν τό τε νοεῖν καὶ τὸ αἰσθάνεσθαι. κινεῖται δὲ τὸ νόσημα κατὰ περιόδους καθάπερ ἡ ἐπιληψία, πληρουμένης δηλονότι τῆς ὑστέρας ἢ τῆς σπερματικῆς ἢ ἑτέρας ὕλης σαπείσης ἐν αὐτῇ· καὶ πολλαὶ μὲν αὖθις ἐπανήνεγκαν, τινὲς δὲ κατὰ τοὺς παροξυσμοὺς ἐξαίφνης ἀπώλοντο τῶν μὲν σφυγμῶν πυκνουμένων τε καὶ ὑποσπαιρόντων ἀτάκτως, εἶτα καὶ ἀσφυξίας ἑπομένης, βραχείας δὲ νοτίδος δροσιζούσης τὴν ἐπιφάνειαν, τῆς δὲ ἀναπνοῆς τὸ μὲν πρῶτον ἀμαυρουμένης, ἔπειτα δὲ τέλεον ἀποκοπτομένης. πλεονάζει δὲ τὸ πάθος χειμῶνος καὶ φθινοπώρου νέαις, εὐκαταφόροις πρὸς λαγνείαν, στείραις, καὶ μάλιστα, εἰ διὰ φαρμακείαν εἶεν ἄτοκοι, καὶ ταῖς ἄλλως
2 κατεψυγμέναις. ἐν τοῖς παροξυσμοῖς οὖν διαδεσμεῖν χρὴ τὰ ἄκρα καὶ τρίβειν ὅλα τὰ σκέλη καὶ τὸ ὅλον σῶμα ὥσπερ τοὺς λειποθυμήσαντας ἀνακτᾶσθαι δυσώδη τε προσφέρειν ὀσφραντὰ τῇ ῥινί, οἷον ἐλλύχνιον ἐσβεσμένον, καστόριον, πίσσαν ὑγράν, κεδρίαν, ἔρια καὶ ῥάκη κεκαυμένα· τινὲς δὲ καὶ ἀμίδα προσήνεγκαν ἐξ οὔρου παλαιοῦ ἢ διαχωρήματος. καὶ σικύας δὲ κολλᾶν προσήκει βουβῶσι καὶ ὑπογαστρίῳ μετὰ πολλῆς φλογὸς καὶ κούφας καὶ μετὰ κατασχασμοῦ. μηκυνομένου δὲ τοῦ παρ-

οα΄ *cf. Aëtius XVI 68* 27 — p. 289, 14 *cf. Oribasius, Synops. IX 45*

1 καὶ *(pr.) om.* FG 2 σπέρματος F: *comp.* G δαφνῶν D 4 afronitri *a* 5 προκαταβαπτιζέσθω D καὶ *om. a* 9 παρωτίδας D 10 μὲν] δὲ B: *om. a* τοῦ] DFGKL: *om.* ABEM 12 κατάληψις] καὶ κατάληψις D 13 ἐνερεύθειν D 14 ὑποπίμπραται] FG, *e corr.* L: ὑποπίπραται D: ὑποπίμπλαται ABELM*a*: ὑποπίπλαται K δὲ *om.* E 19 ἑτέρας *om.* K ὕλης] ὕλης ἢ τῆς ὕλης ABEM: *corr.* B 20 ἐπήνεγκαν FG 21 τῶν] τὸ AE 22 βραχεῖ K: βραχεῖαν F 23 δὲ] τε D 24 ἔπειτα] τὸ K 27 διαδεῖν D 28 σῶμα *om.* FG 29 *des.* L 30 καστόριον . . . κεκαυμένα *om.* FG καὶ *om.* K 31 δὲ *om.* K 32 δὲ] D: *om.* ABEFGKM*a* καὶ *(alt.)*] τε καὶ D 33 κούφως D

οξυςμοῦ καὶ τὰ τῶν πνευμάτων ἀγωγὰ χρήςιμα, οἷα τὰ κωλικὰ δακτυλίῳ προςτιθέμενα, οἷον κύμινον, νίτρον ςὺν μέλιτι, καὶ τὸ ςκύβαλον διὰ κλυςμοῦ ὑπεξάγειν ὑπὲρ τοῦ μὴ θλίβειν τῇ παραθέςει. εἰς αὐτὴν δὲ τὴν μήτραν τὰ εὐωδέςτατα τῶν μύρων ἐγχεόμενα καταςπᾶν αὐτὴν πέφυκεν, ὡς ἀμαράκινον, μαλάβαθρον· καὶ ςίνηπι δὲ τὸ μὲν τῇ ῥινὶ προςφερέςθω, τὸ δὲ τοῖς ποςὶ καταπλαςςέςθω. ἐμβοάτω δέ τις αὐταῖς τραχυτέρᾳ φωνῇ καὶ μετακαλείτω, καὶ πταρμικὰ προςαγέςθω διὰ καςτορίου, ςτρουθίου, πεπέρεως. ἀνεθείςας δὲ τοῦ παροξυςμοῦ ἐμεῖν ἀναγκάζειν ἐπ᾽ ἀςιτίας τε ἢ ὀλιγοςιτίας φυλάττειν, μετὰ δὲ τὴν ἑβδόμην ἡμέραν καθαρτέον τῇ διὰ κολοκυνθίδος ἱερᾷ· μετὰ δὲ τρίτην ἡμέραν ςικυάςομεν ὀςφύν, λαγόνας, εἶτα τῇ τοῦ καςτορίου πόςει χρηςόμεθα, ποτὲ μὲν δι᾽ ἀρτεμιςίας ἀφεψήματος, ποτὲ δὲ διὰ μελικράτου· ἐπί τινων γὰρ τοῦτο καὶ μόνον εἰς τελείαν ἀποθεραπείαν ἤρκεςεν. ἐγκαθίςματα δὲ καὶ πεςςοὶ μαλακτικοὶ παραλαμβανέςθωςαν. ταῦτα μὲν οὖν πρὸς τοὺς παροξυςμούς· πρὸς δὲ τὴν ὅλου τοῦ ςώματος ἀναςκευὴν ἀπὸ φλεβοτομίας ἀρχόμενον ἐπὶ τὴν διὰ τῆς ἱερᾶς ἰέναι κάθαρςιν, εἶτα τῆς δι᾽ ἀλόης διδόναι πικρᾶς ὅςον < ᾱ μετὰ κυάθων γ̄ μελικράτου κατὰ ςυνέχειαν ἢ ἐκ διαλειμμάτων < β̄ μετὰ μελικράτου κυάθων ϛ̄, δρωπακιςμοῖς τε καὶ ςικύαις καὶ ςιναπιςμοῖς χρηςτέον καὶ τοῖς δι᾽ εὐφορβίου ἀκόποις, εἶτα γυμναςίᾳ καὶ τρίψει καὶ ἀναφωνήςεςιν, ὕςτερον δὲ καὶ τῇ τῶν αὐτοφυῶν ὑδάτων χρήςει.

## οβ΄. Περὶ προπτώςεως ὑςτέρας.

Ἡ ὑςτέρα προπίπτει ςπανίως μέν, διὰ πλείονας δὲ αἰτίας· ἢ γὰρ ἀφ᾽ ὕψους κατενεχθείςῃ καὶ ἐπὶ ἰςχία ἑδραςθείςῃ ῥηγνυμένων τῶν ὑμένων, οἳ κατέχουςι τὸ ςπλάγχνον, ἢ δι᾽ ἐξολκὴν δευτέρου προςελκομένου τὴν ὑςτέραν προςπεφυκότος αὐτῇ, καθάπερ ἐν δυςτοκίαις, ἢ δι᾽ ἄτεχνον ἐμβρυουλκίαν ἢ διὰ πληγὴν ἢ διὰ ψυχικὰ πάθη, οἷον ἀποβολῆς τέκνων ἀπαγγελθείςης ἢ πολεμίων ἐφόδου ἢ δι᾽ ἐπικίνδυνον πλοῦν ἤ τινα τοιαύτην αἰτίαν, τῷ ὅλῳ ςυγκρίματι λυθέντι ςυνολιςθηςάςης τῆς ὑςτέρας, ἢ διὰ παράλυςιν καὶ ἀτονίαν τῶν μορίων, ὡς ἐπὶ τῶν παρακμαςαςῶν μάλιςτα γίνεται. προπίπτει δὲ κατὰ τὸ ςτόμιον αὐτῆς· τινὲς δὲ καὶ πᾶςαν ἱςτοροῦςι προπίπτειν, ὅπερ ἀπίθανον· πῶς γὰρ ἂν ἀν-

οβ΄ *cf. Aëtius XVI 76*

1 οἷα] καὶ D 2 οἷον] et *a* 3 διὰ] δὲ διὰ D κλυςμῶν DK 4 αὐτῇ K 5 μαλάβαθρον] ABEGKM*a*: καὶ μαλάβαθρον DF: μαλαβάθρινον B² 7 διὰ] ei ex *a* 9 ἑβδόμην . . . δὲ *(10) om.* D 12 δι᾽] διὰ K 13 θεραπείαν FGK 14 δὲ] τε D προςαγέςθωςαν FG οὖν *om.* E 15 ὅλην D τοῦ ὅλου νοςήματος FG 16 ἀρχόμενοι FG τῆς *(alt.)*] K: τὴν ABDEFGM*a* 17 δι᾽] διὰ τῆς BD πικρᾶς] K: πικρὰν ABDEFGM*a* ὅςον *om.* F μετὰ *om.* K 20 ginnasiis *a* ἀναφωνήςει FG *cap. 72 om. a* 23 ὑςτέρας G: ὑςτέρας πρόπτωςις F προςπίπτει BFG, -ς- *eras.* B διὰ] πλὴν διὰ D δὲ *om.* D 24 ἑδραςθείςῃ] ἑδραςθείςῃ ςυμβαίνει D 25 οἳ] οἷον K δευτερίου D 26 διὰ GK 31 προςπίπτει FG 32 προςπίπτειν FG ἂν] D: *om.* ABEFGKM

2 αχθεῖcα ἑδραcθείη; δεῖ τοίνυν τό τε cκύβαλον διὰ κλυcτῆροc πρῶτον
κενώcανταc καὶ τὸ οὖρον ἀποκρίνανταc διὰ τὸ πανταχόθεν ἄθλιπτον
εἶναι τὴν ὑcτέραν cχηματίζειν ὑπτίαν τὴν κάμνουcαν ὑψηλότερα ἔχουcαν
τὰ ἰcχία κεκαμμέναc τε τὰc ἰγνύαc μετὰ τοῦ διεcτάναι τὰ cκέλη, ἔπειτα
λαβεῖν cύcτρεμμα ἐξ ἐρίου cχήματι καὶ πάχει ἀναλογοῦν τῷ κόλπῳ τῷ
γυναικείῳ περιβάλλειν τε τοῦτο ἰcχνῷ ὀθονίῳ καὶ καταβάπτειν εἰc χυ-
λὸν ἀκακίαc ἢ ὑποκιcτίδοc οἴνῳ διειμένηc προcτιθέναι τε τῇ ὑcτέρᾳ
καὶ δίχα βίαc ἀναβιβάζειν ἅπαν τὸ προπεπτωκόc, ἄχριc οὗ ὁ ὄγκοc
ὅλοc ἐν τῷ κόλπῳ γένηται, καὶ cκεπάζειν ἔξωθεν cπόγγῳ τὸ ἦτρον
ἀποτεθλιμμένῳ ἐξ ὀξυκράτου κατακλίνειν τε τὴν ἄνθρωπον ἐκτεταμένα
καὶ cυνηρμοcμένα ἔχουcαν ἀλλήλοιc τὰ cκέλη, ὥcτε τὸ ἕτερον τῷ
3 ἑτέρῳ ἐπικεῖcθαι. μετὰ δὲ τοῦτο cικύαc παραληπτέον μετὰ φλογὸc
πλείονοc πρὸc ὀμφαλόν τε καὶ καθ᾽ ἑκατέραν λαγόνα, ὀcφραντά τε
προcενεκτέον εὐώδη· τῇ δὲ τρίτῃ τῶν ἡμερῶν ἐγκειμένου τοῦ ἐρίου
τῷ κόλπῳ ἐγκαθιζέτω ἡ γυνὴ εἰc οἶνον μέλανα αὐcτηρὸν ποcῶc κε-
χλιαcμένον ἢ εἰc ἀφέψημα μυρcίνηc, cχίνου, cιδίων. μετὰ δὲ ταῦτα τὸ
μὲν ἐγκείμενον ἔριον αἱρέcθω, ἕτερον δὲ ἐντιθέcθω τῷ αὐτῷ νενο-
τιcμένον φαρμάκῳ, καταπλάcματά τε ἔξωθεν ἐπιρριπτέcθω κατὰ τοῦ
ὑπογαcτρίου διὰ φοινίκων, ἀλφίτων ἢ φακῆc καὶ cιδίων μετ᾽ ὀξυμέλι-
τοc, καὶ διὰ τρίτηc πάλιν ταὐτὰ γινέcθω μέχρι παντελοῦc ἀποθερα-
πείαc. εἰ δὲ μεῖναν ἔξω τῷ χρόνῳ διαcαπείη τὸ προπεπτωκόc, ἀφαιρε-
τέον αὐτὸ μηδένα κίνδυνον ὑφορώμενον· καὶ γὰρ ὅλην ἀφαιρεθῆναι
μήτραν ἱcτοροῦcι διαcαπεῖcαν, καὶ ζῆcαι τὴν γυναῖκα.

## ογ´. Περὶ φιμοῦ ἐν ὑcτέρᾳ.

Γίνεται φιμὸc περὶ τὸ cτόμα τῆc ὑcτέραc ἢ δι᾽ ἕλκωcιν προηγουμένην ἢ διὰ φλεγμονὴν cκιρρωθεῖcαν. θεραπεύειν δὲ χρὴ ἐγκαθίcμαcί τε μαλάccοντα τοῖc δι᾽ ὑδρελαίου καὶ τήλεωc ἀφεψήματοc καταπλάccοντάc τε ὡcαύτωc καὶ πεccοὺc μαλακτικοὺc προcάγονταc. εἰ δὲ ἐγχρονίζοι τὰ τῆc διαθέcεωc, χρηcτέον ὑπατμιcμοῖc καὶ θυμιάμαcι τοῖc

1—20 *Oribasius, Synops. IX 55* ογ´ *Oribasius, Synops. IX 53; cf. Aëtius XVI 95*

1 ἑδραcθείη] ἑδραcθείη πάλιν D 4 ἰcχία] ἰcχία καὶ A?B κεκαμμέναc] AM, *e corr.* G: κεκαυμέναc BDEK: κεκρυμέναc FG 5 παχεῖαν K 6 περιβαλεῖν D τε] ABDGM: *om.* EFK ἰcχνῶc ABEM, -c *eras.* B κατάπτειν K 8 ἅπαν *om.* AE 8. 9 ὁ ὄγκοc ὅλοc] D: ὁ ὄγκοc K: ὅλοc ὁ ὄγκοc ABEFGM 9 τὸ ἦτρον cπόγγῳ D 10 ἀνακλίνειν D 11. 12 τῷ ἑτέρῳ] D: ἐν θατέρῳ ABEFGKM 13 ἑκατέραν] FG: ἑκατέρα B: ἑκάτερον AD: ἑτέραν KM: ἕτερον E 15 μέλαν FG 16 ἢ] DG: καὶ F: ἤτοι ABEKM cχίνου] DK: καὶ cχίνου καὶ FG: καὶ cχοίνου ABEM 17 ἐγκείμενον μὲν AF 18 τε] DFG: *om.* ABEKM κατὰ] ὑπὸ K 19 ἐπιγαcτρίου FG
20 ταὐτὰ πάλιν AED 21 μεῖναν ἔξω] D: μεῖνάν τι E: μείναντι AFGKM, *e corr.* B 22 μηδὲν K 23 διαcαπεῖcαν] DFG, *e corr.* B: ἅπαcαν AEKM
25 cτόμιον DFG 27 μαλάccονταc D διὰ BEM καταπλάccοντα J*a*
28 προcάγοντα *a*, *e corr.* J 28. 29 ἐγχρονίζοι τὰ] ἐγχρονίζοντα K
29 ὑπατμιcτοῖc FG

διὰ ἀρωμάτων. λύει δὲ τὸν φιμὸν καὶ ὁ διὰ ὑccώπου καὶ νίτρου καὶ ῥητίνης καὶ τερμινθίνης πεccὸc οὐδὲν ἕτερον ἢ cτέγνωcιν ὄντα τοῦ cτομίου τῆc ὑcτέραc.

## οδ΄. Μὴ κυιcκομέναιc θεραπεία.

Κοινῶc μὲν ἀμφοτέροιc ἁρμόζει τῷ τε ἀνδρὶ καὶ τῇ γυναικὶ τὸ 1
ἐν εὐκραςίᾳ τὸ πᾶν φυλάττεcθαι cῶμα διά τε τῆc τῶν πόνων καὶ cιτίων καὶ λουτρῶν καὶ τῶν λοιπῶν ἁπάντων cυμμετρίαc. τό γε μὴν μέγιcτον μὴ περιορᾶν πιαινομένην τὴν ἕξιν· οὔτε γὰρ οἱ πίονεc ἐπιτήδειοι πρὸc παιδοποιίαν διά τε τὸ μὴ ἐφαρμόζειν τοῖc αἰδοίοιc, καὶ ὅτι ὀλίγον ἀφιᾶcιν οὗτοι cπέρμα, οὔτε μὴν οἱ ἄγαν λελεπτυcμένοι. ὠφελοίη δ᾽ ἂν αὐτοὺc ἅπαντα τὰ θερμαίνοντα καὶ ἡcυχῇ πνευματοῦντα· οἷόν τε οὖν cυμμέτρωc θερμὸν λαμβάνειν καὶ λαχάνων εὔζωμόν τε καὶ ὅρμινον καὶ ἐρύcιμον καὶ τὰ παραπλήcια· πήγανον δὲ καὶ καλαμίνθην παντὸc μᾶλλον φυλακτέον. εἰ δὲ διὰ κακοχυμίαν τινὰ μὴ γί- 2
νοιτο cύλληψιc, ταύτην ἐκκαθαίρειν ἢ κατακιρνᾶν χρηcτῇ διαίτῃ. ἰδίωc δὲ ταῖc γυναιξὶν ἁρμόcει τῶν κατὰ τὴν ὑcτέραν ὡc μάλιcτα προνοεῖcθαι, καὶ τὴν ἔμμηνον ἀπαραποδίcτωc γίνεcθαι κένωcιν. πληcίον τοίνυν οὔcηc τῆc καθάρcεωc τῆc τε τῶν cιτίων καὶ πομάτων ὡc μάλιcτα cυμμετρίαc φροντίζειν καί τι τῶν ἐρεθιcτικῶν εἰc κάθαρcιν λαμβάνουcαν, οἷά ἐcτι τά τε εὐώδη λάχανα καὶ τὰ δριμέα, οἷον cκάνδικα, κρῆθμον, μάραθρον, cέλινον, cμύρνιον.

τὰc δὲ τῆc ὑcτέραc ἐπανορθοῦcθαι δυcκραcίαc. 3

τὰc μὲν οὖν ψυχροτέραc τῶν ὑcτερῶν τεκμηριοῖ τῶν καταμηνίων ἡ ἐπίcχεcιc καὶ δίαιτα ψυχροτέρα καὶ παχύχυμοc καί τι ναρκῶδεc γινόμενον περί τε ἦτρον καὶ ὀcφὺν καὶ cκέλη· αἳ δὲ ἂν εἰc τέλοc ἐψυγμέναι ὦcιν, οὐδὲ ἀφροδιcίων ἐφίενται. δεῖ τοίνυν τά τε ἄλλα ἐκπονοῦcαν καὶ πυρίαιc πάcαιc καὶ ταῖc διὰ τῶν θυμιαμάτων πυριωμένην ἀνακαλεῖcθαι τὸ θερμόν, καὶ οὐδὲν ἀπὸ τρόπου καcτόριον πίνειν καὶ

οδ΄ *Oribasius, Synops. IX 43; cf. Aëtius XVI 26—31*

1 διά] δι᾽ D: διὰ τῶν ABEFGM: δὲ διὰ τῶν K  2 καί] *om.* D  τερμινθίνηc] K: τερεβινθίνηc ABDEFM: *comp.* G  *Capp. 74 et 75 permut.* D
4 περὶ μὴ κυιcκομένων θ. E  5 μὲν] μὲν οὖν M  6 εὐκραcίᾳ] ABDEM*a*: εὐκραcίᾳ πολλῇ FGK$B^2$  πόρων AEM, *corr.* E: -ν- *e corr.* B  8 περιορᾶν] περιορᾶν καὶ περιορᾶν BKM, *corr.* $B^2$  τὴν ἕξιν πιαινομένην D  9 τε *om.* FG
10 λελεπιcμένοι K  12 οὖν *om.* FM  cυμμέτρωc θερμόν] K: cύμμετρον θερμὸν D: θερμὸν cυμμέτρωc ABEFGM*a*  καί] καὶ τῶν D  14 γίνοιτο] ADEM: γίγνοιτο FGK: γένοιτο B  15 ἢ κατακιρνᾶν *om.* A  χρηcτῇ] χρὴ τῇ AE: ψυχρῇ K  16 τῶν] τῆc τῶν D  17 καὶ . . . κένωcιν] κενώcεωc D
τοίνυν οὔcηc] DFGK(*a*): οὔcηc τοίνυν ABEM  18 ποτῶν D  ὡc] ὥcτε K: τε *supra add.* $B^2$  19 καί *om. a*  εἰc *om* K  λαμβάνειν D
20 οἷον] ὡc D: ὡc οἷον K  cκάνδιξ D  21 μάραθον D: μάλαθρον BEM*a*
cέλινον μάλαθρον A  cμύρνιον cέλινον D  22 δὲ] τε D  24 τι] DF, *e corr.* B: τὸ AEGKM*a*  γινόμενον] DK*a*, *e corr.* B: γινομένην AEM: γιγνομένη FG  25 αἳ δὲ ἂν] ABE: αἳ δ᾽ ἂν DM: ὅcαι δὲ ἂν FG: ἐὰν δὲ K: que uero *a*  27 καὶ *(pr.) om. a*  καὶ *(alt.) om.* D  τὰc K  28 καὶ οὐδὲν] οὐδὲν δὲ D  τρόπεον *in ras.* B, *corr.* $B^3$: τρόπου καὶ D

τῶν εὐωδῶν σπερμάτων τό τε κύμινον καὶ ἄνισον καὶ γλήχους κόμην καὶ ἀρκευθίδων καρπὸν ἑκάστῳ πεπέρεως μίσγουσαν. αἱ δὲ αὐτῶν τῶν ὑστερῶν πυρίαι τοῦτο μὲν ἀτμοὶ ἔστωσαν καθεζομέναις ἐπὶ δίφρον, τοῦτο δὲ θερμὸν ὕδωρ προσκλυζόμενον, ἐν ᾧ ἥψηται ἐλελίσφακος καὶ ἀρτεμισία καὶ πήγανον καὶ κύπερον καὶ γλήχων καὶ ἄκορον καὶ τὰ εὐώδη σπέρματα. καταπλάττειν δὲ καὶ τὸ ἦτρον τούτων ἑκάστῳ· ἀγαθὸν δὲ καὶ τὸ Πολυάρχου ἐπίθεμα. αἵ γε μὴν τρίψεις τοῦ ἤτρου καὶ τῶν ἰσχίων οὐδενὸς ἧσσω συμφέρουσι. καὶ προσθέτοις χρῆσθαι διά τε σμύρνης καὶ πηγάνου καὶ χαλβάνης καὶ καστορίου προπυριαθεῖσαν μελικράτῳ ἢ θαλάσσῃ· ἀγαθὸς δὲ πρὸς ταῦτα καὶ ὁ πεσσὸς ὁ λεγόμενος γονή.

4 Τὰς δὲ θερμοτέρας τῶν ὑστερῶν τεκμαίρεσθαι μὲν τῷ τε ἄλλῳ σώματι θερμοτέρῳ ὄντι καὶ τοῖς καταμηνίοις ὀλίγοις καὶ σὺν πόνῳ καὶ τῷ ἑλκοῦν τὰ αἰδοῖα τῆς γυναικός. ἐπανορθοῦσθαι δὲ διὰ τῶν μετρίως ὑγραινόντων τε καὶ ψυχόντων, οἷά εἰσι λάχανα μὲν θριδακίναι καὶ μαλάχαι καὶ βλίτον καὶ κολοκύνθη καὶ σίκυος καὶ πέπων ἀτράφαξύς τε καὶ ἀνδράχνη, καὶ τὰ ἄλλα δὲ σιτία τὰ παραπλήσια· τῇ δὲ κύστει καὶ τῷ ἐπιγαστρίῳ καὶ τῇ ὀσφύι προσάγειν ψυκτήρια καταπλάσσοντα καὶ τοῖς χυλοῖς ἐπιχρίοντα.

5 Εἰ δὲ καὶ δι' ὑγρότητα τῶν ὑστερῶν μὴ κυίσκοιντο, σημεῖον μὲν τό τε καθυγραίνεσθαι κατὰ τὰς συνουσίας λεπτότερόν τε καὶ πολὺ φέρεσθαι τὸ καταμήνιον. δίαιτα δὲ ταύταις ἁρμόζει ξηροτέρα πόνοι τε καὶ τρίψεις τῶν ἄνω πλείους καὶ ἔμετοι ξηρότης τε καὶ μετριότης σιτίου. εὖ δ' ἂν ἔχοι καὶ τὴν ὑστέραν στρυφνοῖς φαρμάκοις συγκρατύνειν, οἷά ἐστι σχίνου τε ἀφέψημα καὶ μύρτων καὶ ῥόδων καὶ ῥοῦ ἔτι τε ῥοιᾶς ἄνθους καὶ βάτου τῶν ἁπαλῶν καὶ κηκῖδος.

6 Ξηροτέραν δὲ τὴν ὑστέραν οὖσαν διὰ τῶν ἐναντίων ἰᾶσθαι, λουτρῶν τέ φημι καὶ ἀλοιφῆς καὶ τροφῆς ὑγραινούσης τε καὶ λαχανώδους οἴνου τε συμμέτρου καὶ μὴ σφόδρα παλαιοῦ.

7 Ἐὰν δὲ ὑπὸ χυμῶν παχυτέρων κωλύοιτο κυίσκειν, εἰ μέν τις εἴη

1 γλήχωνος ADE 2 αἱ δὲ αὐτῶν] ipse uero *a* 3 καθεζομέναις] DK*a*: καθεζόμεναι ABEGM: καθεζόμενον F δίφρων DF 4 ἐλελίσφακον D καὶ *om.* G 5 καὶ γλήχων καὶ ἄκορον *om.* AEM*a*: *mrg.* B² 6 δὲ καὶ] τε D ἕκαστον F: singula *a* 7 πολυάρχιον EFM, *mut. in* πολυάρχειον D τοῦ *om.* AE 8 ἧσσον D(*a*): ἥσσως E: ἥσσωι A 9 προπυριασθεῖσαc D 10 πρὸς *om.* K 11 δὲ *om.* *a* ἄλλῳ] DK: ὅλῳ ABEFGM*a* 12 ὀλίγοις] ὀλίγοις τε φερομένοις D 13 τῷ] BDM*a*: τὸ G: τὰ AEFK ἑλκοῦν τὰ] ἑλκοῦντα EK: ἑλκοῦνται A: ἡλκῶσθαι τὸ D: ἀλγοῦντα F αἰδοῖον D ἐπανορθούσθω K 15 βλίτα D σίκυος] DFG: σικύου K: σικύαι AEM*a*: σικύα *e corr.* B 16 δὲ σιτία *om.* *a*: δὲ σημεῖα M τὰ] D: *om.* ABEFGKM 17 καταπλάττοντας D καὶ] D: τε καὶ ABEFGKM 18 τοῖς χυλοῖς *om.* D ἐπιχρίοντας D 19 εἰ δὲ καὶ] ἔτι δὲ καὶ εἰ D καὶ *om.* *a* δι' *om.* K μὲν] τε K: *om.* D 20 κατὰ] καὶ K λεπτότερόν] καὶ τὸ λεπτότερόν D 21 τούτοις D ἁρμόσει K 22 πλείους] DFGK: *mrg.* B²: *om.* AEM 23 κρατύνειν D 24 σχίνου] DFK: σχοίνου ABEGM καὶ μύρτων ἀφεψήματα D ῥόδων καὶ μύρτων FG ἔτι τε] et *a* 27 τέ] FGK: *supra add.* B²: *om.* ADEM 28 τε] uero *a* σφόδρα] πάνυ D 29 δὲ] uero et *a* χυμῶν *om.* *a* κωλύοιτο] κωλύειν τὸ K

τῶν δακνόντων, καθαίρειν τὴν γυναῖκα, ὡς ἑκάστῳ χυμῷ οἰκεῖόν ἐστι, μάλιστα δὲ τῇ διὰ τῆς ἀλόης πικρᾷ, κἄπειτα τῷ ὀρῷ τοῦ γάλακτος κατακλύσαι δίαιτάν τε χρηστοτέραν ἐξευρεῖν. τοὺς δὲ φλεγματώδεις χυμοὺς πόνοις τε καὶ ἱδρωτηρίοις καὶ ἐμέτοις κενοῦν [ἤγουν κάτωθεν]· ἔτι δὲ καὶ τῷδε τῷ φαρμάκῳ· ἐπίθυμον, εὐφόρβιον, πέπερι, δαύκου σπέρμα, πετροσελίνου σπέρμα, πάντα τρίψας ὅσον ∠ β̅ δοῦναι πιεῖν. τοῦτο καὶ τὰ κατὰ γαστέρα καλῶς ἄγει καὶ τὴν ὑστέραν θερμαίνει, ὥσπερ πολλαῖς ἤδη καὶ καταμήνια ἔρρηξεν τέως οὐ καθαιρομέναις. ὅταν δὲ τὸ ἐπανόρθωμα δῆλον γένηται τοῖς καταμηνίοις χρηστῶς ἰοῦσι, τηνικαῦτα δεῖ μίσγεσθαι ληγούσης τῆς καθάρσεως.

**8** Ἐπεὶ δὲ καὶ πνεύματα ἐν τῇ ὑστέρᾳ ἐνόντα κωλύει κυΐσκεσθαι, τὴν μὲν σημείωσιν αὐτῶν ἐκ τῶν περὶ ἐμπνευματώσεως ὑστέρας ληπτέον· θεραπεύειν δὲ πρῶτον μὲν ἐνδεέστερον αὐτὴν διαιτῶντα, προσφέροντα δὲ κύμινόν τε καὶ ἄνηθον καὶ σελίνου σπέρμα καὶ πηγάνου καὶ ἀνήθου καὶ τῶν ἀρωμάτων τὰ πολλὰ διδοῦντα τὰ μὲν πίνειν, τὰ δὲ προστίθεσθαι.

**9** Τὰς δὲ μεμυκυίας ὑστέρας στομοῦν χρὴ προσκλύζοντα τοῖς εὐώδεσι καὶ πυριῶντα τοῖς τε διὰ μαλάχης καὶ λινοσπέρμου καὶ τήλεως καὶ ἐλαίου, ἔστι δὲ ὅτε καὶ μέλιτος, ἰσχυροτέροις τε τῇ τε ἀρτεμισίᾳ καὶ κονύζῃ καὶ καλαμίνθῃ καὶ γλήχωνι καὶ ἀνθεμίδι. προσθέτοις δὲ χρῆσθαι τερμινθίνῃ καὶ νίτρῳ καὶ σικύου ἀγρίου τῷ ἐλατηρίῳ καὶ κασσίᾳ καὶ ὀρῷ πίσσης.

**10** Αἷς δὲ κέχηνε τὸ στόμα, δίαιτα μὲν καὶ πυρίαι καὶ φάρμακα ξηρότερα καὶ στύφοντα, κύτινοι ῥοῶν καὶ σχῖνος καὶ ῥίζαι βάτου καὶ μύρτα καὶ τὰ ἐπὶ τῆς ὑγροτέρας ὑστέρας ἁρμόζοντα. τὰς δὲ διαστροφὰς πυρίαις ἐξευθύνειν καὶ τοῖς μαλακτικοῖς καθέτοις. μῖξις δὲ ἡ ἐξ ὄπισθεν δοκεῖ πρὸς κύησιν συμφέρειν.

12 τῶν περὶ ἐμπνευματώσεως] *cap. 70*

1 τὴν] D: δεῖ τὴν ABEFGKM*a* ὡς] FG: καλῶς ὡς DB[2]: καλῶς ABEKM*a* ἑκάστῳ] unicuique autem *a* 2 διὰ τῆς] δι' E 3 δὲ *om.* K 4 ἤγουν κάτωθεν *om.* D 5 ἔτι] D: δεῖ ABEGKM*a*: θύειν F τῷδε τῷ] D: τῷ F: *om.* ABEGKM*a* 5. 6 πετροσελίνου σπέρμα δαύκου σπέρμα G *et om. alt* σπέρμα F 7 τὰ κατὰ] *mrg.* B[2]: κατὰ AEM θερμαίνειν AE 8 πολλαῖς] DK: πολλάκις ABEFGM*a* καὶ] καὶ τὰ K τέως] K: *om.* D: ταῖς ABEFGM καθαιρόμεναι K: καθαιρομένου G 10 μίγνυσθαι D 11 Ἐπεὶ] D: ἐπειδὴ ABEFGKM 12 ἐκ τῶν *om.* E: ἐκ τοῦ K 13 δὲ] δὲ αὐτὴν D αὐτὴν *om.* D proferendo *a* 14 δὲ] τε D ἄνισον D ἀνήθου] DFG: ἀνήσσου A: ἀννήσου BM: ἀνήσου E: ἀνίσου K*a* 15 ἀρωμάτων] D, *e corr.* B: βρωμάτων AEFGKM*a* διδοῦντα] BFG KM: διδόντα AED 17 στομοῦν] ABEK: στομαχοῦν M: ἀναστομοῦν DFG 19 δὲ *om.* *a* τε *(pr.)*] δὲ DK τε *(alt.)* *om.* D 20 προσθέτοις δὲ] DFGKB[2]: πρὸς δὲ τούτοις ABEM*a* 21 τερεβινθίνῃ BF σικύου ἀγρίου] FGK: σικύῳ ἀγρίῳ ABDEM*a* τῷ ἐλατηρίῳ *om.* D 22 ὀρῷ πίσσης] ABEKM*a*: ὑγροπίσσῃ DFG 23 δίαιται FK μὲν *om.* D 24 σχῖνος] DFK: σχοῖνος ABEGM μύρτων K 25 ὑστέρας *om.* B ἁρμόζει D

## οε'. Περὶ ῥαγάδων καὶ κονδυλωμάτων καὶ αἱμορροΐδων.

1 Περὶ τὸ τῆς ὑστέρας στόμιον γίνονται ῥαγάδες ἐκ βιαίων τόκων, καὶ τὸ μὲν πρῶτον διαλανθάνουσιν ἔτι προσφάτων ὄντων τῶν ἀπὸ τῆς τέξεως πόνων, ὕστερον δὲ κατ' ὀλίγον ἐν αἰσθήσει γίνονται, ποτὲ μὲν πρὸς τὰς χειραψίας, ποτὲ δὲ κἂν ταῖς συνουσίαις, ὅτε καὶ αἱμάσσονται διὰ τὴν παράτριψιν. ἐλέγχονται δὲ τοῦ κόλπου διασταλέντος· καὶ γὰρ ἐπιρρήξεις κύκλῳ τοῦ στομίου θεωροῦνται. ἐφ' ὧν δεῖ τήν τε χειρουργίαν καὶ τὰ δηκτικὰ τῶν φαρμάκων παραιτούμενον τοῖς ἁπλουστέροις ἐγκαθίσμασί τε καὶ πεσσοῖς χρῆσθαι· ἁρμόζει δὲ ἡ τετραφάρμακος ἀνειμένη. εἰ δὲ τυλώδης εἴη, τῷ διὰ χάρτου χρηστέον μετὰ ῥοδίνου· εἰ δὲ μὴ φέροιεν αὐτοῦ τὴν εὐτονίαν, ἶριν Ἰλλυρικὴν τερμινθίνῃ ἀναλαβὼν ἐντίθει. ἀπουλωθέντων δὲ τῶν ἑλκῶν ἁρμόσοι ἂν τὸ διὰ καδμίας ἤ τι τῶν ἑδρικῶν, ὥσπερ τὸ διὰ λιθαργύρου. ἐπειδὴ δὲ συμβαίνει τὰς ῥαγάδας χρονιζούσας ἀποκονδυλοῦσθαι, τοῖς παραπλησίοις ἐκτυλωτέον τε καὶ εἰς οὐλὴν ἀκτέον τὰ κονδυλώματα.

2 αἱμορροΐδες δὲ γίνονται περὶ τὸ στόμιον τῆς μήτρας ἢ τὸν τράχηλον· αἳ καταληφθήσονται διωπτρισμένων τῶν μερῶν ἐκ τοῦ ὑπεροχὴν φαίνεσθαι κατὰ μὲν τοὺς παροξυσμοὺς ἐναλγῆ δίαιμόν τε καὶ ἐνερευθῆ, ἐν δὲ διαλείμμασι ῥυσὴν καὶ ἀναλγῆ καὶ ὑποπέλιον καὶ τρυγώδη. ἐφ' ὧν δεῖ, εἰ μὲν δυνατόν, ἐν διαλείμμασιν ἐκτομῇ χρῆσθαι μυδίῳ διακρατήσαντα, εἰ δὲ μή, διὰ φαρμάκων γοῦν αὐτὰς ἀποστύφειν πῇ μὲν προσαπτόμενον ξηροῖς σιδίοις μετὰ κηκῖδος ἤ τινι τοιούτῳ, πῇ δὲ τοῖς ἐπὶ τῆς αἱμορραγούσης ὑστέρας ἐκτεθεῖσι χρώμενον· ἃ καὶ ταῖς δι' ἀρρωστίαν αἱμορραγούσαις ἁρμόσει διαγινωσκομέναις μάλιστα τῷ συνεχῶς αἱμάσσειν τὴν ὑστέραν ἐκ διαλειμμάτων καὶ οὐκ ἐν τῷ τῆς ἐμμήνου καθάρσεως μόνον χρόνῳ.

## οϛ'. Περὶ δυστοκίας.

1 Ἡ δυστοκία γίνεται ἢ παρὰ τὴν τίκτουσαν ἢ παρὰ τὸ τικτόμενον ἢ παρὰ τὸ χόριον ἢ παρὰ τὰ ἔξωθεν· παρὰ μὲν τὴν τίκτουσαν ἢ παχεῖαν καὶ καταπίμελον ἢ μικρὰν ἔχουσαν ὅλην τὴν μήτραν ἢ ὠδίνων ἄπειρον

οε' *cf. Aëtius XVI 107, 97* 11—12 *cf. Oribasius, Synops. IX 52*
23 ἐκτεθεῖσι] *cap. 72* οϛ' *cf. Aëtius XVI 22*

2 τὸ] δὲ τὸ FG 3 ἀπὸ *om.* D 4 ἀποτέξεως DG 5 μὲν] DFGK: δὲ ABEM*a* κἂν] et *a* 7 δεῖ] δὲ FG τε *om.* F: *supra scr.* M 10 ἐνιεμένη D 11 ferat *a* τερεβινθίνῃ BD*a*: τερεβινθίνην F 12 ἀπουλωθέντων] D: ἀπλωθέντων AEFGKM: ἀ°πλωθέντων B²: amplificatis *a* 15 ἐκτυλωτέον] κολλητέον D, *corr. mrg.* D³ ἀκτέον *om.* K 16 τὸν] D: *om.* ABEFGKM 17 διοπτριζομένων D 18 ἔναλγον D 19 ῥυσὴν] B³: ῥύσιν ABDEFGKM: fluens *a* καὶ *(pr.) om.* D τρυγώδη] D: τραγώδη AEKM: στραγώδη B: στραγγώδη G, *e corr.* B²: στραγγῶδες F 20 ὧν] D: ὧν οὖν ABEFGKM*a* ἐν] ἐν τοῖς D 21 γοῦν *om. a* 23 δι' ἀρρωστίαν] D: διαροῦς ABEKM: διὰ ῥοῦν G*a*: διάρρουν F: διάρροις B³ 24 αἱμορραγούσαις] D: καὶ αἱμορροίσιν ABEFGKM: et propter emorrogiam *a* 28 ἢ . . . τίκτουσαν *om.* AE 29 τὰ] *corr. ex* τὸ B 30 ἔχουσαν] D: *om.* ABEFGKM*a* μήτραν] μήτραν ἢ σκολιὸν ἔχειν τὸν τράχηλον τῆς μήτρας F

ἢ δειλὴν ἢ φλεγμονὴν ἔχουσαν κατὰ τὴν ὑστέραν ἢ ἐν ἄλλῳ μορίῳ ἢ ὁπωσοῦν ἄλλως νοσοῦσαν ἢ φυσικῶς ἀσθενοῦσαν καὶ μὴ δυναμένην ἐξωθεῖν ἢ προώρως τίκτουσαν· παρὰ δὲ τὸ κυόμενον ἢ ὑπερμέγεθες ὂν ἢ μικρὸν καὶ ὀλιγοβαρὲς ἢ ἀδροκέφαλον ἢ τεράστιον, οἷον δικέφαλον, ἢ τεθνηκὸς ἢ ζῶν μέν, ἀσθενὲς δὲ καὶ μὴ δυνάμενον προιέναι πρὸς τοὐκτός, ἢ διὰ τὸ πλείονα τυγχάνειν ἔμβρυα (πέντε γὰρ ἱστόρησεν Ἡρόφιλος) ἢ διὰ τὸ παρὰ φύσιν ἔχειν τὸ σχῆμα· κατὰ φύσιν μὲν γάρ ἐστι τοῖς τικτομένοις σχῆμα πρῶτον μὲν τὸ ἐπὶ κεφαλὴν παρατεταμένων τῶν χειρῶν τοῖς μηροῖς καὶ ἀπαρέγκλιτον ἔχον κατ᾽ εὐθὺ τοῦ στομίου τὴν κεφαλήν, δεύτερον δὲ τούτου τὸ ἐπὶ πόδας ἀπαρέγκλιτον, τὰ δὲ παρὰ ταῦτα πάντα σχήματα παρὰ φύσιν εἰσίν· παρὰ δὲ τὸ χόριον ἢ μὴ ἀποσπώμενον διὰ παχυσμὸν ἢ καὶ πρὸ τοῦ δέοντος ἀποσπώμεμον διὰ λεπτότητα· παρακενουμένου γὰρ τοῦ ὑγροῦ δυσόλισθον τὸ ἔμβρυον ὑπὸ τῆς ξηρότητος γίνεται· παρὰ δὲ τὰ ἔξωθεν ἤτοι ψύξεως πυκνωσάσης ἢ θέρμης ἀμέτρου διαφορησάσης τὴν δύναμιν ἢ καί τινος ἐκ τύχης προσπεσόντος.

Εἰ μὲν οὖν διὰ στέγνωσιν ἢ οἷον ἀποσφήνωσιν τοῦ ἐμβρύου δυστοκία 2
γίνοιτο, τῇ χαλάσει πρότερον συνεργεῖν ἐγχυματίζοντας συχνῶς ἐλαίῳ γλυκεῖ καὶ θερμῷ καὶ σὺν ἀφεψήματι τήλεως ἢ μαλάχης ἢ λινοσπέρμου ἢ καὶ ᾠοῖς διὰ τὸ παρηγορικόν· εἶτα καὶ καταπλάσσειν ἐφήβαιον μετ᾽ ἐπιγαστρίου καὶ ὀσφύος τῇ διὰ λινοσπέρμου ἢ διὰ μελικράτου ἢ ὑδρελαίου ἐγκαθίσμασί τε τοῖς ὁμοίοις· καὶ τοὺς ἀπὸ βαλανείων δὲ παραλαμβάνειν χαλασμούς, εἰ μὴ πυρετὸς ἤ τις ἑτέρα κωλύοι πρόφασις. καὶ κινεῖν διὰ φορείου τὴν τίκτουσαν ἐν ἀέρι θερμῷ συμμέτρως· ἔνιοι δὲ καὶ κατασεισμοὺς εὐτόνους παρέλαβον καὶ πταρμικὰ προσήγαγον. καὶ τὴν μὲν δειλιῶσαν παρορμᾶν, τὴν δὲ ἄπειρον ὠδίνων διαλεκτέον εὐτόνως μάλιστα τὸ πνεῦμα κατέχειν καὶ πρὸς τὴν λαγόνα συνωθεῖν, τὴν δὲ λειποθυμοῦσαν τοῖς ἀπλήκτοις ὀσφραντοῖς ἀναληπτέον, κουφισθεῖσαν δὲ μετρίως θρεπτέον ὀλιγῇ τῇ τροφῇ. τὴν δὲ καταπίμελον ἐν τῇ κλίνῃ 3
πρηνῆ σχηματιστέον προσυποκλίνασαν τοῖς μηροῖς τὰ γόνατα διὰ τὸ τὴν ὑστέραν πρὸς ἐπιγάστριον φερομένην κατ᾽ εὐθὺ τοῦ στομίου γίνεσθαι, διὰ δὲ τῶν δακτύλων κηρωταῖς ἢ λιπάσμασι πιαίνειν τὸ στόμιον καὶ ἠρέμα διαστέλλειν· καί, εἴ τι πάθος εἴη περὶ τὰ μόρια, καὶ τούτου προνοεῖσθαι, καὶ σκύβαλον κατεχόμενον ἐκβάλλειν διὰ μαλακοῦ κλύσματος καὶ χόριον ἀναστομούμενον διαιρεῖν ἢ τοῖς δακτύλοις ἢ πολυπικῷ

6—7 *cf. Soranus II 53*

3 πρὸ ὥρας M κυούμενον EFG ὑπὲρ μέγεθος D 7 κατὰ . . . σχῆμα *(8)*] *mrg.* A (γρ.) 8 ἐστι *om.* DG σχῆμα] ἐστί(ν) σχῆμα DG ἐπὶ] ἐπὶ τὴν FG παρατεταμένων . . . κεφαλήν *(10) om.* E 9 μηρίοις M, -ί- *eras.* B 10 τὸ κεφάλαιον D τοῦτο M 11 πάντα] τὰ D 12 πάχος χυμῶν D 14 τὰ] D*a*: τὸ ABEFGKM ἢ D 18 γίγνοιτο EFG συνεχῶς FG 19 καὶ *(alt.) om.* D*a* 20 καταπλάσμασιν K: καταπλάττειν τὸ D μετὰ D 22 ἐγκαθίζειν D δὲ *om.* AE*a* 26 διαλεκτέον] νουθετεῖν D ἐντόνως AK, *e corr.* B² μάλιστα] maxime uero *a* 29 τῇ *(pr.) om.* DF 30 προυποκλίνασαν K 31 γίγνεσθαι FG 32 ἢ] et *a* 35 ἀναστομούμενον] DE: μὴ *supra add.* DB³: clausum *a*: καὶ ἀναστομούμενον ABFGKM: καὶ *del.* B³ πολυκόπῳ *e corr.* M

cπαθίῳ κεκρυμμένῳ ἐν αὐτοῖc προηγουμένηc τῆc ἀριcτερᾶc χειρὸc καί τι τῶν λιπαρῶν ὑγρῶν διὰ κλυcτηριδίου εἰc τὸ κύτοc ἐνιέναι τῆc ὑcτέραc. παρὰ φύcιν δὲ cχηματιcθέντοc τοῦ ἐμβρύου τὸν κατὰ φύcιν ἀποδιδόναι cχηματιcμόν, πῇ μὲν ὠθοῦντα, πῇ δὲ παράγοντα, πῇ δὲ κάμπτοντα, πῇ δὲ ἀπευθύνοντα· καί, εἰ μὲν χεῖρα προβέβληκεν ἢ πόδα, μὴ ἐπιcπᾶcθαι κώλου λαβόμενον· μᾶλλον γὰρ ἐπιcφηνοῦται ἢ ἔξαρθρον γίνεται ἢ καὶ ἀπορρήγνυται· ἀλλὰ τοὺc δακτύλουc ἐρείcαντα κατὰ τοῦ ὤμου ἢ κατὰ τοῦ ἰcχίου τοῦ ἐμβρύου πάλιν τὸ προβεβλημένον εἰc-
4 άγειν εἰc τὸν προcήκοντα τόπον. εἰ δὲ μετὰ cφηνώcεωc ὅλου τοῦ ἐμβρύου γένηται παραcχηματιcμόc, ἀναβιβάζειν αὐτὸ πρότερον ἀπὸ τοῦ cτομίου τῆc ὑcτέραc μετέωρον κἄπειτα λαβόμενον αὖθιc ἀπευθύνειν ἐπὶ τὸ cτόμιον. εἰ δὲ πλείονα τοῦ ἑνὸc ἐμβρύου καταφέροιτο, πάλιν ἄνωθεν αὐτὰ καὶ κάτωθεν κομίζεcθαι. πάντα δὲ ποιεῖν ἠρέμα καὶ ἀπεριθλάcτωc ἐλαιοχυτοῦντα τοὺc τόπουc. καιρὸc δὲ τῆc εἰc τὸν δίφρον καθέδραc, ὅτε τὸ cτόμιον τῆc μήτραc ἀνεῳγὸc ὑποπέcῃ τῷ δακτύλῳ, καὶ προκύψῃ τὸ πρόρρηγμα. εἰ δὲ διὰ τὸ τεθνηκέναι τὸ ἔμβρυον ἢ δι' ἄλλην αἰτίαν μὴ προέρχοιτο, ἐπὶ τὴν ἐμβρυουλκίαν ἰέναι.

## οζʹ. Περὶ ἰcχιάδοc.

1 Τοῦ γένουc οὖcα τῆc ἀρθρίτιδοc ἡ ἰcχιὰc μόνῳ τῷ κατὰ τὸ ἰcχίον ἐνεcτηρίχθαι τὴν αἰτίαν αὐτῆc διενήνοχεν. αἴτιοc δὲ ταύτηc παχὺc καὶ φλεγματικόc ἐcτι χυμὸc ἐνεcφηνωμένοc τῇ κατ' ἰcχίον διαρθρώcει· ὁ δὲ πόνοc αὐτοῖc ἀπὸ τῶν κατὰ τὸ cφαίρωμα καὶ τὸν βουβῶνα τόπων ἄχρι γόνατοc, ἐπὶ τῶν πλείcτων δὲ καὶ ἄχρι ποδὸc ἄκρου, διικνεῖται. κατ' ἀρχὰc μὲν οὖν ἐντυχόντεc τῷ κάμνοντι μετὰ τὴν τῶν cκυβάλων διὰ κλυcτῆροc κένωcιν φλεβοτομίαν ἀπ' ἀγκῶνοc παραλάβωμεν μετὰ ἐπαφαιρέcεωc· εἰ δὲ μετὰ χρόνον, ἀπὸ τοῦ κατὰ τὸ πεπονθὸc cκέλοc cφυροῦ τὴν ἀφαίρεcιν ποιηcώμεθα. καὶ κατὰ μὲν τοὺc παροξυcμοὺc ἐμβροχῇ τῇδε χρηcτέον· Κυπρίνου κύαθοι η̄, ὄξουc κύαθοι δ̄, νίτρου κύαθοι β̄, κάχρυοc κύαθοc ᾱ, δι' οἰcυπηρῶν ἐρίων θερμή· μεθ' ἣν καταπλαcτέον αὐτοὺc ἀλεύρῳ θέρμων πικρῶν μετ' ὀξυμέλιτοc ἢ ἀλεύρῳ αἰρίνῳ μετὰ ῥητίνηc καὶ cικύου ἀγρίου ῥίζηc καὶ νίτρου καὶ καλαμίνθηc καὶ κάχρυοc καὶ δαφνίδων· καὶ ἡ καλαμίνθη δὲ μόνη χρηcίμωc κατα-

οζʹ *cf. Aëtius XII 1; Oribasius, vol. IV 589 sq.* 29—32 *cf. Oribasius, Synops. IX 61; Ad Eunap. IV 116*

5 πόμα AE 6 *ante* κώλου *supra ins.* τοῦ D ἀποcφηνοῦται D 7 ἢ καὶ] καὶ D: aut *a* ἐπερείcαντα D 15 ὑποπέcοι D: ὑποπέcει FM 16 προκύψοι D: προκύψει BFGM 19 ἡ *om.* AB, *corr.* B[3] 20 καὶ] ἐcτι καὶ AM 21 ἐcτι *om.* ADM: ἐcτιν E 22 τῶν] τοῦ D τόπων] AB: τόπου D: τόπον EFGKM: *om. a* 23 ἄχρι *(pr.)*] ἄχρι τοῦ D ἄκρου *om.* D: *corr. ex* ἄκρον B 25 παραλάβωμεν] ABFG*a*: παραλάβομεν KM: παρελάβωμεν E: παραλαμβάνομεν D 28 κύαθοι η̄] ἢ D: ciathos VIII *a*: κυ/ η̄ ABEFGKM (*ut semper fere*) δ̄] ᾱ D 29 ᾱ] η̄ D ἣν] ᾶ D 30 ἀλεύρῳ] DFG*a*, *e corr.* K: ἀλεύρων ABEKM 31 καὶ καλαμίνθηc *om.* D 32 ἡ *om.* D δὲ *om. a* χρήcιμοc D cataplasmabitur *a*

πλάσσεται δι' ὀξυμέλιτος ἢ μελικράτου. ἐμπλάστρῳ δὲ παρηγορικῇ χρη-
στέον τῇδε· κηροῦ < ρ̄, τερεβινθίνης < κ̄ε̄, ἰοῦ < ϛ̄, σμύρνης, χαλβάνης,
ἴρεως ἀνὰ < ϛ̄, κεδρίας < ε̄. προποτιστέον δὲ αὐτοὺς ὀποῦ Κυρηναικοῦ 2
μέγεθος ὀρόβου ἢ καστορίου < ᾱ σὺν ὀποπάνακος τριωβόλῳ· ὁ δὲ τῆς
ῥίζης τῆς καππάρεως φλοιὸς πινόμενός τε καὶ τοῖς καταπλάσμασιν
ἐπιμιγνύμενος ὠφελεῖ. πολλῆς δὲ τῆς ἀλγηδόνος οὔσης καὶ τὰ ἀνώδυνα
τῶν φαρμάκων ἔχει χώραν, οἷον ἥ τε Φίλωνος καὶ ἡ διὰ τῶν δύο
πεπέρεων. ἐνέματι δὲ χρηστέον τῷδε· μέλιτος κύαθος ᾱ 𐅵', ἐλαίου κύ-
αθος ᾱ 𐅵', ὕδατος κύαθοι β̄, νίτρου ὁλκαὶ η̄, τερεβινθίνης ὁλκαὶ δ̄· ταῦτα
θερμὰ ἐνέσαντα δεῖ τὸν δακτύλιον ἐπιπυριᾶν ὑπὲρ τοῦ πλείονι χρόνῳ
κατασχεθῆναι· μυξώδη κενοῖ, ἐνίοτε δὲ καὶ αἷμα, ὅτε καὶ πλεῖον ὠφελεῖ.
εἰ δὲ ἐπιμένοι ἡ διάθεσις, ὅπερ ἐστὶ σπάνιον, καὶ αὖθις συχνότερον
αὐτῷ χρηστέον ἀντὶ τοῦ ὕδατος ἀφέψημα κενταυρίου μίσγοντα. αἷμα
δὲ κενοῖ καὶ θλάσπεως σπέρμα ἐνιέμενον, καὶ ὁ χυλὸς τοῦ ἐλατηρίου
καὶ τὸ δι' αὐτοῦ ἢ τὸ διὰ τῶν ῥιζῶν αὐτοῦ συντιθέμενον Σικυώνιον
ἔλαιον καὶ τῶν ταριχηρῶν ἰχθύων ἡ ἅλμη καὶ τῶν ἐλαιῶν τῶν κολυμ-
βάδων καλῶς ἂν ἐνεθείη, σικύαις τε κατὰ τοῦ ἰσχίου μετὰ πολλῆς
φλογὸς χρηστέον ἐγχαράξει χρωμένους, ἐνίοτε δὲ καὶ βδέλλαις. ἐπιμέ- 3
νοντος δὲ τοῦ πάθους ἐπὶ κάθαρσιν ἰτέον ἤτοι διὰ τῆς ἱερᾶς ἢ τῆς
κολοκυνθίδος διδοῦντα τῆς ἐντεριώνης καλῶς λειωθείσης δραχμῆς πλῆθος
ἐν μελικράτου κυάθοις β̄ ἢ μικρῷ πλέον ἢ ἔλαττον πρὸς τὴν δύναμιν
καὶ τὴν εὐκοιλιότητα τοῦ νοσοῦντος· ἐν δὲ τῷ μελικράτῳ πήγανον
ἐνηψήσθω. καλῶς δὲ τούτους καθαίρει καὶ ὁ διὰ τῆς κολοκυνθίδος
πολτός· ἐπί τινων δὲ καὶ οἱ ἀπὸ ῥεφανίδων ἔμετοι κατ' ἀρχὰς ὠφέλη-
σαν. ἐν δὲ τοῖς διαλείμμασι δρωπακιστέον αὐτοὺς τοῖς τε δι' εὐφορβίου
χρηστέον ἀκόποις, καὶ μάλιστα τῷ ποικίλῳ καλουμένῳ. λουτρὰ δὲ τὰ
αὐτοφυῆ τούτοις ἁρμόδια· εἰ δὲ μὴ παρείησαν, ἐν τοῖς γοῦν ἄλλοις
λουόμενοι τοῖς τε λελεγμένοις ἀκόποις χρήσθωσαν καὶ τοῖς συνθέτοις
νίτροις τῷ τε Ἀσκληπιῷ καὶ τῷ δι' εὐφορβίου καὶ ἀδάρκης καὶ μέλα-

*3 sqq. cf. Aëtius XII 4—5*

1 δι'] δὲ δι' D 2 ϛ̄] ζ̄ D 3 ε̄] ϛ̄ D 4 ἢ καστορίου *om. a*: καστορίου F < ᾱ *om. a*: < β̄ F τριωβόλῳ] D*a*: τριώβολον AE: τριόβολον BFGKM 7 τῶν *(alt.) om.* D 8 κύαθος] *comp.* ABDEFGKM: ciathum *a*
10 ἐνέντας D τὸν] τὸ BF, *corr.* B[2] πλείονα χρόνον D 11 κενοῖ] δὲ κενοῖ D δὲ] DFG: *om.* ABEKM*a* καὶ *om.* F 13 μίσγοντας D: μίσγοντες F: *comp. ambig.* G 14 δὲ *om.* E 15 ἢ] et *a* 16 ἐλαιῶν] EFG, *e corr.* AB: ἐλαιῶν δὲ D: ἐλαῶν KM 17 ἐνεθείη] ἐσθίῃ K: ἐσθίοιεν D
18 ἐγχαράξει] AEFGK: σὺν ἐγχαράξει D: ἐν χαράξει BM*a* χρωμένους *om.* D βδέλλαις] KM*a*: βδέλλας ABDEFG 19 ἤτοι *om. a* ἢ] ἢ διὰ D
20 διδόντα D, *e corr.* B δραχμὴ K: < FG: < 𐅵 D 21 μελικράτου] D*a*: μελικράτῳ ABEFGKM 23 ἐνηψήσθω] KM: ἐνεψήσθω BEFG, *mrg.* D[5]: ἐνεψίσθω A: ἐνεψείσθω D καθαίρει] DFGK: ἐκκαθαίρει AEM: ἐκκαθαίρειν B
διὰ *om.* K * τῆς] DFGK: *om.* ABEM 24 ῥαφανίδων F*a*: ῥαφανίδος D
ὠφέλησαν κατ' ἀρχάς D 26 τὰ] ταῦτα K: *om.* B 27 γοῦν τοῖς D
γοῦν *om. a* 28 χρήσθωσαν] FGK: κεχρήσθωσαν D: χρηστέον ABEM
29 τε *om.* D

νος ἐλλεβόρου καστορίου τε καὶ πυρέθρου καὶ πεπέρεως καὶ σταφίδος
ἀγρίας ἴσων. μετὰ τὸ λουτρὸν ἐμπασσέσθωσαν πίσσης ξηρᾶς ℔ γ̄, θείου
**4** ἀπύρου ℔ β̄, θερμὸν ἔτι τὸν χρῶτα, καὶ σκεπέτωσαν αὐτὸ χάρτῃ. εἰ δὲ
μηδὲ ταῦτα δράσοι, ἤγουν ἐγκαταλείμματος τῆς νόσου μείναντος, καλὸν
μὲν καὶ τὸ νᾶπυ καταπλαττόμενον σὺν ἰσχάσιν ἢ καὶ καθ᾽ αὑτό· τέλεον
δὲ τούτους ἀποκαθίστησι τῆς Ἰβηρίδος βοτάνης ἡ χρῆσις, ἣν δὴ καὶ
λεπίδιον, οἱ δὲ ἀγριοκάρδαμον, προσαγορεύουσιν. ἡ δὲ παρ᾽ ἡμῖν φυ-
ομένη θαμνώδης παραπλήσια δάφνης τὰ φύλλα καὶ μείζονα πολλῷ
ἔχουσα πολλὴν δέδωκε πεῖραν οὐ μόνον ἐπὶ ἰσχιαδικῶν, ἀλλὰ καὶ ἐπὶ
ἄλλων χρονίων νοσημάτων· θέρους δὲ πρακτικωτέρα μᾶλλόν ἐστιν, εἰ
καὶ μὴ τύχοι τότε φύλλα φύουσα· δεῖ οὖν τὸν φλοιὸν τῆς ῥίζης αὐ-
τῆς κόψαι μετὰ στέατος ὑείου, ὡς ἐμπλαστρώδη γενέσθαι, εἶτα ἐπι-
πλάσαντα ῥάκει πυκνῷ κατὰ τῶν μάλιστα ὀδυνωμένων ἐπιθεῖναι τόπων
ἤγουν κατά τε τοῦ σφαιρώματος ὅλου καὶ τοῦ μηροῦ καὶ ἐάσαντα, ἕως
οὗ μελανθῇ ἢ πάντως γε πελιδνὴ γένηται ἡ ἐπιδερμίς, λαβεῖν αὐτὸ
καὶ λουσαμένῳ ἐπιθεῖναι ταύτην τὴν κηρωτήν· ὀποπάνακος ℔ δ̄ δια-
**5** λύονται ὄξους κυάθοις β̄ καὶ ἀναλαμβάνονται κηρωτῇ Κυπρίνῃ. εἰ δὲ
παραιτοῖντο τῶν τοιούτων καυστικῶν τὴν χρῆσιν, ταῖς ἀνασκευαστικαῖς
χρηστέον ἐμπλάστροις, ὧν ἐστι καὶ αὕτη· κηροῦ, πιτυίνης ἀνὰ < ιβ̄, τε-
ρεβινθίνης, περιστερῶν ἀγρίων κόπρου, σφέκλης προσφάτου ἀνὰ < ϛ̄,
χαλβάνης < ᾱ 𐅵΄. καὶ ἡ λέαινα δὲ προσαγορευομένη τῶν ἀνασκευαστικῶν
ἐστι. χρήσιμοι δὲ καὶ αἱ διὰ στακτῆς καὶ νίτρου σκευαζόμεναι. καὶ τοῖς
ἐπ᾽ ἐνιαυτὸν δὲ πινομένοις τινὲς ἐχρήσαντο ποτήμασιν· ἐξ ὧν ἐστι τό
τε διὰ τεσσάρων· χαμαίδρυος λι. ᾱ, γεντιάνης ℔ θ̄, ἀριστολοχίας στρογ-
γύλης ℔ θ̄, πηγάνου σπέρματος ξηροῦ ξ ᾱ· ταῦτα κόψαντα δεῖ καὶ σή-
σαντα διδόναι καθ᾽ ἑκάστην ἡμέραν κοχλιαρίου πλῆθος νήστει τε καὶ
εὐπέπτῳ μεθ᾽ ὕδατος ψυχροῦ κυάθων β̄ ἐπ᾽ ἐνιαυτόν, ἢ ἕως ἂν ἡ νόσος
παύσηται· καὶ τὸ δι᾽ ἑπτὰ δὲ συντιθέμενον καὶ ἡ Πρόκλου λεγομένη
**6** τῆς αὐτῆς εἰσιν ἐπαγγελίας. γυμνάσια δὲ διά τε περιπάτων ἐπιτελείσθω

5—17 *cf. Aëtius XII 2*

1 ἀσταφίδος ABM 2 ἴσῳ D: ἴσον FGK ἐμπλασσέσθωσαν K 3 αὐτὸ] AEM, *e corr.* B: αὐτὴν F: *om.* *a*: αὐτῷ FGK: αὐτὸν DB 4 ἢ D ἐγκατάλειμμά τι D μείνοι D καλῶς D 5 μὲν] μὲν ποιεῖ D καὶ *(alt.) om.* E ἑαυτὸ FGK 6 ἀποκαθίστησι] ἀποκαθίστησιν ἡ FG ἡ *om.* FG καὶ *om.* E 7 προσαγορεύουσιν οἱ δὲ ἀγριοκάρδαμον D 8 lauro *a* καὶ] ἔχουσα καὶ D 8. 9 πολλῷ ἔχουσα *om.* D 9 ἐπὶ *(alt.) om.* K: ἐπ᾽ D 10 εἰ] K: εἰ δὲ ABDEFGM*a* 11 καὶ *om.* D*a* φύουσα] ἔχουσα A οὖν *om.* D 12 κόψαντα D ἐμπλαστρῶδες D γίνεσθαι M ἐπιπλάσαντα] DGK: ἐπιπλάσσαντα BFM: ἐπιπλάσσοντα A: ἐπιπλάσσον E 15 ἐπιδερματίς E 16 ℔] < G δ̄] ᾱ D διαλύεται D 17 ἀναλαμβάνεται D 18 παραιτοῦνται D 19 καὶ *om.* *a* 20 κόπρους ABEM 23 ποτίμασιν E: ποτίσμασιν D ἐξ *om.* D 24 ℔ θ̄ *om.* D 25 ℔] ἀνὰ ℔ D σπέρμα G κόψας F: κόψας G δεῖ] δὴ FG 26 διδόναι] *in renov.* D[3] ἡμέραν] ἡμέραν διδόναι D 27 ἢ] DK: *om.* ABEFGM*a* 28 δὲ *om.* K λεγομένη] D*a*: δὲ λεγομένη ABEFGKM 29 ἐστιν G

καὶ cυνεχῶν διὰ κάμψεων καὶ ἀφάλcεων καὶ δρόμων. καὶ τροφὴ δὲ λεπτύνουcα μετρίωc καὶ εὔπεπτοc. εἰ δὲ πρὸc μηδὲν τῶν εἰρημένων ὑπακούει ἡ ἰcχιάc, ὁτὲ μὲν εἰc διαπύηcιν τρέπεται, ὁτὲ δὲ χαλαcθέντων τῶν cυνδετικῶν νεύρων τὸ κῶλον ἐξαρθρεῖ· δεῖ τοίνυν χρονιζούcηc τῆc διαθέcεωc καίειν τὸ ἄρθρον κατὰ τρεῖc ἢ τέccαραc τόπουc, ὡc ἐν τοῖc χειρουργουμένοιc εἰρήcεται, καὶ ἐπὶ πλείοναc ἡμέραc τὰ ἕλκη φυλάττειν ἀνεπούλωτα.

## οη′. Περὶ ποδάγραc καὶ ἀρθρίτιδοc.

Οὐ μόνον ἡ τῶν μορίων ἀcθένεια τὸ ποδαγρικόν τε καὶ ἀρθριτι- 1
κὸν ἐργάζεται πάθοc, ἐπεὶ ἂν ἔδει τοὺc παροξυcμοὺc ἀδιαλείπτουc εἶ-
ναι, παρ᾽ ὅcον καὶ ἡ ἀcθένεια διὰ παντὸc ἐνυπάρχει τοῖc ἀcθενοῦcιν
ἄρθροιc· οὔτε δὲ χυμὸc μόνοc· οὐ γὰρ δὴ τοῖc ἄρθροιc ἐνέcκηπται
μόνοιc τὸ πάθοc· ἀλλ᾽ ἄμφω χυμόc τε παρὰ φύcιν καὶ τῶν μορίων ἡ *
ἀcθένεια τὴν νόcον ἐργάζεται. ὅταν γὰρ τῶν μορίων ἡ θρεπτικὴ δύνα-
μιc ἀτονήcῃ διὰ πληcμονὴν cιτίων, ἐξ ἧc ἀπεψίαι cυμβαίνουcι, κατα-
cκήπτων ὁ πλεονάζων χυμὸc εἰc ἡντιναοῦν τῶν διαρθρώcεων ἤδη προ-
αcθενήcαcαν καὶ διατείνων τὰ cυνδετικὰ τῶν νεύρων τὴν ὀδύνην ἐργά-
ζεται· οὐδὲ γὰρ τῶν προαιρετικῶν νεύρων ἐcτὶ πρωτοπαθούντων ἡ
φλεγμονή, ἐπεὶ ἂν ἔδει κἂν τοῖc μεταξὺ τῶν διαρθρώcεων τόποιc αὐ-
τὴν γίνεcθαι, οἷον κνήμαιc μέcαιc ἢ μηροῖc ἢ πήχεcιν ἢ βραχίοcιν·
cυμπάcχει γε μὴν καὶ τὰ προαιρετικά. ἕωc μὲν οὖν ταῖc τῶν ποδῶν 2
διαρθρώcεcι καὶ μόνον ὁ χυμὸc ἐνοχλεῖ, ποδάγρα τὸ πάθοc προcαγο-
ρεύεται· διαβιβαcθείcηc δὲ τῆc αἰτίαc ἐν ἅπαcι τοῖc τοῦ cώματοc ἄρθροιc
ἀρθρῖτιν αὐτὸ καλεῖν εἰώθαcιν, ἐφ᾽ οὗ καὶ cπόνδυλοι καὶ cπάθαι καὶ
cιαγόνεc καὶ πᾶν ὁτιοῦν ἄρθρον τῇ νόcῳ βάλλεται, τιcὶ δὲ καὶ ὦτα
καὶ ὀδόντεc καὶ φάρυγξ, καί ποτε καὶ ἧπαρ καὶ cπλὴν τῶν ἀρθριτικῶν
μετέcχον ἀλγημάτων· ἐφ᾽ ὧν εἰ μὴ διὰ τάχουc ἐν τοῖc ἄρθροιc ἡ με-
τάπτωcιc ἐγίνετο, κίνδυνοc ἐν ὀλίγῳ κατελάμβανε τοὺc κάμνονταc.
ὁ δὲ πλεονάζων χυμὸc ὁτὲ μὲν χολώδηc, ὁτὲ δὲ αἱματικόc, ἄλλοτε 3
δὲ μελαγχολικόc, ὡc τὸ πολὺ δὲ φλεγματικόc τε καὶ ὠμόc ἐcτιν, ἔκ τε
cιτίων πλεονεξίαc καὶ ἀπεψιῶν καὶ ἀργίαc cυνιcτάμενοc· χρονίζων δὲ

6 εἰρήcεται] *VI 76* οη′ *cf. Alexander Trall. XII* οη′ 1—5 *cf. Aëtius XII 6—7* 29 — p. 300, 2 *cf. Oribasius, Synops. IX 56*

1 cυνεχῶν] DFGK: cυνεχῶc ABEM*a* ἀcφάλcεων M καὶ *(ult.) om. a* δὲ *om. a* 2 μετρίωc λεπτύνουcα FG εὔπεπτοc] εὔπεπτοc ἔcτω D δὲ] δὲ μὴ D 3 ὑπακούῃ K: ὑπακούοι D: ὑπακούcῃ F ἡ *om.* K 4 ἐξαρθροῦνται D 7 ἀναπούλωτα D 9 μόνον ἡ] DFGK*a*: μόνη ABEM τὸ *om.* FK 10 ἂν] δ᾽ ἂν K: *om.* D δεῖ K 11 καὶ] *supra scr.* K: *om. a* 13 ἡ *om.* D ἡ . . . μορίων *(14) om.* K 15 ἀcθενῆ D cυμβαίνουcι] γίνονται D 17 διατείνων] διά τινα K 18 οὐδὲ] D: οὔτε ABEFGKM 19 ἂν] δ᾽ ἂν K: *om.* D δεῖ K 20 μέcαιc *om.* DF 21 γε μὴν] FG, *in ras.* B: μὲν οὖν ADEKM: igitur *a* οὖν] δὴ D 22 καὶ *om. a* τὸ πάθοc ποδάγρα K 24 αὐτὸν BD, *corr.* B 26 φάρυξ ABEFG καὶ *(tert.) om.* FG καὶ *(quart.)*] *supra scr.* D: *om. a* 27 μετέχον E: μετέχων B ἐφ᾽] *inc.* H *fol. 171r* 28 ἐν] ἂν ἐν D

κατὰ τὰ ἄρθρα παχύνεταί τε καὶ γλισχρότερος γίνεται, ὥστε καὶ τοὺς λεγομένους ἀπεργάζεσθαι πώρους. ἔσθ' ὅτε δὲ καὶ μικτός· ἐκ πλειόνων γάρ ἐστι· διὸ καὶ τὸ δυσδιάγνωστόν τε καὶ δυσθεράπευτον ἢ καὶ σχεδὸν ἀθεράπευτον ἡ νόσος κέκτηται.

4 κατάρχει δὲ τοῦ πάθους ὡς τὸ πολὺ κόπος ἄμετρος καὶ περίπατοι σύντονοι καὶ ἱππασία συχνὴ καὶ ἀφροδισίων ἄκαιρος χρῆσις ψυχροποσία τε ἀήθης καὶ ψυχρῶν ἢ πολλῶν ἢ κακῶν βρωμάτων ἐδωδὴ καὶ οἶνος πολύς· καὶ ἐπὶ προσπταίσμασι δέ τινες ἢ κρούσμασιν ἢ στρέμμασιν ἢ τοιούτοις τισὶ τὴν πρώτην κατάπειραν τοῦ πάθους εὑρήκασι προηγουμένης μὲν ἐν τῷ σώματι καὶ τέως ἠρεμούσης τῆς ὕλης, τῆς δὲ προκαταρκτικῆς αἰτίας κινησάσης αὐτήν. λῦπαι δὲ καὶ φροντίδες καὶ ἀγρυπνίαι καὶ τὰ λοιπὰ πάθη τῆς ψυχῆς οὐχ ὅπως μόνον ἐκίνησαν ἀλλὰ καὶ αὐταὶ τὴν κακοχυμίαν ἐγέννησαν εἴτε πρώτως εἴτε κατὰ συμβεβηκός. ποικίλα μὲν οὖν ἐστιν, ὡς ἔφην, τὰ τοῦ πάθους αἴτια, εὐφώρατοι δὲ ὅμως κατὰ τὸ ἐγχωροῦν αἱ τῶν λυπούντων χυμῶν διαφοραὶ γίνον-
5 ται ταῖς τε χροιαῖς καὶ τοῖς συμπτώμασι σημαινόμεναι. τὸ μὲν γὰρ χολῶδες ῥεῦμα πρὸς τῷ τοῦ χρώματος ὑπώχρῳ τε καὶ ἐξερύθρῳ καὶ θερμασίας συναίσθησιν καὶ τὴν ὀδύνην ὀξυτέραν ἐργάζεται καὶ ταχέως ἐκδίδοται κατὰ τὸ δέρμα χωρὶς ὄγκου μεγάλου παροξύνεταί τε τῶν θερμαινόντων ἐπιτιθεμένων, ὥσπερ ἔμπαλιν ὑπὸ τῶν ψυχόντων ἀνίεται. τοῦτο μέν γε καὶ τοῖς ἄλλοις ἅπασιν ὡς ἐπὶ τὸ πολύ, μάλιστα δὲ τοῖς ἐπὶ χολώδει, συμβαίνει· καὶ πυρετὸς αὐτοῖς ἐπιγίνεται πολλάκις ἐν ταῖς τῶν παροξυσμῶν ἀκμαῖς, ὁπότε καὶ διψώδεις εἰσίν. οὕτω δὲ καὶ μελάντερον μὲν ἐπὶ τῶν μελαγχολικωτέρων εὑρήσεις τὸ χρῶμα, λευκὸν δὲ καὶ ὑδαλέον ἐπὶ τῶν φλεγματικῶν, καὶ τὴν ὀδύνην ἐμφωλεύουσάν τε καὶ βραδύτερον εἰς ὄγκον ἐκδιδομένην ὥσπερ αἱματώδη τὴν χρόαν, ἐφ' ὧν αἱματικὸς ὁ πλεονάζων ὑπάρχει χυμός. πρὸς δὲ τὴν βεβαιοτέραν διάγνωσιν συντελεῖ σοι καὶ ἡ προλαβοῦσα δίαιτα καὶ τὰ λοιπά.

6 Θεραπεία τῶν ἐπὶ χολώδει χυμῷ ῥευματιζομένων.

Ἀρχὴ δέ σοι τῆς θεραπείας ἐπὶ τῶν ἐπὶ ξανθῇ χολῇ καὶ μᾶλλον ἐπὶ ποιότητι πασχόντων ἢ τοῦ λυποῦντος χυμοῦ γινέσθω κένωσις διὰ τῶν καθαρτικῶν φαρμάκων, ὁποῖόν ἐστι μάλιστα τὸ διὰ τοῦ ῥοδομέλι-

14 *sqq. cf. Aëtius XII 13—17* 30—32 *Oribasius, Synops. IX 56; cf. Aëtius XII 28*

ABDEGHKM(F)*a*

1 κατὰ] καὶ K τε *om.* K γλισχρότερος] DEFG, *e corr.* B: αἰσχρότερα AHKM*a* ὥστε] ὅτε D 2 πόρους GK: πόνους D*a* 3 γὰρ *om.* D 9 τὴν πρώτην *om. a* πεῖραν FG, *mrg.* B² προσυνηγμένης D 10 καὶ τέως *om. a* 13 αὐτὰ H πρώτως] BDFM: πρῶτος AGH: πρῶτον EK κατὰ] κατὰ τὸ FG: τὸ *supra add.* B² 14 ὡς ἔφην ἐστί(ν) DFG 15 αἱ *om.* D διαφοραὶ] αἱ διαφοραὶ D 17 τε *om.* DK 18 τὴν *om.* D 19 κατὰ] καὶ K τὸ] DFGK, *e corr.* B: *om.* ABEHM τε *om.* A: uero *a* 22 ἐν] ἐπὶ D 23 οὕτω δὲ] similiter *a* 24 μὲν] τε D δὲ] τε AD 25 ὑδαρὲς D 28 συντελεῖ σοι] συντελεῖσι F: perficiet *a* 29 χολώδη BGHM: *comp.* AEF χυμὸν AEM: χυμῶν BFH, *corr.* B 32 τοῦ *om.* D

τος cκευαζόμενον καὶ τὸ διὰ τῶν μήλων τῶν Κυδωνίων καὶ τὸ διὰ τῆς πικρᾶς ἀντιδότου καὶ τὰ διὰ τῆς ἀλόης καταπότια. κατὰ δὲ τοὺς παροξυςμοὺς ἔξωθεν τῷ ῥοδίνῳ χρηςόμεθα μετὰ τῆς λεκίθου τοῦ ᾠοῦ καὶ βραχέος οἴνου προςανατρίβοντες ἠρέμα τὸ μόριον· καὶ τὰς ψυχούςας δὲ τῶν βοτανῶν προςενέγκωμεν, οἷον ςτρύχνον, ἀνδράχνην, ὑοςκύαμον, ἀείζωον, τὸν ἐκ τῶν τελμάτων φακόν, ςέριν, μήκωνα, πολύγονον, ῥόδων φύλλα καὶ τὰ παραπλήςια, ποτὲ μὲν καταχρίοντες αὐτά, ποτὲ δὲ μετὰ ψιχῶν ὀξυκράτῳ βραχειςῶν ἢ κριθίνων ἀλεύρων ἅμα ῥοδίνῳ καταπλάςςοντες. ἐπὶ δὲ τῆς ἐρυςιπελατώδους φλεγμονῆς τῶν ἄρθρων ἐπιφανῶς παρηγορεῖ κολοκύνθης νεαρᾶς τὸ λέπος ἐπιτιθέμενον πέπονός τε καὶ ςικύου ἡ ςὰρξ καθ' ἑαυτά τε καὶ μετὰ ἄρτου περδικίου τε φύλλα καὶ κιςςοῦ ςὺν ἄρτῳ ἢ πάλῃ ἀλφίτου· καὶ τὸ ψύλλιον δὲ ςυνεψόμενον ἀλεύρῳ κριθίνῳ τὰς πυρώδεις τῶν φλεγμονῶν θαυμαςτῶς παραμυθεῖται, ὡςαύτως καὶ ἡ ῥοδίνη κηρωτὴ ςύν τινι τῶν ἐμψυχόντων χυλῶν ψυχριςθεῖςα καὶ ἡ διὰ τοῦ κυαμίνου ἀλεύρου· ἔχει δὲ οὕτως· κηροῦ ℥ ε̄, χαμαιμηλίνου ℥ β̄ ∠′, ῥοδίνου ℥ β̄ ∠′, κυαμίνου ἀλεύρου ℥ ∠′, ᾠῶν ε̄ τὰς λεκίθους.

7 Ἄλλο κατάπλαςμα. μαλάχας ἑψήςας χλωρὰς τρῖψον καὶ ψύλλιον κατ' ἰδίαν ἰξοποιήςας ἐπίμιξον, εἶτα προςπλέξας ᾠῶν τὰ κρόκα καὶ ἔλαιον χαμαιμήλινον κατάπλαςςε.

πολλῆς δὲ καὶ δυςυπομονήτου τῆς ὀδύνης οὔςης καὶ τοῖς διὰ κρόκου καὶ γλαυκίου καὶ ὀπίου χρηςτέον δι' ὀξυκράτου λειοῦντας αὐτὰ καὶ ἤτοι καταχρίοντας ἢ μετὰ ψιχῶν καταπλάςςοντας.

8 ὁ δὲ Γαληνὸς τούτου μέμνηται· ὀποῦ μήκωνος < δ̄, κρόκου < ᾱ, λεάνας μετὰ γάλακτος βοείου ἢ αἰγείου ἄρτου τὸ ἐντὸς ἐπίβαλλε καὶ μαλάξας παράπτου ῥοδίνῳ καὶ χρῶ καταπλάςματι, ἢ τὸ ὄπιον καὶ τὸν κρόκον τρίψας μετὰ τοῦ γάλακτος ἀναλάμβανε κηρωτῇ ῥοδίνῃ.

9 καὶ ἡ διὰ τῆς τουρπαίνης δὲ κηρωτὴ τῆς αὐτῆς ἐςτι δυνάμεως ἐν παροξυςμοῖς καὶ τὸ ἔλαιον τὸ δι' αὐτῆς. καὶ τοῦτο δὲ παραπλήςιόν ἐςτι· ψιχῶν βραχειςῶν εἰς ὕδωρ ἢ εἰς ὀξύκρατον καὶ ἀειζώου ἢ ςτρύ-

5—9 *Oribasius, vol. IV 591, 27 sq.* 9—12 *ib. p. 592, 34 sq.* 24 Γαληνὸς] *De comp. medic. sec. loc. X 3 (XIII 355)* 24 *sqq. cf. Aëtius XII 30*

1 τὸ *(pr.) om.* K τῶν *(alt.) om.* FG τὸ *(alt.)*] τὰ K 4 καὶ *(alt.) om. a* 5 δὲ *om. a* ςτρύχνου ἀνδράχνης DF ὑοςκύαμον] *a*: *comp.* G: ὑ(ι)οςκυάμου ABDEFHKM 6 ἀειζώου τῶν D φακῶν D ςέρρεως D μήκωνος DK πολυγόνου D 7 φύλλων D τῶν παραπληςίων D αὐτούς D 8 βραχειςῶν] DFG: τε βραχειςῶν ABEHKM κριθίνῳ ἀλεύρῳ FG*a*: κριθῆς ἀλεύρου D 12 πάλῃ] BEFHM: πάλι A*a*: πάλιν K: παλάμῃ G: παιπάλῃ D 14 ψυχόντων D 15 χριςθεῖςα AD 16 ε̄] II *a* ℥ β̄ ∠′ *(pr.) om.* D ῥοδίνου ℥ β̄ ∠′ *om. a* ℥ *(tert.)* ἀνὰ ℥ D 17 ε̄ τὰς *om.* D*a* λεκίθους] λεκίθους ε̄ D*a* 18 μαλάχην D χλωρὰν D 19 προςμίξας D κρόκα] λευκὰ D 21 δυςυπομενήτου K 22 λειοῦνται K 25 λεάνας] DFGK: λειάνας ABEHM βοὸς D 26 ῥοδίνῳ] FHK: ῥοδίνου ABDEGM 27 ἀνάλαβε DK 28 ἡ *om.* K τουρπαίνης] DFGHK: τουρπένης ABEM*a* ἐν] ἐν τοῖς D 29 τὸ *(alt.)*] DFGK*a*, *e corr.* B: καὶ τὸ ABEHM: δὲ τὸ J 30 aizoon *a*

χνου ἢ ἀνδράχνης καὶ φοινίκων σαρκῶν καὶ κωδυῶν σπέρματος τὸ ἴσον, ᾠῶν ὀπτηθέντων τῶν κρόκων καὶ ῥοδίνου τὸ ἀρκοῦν κατάπλασσε. τοῖς δὲ ναρκωτικοῖς μὴ ἐγχρονίζειν, ἀλλ᾽ ἄχρι τοῦ μετριάσαι μόνον τῆς ὀδύνης τὸ σφοδρόν· ἡ γὰρ πλείων χρῆσις αὐτῶν σφηνώσεις τε καὶ πώρους καὶ δυσκινησίας ἐργάζεται χρονίας. μετὰ τὴν χρῆσιν οὖν τῶν ἀνωδύνων ἢ τῇ διὰ χυλῶν ἀναλυθείσῃ διὰ χαμαιμηλίνου χρηστέον ἢ τῇ διὰ τῆς ἀλθαίας ἤ τινι τῶν τοιούτων φαρμάκων. μετὰ δὲ τὸ ἀναθάλψαι τὰ κατεψυγμένα τονώσομεν τὸ μόριον διὰ τῆς φοινικίνης ἀναλυθείσης ὀξυροδίνῳ ἢ οἰνοροδίνῳ. εἰ δὲ βαρύνοιντο ταῖς ἐμπλάστροις, τὸν χυλὸν ἐπιχρίειν τῆς ἀκακίας δι᾽ ὀξυκράτου ἢ τὸ λύκιον ἅμα κρόκῳ
**10** καὶ γλαυκίῳ καὶ χυλῷ περδικιάδος ἐν ὀξυκράτῳ. τὴν δὲ δίαιταν αὐτῶν ψύχουσάν τε καὶ ὑγραίνουσαν εἶναι προσήκει, οἷον τὰ διὰ πτισάνης καὶ χόνδρου ῥοφήματα καὶ λαχάνων μαλάχην, θριδακίνην, ἴντυβον, ὀρνεών τε τῶν κατοικιδίων μάλιστα τοὺς νεοσσοὺς καὶ ἰχθύων τοὺς πετραίους καὶ ἐχῖνον καὶ κτένια καὶ τὰ παραπλήσια παραιτουμένων αὐτῶν ἅπαντα τὰ θερμαίνοντα καὶ χολῆς τῆς ὠχρᾶς τε καὶ ξανθῆς γεννητικὰ καὶ οἴνους τοὺς παλαιούς τε καὶ κιρροὺς καὶ μέλανας καὶ ἐμπλησμίους. καὶ λουτροῖς δὲ τοῖς διὰ ποτίμων ὑδάτων χρῆσθαι καὶ κατ᾽ αὐτοὺς τοὺς ῥευματισμούς, ὅσον ἐπὶ τῷ αἰτίῳ, χωρὶς εἰ μή τι ἕτερον κωλύοι, φυλαττομένους ὀξυθυμίαν, ἀσιτίαν, δριμυφαγίαν, οἰνοφλυγίαν, κόπον ἄμετρον, ἀφροδίσια.

**11** Θεραπεία τῶν ἐπὶ αἱματικῷ χυμῷ ῥευματιζομένων.

Ἐφ᾽ ὧν δὲ ὁ πλεονάζων χυμὸς αἱματικός ἐστι, φλεβοτομίᾳ χρηστέον ἀνυπερθέτως, οὐ μὴν ἀλλὰ κἀπὶ τῶν φλεγματικωτέρων ἢ μελαγχολικωτέρων, ἐπειδὴ καὶ τούτοις ὁ χυμὸς ταῖς φλεψὶν ὡς μάλιστα περιέχεται ποσότητι μᾶλλον ἢ ποιότητι λυμαινόμενος. τὴν φλεβοτομίαν οὖν παραλάβωμεν εὐθὺς κατὰ τὴν πρώτην τοῦ νοσήματος κατάπειραν, ὡς οἵ γε φθάσαντες ἤδη πολλάκις ῥευματισθῆναι βλάπτονται μᾶλλον ὑπὸ τῆς τοῦ αἵματος κενώσεως ἤπερ ὠφελοῦνται, καὶ μᾶλλον, οἷς φύσει ψυχρότερον ἢ καὶ ἀσθενέστερόν ἐστι τὸ σῶμα. μετὰ δὲ τὴν τοῦ αἵματος κένωσιν, εἰ μὴ μόνον αἷμα τὸ πλεονάσαν ὑπῆρχεν, μικρὸν διαλιπόντες καὶ τῇ διὰ τῆς ἱερᾶς χρησώμεθα καθάρσει. καὶ τὸ Ἰουλιάνιον

1 σαρκῶν *om.* D  κωδυῶν] κυδωνίων D  1. 2 τὸ ἴσον *om. a*: τὸ ἴσον καὶ D  2 τὸν κρόκον D  καὶ] tantundem et *a*  3 ἀλλ᾽ ἄχρι] ἀλλὰ χρὴ K  μόνον *om. a*  6 διὰ χαμαιμηλίνου] ῥοδίνῳ D  7 διὰ τῆς] δι᾽ FG  8 φοινίκης D  9 ὀξυροδίνῳ] ἢ ὀξυροδίνῳ D  βαρύνοιντο] DFGKM: βαρύνοιτο ABEH*a*  τοῖς D  10 ἢ . . . ὀξυκράτῳ *(11) om.* D  12 οἷα A  13 ἔντυβον BHM  14 τε] *postea ins.* B: *om. a*  καὶ *om. a*  15 ἐχίνους D: ἐχίνων G  κτένας D: κτένιον K  17 ἐμπλησμίους] D: ἐμπλησμονή BEF: ἐν πλησμονῇ AGHKM: *om. a*: ἐμπλησμονήν *ed. Basil.*  18 καὶ κατ᾽ αὐτοὺς] κατά γε D  19 κωλύει DF  22 αἱματικῷ χυμῷ] πλήθει χυμῶν K  24 ἢ] et *a*  25 ταῖς] ὡς τὰ πολλὰ ταῖς D  ὡς *om.* D  28 ὡς οἵ γε] quicunque autem *a*  ἤδη *om.* H*a*  29 ὑπὸ . . . μᾶλλον *om.* D  30 ἢ καὶ] *corr. ex* ἢ M: καὶ D*a*  31 αἷμα τὸ πλεονάσαν] αἵματος πλεονασμὸς D  ὑπῆρχε DEFM: -ν *eras* B  διαλ(ε)ίποντας FH  32 ἰουλιάνειον D

δὲ ὀξύμελι τῶν τούτους ἁρμοδίως καθαιρόντων ἐστίν. ὅσοι δὲ τὰ τοιαῦτα τῶν καθαρτικῶν παραιτοῦνται φαρμάκων, καταποτίοις χρηστέον τοῖσδε· ἀλόης, κολοκυνθίδος, ἐλλεβόρου μέλανος, σκαμμωνίας ἀνὰ ℥ ᾱ, εὐφορβίου ℥ L', νίτρου ℥ L'· χυλῷ κράμβης ἀναλάμβανε καὶ δίδου πρὸς τὴν δύναμιν· βέλτιον δέ, εἰ μήλων Κυδωνίων χυλῷ.

Ἕτερον καταπότιον ἔν τε τοῖς παροξυσμοῖς καὶ τοῖς διαλείμμασιν **12**
ἐπὶ παντὸς χυμοῦ διδόμενον τοῖς ποδαγρικοῖς.

ἀλόης ℥ ϛ, ἀγαρικοῦ ℥ L', κρόκου ℥ L', κόστου ℥ ᾱ, ναρδοστάχυος ℥ ᾱ, σχοίνου ἄνθους ℥ ᾱ, καρποβαλσάμου ℥ ᾱ, κασσίας ℥ β̄, σκαμμωνίας ℥ β̄, ἐπιθύμου ℥ γ̄ L'· ἡ δόσις ἡ σύμμετρος γρ. β̄, ἡ τελεία γρ. δ̄.

καὶ τὰ διὰ τοῦ Ἀρμενιακοῦ λίθου καταπότια θαυμαστῶς καθαίρου- **13**
σιν ἰδίως ἐπὶ τῶν ἀρθριτικῶν ἁρμόζοντα ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς παρακμαῖς τῶν ῥευματισμῶν κἂν τοῖς διαλείμμασι διδόμενα. ἐπειδὴ δέ τινες τὴν σκαμμωνίαν ὡς κακοστόμαχον φεύγουσι, δοτέον αὐτοῖς, καὶ μάλιστα φλεγματικῆς ὕλης πλεοναζούσης, ταῦτα· κολοκυνθίδος ἐντεριώνης, ἐλλεβόρου μέλανος, βδελλίου, κόμμεως, ἀλόης ἀνὰ ℥ ᾱ, νίτρου Ἀλεξανδρινοῦ, εὐφορβίου ἀνὰ ℥ L'· ἡ δόσις γρ. δ̄. ἐγὼ ἀντὶ τοῦ κόμμεως ἐπίθυμον ἔβαλον.

τινὲς δὲ ἐν αὐτοῖς τοῖς παροξυσμοῖς ἐπὶ πάντων τῶν ἀρθριτικῶν **14**
καὶ τῇ δι' ἑρμοδακτύλου κέχρηνται καθάρσει. ἀλλὰ προσεκτέον, ὅτι κακοστόμαχος ὢν ὁ ἑρμοδάκτυλος ἀσώδεις τε καὶ ἀνορέκτους ἐργάζεται· ἐπὶ μόνων οὖν τῶν ἐν πράγμασιν ἀπαραιτήτοις ἐπειγομένων αὐτῷ χρηστέον· συντόμως γὰρ καὶ μετὰ δύο τὸ πλεῖστον ἡμέρας παύει τὸν ῥευματισμόν, ὥστε τὰ συνήθη δύνασθαι πράττειν. οἶδα δέ τινα μὴ τὴν οὐσίαν αὐτὴν τοῦ ἑρμοδακτύλου παρέχοντα μηδέ τι τῶν δι' αὐτοῦ συνθέτων φαρμάκων, ἀλλ' αὐτὴν τὴν πόαν ἕψων μετά τινος τῶν συνήθων σπερμάτων, οἷον ἀνίσου ἢ σελίνου, τὸ ἀφέψημα πίνειν ἐδίδου, καὶ θαυμαστῶς ὅπως κενούμενοι διὰ γαστρὸς ἀπεπαύοντο τοῦ ῥευματισμοῦ· δεῖ δὲ διὰ τὸ κακοστόμαχον, ὡς ἔφην, ὕστερον τοῖς εὐστομάχοις τε καὶ τονωτικοῖς μετὰ τοῦ μετρίως θερμαίνειν ἐπανορθοῦσθαι τὸ στόμα

1 δὲ] *supra scr.* M: *om. a*   τούτους] D*a*: τούτοις ABEFGHKM   ἁρμοδίως] ἐπιτηδείως D   ἐστί FHKM   τοιαῦτα] αὐτὰ K   2 χρηστέον] ἐπὶ τούτων χρηστέον D   3 ἀλόης] δι' ἀλόης K   ℥] ζ *a, et sic deinceps*   4 ℥ L' *(pr.) om.* DFG   νίτρου ℥ L' *om.* E   ℥ *(alt.)*] ἀνὰ ℥ DFG   5 τὴν *om.* DK   εἰ *om.* D   μηλοκυδωνίου D   6 διαλείμμασιν] Δ A: *om.* E   8 ℥ L' *(pr.) om.* DFG   κρόκου ℥ L' *om.* E   ℥ *(tert.)*] ἀνὰ ℥ DFG: *om. a*   ℥ ᾱ *om.* DFG   ναρδοστάχυος ℥ ᾱ *om.* K   9 ℥ ᾱ *(pr.) om.* DFG*a*   καρποβαλσάμου σχοίνου ἄνθους D   ἄνθος FG   ℥ ᾱ *(sec.)*] *om.* DFG*a*: ℥ β̄ AE   ℥ ᾱ *(tert.)*] ἀνὰ ℥ ᾱ DFG: *om. a*   ℥ β̄ *om.* DFG: ana ζ I *a*: ℥ β̄ κασίας ℥ ᾱ H   10 ℥ *(pr.)*] ἀνὰ ℥ DFG   L' *om. a*   ἡ *om.* K   11 καθαίρει D   13 κἂν] καὶ BH[3]   14 τινες τὴν] *corr. ex* ἐστιν M: τινες B   16 ᾱ] η̄ D   17 *post* ἐγὼ *supra add.* δὲ D   18 ἔβαλλον ABE   19 τῶν *om.* M   20 προσακτέον K   21 κακοστόμαχον AK   ἀσώδεις] -σ- *corr. ex* π (?) K[3]   22 οὖν *om. a*   ῥεύμασιν K   αὐτῶν K   24 πράττειν] πράττειν τὸν κάμνοντα D   25 τινα K   26 ἕψων] *corr. ex* ἕψω B[2]: *mut. in* ἑψῶντα M: ἕψοντα K*a*   συνθέτων FK   27 σπερμάτων] DFGK: φαρμάκων ABEHM*a*   πίνειν] DFGK: πιεῖν ABEHM   28 πως DE

τῆς γαστρός. τῶν δὲ δι᾽ ἑρμοδακτύλου τὴν διὰ τοῦ κορωνοποδίου καλλίονά φησιν ὁ Ἀλέξανδρος, οἷα τὴν αὐτὴν κένωσίν τε καὶ ἀνωδυνίαν ἐργαζομένην μετὰ τοῦ μηδὲ κακοστόμαχον εἶναι.

**15** τοπικὰ δὲ τοῖς φλεγματικοῖς προσφερέσθω μετρίας μὲν οὔσης τῆς ὀδύνης ἥ τε κράμβη χλωρὰ καταπλαττομένη καὶ τὸ σέλινον καὶ ἡ κόνυζα καὶ ὁ περιστερεὼν ὁ ὄρθιος, ἰσχυρῶς δὲ αὐτῶν ὀδυνωμένων ἀλεύρου τηλίνου μέρη γ̅, αἰρίνου μέρος α̅, ἀλεύρου ἐξ ἐρεβίνθων μέρος α̅, καταπλάττειν διὰ μελικράτου ἢ οἴνου λεπτοῦ σὺν ὀλίγῳ Κυπρίνῳ ἢ ναρδίνῳ, καὶ μάλιστα χειμῶνος. καὶ τῶν κραμβῶν δὲ τῆς ῥίζης καὶ τῶν καυλῶν καυθέντων ἡ τέφρα σὺν ὀξυγγίᾳ καταπλαττομένη πολλοὺς ὀνίνησιν, ἀλλ᾽ εἰς μὲν τὸ παραμυθήσασθαι πρόσφατον εἶναι δεῖ τὸ ὀξύγγιον, εἰς δὲ τὸ διαφορῆσαι παλαιὸν ἁλισθέν· καὶ ἡ τῶν βοῶν κόπρος σὺν ἀλεύρῳ κριθίνῳ ἐν μελικράτῳ ἑψομένη ἢ καθ᾽ ἑαυτὴν πρόσφατος ὑγρὰ καταπλαττομένη μετὰ φύλλων κράμβης, ὁμοίως δὲ καὶ αἱ τῶν αἰγῶν σπύραθοι καθ᾽ ἑαυτὰς ἢ μετὰ ἀλεύρου κριθίνου δι᾽ ὀξυκράτου ἑψόμεναι.

**16** ἐπεὶ δὲ καὶ διὰ τῶν ἐναντίων εἶναι δοκούντων τινὲς ὠφελήθησαν (ἡ γὰρ τῶν ποικίλων χυμῶν ἐπιμιξία τὴν διάγνωσιν ὑποτέμνεται), ῥητέον τὴν ὕλην ἀναμίξ.

ὠφελεῖ τοίνυν ἥ τε ἀγρία ἀτράφαξυς καὶ ἡ ἥμερος σὺν ἄρτῳ καταπλασσομένη ἢ φλόμου φύλλα μετὰ βολβῶν καὶ ἄρτου λεαινόμενα ἢ μετὰ ἀλφίτου ἢ τὸ διὰ τῆς ὠμῆς λύσεως κατάπλασμα. καθάπαξ δέ, ἐφ᾽ ὧν ἄδηλος ἡ αἰτία, ποιεῖσθαι δεῖ τὴν μετάβασιν ποτὲ μὲν ἐπὶ τὰ ὁμοειδῆ, ποτὲ δὲ καὶ ἐπὶ τἀναντία, μὴ τοῖς αὐτοῖς ἐγχρονίζοντα, μὴ παραμυθουμένοις γοῦν· ταῦτα γὰρ ὁσήμεραι βλέπομεν ἐν τοῖς ἔργοις τῆς τέχνης γινόμενα, καὶ τὸ αὐτὸ βοήθημα τοῦτο μὲν τὸ ἄρθρον ὠφέλησεν, ἕτερον δὲ ἐπὶ τοῦ αὐτοῦ κάμνοντος ὁμοίως φλεγμαῖνον οὐ μόνον οὐκ ὠφέλησεν κατ᾽ αὐτὴν τὴν ὥραν, ἀλλ᾽ ἔσθ᾽ ὅτε καὶ προσέβλαψεν. καὶ τὸ δὴ θαυμαστόν· τὸ γὰρ ἓν καὶ ταὐτὸ πολλάκις ἄρθρον ὑπὸ τοῦ αὐτοῦ βοηθήματος νῦν μὲν ὠφελήθη, μετ᾽ ὀλίγον δὲ καὶ προσεφλέγμηνεν.
**17** μήποτε οὖν, ἐπειδὰν μὲν τὸ γλίσχρον καὶ παχὺ τῆς ὕλης ἐπικρατῇ, τοῖς θερμοτέροις ὀνίναται, τῆς δὲ δριμείας καὶ ζεούσης τοῦ χυμοῦ κα-

2 Ἀλέξανδρος] *Alexander Trall. II p. 569* 9—12 *Oribasius, Synops. IX 57* 17—22 *Oribasius vol. IV 592*

1. 2 κάλλιόν φησι τὴν διὰ κορωνοποδίου D 2 τε *om.* D 7 αἰρίνου] ἀλεύρου αἰρίνου D ἐξ *om.* D 8 κατάπλαττε D 9 καὶ *(pr.) om.* D 10 ὀξυγγίῳ EK: ὀξυγγίου H: στέατι D ὤνησεν D 11 ὀξύγγιον] στέαρ D 12 ἁλισθέν *om.* D βοῶν] βοῶν δὲ D 13 ἢ] καὶ D αὐτὴν FG 14 μετὰ . . . ἑαυτὰς *(15) om.* H αἱ] BD: οἱ AE: *om.* FGKM 15 σπύραθοι] αἱ σπύραθοι G ἑαυτοὺς AE 17 ἐπεὶ] ἐπειδὴ M δοκούντων εἶναι DFG 18 γὰρ] δὲ D 19 ἐπιμίξ K 20 καὶ ἡ] καὶ B: aut *a* καταπλαττομένη DFG 21 ἢ *(pr.) om.* D βολβοῦ FG 23 μετάδοσιν K 25 ταῦτα] πάντα A: hoc *a* 26 γιγνόμενα FG 27 ἕτερον . . . ὠφέλησεν *(28) om.* A*a*, *mrg.* E[2] 29 τὸ αὐτὸ K: ταὐτὸν BGM: -ν *supra add.* D[2] 30 προσεφλέγμηνεν] προσεφλέγμηνε DM, *e corr.* B: πρὸς φλεγμονὴν K: προσέβλαψεν A 31 μὲν] *in ras.* B: *om.* F 32 κατακρατούσης] DFGK: κρατούσης ABEHM

τακρατούσης ποιότητος τοῖς ἐμψύχουσι παραμυθοῦνται· καὶ οὐδὲν θαυμαστὸν καὶ τὴν φύσει ψυχροτέραν οὖσαν ὕλην ἐν τῷ καιρῷ τῆς φλεγμονῆς ἐκπυροῦσθαί τε καὶ ζέειν, ἵνα τὴν ἐπιμιξίαν, εἰ τύχοι, τῆς χολῆς ἐάσω.

18 τὴν δὲ τῶν πώρων κωλύει σύστασιν θέρμινον ἄλευρον σὺν ὀξυμέλιτι ἢ ὀξυκράτῳ ἢ σιλφίου ἢ βρυωνίας ῥίζα σὺν ἄρτῳ. καὶ τοῦτο δὲ τῶν ἀβλαβῶς παραμυθουμένων ἐστὶ μετὰ τοῦ διαφορεῖν μετρίως· λυκίου Γο ᾱ, ἀμμωνιακοῦ θυμιάματος Γο ᾱ· τρίψας μετὰ οἴνου παλαιοτάτου καὶ ἐλαίου ὀμφακίνου ἕψε καὶ ἐπίβαλε ἀλεύρου φαβατίνου τὸ ἀρκοῦν καὶ ἑψήσας συμμέτρως κατάπλασσε. μετὰ δὲ τὰς ἀκμὰς ὄγκου περιλειφθέντος καταπλαστέον τοῖς βολβοῖς καθ᾽ ἑαυτοὺς ἢ σὺν ἀλφίτου πάλῃ ἕως ἀμύξεως· οὕτω γὰρ ἐνεργεῖν πεφύκασι. μὴ παραμυθούμενοι δὲ τοῖς καταπλάσμασιν ἐπιβροχαῖς τε καὶ προσαντλήμασι χρήσθωσαν κατὰ τοὺς τόπους, καὶ μάλιστα, εἰ τὰ ἄκρα εἴη, τοῖς διὰ χαμαιμήλων καὶ μελιλώτων ἢ καὶ κενταυρίου ἀφεψήμασιν. τινὰς δὲ καὶ τὸ τῆς καππάρεως ἱκανῶς ὤνησεν. τοῦτο δὲ πάντων ἐστὶ δραστικώτερον· ἐν ὄξει δριμυτάτῳ καθεψήσας θύμον τε καὶ ὀρίγανον καὶ θύμβραν καὶ καλαμίνθην κατάντλησον τῷ ὄξει τὰ πεπονθότα μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις τῆς ἡμέρας, θαρρῶν· πολλοὺς ὠφέλησεν οὐ μόνον ἐπὶ φλέγματι πάσχοντας, ἀλλὰ καὶ ἐπὶ χολῇ. τινὲς ἐτήρησαν καὶ τοῦτο· πρινοβάλανα κόπτονται λεῖα καὶ ἑψοῦνται ἐπὶ πολύ, καὶ τῷ ζέματι τούτῳ τὰ μὲν ἄκρα τῶν ἄρθρων ἐν ἀρχῇ τοῦ ῥευματισμοῦ ἀποβρέχονται ἐπὶ χρόνον συχνόν, τὰ δὲ ἐνδοτέρω σπόγγοις προσαντλοῦνται, καὶ παρ᾽ αὐτὰ τὴν ὁρμὴν τῆς ὕλης ἀποκρούονται· τοῦτο καὶ τοῖς ἐπὶ χολῇ ἁρμόζει, καθάπερ καὶ ἡ εἰς τὸ θερμὸν ὕδωρ ἄνευ τινὸς ἀφεψήματος ἀποβροχή. πρὸς δὲ τὰς δι᾽ ἐπιτεταμένην ψῦξιν γινομένας ὀδύνας καὶ σφηνώσεις τῶν ἄρθρων ἰσχυρόν ἐστι βοήθημα τόδε· ἐλαίου παλαιοῦ λι. ᾱ ∠΄, νίτρου Ἀλεξανδρινοῦ λι. ᾱ, τερεβινθίνης λι. ᾱ, εὐφορβίου Γο ᾱ, ἴρεως Γο β, τήλεως ἀλεύρου ξ ᾱ ∠΄.

19 τούτοις δὲ καὶ τὰ ἐπὶ τῶν ἰσχιαδικῶν εἰρημένα καλῶς ἂν ἁρμόσοι· πολλοὶ γὰρ ἐπὶ τῶν οὕτω κατεψυγμένων ἐν παρ-

5 *sqq. cf. Oribasius vol. IV 592, 29 sqq.* 26—29 *Alexander Trall. II 533*
29 εἰρημένα] *cap. 77*

1 παραμυθεῖται D, *supra add.* η D² οὐδὲν] neque *a* 2 φύσιν AK: φύσην H *et mut. in* φύσι E οὖσαν *om.* H ὕλην *om.* K 3 τε] *ras.* K εἰ] ἤτοι εἰ K 6 ὀξυκράτου K: *comp.* G ῥίζης D 8 Γο ᾱ *(pr.) om.* DFG*a* Γο *(alt.)*] ἀνὰ Γο DFG*a* 9 ἕψε ... φαβατίνου *om.* D ἕψει K ἐπίβαλλε F 11 παιπάλῃ D: πε- *supra add.* M: πάλιν HK 13 ἐμβροχαῖς K(*a*) προσαντλήμασι] AEKM: προσαντλήμασιν H: καταντλημασι DFG, *e corr.* B 14 εἴη] εἴη δύσκρατα D καὶ *(alt.)*] ἢ D 15 καὶ *(pr.)*] ABFGH, *postea ins.* M: *om.* DEK*a* ἀφεψήμασιν] AGHK: -ν *eras.* B: ἀφεψήμασι EFM: ἀφεψήματος D 16 τοῦτο ... ὠφέλησεν *(19) om. a* 17 θρύμβαν ABK: θρίμβαν F: *mrg.* καὶ θύμβραν B³ 19 *ante* πολλοὺς *ins.* τοῦτο B² πολλοὺς] πολλοὺς γὰρ DF 20 τινὲς] τινὲς δὲ D*a* 21 κόπτοντες D ἕψοντες D: ἕλλονται K καὶ *(alt.) om.* D τῷ] DFGB²: *om.* ABEHKM τούτων DF: τοῦτο K 23 ἐνδοτέρω] ABEHKM: ἐνδότερα DFG: *om. a* προσαντλοῦντες D: προσαντλοῦντα F καὶ *om.* D 25 ἡ *om.* BFH: εἰ K 26 γιγνομένας FG 27 ἰσχυρότατον D 28 λι. ᾱ *(pr.) om.* DF λι. *(alt.)*] ἀνὰ λι. D ᾱ *(sec.)*] ᾱ ∠΄ D 29 ἐπὶ τῶν] ἐπὶ τοῖς G: ἐπ᾽ F εἰρημένα ... ἐχρήσαντο *(p. 306, 1) om. a* 30 ἂν ἁρμόσοι] ἁρμόσει DF

ακμαῖς καὶ τῷ νάπυι cὺν ἰcχάcιν ἐχρήcαντο καὶ τοῖς ἄλλοις φοινιγμοῖς, τινὲς δὲ καὶ τῷ διὰ κανθαρίδος φαρμάκῳ· ταῦτα δὲ βλάπτουσιν εἰς ὕστερον, εἰ μή τινι καὶ τῶν μαλακτικῶν χρήcαιντο, οἷον τῷ τε διὰ στρουθίου καὶ τῇ πυξίδι καὶ τῷ Βασιλείου καὶ τῷ διὰ τῆς ἐλάτης καὶ τῷ διὰ τῆς αἰγείρου τῷ τε βρομίῳ καὶ τῷ λυσιπονίῳ καὶ τοῖς ἰσχυροτέροις τῶν ἀκόπων, ἐφ' ὧν μάλιστα νευριτικαὶ συμπάθειαι καὶ σφηνώσεις γίνονται. ἡ δὲ διὰ τοῦ οὔρου τῆς ἡμιόνου καὶ ἐν ἀκμαῖς ἐπιτεθεῖσα μάλιστα τοῖς ψυχροτέροις ῥεύμασιν ἐπιτήδειός ἐστιν. ὡσαύτως δὲ καὶ ὁ διὰ τῶν δύο ἐλλεβόρων τροχίσκος πρὸς τοὺς οἰδηματώδεις τε καὶ χαύνους ὄγκους ἁρμόσει. πυρία μὲν ἡ διὰ τῶν πεφρυγμένων ἁλῶν ἥ τε ἀπὸ τῆς θαλάσσης θερμῆς διὰ σπόγγων προσάντλησις ἢ ἀποβροχὴ καὶ αἱ δι' ἁλῶν σκευαζόμεναι ἔμπλαστροι αἵ τε διὰ στακτῆς καὶ νίτρου καὶ τὰ ταύταις παραπλήσια καταπλάσματα μετὰ τὰς ἀκμάς. δίαιτα δὲ ξηροτέρα τούτοις ἁρμόσει καὶ ἀπέριττος καὶ ἀσιτία ἢ ὀλιγοσιτία καὶ λουτρῶν συχνῶν ἀποχή· λουόμενοι δὲ τοῖς νίτροις τε καὶ τοῖς ἄλλοις κεχρήσθωσαν ἀποτρίμμασιν. ἐν δὲ ταῖς παρακμαῖς γυμνασίοις τε καὶ τρίψεσι μάλιστα τῶν ἄρθρων χρήσθωσαν καὶ τοῖς αὐτοφυέσι τῶν λουτρῶν ἢ καὶ ψαμμισμοῖς ἐμέτοις τε τοῖς ἀπὸ ῥεφανίδων καὶ σιτίων· οἱ δὲ πρὸς τοῦτο ἐπιτηδείως ἔχοντες καὶ διὰ ἐλλεβόρου τοῦ λευκοῦ κενούσθωσαν δι' ἐμέτων ἢ καὶ διὰ τῆς κάτω καθαιρέσθωσαν κοιλίας.

20 Περὶ τῶν ἐπὶ αἱματικῷ χυμῷ ῥευματιζομένων.

Οἱ δὲ ἐπὶ τῷ αἱματικῷ χυμῷ πάσχοντες μετὰ τὴν τοῦ αἵματος ἐν ἀρχῇ τῆς νόσου κένωσιν τοῖς εἰρημένοις τοπικοῖς χρήσθωσαν βοηθήμασιν, χολωδεστέρου μὲν ὄντος καὶ δριμυτέρου τοῦ πλεονάζοντος αἵματος τοῖς ἐπὶ τῶν ἐπὶ χολῇ λεχθεῖσιν, ψυχροτέρου δὲ καὶ φλεγματικωτέρου ἢ μελαγχολικωτέρου τοῖς μετ' ἐκεῖνα πλὴν τῶν ἄγαν δριμέων, εἰ δὲ χρονίζοι, καὶ τούτοις. καὶ τοῦτο δὲ τὸ κατάπλασμα κατ' ἀρχὰς ἁρμόζει· τὰ λέμματα τῶν ῥοιῶν καὶ ῥοῦς καὶ ἄλφιτα· ἐν οἴνῳ λειωθέντα κατάπλασσε.

1—3 *cf. Alexander Trall. II 535* 25 λεχθεῖσιν] *p. 300, 29 sqq.* 26 μετ' ἐκεῖνα] *p. 302, 22 sqq.* 28—29 *Alexander Trall. II 549*

2 κανθαρίδων F 3 καὶ *om.* FH*a* χρήσαιτο D 5 τῷ *(tert.) om.* DK λυσιπόνῳ K 6 ὧν] DFGK: ᾧ ABEHM*a*: ὧν καὶ M² νευρικαὶ DG 6. 7 γίνονται καὶ σφηνώσεις D 7 ἡ] τὸ D: εἰ K τῆς] τοῦ F καὶ *om. a* ἐπιτεθὲν D 8 μέρεσιν AE 9 πρὸς] πρὸς δὲ F: *om.* BH: *supra scr.* M² 10 ἁρμόσειε K: ἁρμόσει δὲ D: ἁρμόζει G 11 ἥ τε] DF: τε K: τε καὶ ἄλλως BGHM*a*: τε ἢ καὶ ἄλλως B²: τε καὶ ἄλλως ἡ AEM² τῆς *om.* D θαλάττης DF προσάντλησις] AEHM, *e corr.* B: προσαντλήσεις K: κατάντλησις DG: ἄντλησις F: asperso *a* ἢ *om. a* ἀποβροχῆς AE 12 αἱ] DFGB²M²: *om.* ABEHKM 13 τὰ *om.* K: αἱ F ταύταις] *e corr.* B: ταύτης AEF: τούτοις G 15 συνεχῶν DG 16 δὲ *om. a* γυμνασίαις D 18 ἢ *om. a* καὶ *(pr.) om.* DF ἐμέτοις] καὶ ἐμέτοις G ῥαφανίδων DF 19 καὶ *om. a* δι' DEFG 20 καὶ *om.* H*a* **20** *om.* H: *post* **24** *coll.* F 22 τῷ *om.* F 25 τοῖς] τοῖσδε K τῶν ἐπὶ] *mrg.* B²: τῶν FK λεχθεῖσιν] AEM: -ν *eras.* B: λεχθεῖσι D: λεχθέντων FGK 26 ἐπ' ἐκείνων D τῶν] τοῖς K 27 καὶ τοῦτο δὲ] hoc *a* κατ' ἀρχὰς τὸ κατάπλασμα D 28 τὰ] ED³*a*: τὰ δὲ BFGKM *et in ras.* A ῥοῦς] ABEM*a*: ῥοῦ *seq. ras.* K: ῥοῦν DFG 29 κατάπλασσε] EG: κατάπλαττε D: καταπλάσσεται ABFKM*a*

Ἄλλο. φύλλα κράμβης ἑψήσας καὶ λειώσας ἐπιμελῶς ἐπίβαλλε τρύγα ὄξους καὶ ᾠῶν ἀνέφθων λεκίθους β̄ καὶ ῥοδίνου βραχὺ καὶ λειώσας κατάπλασσε συνεχῶς ἀλλάσσων.

τροφὰς δὲ λεπτυνούσας τε καὶ ὀλιγοτρόφους λαμβανέτωσαν. κρεῶν 21
τε οὖν καὶ ὀσπρίων ἀπεχέσθωσαν καὶ οἴνου πλείονος τε καὶ μέλανος· εἰ δὲ δυνατὸν εἴη, καὶ τὸ σύνολον παραιτείσθωσαν τοῦ οἴνου τὴν πόσιν· πολλοὺς γὰρ οἶδα τούτου μόνου παντελῶς ἀποσχομένους, καὶ πάντες ὠφελήθησαν· οἱ μὲν γὰρ ἐν ἀρχῇ τῆς νόσου τέλεον ἀπηλλάγησαν, οἱ δὲ ὕστερον καὶ ἀραιῶς καὶ οὐδὲ ἄγαν ἐπωδύνως παρωξύνθησαν. εἰ μὲν οὖν μή τις ἐναντίωσις ἐκ τούτου γίνοιτο ἢ ἐλπίζοιτο γενέσθαι, διὰ παντὸς ἀοινείτωσαν τοῦ βίου· ὅσοι δὲ δι' ἀσθένειαν ἢ κατάψυξιν ὑποπτήσσοντες φαίνοιντο, μέχρι διετοῦς χρόνου ἀοινήσαντες τοὐντεῦθεν ἐκ τοῦ πρὸς ὀλίγον προεθίσαντες αὐτοὺς ὀλίγον τε καὶ ὑδαρῆ τὸ διηνεκὲς πινέτωσαν· δεῖ δὲ τοὺς ἀοινοῦντας ἀντὶ τοῦ οἴνου τὸ ἀφέψημα τοῦ ἀνίσου πίνειν ἤ τινος τῶν τοιούτων σπερμάτων ἀπεχομένους, ὡς οἷόν τε, ὀπωρῶν καὶ τῶν λοιπῶν ψυκτηρίων καὶ ἀφροδισίων χρήσεως. οἱ δὲ βουλόμενοι διὰ τῶν ἐπὶ ἐνιαυτὸν πινομένων φαρμάκων τέλεον ἀπαλλάττειν τῆς νόσου τῶν μὲν φλεγματικωτέρων καὶ περιττωματικῶν πολλοὺς ὠφέλησαν, τοῖς δὲ θερμοτέροις καὶ ξηροτέροις θανάτων ἐξαιφνιδίων γεγόνασιν αἴτιοι, εἰς ἔντερον ἢ νεφροὺς ἢ πλευρὸν ἢ πνεύ-
μονα ἤ τι τῶν κυρίων μεταστάσης τῆς ὕλης. βέλτιον μὲν οὖν ἐπὶ μὲν 22
τῶν χολωδεστέρων ἢ πολυαίμων τὴν τοῦ οἴνου παραιτεῖσθαι χρῆσιν μηδενὸς ἐκ τούτου τοῖς εἰρημένοις περιπίπτοντος κινδύνοις· ἐπὶ δὲ τῶν ψυχροτέρων τε καὶ περιττωματικῶν τῇ δι' ἐχιδνῶν θηριακῇ χρῆσθαι, πυκνότερον μὲν εὐπέπτους αὐτὴν λαμβάνοντας τοῦ χειμῶνος, ἀραιότερον δὲ τοῦ θέρους· ἢ γὰρ ἀπαλλάττει τοῦ νοσήματος ἢ μετριώτερον αὐτὸ καθίστησι μηδὲν τῶν εἰρημένων βλάπτουσα μορίων. ἐπειδὴ δέ τινες ἀναγκάζουσιν ἡμᾶς καὶ ταῖς εἰρημέναις ἀντιδότοις χρῆσθαι, τοῦ μὲν αὐτοῦ γένους ὑπαρχούσας ἴσθι τήν τε διὰ τοῦ δαμασωνίου καὶ τὴν Ἀγαπητοῦ καλουμένην τήν τε ἄτακτον καὶ τὴν ἑπτάειδον καὶ τὴν

1—3 *Alexander Trall. II 551* 5 *sqq. cf. id. II 547 sq.*

ABDEGKM(FL)*a*

1 ἐπίβαλε EFG 2 ἀνεύφθους F: cocta *a* καὶ *(tert.) om.* D 5 οὖν *om.* AD τε *(alt.)*] DFGK: *om.* ABEM 7 πολλοὺς . . . ὠφελήθησαν *(8) om.* F ἀπεχομένους G 8 οἱ . . . παρωξύνθησαν *(9) om. a* 9 καὶ *(pr.) om.* D 11 ὅσοις FK ὑποπτήσσοντες] D: ὑποπίπτον K: ὑποπίπτοντ · · F: ὑποπίπτειν τι ABEGM*a* 12 φαίνοιτο BK(F?), *corr.* B² διετοῦς] δὲ τοῦ K 13 ἐκ . . . αὐτοὺς *om. a* ὀλίγον *(pr.)*] λόγον DF προεθίσαντες . . . ὀλίγον] DFG, *mrg* B²: *om.* ABEKM προεθίσαντες] D(F?): προσεθίσαντες GB² ὀλίγῳ D τε *om.* E ὑδαρεῖ D 14 *inc.* L πινέτωσαν] παραιτείσθωσαν D 15 ὡς *om.* FK: εἰ L 17 οἱ] εἰ L ἐπ' DFGL 18 απαλλαττει L μὲν *om.* D καὶ] μὲν καὶ D: τε καὶ K περιττωματικωτέρων FG 19 ξηροτέροις] ψυχροτέροις D θανάτου D ἐξαιφνιδίων] K: αἰφνιδίων F: ἐξαιφνιδίου D: εξεφνηδιως L: ἐξαίφνης ABEGM*a* 21 κυρίων] ABDEFKLM*a*: κυρίων μορίων GB² μὲν *(pr.)*] FGKB²: *om.* ABDEM*a* 22 παρεθησθαι χρισι L 23 περιπίπτοιντο K, *sed corr.*: παρεμπίπτοντες F κινδύνου F, *e corr.* E: -ου *supra add.* K 24 περιττωματικωτέρων F κεχρῆσθαι DK: χρηστέον F 25 αυταις L? λαμβάνοντας αὐτῆς D 28 κεχρῆσθαι D 29 διὰ *om.* DF τὴν *(alt.)*] τὴν τοῦ D 30 Ἀγαπητοῦ . . . τὴν *(alt. p. 308, 1) om.* F ἑπτάειδον] DG: επταηδων L: ἑπτάοιδον K: ὀκτάειδον ABEM*a*, *mrg.* D³ τὴν *(tert.)*] του L

Πρόκλου τήν τε διὰ τοῦ cκορδίου καὶ τὴν διὰ κοραλλίου καὶ ἑτέρας πλείονας· ἀcφαλεcτέρα δὲ παcῶν καὶ ἔτι διὰ πλείονος πείρας ἐcτὶν ἡ διὰ τοῦ κοραλλίου καὶ πώρους ἤδη cυcτάντας ἐν τοῖc ἄρθροιc διαλύcαcα. τούτων δὲ παcῶν καὶ τὰc δυνάμειc καὶ τὸν τρόπον τῆc χρήcεωc καὶ τὴν ἐπὶ ταύταιc παραφυλακὴν ἐν τῷ περὶ φαρμάκων εὑρήcειc, ὁμοίωc δὲ καὶ τῶν πρὸc ἀρθριτικοὺc ψιλώθρων τάc τε cυνθέcειc καὶ τὸν τρόπον τῆc χρήcεωc ἐπὶ τῶν αὐτῶν ἕξεων, λέγω δὴ τῶν φλεγματικωτέρων, παραλαμβανομένων.

23 ἕτεροι δὲ πρὸc τὴν ὅλου τοῦ νοcήματοc ἀπαλλαγὴν ἀλώπεκαc ὅλαc ἑψοῦντεc ἐν ἐλαίῳ τοὺc ἀρθριτικοὺc θεραπεύουcιν, οἱ μὲν ζώcαc ἐμβάλλοντεc μεγίcτῳ λέβητι, οἱ δὲ καὶ τεθνεώcαc. ὁμοίωc δὲ καὶ τὰc ὑαίναc ἑψοῦcι ποιοῦντεc διαφορητικὸν ἔλαιον, εἶτα πυέλουc αὐτοῦ πληροῦντεc ἐμβιβάζουcιν εἰc αὐτὰc τοὺc ἀρθριτικοὺc ἐνδιατρίβειν χρόνῳ τινὶ cυχνῷ κελεύοντεc· ἐκ τούτου δὲ cυνέβαινεν οὐ μόνον τοὺc περὶ τοῖc ἄρθροιc ὄγκουc, ἀλλὰ καὶ cύμπαν τὸ cῶμα κενοῦcθαι.

24 Περὶ πώρων.

Ἐπειδὴ καὶ πῶροι πολλάκιc ἐν τοῖc ἄρθροιc cυνίcτανται, ποτὲ μὲν διὰ τὸ παχὺ καὶ γεῶδεc τοῦ ἐνcκήπτοντοc αὐτοῖc χυμοῦ, ποτὲ δὲ καὶ διὰ φαρμάκων χρῆcιν διαφορούντων τε καὶ ξηραινόντων ἀμέτρωc ἄνευ τοῦ μαλάττειν, ἰcτέον ἐπιτηδειότερα τῶν φαρμάκων εἶναι, ὅcα μετὰ τοῦ μαλάττειν ἅμα καὶ διαφορεῖν πέφυκεν. μαλάττει μὲν οὖν cτέατά τε παλαιὰ καὶ μυελοὶ καὶ ἀμμωνιακὸν καὶ βδέλλιον ἔλαιόν τε τὸ πάνυ παλαιὸν καὶ cτύραξ, διαφορεῖ δὲ καὶ ξηραίνει νίτρον τε καὶ ἅλεc καὶ cτακτὴ καὶ ἀδάρκη καὶ εὐφόρβιον καὶ τὰ παραπλήcια. πρὸc δέ γε τοὺc ἐν ἄρθροιc πώρουc ἰδίωc ποιεῖ τυρὸc ὁ χρονιώτατόc τε καὶ δριμύτατοc ἅμα κρέωc ὑείου καὶ λιπαροῦ καὶ αὐτοῦ παλαιοῦ ἀφεψήματι τριβόμενόc τε καὶ ἐπιτιθέμενοc· διαρρηγνυμένου γὰρ αὐτομάτωc τοῦ πώρου καθ' ἑκάcτην ἡμέραν κένωcιc γίνεται. cύνθετον δὲ τὸ διὰ πέρνηc πεπειραμένον ἐcτὶ φάρμακον διττῶc cκευαζόμενον τά τε διὰ cτακτῆc

5 εὑρήcειc] *VII 11, 59* 9—15 *Oribasius, Synops. IX 57* 24—28 *Oribasius, Synops. IX 58*

ABDEGHKM(FL)*a*

1 τὴν *(pr.)*] δε τιν L τοῦ *om.* L cκορδίου] DKL, *e corr.* B: cκόρδου AEGM: croco *a* κουραλίου D, *ut solet* 1. 2 ἕτερα πλείονα G 2 καὶ ἔτι *om.* F: καὶ DKL*a* 3 διὰ] του δια L: *om* F διέλυcε D 5 τὴν] των L παραφυλακη L 6 ψιλώθρων τὰc] ψιλωθροῦνταc K καὶ *(alt.) om.* L 9 δὲ *om.* DKL τοῦ ὅλου FGKL 10 ἕψοντεc KL: ἕψωνταc F: τήκοντεc D ἀρθριτικοὺc] αρθριτικουc και ποδαλγικουc L 11 τεθνεωcαιc L 12 αὐτοῦ] D, *in ras.* J: αὐτοὺc F: αὐτὰc ABEGKM*a* 13 ἐμβιβάζουcιν] D: ἐπεβίβαζον F: ἐμβιβάζοντεc ABEGKM*a*: εβιβαζων L: ἐνεβίβαζον *Or* 14 cυμβαίνει D 15 τουc αρθρουc L 16 *rursus inc.* H 17 μὲν] quidem et *a* 18 τὸ *om.* D αὐτοῖc] ἐν αὐτοῖc D 19 τε καὶ] η L 20 ἰcτέον . . . μαλάττειν *(21) om a* τῶν] μᾶλλον εἶναι τῶν D εἶναι *om.* ED 21 ἅμα . . . μαλάττει *om.* K μαλάττειν AE, *corr.* E 22 τε *(pr.) om.* DFG: τε τα L τὸ] DFGK: *om.* ABEM πάνυ *om.* FH*a* 23 καὶ *(pr.)*] πάνυ καὶ F δὲ] τε FG 24 γε *om.* L 25 χρονικώτατόc ABEH: χρ° L τε *om.* D 26 κρέωc] KL: κρέαc G: κρέουc ABEHM: κρέατι F: κρεῶν D ὑείων D καὶ *(pr.) om. a*: *eras.* B λιπαρῶν D: λιπαρῷ F αὐτῶν D: *om. a* παλαιῶν D: παλαιῷ F 27 τε *om.* D ἐπιθέμενοc KL 28 γιγνεται L πέρνηc] πέρνηc καὶ FG: καὶ *supra add.* B² 29 ἐcτὶ . . . εἰρημένα *(p. 309, 1) om.* F τά τε] D: ταυται L: τὰ δὲ ABEGHKM*a*

εἰρημένα καὶ τοῦτο ἰδίως· ἀφονίτρου, τερεβινθίνης, πρωτοστάκτου, προπόλεως ἀνὰ ℔ δ̅, κηροῦ ℔ θ̅, κολοφωνίας λι. α̅, ἐλαίου ℔ ιϛ̅· μίξας χρῶ ἐπί τε πώρων καὶ ἀποστημάτων. τὸ δὲ διὰ κινναβάρεως θαυμαστὸν μὲν πρός τε πώρους καὶ πρὸς ἕτερα πλείονα, δυσπόριστον δέ· τὸ μέντοι διὰ λεπτοκαρύων πρὸς τῷ ἐπιτευκτικὸν εἶναι καὶ τῶν εὐπορίστων ἐστίν, οὐ μόνον ἐπὶ τῶν ἰσχυροτέρων, ἀλλὰ κἀπὶ τῶν εὐαισθήτων ἁρμόζον, εἰ προσλάβοι τῆς διὰ μέλιτος ἢ τοῦ δι' ἀνεμώνης δύο μέρη πρὸς ἓν τοῦ φαρμάκου· μὴ παρόντων δὲ τούτων καὶ τοῦ διὰ ψιμυθίου πολλάκις ἴσον αὐτῷ μίγνυται.

Ἄλλο πρὸς πώρους. σανδαράχην λειώσας ἰξῷ δρυίνῳ ἀνάλαμβανε καὶ χρῶ. **25**

Ἕτερον· ποιεῖ καὶ πρὸς σύριγγας καὶ αἰγίλωπας. ἐλαίου ℥ α̅, λιθαργύρου ℔ η̅ ∠', ἀρσενικοῦ ℔ α̅· ἕψε τὴν λιθάργυρον καὶ τὸ ἔλαιον ἕως ἀμολύντου, εἶθ' οὕτως ἐπίπασσε λεῖον πάνυ τὸ ἀρσενικὸν καὶ πρὶν καυθῆναι ἀνελόμενος χρῶ.

τὰ δὲ διὰ λίθου Ἀσίου ἄνθους ἐν τοῖς διαλείμμασιν ἐπιτιθέμενα πρὸς τὰς περὶ πάντα τὰ ἄρθρα συνισταμένας συλλογὰς ἁρμόζοντα ἀπαλλάττειν καὶ τῆς ὅλης νόσου μεμαρτύρηταί τισι τῶν ἀρχαίων, καὶ τὸ δι' ἁλὸς ἄνθους ἐν ταῖς παρακμαῖς ὁμοίως ἐπιτιθέμενον τοὺς ἀπολειφθέντας ὄγκους διαφορεῖν πεπίστευται.

## Περὶ προφυλακῆς ποδάγρας. **26**

Τὴν μὲν ἤδη συστᾶσαν ποδάγραν ἢ καὶ ἀρθρῖτιν τῶν χαλεπωτάτων ἐστὶν ἐπανορθώσασθαι δίχα τῶν εἰρημένων μεθόδων, τὴν δὲ μήπω γεγονυῖαν προφυλάξασθαι ῥᾴδιον τῶν μὲν σιτίων ἀφαιροῦντα καὶ τροφαῖς εὐδιοικήτοις τε καὶ ἀπερίττοις οἴνῳ τε συμμέτρῳ χρώμενον, τοῖς δὲ γυμνασίοις προστιθέντα κατὰ τὸ ἱκανόν. ἐν βοηθήματος μοίρᾳ οἱ ἅλες ἐν ἐλαίῳ λειοτριβούμενοι καὶ προστριβόμενοι τοῖς ἄρθροις πάντας τοὺς προφυλαττομένους ἐμπεσεῖν εἰς ποδαγρικὸν πάθος ὀνίνησι μεγάλως, εἰ μὴ πάνυ ξηρὰν ἔχοιεν δυσκρασίαν· δεῖ δὲ χρῆσθαι αὐτῷ ἕωθέν τε καὶ εἰς ἑσπέραν διὰ παντὸς τοῦ βίου· καὶ μετὰ τὰς παρακμὰς δὲ τῶν φλεγμονῶν τῷ αὐτῷ χρηστέον.

1—3 *Alexander Trall. II 555* 26—31 *Oribasius, Synops. IX 60; cf. Aëtius XII 21*

ABDEGKM(FL)*a*
1 afronitru *a* 2 λι. α̅ *om. a* χρο *corr. in* χρησο L 3 τὸ ... χρηστέον *(31) om.* H δὲ] τε DK 4. 5 μέντοι διὰ] δὲ διὰ τῶν D 5 καὶ *om.* FG 7 τῆς] τοῦ D δύο μέρη] μ/ᵘ β̅ D 8 ἓν] μ/ᵘ α̅ D τοῦ διὰ ψιμυθίου] τὸ δι' ἀψινθίου D 10 σανδαράχην] ἀνδράχνην D 11 καὶ *om.* L 12 ποιεῖ καὶ] ποιοῦν D: ποιει L α̅] ε̅ L 13 ℔ *(alt.)*] ϛ L ἕψει D 16 τὰ δὲ] τά τε DK: ταυται L 17 τὰς] τὰ D πάντα *om.* D*a* ἄρθρα] ἄρθρα πάντα D συνιστάμενα D συλλογὰς ἁρμόζοντα] συντελεῖ ἅπερ D 18 καὶ *(pr.) om. a* ἄλλης K 19 ανθος L 21 ποδαλγας L 22 συνιστωσαν ποδαλγαν L 23 ἀνορθωσασθαι L ευρημενων L, *sed corr.* 25 οἴνου FG 25. 26 τὰ δὲ γυμνάσια K 26 μοίρᾳ] δὲ μοίρᾳ καὶ D: δε μυρα L 27 ἐν] εἰσὶν ἐν D καὶ *om.* L λειοτριβόμενοι FG: τριβόμενοι D καὶ προστριβόμενοι *om.* K: καὶ προστιθέμενοι D πάντας] τοῦτο γὰρ πάντας D 28 εἰς] εἰς τὸ D 30 ἕωθεν] και εωθεν L εἰς *om.* M: *supra add.* B² ἑσπέρας M μετὰ *om.* F: *supra scr.* L

## οθ΄. Πρὸς χίμετλα καὶ τὰ ἐν πέλμασι καὶ πτέρναις.

**1** Τὰ χίμετλα ἑλκώδεις εἰσὶ διαθέσεις περὶ τοὺς δακτύλους τῶν χειρῶν καὶ ποδῶν συνιστάμενα χειμῶνος ὥρᾳ. δεῖ οὖν αὐτὰ θαλάσσῃ χλιαρᾷ καταντλεῖν ἢ τεύτλου ἀφεψήματι ἢ φακοῦ ἢ ὀρόβου ἢ ἀσφοδέλου ῥίζης, μετὰ δὲ τὴν κατάντλησιν φακοὺς ἑφθοὺς ἐν οἴνῳ λειώσας κατάπλασσε ἢ σῦκα λεῖα μετ᾽ ἐλαίου λεάνας ἐπιτίθει ἢ στυπτηρίαν καὶ ἄλευρον ἴσα τρίψας ἐν οἴνῳ κατάπλασσε ἢ τρυγὶ ὑποξήρῳ ἢ βολβῷ προσφάτῳ οἴνῳ λειωθέντι κατάπλασσε ἢ σκόρδα ἐν ἐλαίῳ φρύξας καὶ ῥίψας κηρὸν τῷ ἐλαίῳ σύμμετρον τήξας ἐπιτίθει ἢ σίδια ῥοιᾶς ἑψήσας οἴνῳ καὶ λειοτριβήσας ἀνάλαβε κηρωτῇ ῥοδίνῃ καὶ χρῶ προκαταιονῶν ἀφεψήματι θέρμων ἢ μάνναν καὶ θεῖον ἄπυρον σὺν μέλιτι ἑφθῷ ἐπιτίθει. ὁ δὲ τοῦ ὑοσκυάμου χυλὸς ἐπιχριόμενος συνεχῶς ἀφλεγμάντους καὶ ἀπόνους ποιεῖ.

**2** Μαρκέλλιον πρὸς χίμετλα.

Γογγύλης ῥίζαν γλύψας εἰς τὸν βόθρον αὐτῆς ἔμβαλε κηροῦ 𐅻 β̅, ἐλαίου σχινίνου, καὶ ἑψήσας ἐν διπλώματι ἢ ἐν θαλάσσῃ ἢ ἅλμῃ ἢ ἀφεψήματι θέρμων τοῦτο μὲν προσάντλει, τὸ δὲ τακὲν ἐν τῇ γογγύλῃ κηρώτιον ψύξας ἐπιτίθει. ἐπὶ δὲ τῶν εἱλκωμένων χιμέτλων λιβάνου σχιστῆς, μίλτου, ῥητίνης τὸ ἴσον, στέατι ὑείῳ ἀνεὶς χρῶ. πρὸς δὲ τὰ μετὰ φλεγμονῆς εἱλκωμένα τῷ ἐξαφαρμάκῳ χρῆσαι· ἐλαίου 𐅻 θ̅, ταυρείου στέατος καὶ χολῆς ἀνὰ λι. α̅, λιθαργύρου 𐅻 ϛ̅, κολοφωνίας 𐅻 δ̅, μέλιτος 𐅻 ϛ̅.

**3** Πρὸς τὰς τῶν δακτύλων ῥαγάδας καὶ τῶν ὅλων ποδῶν.

Πίσσῃ ὑγρᾷ κατάχριε ἢ καρκίνον ποτάμιον ἢ θαλάσσιον καύσας ἐπ᾽ ἀνθράκων ἀπόξεσον τὸ ὄστρακον καὶ μετ᾽ ἐλαίου τρίψας καὶ πάχος μέλιτος ποιήσας προαποσμήξας τὰς ῥαγάδας ἔνσταζε. ποιεῖ δὲ καὶ σκίλλης τὸ ἐντὸς ἐλαίῳ ζεσθὲν καὶ τερμινθίνῃ συλλεανθὲν καὶ κέρας αἴγειον καυθὲν καὶ ἀναληφθὲν στέατι αἰγείῳ. δεῖ δὲ περικαθαίρειν τοὺς τύλους καὶ οὕτω χρῆσθαι τοῖς φαρμάκοις.

οθ΄ 1 *Oribasius, Synops. VII 45; Ad Eunap. III 56* 18—22 *Oribasius vol. IV 620* 19—22 *Aëtius XIV 73* οθ΄ 3 *Oribasius, Synops. VII 46; Ad Eunap. III 57. Aëtius XIV 83*

ABDEGHKM(FL)

1 *rursus inc.* H καὶ τὰ *om.* FL πτέρνας GK 2 διαθέσεις *om.* K τοὺς *om.* L 3 καὶ] ABKM: καὶ τῶν DEFGH συνισταμεναι L 4 ἢ *(tert.) om. a* 5 ριζαν L 6 ἢ *(pr.)* . . . κατάπλασσε *(7) om.* K*a* ἐπιτίθει] εψ. .$^{\theta}$ L 7 ἢ *(pr.)* . . . κατάπλασσε *(8) om.* K ὑποξήρῳ ἢ] οινω ξ$^{η}$ L ἢ *(alt.)*] DB[2]: *om.* ABEFGHKM*a* 8 κατάπλασσε *om.* D σκόροδα DK ἐν] σὺν D τρίψας FG: τ- *supra add.* B[2] 9 κηρω L: κηρῶν E τήρας FG 10 ἀναλάμβανε FG 11 θερμῷ FL 14 χίμετλαν AEH: χείμετλαν M: -ν *eras.* B 15 ἔμβαλλε AD: *alt.* λ *supra add.* E[2]: ενβολαι L 16 ἢ *(pr.)*] DFGK: *om.* ABEHM*a* *supra* σχινίνου *add.* η κοινου L[2] 17 τούτῳ D 18 κηρωτῇ D ἐπὶ] πρὸς K δὲ] τε DK 19 σχιστῆς *om.* D ἀνιεὶς D: ἂν F χρῶ . . . φλεγμονῆς *(20) om.* F τὰ] τὰς KL 20 μετὰ *om.* H: ἄνευ AE εἱλκωμένας K: ηλκωμενας L χρηστέον FG 21 καλοφανίας D 23 καὶ . . . ποδῶν *om.* F ὅλων *om. a* 24 θαλάσσιον ἢ ποτάμιον K 25 ἀπόξεσον] απο οξεων L τὸ ὄστρακον ἀπόξεσον D καὶ *(pr.) om. a* 26 ενσταζον L 27 τερεβινθίνης B: *comp.* D: teruintina *a* συνλεανθὲν KL: συλλεαθὲν *e corr.* B: συνλεανθεῖσα G: συλλεανθεῖσα ADEH: συσλεανθεῖσα F: συλλεαθεῖσα M 28 καυθὲν . . . αἰγείῳ *om.* D 28. 29 τοὺς τύλους *om.* H*a* 29 οὕτω] DFGK: οὕτως AEHM: -ς *eras.* B

4 Πρὸς ῥαγάδας πτερνῶν καὶ πελμάτων.

Ἀνθηρά. ἀσβέστου ζώσης < ι̅, ψιμυθίου < κ̅, κηροῦ < κ̅ ἢ λ̅, χοιρείας πιμελῆς προσφάτου Γ° ζ̅, κολοφωνίας Γ° θ̅, χυλοῦ λινοσπέρμου κύαθος α̅, ἐλαίου γλυκέος Γ° μ̅· ἁπαλὸν τὸ πέλμα ἐργάζεται, ὡς οὐδὲν ἕτερον.

Ἄλλο. στέατος αἰγείου, κηροῦ, ἐλαίου ἴσα· χρῶ.

Ἄλλο. σίδια ἐν ὄξει ἑψήσας κατάπλασσε ἡμέρας ε̅, εἶτα περικαθάρας ἐπιτίθει ἄσβεστον μετ' ἐλαίου ἢ γλοιοῦ.

Ἄλλο. σκίλλαν ἑψήσας ἐλαίῳ αὐτὴν μὲν φρυγεῖσαν ῥῖψον, τῷ δὲ ἐλαίῳ τερεβινθίνην ἐντήξας χρῶ.

5 Πρὸς ἐκτρίμματα πτερνῶν τὰ ἐκ μακρᾶς κατακλίσεως.

Κηροῦ, ἐλαίου, λιθαργύρου, μέλιτος ἴσα· ποιεῖ καὶ ἐπὶ πάσης ἑλκώσεως πελμάτων καὶ πτερνῶν καὶ θέναρος καὶ τοῦ ἐντὸς τῶν δακτύλων, καὶ ἔτι μᾶλλον, εἰ πλησίον εἴη τὸ ἕλκος ὄνυχι.

6 Πρὸς τὰ ἐν τῷ πέλματι ῥυπαρὰ ἕλκη ἔμμοτον· ποιεῖ δὲ καὶ ἐπὶ αἰδοίου.

Ἀμόργης κοτύλην α̅, ὄξους κοτύλην α̅ ἑψήσας ἐν χαλκῷ ἕως μελιτώδους συστάσεως καὶ λεάνας κατ' ἰδίαν λεπίδος χαλκῆς < β̅, μάννης < β̅, ἐρίων οἰσυπήρων μαλακῶν ὅσον χειροπληθὲς ἐνειληθέντων δᾳδὶ καὶ καυθέντων τὴν τέφραν, ἀνάλαβε πάντα καὶ χρῶ, ἐπὶ μὲν τραυμάτων οἴνῳ ἀνιείς, ἐπὶ δὲ αἰδοίων καὶ πελμάτων γλυκεῖ.

Ἄλλο. ἀμόργης, μέλιτος ἀπηφρισμένου ἴσον· τοῦτο καὶ οὖλα καθαίρει.

7 Πρὸς τὰ ἐξ ὑποδημάτων παρατρίμματα πνεύμων ἄρνειος καὶ χοίρειος καὶ αἴγειος ποιεῖ. δέρμα ἀπὸ τῶν καττυμάτων καυθὲν φλεγμαίνοντα μὲν οὐκ ὠφελεῖ, παυσάμενα δὲ τῆς φλεγμονῆς ὀνίνησιν· ἢ κρόμυον σὺν ὀρνιθείῳ στέατι πλείονι ἐπίβαλλε ἢ κηκῖδα καύσας ἐπίπασσε ἢ ἀκακίαν ἐν ὄξει διεὶς ἐπίχριε.

2—4 *Oribasius vol. IV 621* οθ' 6 *cf. Aëtius XIV 83* οθ' 7 *Oribasius, Synops. VII 5. Aëtius XIV 67. Dioscorid., Simpl. I 164*

1 ραγαδων L πελμάτων] ραγαδων L 2 ἀνθηρά] DFGK: ἀνθηράν ABEHM: antiras *a* < κ̅ *(pr.) om.* D < *(tert.)*] ἀνὰ < D ἢ λ̅ *om.* D 3 καλοφανίας D: κοχοφανιαι L? 4 τελμα L 5 *post* γλοιοῦ *lin. 7 ponit* M ἴσον G: ἴσοις D 6 καταπλασαι L ἐπικαθάρας K 8 σκίλλαν] smirnam *a* 9 τερμινθίνην G: τερμινθίνῳ F προστηξας L: τήξας EJ, *corr.* E³ 10 ἔκτριμμα K: εντρημμα^τ L 11 μέλιτος *om.* E ἐπὶ πάσης] επιπασσαι επι L καὶ] δὲ καὶ D 12 τελμάτων BH, *corr.* B² τοῦ] τους L 13 μᾶλλον] πλέον D: μᾶλλον πλεῖον K εἰ] ἢ K 14 τῷ *om.* D 15 ἐπὶ *om.* M αἰδοίων AE: αἰδοίοις F 16 κοτύλην α̅] κ° α̅ ABDEGKM: κοχλιάριον α̅ F: *om.* H*a* ὄξους κοτύλην α̅] *mrg.* B² κοτύλην α̅] κ° α̅ AEFGKMB²: ἀν κ° α̅ H: κ^υ/ α̅ DL: ana ciatum I *a* 17 χαλκοῦ G < β̅ *om.* D*a* 18 <] ἀνὰ < D*a* χειροπληθὲς] D: χειροπληθοῦς ABEFGHKLM 19 πάντων E: *om.* A 20 ἀνιείς οἴνῳ D: οἴνου ἀνιείς F ἀνείς ABEGHKLM 23 οἰδημάτων D 24 αἴγειος καὶ χοίρειος HK*a* ἀπὸ] FK: *om.* L: δὲ ἀπὸ ABDEGHLM*a* κασσυμάτων DG: κασιμάτων F καυθὲν] D*a*: καυθέντα ABEFGHKLM 25 μὲν] γε L ἢ *om.* K ἢ . . . στέατι *(26) bis.* L 26 πλείονι] D: πλείονος ABEFGHKM: πλειόνως L, *e corr.* J: *om. a*: λεῖον *Or., Diosc.* ἐπίβαλε FGH: επιβαλλον L κικῖδας K ἐπιπλασσαι L 27 ἐν] σὺν H διεὶς *om.* L

### π΄. Πρὸς ἥλους καὶ τύλους.

Τοὺς ἥλους προπερικαθάραντα ἐπιτιθέναι μίαν τῶν σηπτῶν, ἢ ἰὸν ξυστὸν ἢ σανδαράχην ἢ συριγγιακὸν ξηρὸν ἢ κολλούριον συριγγιακὸν ἀντὶ κόμμεως ἀμμωνιακῷ ἀναληφθέν. ἔστι δὲ ὁ ἧλος ὄγκος περιφερής, λευκός, ὡμοιωμένος ἥλου κεφαλῇ, συνιστάμενος κατὰ πάντα μέρη τοῦ σώματος, μάλιστα δὲ ἐν τοῖς τῶν ποδῶν πέλμασι καὶ τοῖς δακτύλοις· ἀφαιρεῖται δὲ πλείονι χρόνῳ, κἂν τὸ ὑπερέχον τοῦ ἥλου συνεχῶς τις ἀποξύῃ σμιλίῳ ἢ κισήρει παρατρίβῃ. ὁμοίως δὲ καὶ τοὺς τύλους. ποιεῖ δὲ καὶ θέρμων ὠμῶν καυθέντων ἡ σποδιὰ μετὰ μέλιτος ἢ μίσυ ἀναληφθὲν ὑγρᾷ πίσσῃ ἢ μελάνθιον σὺν οὔρῳ ἀφθόρου ἢ λέκιθος κυαμίνη μετ᾽ ὄξους ἑψηθεῖσα. πεπειραμένον δὲ πολλάκις ἐστὶν τοῦτο· κανθαρίδων, χαλκάνθου, καστορίου τὸ ἴσον· ἀναλαμβάνεται τερμινθίνῃ, ὡς ἐμπλαστρῶδες γενέσθαι, καὶ τῷ ἥλῳ προπερικαθαρθέντι ἐπιτίθεται.

Ἄλλο. σφέκλης, ἀσβέστου, ἰξοῦ ἴσα σὺν στακτῇ κονίᾳ ἢ οὔρῳ ἀφθόρου.

### πα΄. Περὶ τῶν περὶ τοὺς ὄνυχας, καὶ πρῶτον περὶ παρωνυχίας.

1 Ἡ παρωνυχία ἀπόστημά ἐστι παρὰ τὴν ῥίζαν τοῦ ὄνυχος συνιστάμενον. μικρὰν μὲν οὖν οὖσαν ἔτι τὴν παρωνυχίαν καὶ ἀρχομένην κηκὶς μετὰ μέλιτος καταστέλλει καὶ συστῆναι κωλύει ἢ ὁ Μούσα τροχίσκος ἢ Ἥρα δι᾽ ὕδατος· γενομένην δὲ ἤδη τὴν παρὰ φύσιν σάρκα σκοπός ἐστι διὰ τῶν ἀδήκτων ἀναλῶσαι καὶ ῥῆξαι. ποιεῖ δὲ πρὸς παρωνυχίας ὅ τε τῶν ὤτων ῥύπος καὶ τὸ λύκιον. ἐκπυηθεῖσαν δὲ κεντήσας καὶ τὸ ὑγρὸν ἐκχέας σπογγίον ὕδατι βρέξας ἐπιτίθει ἢ κατάπλασσε φακῷ μεθ᾽ ὕδατος λείῳ ἢ φοίνικι μετ᾽ οἴνου ἢ ῥόδοις χλωροῖς ἢ ξηροῖς ἀποβεβρεγμένοις ὕδατι λείοις ἢ ἀλφίτῳ μεθ᾽ ὕδατος. ποιεῖ δὲ πρὸς παρωνυχίας καὶ θέρμινον ἄλευρον μέλιτι ἢ οἰνομέλιτι πεφυραμένον.

π΄ *Oribasius vol. IV 621; cf. Aëtius XIV 82* πα΄ 1 *Oribasius, Synops. VII 18; vol. IV 620; cf. Aëtius XIV 75*

1 π΄ *om.* L 2 προπερικαθάραντες F: *comp.* G: προπερικαθάρας D: προπερικαθάραντας K: προσπερικαθαραντες L ἐπιτίθει D σηπτικῶν D 2. 3 ἰου ξυτου L 3 σανδαραχης *comp.* L ξηρὸν . . . συριγγιακὸν *om.* *a* 4 ἀμμωνιακῶν H: ἀμμωνιακὸν FM: ἀμμωνιακοῦ G ὄγκος] D: *om.* ABEFGHKM*a* 5 ὅμοιος D: *om.* *a* συνισταμενας L πάντα] πάντα τὰ DHM: τὰ *add. mrg.* B³ *des.* L 7 δὲ] δὲ ἐν D κἂν] ἂν D 8 ἀποξέοι D κισσηρίῳ D παρατρίβει AG: παρατρίβοι D: παρατρίβειν FK 9 ἢ μίσυ] ἡμίσεος D 10 ἀναληφθέντα D ἢ *(pr.)*] DFGK: *om.* ABEHM*a* μετὰ οὔρου D κυαμίνῳ K: κυαμίνο A 11 ἐστὶν] GK: ἐστὶ DF: ἔσται ABEM*a*: ποιῇ H 12 τερμινθίνῃ] G: τερμίνθει F: τερεβινθίνῃ ABDEHM: terbentina *a* 13 γίνεσθαι F προπερικαθάραντι FG 14 ἴσον K οὔρῳ] DFGK*a*: οὖρον ABEHM 16 Περὶ *om.* E ὄνυχας] ὄνυχας παθῶν FG παρωνυχιῶν DK

17 παρὰ] ἐπ D: περὶ FG 18 οὖν] DGK: *om.* ABEFHM*a* ἔτι *om.* DFG*a* 19 καταστέλλει μετὰ μέλιτος D μόσα AE 20 Ἥρα] F, *e corr.* B²: ἥρη AKM: ἴρη E: ἶρι H*a*: ἶρις G: ἶρις ἡ D 21 δὲ] δὲ καὶ FG 24 φακῶν K: φακῷ ἢ A φοίνικι] DK: φοίνιξι F: φοίνιξιν G: φοινικίῳ ABEHM*a* ξηροῖς ἢ χλωροῖς F 26 καὶ *om.* FG θέρμινον . . . παρωνυχίας *(p. 313, 1)* *om.* F μέλιτι] ἢ μέλιτι K: μετὰ μέλιτος D οἴνῳ *comp.* G πεφυραμένῳ HK

πρὸς δὲ τὰς εἱλκωμένας παρωνυχίας ἰοῦ, λιθαργύρου ἀνὰ < δ̄, σαρκοκόλλης < δ̄· ἱκανὸν ἐπιτίθει ἄνωθεν μοτὸν δι᾿ οἴνου καὶ σπόγγον. δεῖ δὲ καὶ διαστέλλειν τὴν σάρκα πανταχόθεν ἀπὸ τοῦ ὄνυχος.

### Περὶ πτερυγίων. 2

Ὑπεραύξησίς ἐστι σαρκὸς τὸ πτερύγιον καλύπτουσα μέρος τοῦ ὄνυχος ἐκ παρωνυχίας ἢ ἑτέρας τοιαύτης αἰτίας γινομένη· πρὸς ἣν ἀρσενικὸν καὶ μάνναν ἴσα ἐπίπασσε, ἄνωθεν δὲ μοτὸν δι᾿ οἴνου καὶ σπόγγον ἐπιτίθει.

Ἄλλο. χαλκίτεως, λεπίδος, σιδίων ἴσα ἀναλάμβανε σύκῳ ὠπτημένῳ καὶ μέλιτι προκαταιονῶν στυμμάτων ἀφεψήματι, τὸ δὲ ξηραινόμενον τοῦ πτερυγίου περικαθᾶραι.

### Πρὸς τὰ ἐπὶ τῶν δακτύλων πτερύγια σηπόμενα καὶ πρὸς αἰδοίων ἕλκη. 3

Λιβανωτοῦ < ᾱ, λεπίδος < β̄, ἰοῦ ξυστοῦ < δ̄, μέλιτος κύαθον ᾱ· τρῖβε ἐν ἡλίῳ, ἕως ὑπόξανθον γένηται, καὶ χρῶ διὰ σπληνίου προκαταιονήσας οἴνῳ.

### Ἄλλο συντόμως ξηραῖνον πτερύγια καὶ ἀποθεραπεῦον. 4

Σώρεως κεκαυμένης < β̄, λιβάνου < β̄, ἰοῦ ξυστοῦ < ᾱ· μετὰ μέλιτος συλλεάνας ἐπ᾿ αὐτὸ τὸ πτερύγιον ἐπιτίθει. ποιεῖ δὲ καὶ πρὸς τὰς λοιπὰς ἐπὶ τῶν τόπων τούτων κακοηθείας καὶ μελανίας καὶ σεσημμένα.

Ἄλλο. λεπίδα χαλκοῦ φοινίκων σαρκὶ ἀναλαβὼν ἢ σύκων χρῶ.

Ἄλλο. περιστερᾶς κόπρον μετὰ πάλης ἀλφίτου ἐν γλυκεῖ ἑψήσας καὶ συλλεάνας θερμὸν ἐπιτίθει. καὶ λεπὶς δὲ καθ᾿ ἑαυτὴν ἐμπασσομένη ξηραίνει τὰ πτερύγια. δεῖ δὲ συχνῶς τὴν νύττουσαν τὸ πτερύγιον γωνίαν τοῦ ὄνυχος αὐξομένην ἀφαιρεῖσθαι κοπαρίῳ μετεωριζόμενον.

### Πρὸς τεθλασμένους ὄνυχας. 5

Μυρσίνῃ καὶ ῥοιᾶς φύλλοις ἁπαλοῖς προσκατάπλασσε.

πα´ 2—4 *cf. Aëtius XIV 74* πα´ 4 *Oribasius vol. IV 620* πα´ 5 *Oribasius, Synops. VII 18. Aëtius XIV 76*

ABDEGHKM(F)*a*

1 ἀνὰ < δ̄ *om.* D 2 <] ἀνὰ < D ἱκανὸν] μιγνύων D δι᾿ οἴνου μοτὸν BHM*a* σπόγγων D 3 ἀπὸ] ἐκ D 6 τοιαύτης *om.* H: τινὸς τοιαύτης D γινομένη] D*a*: γινομένης ABEKM: γιγνομένης FGH 7 μάννα K ἴσον D 8 σπόγγων D 11 περικάθαιρε AE: περικαθαίρειν δεῖ D

14 < ᾱ] λι. ᾱ G: < λε̄ F μέλιτος κύαθον ᾱ *om.* E κύαθον] *a*: κ/υ ABFGHKM: < *in ras.* D 15 προκαταιωνῶν FG 17 Ἄλλο] DFG: *om.* ABEHKM*a* 18 κεκαυμένης] F*a*: κεκαυμένου E²: κ^ε ABEGKM: *om.* D: κέρας H < β̄ *(pr.) om. a* < *(sec.)*] ana ζ *a* μετὰ μέλιτος] μέλιτι D 20 ἐπὶ *om.* H τούτων *om. a* καὶ *(alt.)*] καὶ πρὸς D 21 *mrg. inf.* B² λεπίδα] ADEHK*a*: λεπίδαν M: λεπίδος FGB² χαλκοῦ] DFGB²*a*: χαλκῇ H: χαλκῆν AEKM σαρκῶν FG σύκῳ KB² 22 . . . ἐπιτίθει *(23) om.* H 22 παιπάλης D: παλαιᾶς K 23 δὲ *om.* H*a* αὑτὴν BHM 24 δεῖ . . . μετεωριζόμενον *(25) om.* H 25 αὐξανομένην FG σπαρίῳ D: *om. a* μετεωριζόμενον] BEKM: μετεωριζομένην AD: μετεωριζομένη F: *comp.* G: *om. a* 27 μυρσίνης D φύλλα D ἁπαλὰ D κατάπλασσε M *Or.*

6 Πρὸς ὑφαίμους ὄνυχας.

Ἄλευρον πίσσῃ μίξας ἐπιτίθει.

7 Πρὸς τὸ ἀποστῆσαι τοὺς πεπονηκότας ὄνυχας.

Θεῖον λεῖον ἀναλαβὼν ὑείῳ στέατι ἐπιτίθει.

8 Πρὸς τὸ ἀποστῆσαι τοὺς λεπριῶντας ὄνυχας.

Ἰξοῦ δρυίνου, σανδαράχης, τήλεως ἀνὰ 𐅻 β̄, κανθαρίδων, θαψίας ἀνὰ 𐅻 ᾱ, ὄξους τὸ αὔταρκες.

Ἄλλο. προπόλεως Ἀττικῆς, κηροῦ, ἀσφάλτου ἀνὰ < β̄, θείου ἀπύρου < ᾱ· ἐλαίῳ μὴ μολυνέσθω· ἐν δὲ τῇ χρήσει θερμανθὲν περιπλάσσεται τοῖς ὄνυξιν.

Ἄλλο. πίσσης ὑγρᾶς, κηροῦ, κολοφωνίας, τερεβινθίνης, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου, ἀφονίτρου ἴσα· μὴ μολυνέσθω.

[Ἄλλο, ἐκ τῶν Προμότου πρὸς λεπριῶντας ὄνυχας. κανθαρίδων, θείου ἀπύρου, χαλκάνθου ἀνὰ 𐅻 ∠′, ὑγροπίσσου 𐅻 β̄· ποιήσας ἔμπλαστρον ἐπιτίθει κατὰ τοῦ ὄνυχος ἐπιλύων διὰ τρίτης.]

9 Ἄλλο ἀφιστῶν τοὺς λεπροὺς ὄνυχας ἄνευ ἑλκώσεως.

Ἀσφάλτου, ἀρσενικοῦ, σανδαράχης, θείου ἀπύρου ἀνὰ < δ̄· ἀναλάμβανε ῥητίνῃ καὶ χρῶ ἐπιλύων διὰ ζ̄ ἡμερῶν.

Ἄλλο. ὀρόβινον ἄλευρον χολῇ προβατείᾳ ἢ οὔρῳ προβατείῳ φύρων χρῶ ἢ ἀσβέστῳ μετ' ἐλαίου ἢ Χίαν μετὰ ὀποβαλσάμου, ἢ ἰξῷ χάλκανθον καὶ θεῖον ἄπυρον ἀναλαβὼν τὸ ἱκανὸν δέρματι ἐμπλάσας ἐπίθες, ἢ σταφίδα ἀγρίαν μετ' ὄξους λεάνας χρῶ, ἢ ῥητίνης τερεβινθίνης < ᾱ, σανδαράχης τὸ διπλάσιον ἅμα ἐπιτίθει τῇ ῥίζῃ τοῦ ὄνυχος· διάσησον ἐπιμελῶς. ὅταν δὲ ἐκπέσῃ ὁ ὄνυξ, κηρωτὴν μυρσίνην ἐπιτίθει ὀλίγον ἔχουσαν τοῦ διὰ τῆς ῥητίνης φαρμάκου.

πα′ 6 *Aëtius XIV 77* πα′ 6—8 *Oribasius, Synops. VII 18* πα′ 8—9 *Oribasius vol. IV 620 sq.; cf. Aëtius XIV 79*

3 πεπονημένους FG: πεπτωκότας D 5 ἄλλο *praemitt.* GK 7 ὄξος K αὔταρκες] ἀρκοῦν D 8 <] 𐅻 EK ἀπύρου *om. a* 9 <] 𐅻 K ἐπιπλάσσεται FGM: ἐπιπλαττέσθω D 11 καλοφανίας D τερμινθίνης K: τερεβίνθου F 12 ἀφρονίτρου K*a* 13–15 FG: *mrg.* B: *om.* ADEHKM*a* 13 Ἄλλο . . . Προμότου *om.* F 14 χαλκάνθης F: *comp.* G 16 ἀφιστῶν] DFG: ἀφιστοῦν ABEHKM λεπροὺς] DK: λεπρ^ss G: λεπρώδεις F: λεπριῶντας ABEHM 19 προβατείῳ] προβάτου D φυράσας D 20 ἄσβεστον DF: ἀσβέστου K μετὰ] μετ' DK ἢ *(tert.) om.* K ἰξῷ] ἰξοῦ καὶ D χαλκάνθου D 21 θείου ἀπύρου D τὸ ἱκανὸν] ἱκανῶν K: τῷ ἱκανῷ F ἐπιτίθει D 22 σταφίδας ἀγρίας D τερμινθίνης AKHM*a*: τερεβίνθης F ᾱ] ᾱ καὶ D 23 ἐπιτίθει] D: τίθει ABEFGHKM διάσησον] διασήσων E: διασήσσων M: διασσήσων AB: διάσισον H: διασάσσων G *et e corr.* K: διασύσων F: διασείων D: -cernens *a* 24 μυρσινίνην *e corr.* D

## Δ'.

Ἐν τούτῳ τῷ βιβλίῳ τετάρτῳ τῆς ὅλης ὑπάρχοντι πραγματείας περὶ τῶν ἀορίστως τε καὶ σποράδην ἐκτὸς μάλιστα τοῦ σώματος γινομένων παθῶν ὁ λόγος ἐστίν.

α'. Περὶ ἐλέφαντος.
β'. Περὶ λέπρας καὶ ψώρας.
γ'. Περὶ λειχήνων.
δ'. Περὶ κνησμοῦ.
ε'. Περὶ λεύκης.
ϛ'. Περὶ ἀλφῶν λευκῶν τε καὶ μελάνων.
ζ'. Πρὸς στίγματα.
η'. Περὶ ἐξανθημάτων.
θ'. Περὶ ἐπινυκτίδων.
ι'. Περὶ φλυκταινῶν.
ια'. Πρὸς τὰ πυρίκαυτα.
ιβ'. Πρὸς τοὺς ὑπὸ μαστίγων πληγέντας.
ιγ'. Τρίχας ἐκ κατακαυμάτων φυῆναι.
ιδ'. Πρὸς ἀποσύρματα.
ιε' Περὶ μυρμηκίων καὶ ἀκροχορδόνων.
ιϛ'. Περὶ γαγγλίου.
ιζ'. Περὶ φλεγμονῆς.
ιη'. Περὶ τῶν ἐκτὸς τοῦ σώματος ἀποστημάτων.
ιθ'. Περὶ γαγγραίνης καὶ σφακέλου.
κ'. Περὶ ἕρπητος.
κα'. Περὶ ἐρυσιπέλατος.
κβ'. Περὶ φύματος καὶ βουβῶνος καὶ φυγέθλου.
κγ'. Περὶ δοθιήνων.
κδ'. Περὶ τερμίνθου.
κε'. Περὶ ἀνθράκων.
κϛ'. Περὶ καρκίνων.
κζ'. Περὶ οἰδήματος.
κη'. Περὶ ἐμφυσήματος.
κθ'. Περὶ στρεμμάτων καὶ θλασμάτων.
λ'. Περὶ σαρκοθλασμάτων καὶ ἐκχυμωμάτων.
λα'. Περὶ ῥήγματος καὶ σπάσματος.
λβ'. Περὶ σκίρρων.
λγ'. Περὶ χοιράδων.
λδ'. Περὶ στεατωμάτων καὶ ἀθερωμάτων καὶ μελικηρίδων.
λε'. Περὶ κηρίων.
λϛ'. Περὶ ἁπλοῦ ἕλκους.
λζ'. Ὅσα κολλᾶν ἕλκη δύναται.
λη'. Πρὸς περιωδυνοῦντα καὶ φλεγμαίνοντα ἕλκη.
λθ'. Πρὸς ἄπεπτα καὶ ἀνεκπύητα.
μ'. Περὶ τῶν κοίλων ἑλκῶν.
μα'. Ἀνακαθαρτικὰ ῥυπαρῶν.
μβ'. Πρὸς σκώληκας ἑλκῶν.
μγ'. Περὶ ὑπερσαρκούντων.
μδ'. Περὶ νομῶν καὶ σηπεδόνων καὶ φαγεδαίνης.
με'. Περὶ τῶν οὐλῆς δεομένων ἑλκῶν.
μϛ'. Περὶ κακοήθων ἑλκῶν, ἃ δὴ Χειρώνιά τε καὶ Τηλέφεια καλεῖται.
μζ'. Πρὸς οὐλὰς μελαίνας.

ABDEGHKM(F)

1 βιβλίον τέταρτον D: ἀρχὴ τοῦ τετάρτου βιβλίου E: πίναξ τοῦ δ̅ βιβλίου AHM: κεφάλαια τοῦ δ̅ βιβλίου B: *om.* FGK  2—4 *om.* AHM: *mrg. inf. praemisso* ἀρχὴ τοῦ τετάρτου βιβλίου H²  2 τούτῳ . . . πραγματείας] ἐν τῷ δ̅ G ὑπάρχοντι τῆς ὅλης EH²  πραγματείας ὑπάρχοντι F  3 ἀορίστως . . . σποράδην *om.* EGH²  μάλιστα *om.* EGH²  γινομένων] DFK: γιγνομένων B: καὶ οἷον ἐν φανερῷ συνισταμένων EGH²  4 παθῶν *om.* F: παθῶν οὐκ ἐν ὡρισμένοις ἀλλ' ἐν πλείοσι μορίοις EGH²  ὁ λόγος ἐστίν *om.* F: ὁ λόγος ἐστίν, ἐν ᾧ καὶ περὶ ἑλμίνθων καὶ δρακοντίων λέγεται EGH²  12 Περὶ στιγμάτων DF  16 Περὶ πυρικαύστων F  πυρίκαυστα A  17—18 *et* 19 *permut.* DF (ιβ' *et* ιγ' *hoc ordine hab.*)  17 τὰς D  πληγάς D  19 τρίχας] πρὸς τὸ τρίχας D  καυμάτων M  φῦναι D  31 δοθιήνων] DHK: δοθηίνων ABEFGM  32 τερμίνθων D  46 ἁπλοῦν ἕλκος G  47 δύνανται FHKM  49 ἕλκη *om.* EH  52 ῥυπαρῶν] ῥυπαρῶν ἑλκῶν EF  57 ἑλκῶν *om.* DFK  58 ἑλκῶν *om.* K  ἃ . . . καλεῖται *(59) om.* F  59 τε *om.* K

μη΄. Περὶ κόλπων.
μθ΄. Περὶ συρίγγων.
ν΄. Περὶ τῶν ἀναρρηγνυμένων.
να΄. Περὶ τῶν ἐν ἄρθροις ἑλκῶν.
νβ΄. Ὅσα σκόλοπας καὶ ἀκίδας καὶ ἀκάνθας ἀνάγει, καὶ τὰ παραπλήσια.
νγ΄. Περὶ αἱμορραγίας τῆς τε ἀπὸ φλεβὸς καὶ τῆς ἀπὸ ἀρτηρίας.
νδ΄. Περὶ νευροτρώτων.
νε΄. Περὶ ἀγκυλώσεων.
νϛ΄. Περὶ κεχαλασμένων ἄρθρων.
νζ΄. Περὶ ἑλμίνθων.
νη΄. Περὶ δρακοντίων.

5 σκώληκας D: *corr. mrg.* D$^3$   6 ἀνάγουσι F: *om.* E   9 πρὸς νευροτρώτους G   10 ἀγκυλώσεως DG   12 ἑλμίνθων] ἑλμίνθων. $\overline{νη}$ περὶ ἀσκαρίδων G: ἑλμί$^{ν}$θων $^{\overline{νη}}$ καὶ ἀσκαρίδων B   13 $\overline{νη}$] $\overline{νθ}$ G: *om.* B

## α΄. Περὶ ἐλέφαντος.

Ὀρθῶς οἶμαι τὸν Καππαδόκην Ἀρεταῖον εἰπεῖν, μείζονα τῶν νό- 1
σων χρῆναι τὴν τῶν βοηθημάτων ὑπάρχειν δύναμιν, καὶ διὰ τοῦτο μὴ
δύνασθαι τυγχάνειν ἰάσεως τὸν ἐλέφαντα· μὴ γὰρ εὑρίσκεσθαι τούτου
φαρμακείαν κρείσσονα. εἰ γὰρ ὁ καρκίνος οἷον ἐλέφας τις ὢν ἐν ἑνὶ
μορίῳ τῶν ἀνιάτων καὶ παρ' αὐτῷ τῷ Ἱπποκράτει νενόμισται, πῶς
οὐχὶ μᾶλλον ὁ ἐλέφας οἷον καρκίνος τις ὑπάρχων ἐν ὅλῳ τῷ σώματι
παντάπασιν ἀνίατος ἔσται; τῆς γὰρ μελαίνης χολῆς, ἐφ' ᾗ τὸ πάθος
τοῦτο συνίσταται, διττὴν ἐχούσης τὴν γένεσιν (ἢ γὰρ ἐκ τοῦ μελαγ-
χολικοῦ καὶ τρυγωδεστέρου καὶ οἷον ἰλύος τοῦ αἵματος ἢ ἀπὸ τῆς
ξανθῆς χολῆς, ἀμφοῖν ὑπεροπτωμένων, γίνεται) τοὺς μὲν ὑπερύθρους
ἐλέφαντας ἐπιεικεστέρους πως, ἀληθέστερον δὲ εἰπεῖν ἧττον ὄντας
κακοήθεις, ἡ πρώτη διαφορὰ τῆς μελαίνης ἐργάζεται χολῆς, τοὺς δὲ
ἄλλους, οἳ δὴ καὶ κακοηθέστεροι τυγχάνουσιν ἑλκοῦντές τε τὸ πᾶν σῶμα
καὶ τῶν ἄκρων ἐκπτώσεις ἐργαζόμενοι, ἡ ὑστέρα ἡ ἀπὸ τῆς ξανθῆς
χολῆς ὑπεροπτωμένης γινομένη. διὸ τοῖς μὲν ἤδη τῇ νόσῳ κεκρατη- 2
μένοις ἀπαγορευτέον ἐστίν· ἐν ἀρχῇ δὲ τοῦ πάθους ὑπάρχοντος, ὡς
μήτε τι τῶν ἄκρων ἀποπεσεῖν μήτε καθελκωθῆναι τὴν ἐπιφάνειαν μήτε
μὴν τοὺς ὄχθους ἐπὶ πλεῖστον ἐπανίστασθαι, εἰδεχθέστερον δέ πως
μόνον τὸ πρόσωπον, καὶ τοῦτο μὴ λίαν ἀπρεπές, φαίνεσθαι, θεραπεύειν
πειρασώμεθα· τινὲς γὰρ οὐκ ὀλίγοι διὰ μόνης τῆς κατὰ τὴν κεφαλὴν
καύσεως τῶν οὕτως ἀρξαμένων πολλοὺς ἐκώλυσαν κρατηθῆναι τῷ
πάθει. εὐθὺς οὖν ἡμεῖς ἀρχομένου τοῦ νοσήματος φλεβοτομίᾳ χρησώ-
μεθα μετὰ ἐπαφαιρέσεως, καὶ μᾶλλον ἦρος, ὅτε μάλιστα καὶ τίκτεται τὸ

2 Ἀρεταῖον] *De curat. diuturn. II 13* 6 Ἱπποκράτει] *Aphorism. VI 38*
23 *sqq. Oribasius XLV 29; cf. Aretaeus, De curat. diuturn. II 13; Aëtius XIII 121*

2 Ἀρεταῖον] DG, *e corr.* M: Ἀέτιον BEFHK: ἀρεταῖον ἀέτιον A: γρ. καὶ ἀέτιον *mrg.* D³: γρ. ἀρεταῖον *mrg.* E² 4 εὑρήσεις K: εὑρίσκεσθαί τινα D 4. 5 κρείσσονα τούτου φαρμακείαν K: κρείττονα τούτων φαρμακείαν F 5 κρείσσονα φαρμακείαν D 6 νενόμισται] DFGK: ὠνόμασται ABEHM 7 ὑπάρχων] ὢν D 8 τῆς . . . χολῆς] ἐκ τῆς μελαίνης γὰρ D ἐφ' ᾗ] πέφυκε D: ἔσται ἐφ' ᾗ F 9 συνίστασθαι DK 10 καὶ *(pr.)*] χυμοῦ καὶ FH οἷον] οἷον τῆς D 11 μὲν] μὲν οὖν DE 14 δὴ καὶ] D: καὶ BEGKM, *corr. ex* αἱ A, *supra scr.* H: δὴ F 15 ἔκπτωσιν D ὑστέρα] δευτέρα DF: ἑτέρα H³ 16 ὑπερωπτημένης DF κατεχομένοις D 18 τι *om.* DFK ἀποπεσεῖν] παραπεσεῖν τι D καθηλκῶσθαι D: ἑλκωθῆναι F 19 ἐπανίστασθαι . . . πρόσωπον *(20)*] ἐπαναστῆναι ἢ καὶ ὀχθωδέστερον μόνον εἶναι τὸ πρόσωπον D δὲ *om.* F 20 τὸ πρόσωπον μόνον FM 21 οὐκ ὀλίγοι γάρ τινες D 22 τῶν οὕτως] καὶ τῶν D 24 ἐπαφαιρέσεως] DF: ἀφαιρέσεως ABEGHKM ὅτε] ὅτε καὶ K καὶ *(alt.) om.* FK

πάθος καὶ παροξύνεται· μετὰ δὲ ὀλίγων ἡμερῶν διάστημα, θ̄ ἢ ῑ, καθάρωμεν αὐτοὺς τῷ διὰ τῆς κολοκυνθίδος πόλτῳ, μὴ πρὸς ἅπαξ ἀλλὰ πλεονάκις, ἐκ τοῦ πρὸς ὀλίγον τὸ ποσὸν τοῦ φαρμάκου παραύξοντες· καὶ ἡ διὰ τῆς ἱερᾶς δὲ κάθαρσις τούτοις ἐπιτήδειος. πάλιν δὲ διαλιπόντα περί που ῑ ἡμέρας τὸν ὀρὸν αὐτοῖς δοτέον τοῦ σχιστοῦ γάλακτος, μήτε ἔλαττον τριῶν κοτυλῶν μήτε πλέον πέντε· ταῖς δὲ ἑξῆς ἡμέραις ἀσχίστῳ ἢ νεαμελγεῖ τρεφέσθωσαν· ἐφ᾽ οἷς ἐνδιδοῦντος μὲν τοῦ πάθους τῇ αὐτῇ τροφῇ χρήσθωσαν, ἐπιμένοντος δὲ τοῦ μὲν γάλακτος ἀπεχέσθωσαν, δριμυφαγήσαντες δὲ ἐξεμείτωσαν ἀπό τε ῥαφανίδων καὶ σιτίων. ἀγαθὴ δὲ καὶ ἡ διὰ τοῦ λευκοῦ ἐλλεβόρου μετὰ ταῦτα κάθαρσις δὶς μέν, εἰ οἷόν τε, τοῦ ἔαρος, ἅπαξ δὲ τοῦ φθινοπώρου. τοὺς δὲ κεκρατημένους μήτε φλεβοτομεῖν μήτε ἐλλεβορίζειν· οὔτε γὰρ μετάληψις ἀπὸ τοῦ δέρματος εἰς τὸ βάθος οὔτε μείωσις τῆς ὕλης ἐκ τούτων ἔτι γίνεται· ἀλλὰ δεῖ τὴν μὲν ὕλην ἐπὶ κοιλίαν ἀπάγειν καὶ ἔντερα, τοῖς δὲ μετασυγκριτικοῖς χρῆσθαι ξηραίνειν τε καὶ στύφειν τὴν ἐπιφάνειαν. κοῦφαί τε οὖν σικύαι ἐκ τοῦ στόματος τῆς γαστρὸς καὶ τῶν ὑποχονδρίων κολλάσθωσαν, τὰ δὲ αὐτὰ καὶ δρωπακιζέσθω· μικρὸν δὲ διαλιπόντα πάλιν ἀνακαμπτέον ἀπὸ τῆς διὰ τῆς ἱερᾶς ἀρχόμενον καθάρσεως ὑπερτιθεμένους τὴν φλεβοτομίαν ἐπιβλαβεστέραν μᾶλλον ἢ ὠφέλιμον ἐσομένην, καὶ ταύτῃ τῇ περιόδῳ ἄχρι τρὶς ἢ τετράκις χρηστέον τοῦ ἐνιαυτοῦ κατὰ τὸν καιρὸν μάλιστα τοῦ ἦρος καὶ τοῦ
3 φθινοπώρου. ποτήματα δὲ τούτοις ἁρμόζει ὄξους κύαθος ᾱ μετὰ κεδρίας κυάθου ᾱ καὶ χυλοῦ κράμβης ὠμῆς κύαθοι β̄· μιγέντα δίδοται πρωὶ καὶ ἑσπέρας· ἢ σιδηρίτιδος βοτάνης φύλλων ξηρῶν ∠ ᾱ ἐν οἴνου κυάθῳ ᾱ ἢ ἐλαφείου κέρατος ∠ ᾱ καὶ σκιλλίνου ὄξους κυάθου πλῆθος· ποτίζεται μετὰ τὸν ἑωθινὸν περίπατον καθ᾽ ἡμέραν, καὶ τὰ ἄλλα δὲ κατὰ τὸν καιρὸν τοῦτον διδόσθω· ἢ σκίλλης περὶ ∠ ε̄ ἐν μελικράτῳ ἢ ἐν μέλιτι τρόπῳ ἐλλείγματος ἢ ὀποῦ Κυρηναικοῦ ὀρόβου τὸ μέγεθος μέλιτι καὶ βουτύρῳ διειμένον ἢ ἐλέφαντος ῥινήματος ∠ 𐅵΄ μετὰ οἴνου κυάθων β̄ ἢ κυμίνου Αἰθιοπικοῦ ∠ γ̄ μετὰ μέλιτος ὡς ἔλλειγμα. τούτων δὲ πλέον ὠφελεῖ θηριακῶν ἀρτίσκων ∠ ᾱ ἐν οἴνου καλοῦ κυάθῳ ᾱ λειοτριβηθεῖσα καὶ πινομένη. ὁμοίως δὲ καὶ τῶν σκιλλητικῶν ἀρ-

2 τῆς *om.* D 3 πρὸς ὀλίγον] F: πρὸς λόγον ABDEGHKM 4 διαλείποντας D: διαλειπόντες F 7 ἀσχίστῳ *om.* K ἢ νεαμελγεῖ] εἶναι ἀμέλγει K: νεαμελγεῖ DF ἐνδιδόντος D 8 ἐπιμένοντος . . . ἀπεχέσθωσαν *(9) om.* D 9 δὲ] τε D 11 εἰ οἷόν τε] εἰ οἷον B: *om.* D: εἰσιόντος F 14 ἔτι γίνεται] ἐπιγίνεται DFH: *corr.* H[2] μὲν *om.* E 16 ἐκ] κατὰ F 17 δρωπακιζέσθωσαν F: δρωπακίζειν D 18 διαλείποντας DF διὰ τῆς *om.* D 19 ἐπιβλαβέστερον DK 22 ποτίσματα D: πότιμα GM μετὰ . . . ᾱ *(23) om.* D: *mrg.* D[3] κεδρέας K 23 *post* β̄ *ins.* καὶ κεδρέαν κ^υ β΄ *mrg.* D[2] μιγὲν K διδότω K: δίδοτε F: διδόναι G 24 φύλλων ξηρῶν] DFK: φύλλα ξηρὰ ABEGHM ἐν . . . ∠ ᾱ *(25) om.* D οἴνῳ AGH 25 σκιλλιτικοῦ D 27 τὸν *om.* D τοῦτον] FK: τούτοις ABDEGHM περὶ] ABEHM: π^ε K: *om.* F: πεπλυμμένης DG: πεφι *e corr.* B *supra add.* -μένης B[3] ∠ ε̄ *om.* G: ∠ γ̄ 𐅵΄ F 29 διειμένῳ K ῥίνημα D 𐅵΄] ᾱ G 31 οἴνου καλοῦ] DK: οἴνῳ καλῷ ABEGHM

τίσκων < α̅ πινέσθω. καὶ τῆς καλαμίνθης δὲ τὸν χυλὸν ὡς πρακτικώτατον ἐπαινοῦσι βοήθημα πινόμενον· ἄρχεσθαι δέ φασιν ἀπὸ κυάθων γ̅ ἄχρι ϛ̅. ἁπάντων δὲ μᾶλλον ἡ δι᾽ ἐχιδνῶν θηριακὴ δραστήριος ὑπάρχει πινομένη τε καὶ ἔξωθεν συγχριομένη. εὐπορίας δὲ παρούσης τῶν θηρίων οὐδὲν οὕτως ἐστὶ δραστήριον ὡς αἱ τῶν ἐχιδνῶν σάρκες ἐσθιόμεναι καθηψημέναι λευκῷ ζωμῷ δι᾽ ὕδατος πλείονος καὶ ἁλῶν καὶ πράσου καὶ ἀνήθου ἄχρι τῆς τῶν ἀκανθῶν διακρίσεως προαποκοπεισῶν πρότερον τῶν τε κεφαλῶν αὐτῶν καὶ τῶν οὐρῶν οἷον ἀπὸ δακτύλων δ̅, ἀφαιρεθέντων δὲ καὶ τῶν ἐντὸς αὐτῶν καὶ τοῦ δέρματος. καὶ θηριακοὶ δὲ ἅλες τῆς αὐτῆς κατ᾽ εἶδός εἰσιν ἐπαγγελίας σὺν τοῖς ὄψοις λαμβανόμενοι· οὕτω γὰρ αὐτῶν χρωμένων συμβαίνει ποτὲ καὶ λεπίδας ἢ οἷόν τινα λώπην ἀπὸ τοῦ δέρματος αὐτῶν ἀφίστασθαι.

Ἡ δὲ δίαιτα τοιαύτη τις ἔστω. 4

Μετὰ τοὺς ὕπνους προψηλαφηθείς τε καὶ τῆς κοιλίας ἀποπειραθεὶς αἰωρείσθω τε καὶ ἀναφωνείτω, εἶτα τριβέσθω καὶ γυμναζέσθω ποικίλως τὰ μὲν ἀφαλλόμενος, τὸ δὲ πλέον ἁλτῆρσίν τε καὶ κωρύκῳ χρώμενος· ἀπομαξάμενος δὲ τὸν ἱδρῶτα συγχριέσθω στέατι ἀρκείῳ ἢ ἀλωπεκείῳ ἢ τραγείῳ ἢ τῶν πτηνῶν τινος ἢ βουτύρῳ προσφάτῳ, μικρὸν δὲ διαλιπὼν λουέσθω συγχριόμενος χυλὸν τήλεως ἢ πτισάνης ἢ ἀμμωνιακοῦ βραχὺ ὄξει διειμένου. μετὰ δὲ τὸ λουτρὸν ἀπομαξάμενος ἐπαλειφέσθω σχινίνῳ ἢ οἰνανθίνῳ ἢ μυρσίνῳ καὶ οἴνῳ βραχεῖ μετὰ στυπτηρίας ἢ ἀμμωνιακοῦ εἰς γλοιοῦ πάχος· ἀπομαξάμενος δὲ αὖθις ἁπαλοῖς ῥάκεσιν ἡσυχαζέτω ἡμιώριον, μεθ᾽ ὃ πιὼν ὕδωρ ἀπεμείτω καθέσει δακτύλων ἢ πτερῶν· ἐμέσας δὲ πινέτω ἀψινθίτην οἶνον ἢ ὀριγανίτην. αἱ δὲ τροφαὶ ἔστωσαν ἄρτος τε κρίθινος ἢ μᾶζα ἐξ ἀλφίτων, λαχάνων δὲ σεῦτλον, θριδακίνη, ῥέφανός τε καὶ πράσα καὶ κράμβαι δυσὶν ὕδασιν ἀπογλυκανθέντα καὶ κάππαρις, τῶν δὲ ἐκ θαλάσσης ὄστρεα, πελωρίδες, ἐχῖνοι, κτένια, τέλλινες ἅμα σεύτλοις καθηψημέναι, τάριχος παλαιὸν ὡς ἐν

4 *sqq. cf. Oribasius XLV 27; Synops. VII 51; Ad Eunap. III 62; Aëtius XIII 123* 13 *sqq. cf. Oribasius XLV 29; Aëtius XIII 125; Aretaeus l. c.*

2 φασιν] φασι δεῖν *e corr.* D 5 ἔσται K 6 καθηψημέναι *om.* K 8 ὅσον DF 9 δὲ] τε D: δὲ αὐτῶν M αὐτῶν *om.* M καὶ *(tert.)*] καὶ οἱ DF 11 οὕτως D ποτὲ *om.* F καὶ] DF: δὲ καὶ K: *om.* ABEGHM 12 ἢ] ποτὲ F λώπην] F: λόπην D: ἀλώπην ABEGHKM, *mrg.* D[3] 13 ἔστω] DFHK: ἔσται BEGM: ἐστιν A 14 ἀποπειρασθεὶς ABEHM 15 ποικίλως] ''καλῶς'' ποικίλως A 16 τὸ] D: τὰ ABEFGHKM πλέον] ADHK: *ras.* G: πλέων BEM: παλαίων F ἁλτῆρσίν] ex *Orib.*: ἀγκτῆρσίν AGK: ἀγκτῆρσί BDEHM: ἀρτῆσι F 18 βουτύρου προσφάτου K 19 χυλὸν] ABEFHM: *comp.* GK: χυλῷ D 20 βραχέος D διειμένον M 21 ἢ *(pr.)*] καὶ D οἰνανθινίνῳ K μυρσινίνῳ D 22 εἰς] K: ὡς ABDEGHM 23 ἡσυχάζεται M: ἡσυχαζέσθω K 25 τε *om.* E: τις D 26 ῥάφανός D δὶς ὕδατι DF καταγλυκανθέντα DF: καθέντα E: ἑψηθέντα H[3] *et e corr.* J 27 θαλάττης DH 28 τέλληνες K: τέληνες D: τέλινες BEGHM: τέλινοι A καθηψημένοι D τάριχος] DF: τάριχον ABEGHKM παλαιὸς F

φαρμάκου μοίρᾳ. οἴνου δὲ παρ' ὅλην τὴν νόσον ἀπεχέσθωσαν, καὶ συνουσίας ὁμοίως, ὀλίγιστον μόνον καὶ λεπτὸν οἶνον καὶ ὑδαρῆ κατὰ τὸν καιρὸν τῆς ἐκ τῶν καθάρσεων ἀναλήψεως λαμβάνοντες· ἐν ᾧ καὶ τὰ δριμέα περιαιρετέον δίχα τῶν ἀρτυμάτων, δοτέον δὲ αὐτοῖς πτισάνην, ᾠὰ καὶ χόνδρους πλυτοὺς καὶ γάλα καὶ μέλι σὺν ἄρτῳ μαλάχην τε καὶ λάπαθον καὶ σίσαρον καὶ ἰχθὺν ἁπαλόσαρκον καὶ τῶν πτηνῶν τὰ εὔχυμα καὶ τῶν ὀπωρῶν σῦκα καὶ σταφυλὴν καὶ σταφίδα, μελιτωμάτων δὲ τὰ διὰ στροβίλων ἢ ἀμυγδάλων πεφρυγμένων καὶ κνήκου,
5 δὶς τῆς ἡμέρας τρεφομένοις· χαλεπὸν γὰρ τούτοις ἡ μονοσιτία. μετὰ δὲ τὴν ἔνδοθεν ἐπιμέλειαν σμήγμασιν ἐν τῷ βαλανείῳ χρήσθωσαν δι' ἀφεψήματος σεύτλου ἢ τήλεως σὺν ἀφονίτρῳ ἢ σάπωνι ἢ μυροβαλάνῳ καί ποτε καὶ ψιλώθροις. σμήχει δὲ καὶ ἀνδράχνη μετ' ὄξους λεανθεῖσα καὶ τὸ λεπτὸν ἀείζωον καὶ λαπάθου ῥίζαι ὄξει ἑψηθεῖσαι καὶ στυπτηρία μετὰ ἁλῶν καὶ σανδαράχης ἴσον ἐν οἴνῳ καὶ σχινίνῳ καὶ τὸ πρὸς ἀλφοὺς δι' ἀλκυονίου καὶ νίτρου καὶ μυρσίνης καὶ θείου καὶ συκῆς ἀγρίας φύλλων ξηρῶν μετ' ὄξους λεῖον καταχριόμενον καὶ τὸ διὰ σηπέας ὀστράκου κεκαυμένου καὶ κισήρεως καὶ νίτρου καὶ Κιμωλίας πεφωσμένης κόμμεώς τε καὶ κηκῖδος ὀμφακίνης ἴσον ξηρὸν ἐμπασσόμενον ἢ δι' ὄξους σμηχόμενον. καὶ τοῦτο δὲ θαυμαστόν· λαπάθου ῥιζῶν δεσμίδιον χειροπληθές, νίτρου < μ̅, θείου < κ̅ε̅, λιβάνου < κ̅ε̅· δι' ὄξους Αἰγυπτίου καταχρίεται. ἔμπρακτον δὲ τοῦτο· ἀρσενικοῦ < ι̅, θείου ἀπύρου < η̅, κόστου < ι̅β̅, ἀσβέστου < δ̅, κηροῦ < δ̅, δαφνίδων ξηρῶν < ι̅β̅· ταῦτα φυρᾶται λεύκης τῶν φύλλων χυλίσματι ἢ παχεῖ ἀφεψήματι καὶ σύστασιν ἔχοντα μέλιτος καταχρίεται.

6 Ἄλλο. ῥιζῶν λαπάθου δεσμίδια β̅ ἐν ὄξει καθεψεῖται καὶ ὁλμοκοπεῖται καὶ λειοτριβεῖται, εἶτα ἀλκυονίου λι. α̅, θείου ἀπύρου λι. α̅, ἀφονίτρου ℥ η̅, κοχλιῶν ὀστράκων κεκαυμένων ℥ δ̅, χαμαιλέοντος μέλανος τῆς ῥίζης ℥ δ̅· συνεκλεαίνεται πάντα μέχρι γλοιώδους πάχους, εἶτα καταχρίεται θέρους μὲν ἐν ἡλίῳ πολλάκις, χειμῶνος δὲ ἐν βαλανείῳ μέχρι συνιδρώσεως.

7 καὶ τὸ τοῦ Ἀσκληπιοῦ δὲ ξηρὸν σμῆγμα καλῶς ἂν ἁρμόσοι καὶ

3 ἐν ᾧ *om.* D 4 δριμέα] δριμέα δὲ D 5 χόνδρον πλυτὸν D 7 σταφύλας DF σταφίδα] AEGKM: σταφίδας BDFH 8 τὰ] τάδε K 9 γὰρ] δὲ BD 11 τεύτλου AF 14 ἴσον] AGHK: ἴσα D: ἴσων BEM: *om.* F 16 κατατριβόμενον A σηπίας AD 17 πεφωσμένης] πεφωγμένης K: *om.* D: πεφρυγμένης F: πεφωσμένης τε ABHM, τε *eras.* B 19 ῥίζαι G: ῥίζης F 20 μ̅] DEH[3]: δ̅ ABGHKM: μ̅ ἢ μ̅ *e corr.* B: γ̅ F θείου < κ̅ε̅] FK: *om.* DE: λιβάνου < κε ABGM: λιβάνου < κ̅ H, < κ̅ *del.* H[2] λιβάνου < κ̅ε̅] DEK: *om.* F: θείου < κ̅ε̅ ABGHM: θείου ἀνὰ < κ̅ε̅ H[2] 21 κατάχριε D ἔμπρακτον] ABFGKM: ἐμπλαστέον DEH[3], *mrg.* BM (γρ.) τούτῳ D: τούτου A 22 < δ̅ *(pr.)*] < ι̅β̅ A: *om.* D < *(quart.)*] κέδρου ἀνὰ < F: ἀνὰ < D 23 παχεῖ *om.* D 24 σχόντα D 25 λαπάθων D καθέψεται D 26 λι. α̅ *(pr.)*] FK: *om.* D: λι. α̅ ἀφονίτρου ℥ η̅ ABEGHM λι. *(alt.)*] ἀνὰ λι. D ἀφρονίτρου K: *om.* ABEGHM 27 ℥ η̅ *om.* ABEGHM μέλανος] D: μ̊ ABEHM: μ̊ετὰ K: μετὰ FG 29 πολλάκις *om.* D

τούτοις καὶ πάντα κοινῶς τὰ ῥηθησόμενα σμηκτικὰ μέχρι τῶν πρὸς ἀλφούς, ὥσπερ οὖν καὶ τὰ νῦν εἰρημένα πρὸς ἐκεῖνα. αἱ δὲ ὀχθώδεις ἐπαναστάσεις φλεγμαίνουσαι ἢ εἱλκωμέναι καταχριέσθωσαν λυκίῳ Ἰνδικῷ ἢ γλαυκίῳ ἢ ἀλόῃ ἢ τῷ Ἀνδρωνίῳ τροχίσκῳ ἢ τῇ Πολυείδου σφραγίδι ἢ καταπλασσέσθωσαν χόνδρῳ μετὰ χυλοῦ πολυγόνου ἢ ἀρνογλώσσου ἢ ἐλξίνῃ λείᾳ. καὶ τῆς Μιλησίας δὲ βοτάνης χλωρᾶς τὰ φύλλα μετ᾽ ὀξυγγίου κοπτόμενα καὶ καταπλασσόμενα θαυμασίως ὠφελεῖ· φοινίσσεται μὲν γὰρ τὰ μέρη, στέλλεται δὲ ῥᾳδίως ἄρτου ἐπιπλασθέντος ἢ κηρωτῆς δι᾽ ἀμυγδαλίνου πεποιημένης καὶ εἰς τὴν κατὰ φύσιν εὔχροιαν ἀποκαθίσταται. κατὰ δὲ τῶν εἱλκωμένων ἁρμόζουσιν ἔμπλαστροι ἥ τε διὰ τοῦ διφρυγοῦς καὶ ἡ διὰ οἴνου μηλίνη καὶ τὸ κοράκιον τὸ δι᾽ ὀξυμέλιτος καὶ ὁ Ἀνδρώνιος τροχίσκος καὶ πομφόλυξ καὶ καδμία. σημεῖον δὲ τοῦ τὴν ὅλην μετριάζεσθαι νόσον τὸ τὰ πρῶτα τῶν ἑλκῶν συνουλοῦσθαι. πρὸς δὲ τὰς δυσπνοίας τῶν ἐλεφαντιώντων ὄνους τοὺς ὑπὸ τὰς ὑδρίας ε̅ ἢ ϛ̅ διὰ μελικράτου κυάθων γ̅ πότιζε· κοινῶς δὲ καὶ τῶν πρὸς δυσπνοϊκοὺς ἀναγεγραμμένων αὐτοῖς ἁρμόσει τινά. τὴν δὲ τῶν αὐτοφυῶν ὑδάτων αἱρεῖσθαι χρῆσιν ὡς ἀναγκαιοτάτων, στυπτηριωδῶν μάλιστα καὶ σιδηριζόντων καί, εἰ οἷόν τε, ψυχρῶν· συμφέρει δὲ αὐτοῖς μάλιστα καὶ πινόμενα. καὶ ἡ τῆς παραθαλασσίας δὲ ἄμμου χρῆσις τῆς αὐτῆς ἂν εἴη δυνάμεως καὶ πάντα τὰ ἀφιδρωτήρια.

ἐπειδὴ δὲ τῶν εὐμεταδότων ἐστὶ τὸ πάθος οὐχ ἧττον ἢ λοιμός, 8
ἀποικιστέον αὐτοὺς ὡς ὅτι πορρωτάτω τῶν πόλεων ἐν μεσογείοις καὶ καταψύχροις καὶ ὀλιγανθρώποις χωρίοις, εἴπερ οἷόν τε, κἀντεῦθεν δὲ μεταβαινέτωσαν εἰς τὰ παρακείμενα διά τε αὐτοὺς καὶ τοὺς ὡς εἰκὸς ἐντευξομένους συχνότερον· αὐτοί τε γὰρ ἐπιτηδειοτέρῳ τῷ ἀέρι χρήσονται καὶ οὐκ ἂν μεταδοῖεν ἄλλοις τοῦ κακοῦ.

## β΄. Περὶ λέπρας καὶ ψώρας.

Τούτων τῶν παθῶν ἑκάτερον τραχυσμός ἐστι τῆς ἐπιφανείας μετὰ 1
κνησμοῦ καὶ ἀποψήξεως σωμάτων ἐκ μελαγχολικοῦ χυμοῦ τὴν γένεσιν

21 *cf. Aëtius XIII 120* β΄ *cf. Oribasius, Synops. VII 48; Ad Eunap. III 58; vol. IV 594 sq. Aëtius XIII 134*

2 αἱ] εἰ D ὀχθώδεις] ὀχθώδεις εἶεν D 3 εἱλκωμέναι] EGK: ἡλκωμέναι ADFM, *e corr.* BH$^3$ 4 ἢ *(tert.) om.* K τῷ] DFK: *om.* ABEGHM Ἀνδρωνείῳ D: Ἄνδρονος F Πολυείδου] DG: Πολυείδους ABEH, *e corr.* FKM 5 ἢ *(pr.)*] DFK: *om.* ABEGHM 6 Μιλησίας] D: μηλισίας ABGKM: μελισσίας EH 7 μετ᾽ ὀξυγγίου] *mrg.* D$^3$: μετὰ στέατος D 8 ἢ] καὶ D 9 εἰς] ἐχ ED$^3$ 10 εἱλκωμένων] BEGK: ἡλκωμένων ADHM, *e corr.* B 11 τὸ *(alt.)*] ABDGHKM: καὶ τὸ ED$^3$H$^3$: *om.* F 12 Ἀνδρώνειος D: Ἄνδρωνος EF 15 ταῖς ὑδρίαις D 16 τὴν δὲ] ἤ τε D: τῶν δὲ K 17 αἱρεῖσθαι *om.* D χρῆσιν] φησὶν K: χρῆσις D ὡς] αὐτοῖς D ἀναγκαιοτάτην EH: ἀναγκαιοτάτη D 18 εἰ] ὡς D 19 αὐτοῖς] ταῦτα D δὲ *(alt.) om.* B 20 ἂν εἴη] FGK: ἀεὶ ABEM: ἐστι DH$^3$: *om.* H: ἐστι ἀεὶ *supra scr.* H$^3$

21 τῶν εὐμεταδότων] εὐμετάδοτον G 23 δὲ *om.* A 25 συχνότερον] DF: οὐ χειρότερον ABEGHKM τε] *e corr.* K: *supra scr.* H: *om.* M 28 ἐστι] DFGK: *om.* ABEHM μετὰ] DFGK: ἐστὶ μετὰ ABEHM 29 ἀποψήξεως] *Or.*: ἀποψύξεως FK: ἀποτήξεως ABDEGHM σωμάτων *om.* AM: *mrg.* BH$^2$

ἔχων· ἀλλ᾽ ἡ μὲν λέπρα διὰ βάθους ἐπινέμεται τὸ δέρμα κυκλοτερῶς μετὰ τοῦ φολιδοειδεῖς ἀφιέναι λεπίδας, ἡ δὲ ψώρα ἐπιπολαιοτέρα τέ ἐστι καὶ ποικίλως ἐσχηματισμένη καὶ πιτυρώδη ἀφίησι σώματα. ἐφ᾽ ὧν δεῖ φλεβοτομίαν παραλαμβάνειν πληθωρικωτέρου σοι φαινομένου τοῦ σώματος, εἰ δὲ μή, πάντως γοῦν κάθαρσιν διὰ τῶν τὴν μέλαιναν ἐκκενούντων χολήν· ἔξωθεν δὲ χρήσῃ κοινῶς μὲν τοῖς τε ἐλλεβόροις ἑκατέροις, καὶ τὴν τίτανον πεπλυμένην ἔχε ξηράν, ἐπὶ δὲ τῆς χρείας ὕδατι διαλύων εἰς γλοιοῦ πάχος κατάχριε.

Ἄλλο. ἐλελισφάκου, ἐλαίας Αἰθιοπικῆς δακρύου ἀνὰ < η̅, καππάρεως ῥίζης φλοιοῦ, κόμμεως ἀνὰ < ιγ̅· χρῖε δι᾽ ὄξους ἐν ἡλίῳ.

2 τὰς δὲ λέπρας ἰδίως ἀφίστησιν ἀνεμῶναι προστιθέμεναι καὶ ἀμπέλου λευκῆς ῥίζα· σύνθετα δέ· αἰρίνου ἀλεύρου χοίνικα, καρδαμώμου λευκοῦ < δ̅, νίτρου ἀφροῦ < α̅, χαλκάνθου < η̅, ἀσφοδέλου ῥίζας μέσας < δ̅, λεάνας ἐν ὄξει καὶ πάχος ποιήσας κηρωτῆς κατάχριε προεκνιτρώσας τὸν τόπον καὶ ἐπιδήσας ἐπίλυε διὰ τρίτης καὶ ἀποκλύσας ὕδατι ψυχρῷ πάλιν κατάχριε.

Ἄλλο. ἀσφοδέλου ῥιζῶν χυλοῦ ℥ ς̅, θείου ἀπύρου, μάννης ἀνὰ < ι̅, νίτρου < η̅· ἐπίχριε διεὶς ὄξει.

3 πρὸς δὲ ψώραν ἰδίως ποιεῖ ἁπλᾶ μὲν σταφὶς ἀγρία, θέρμοι πικροί, καρδάμωμον μετ᾽ ὄξους, κρίνου ῥίζα μετὰ μέλιτος, ῥητίνη τερεβινθίνη, θεῖον, ἐρέβινθοι, αἰγεία κόπρος, σύνθετα δὲ μίσυος καὶ χαλκίτου ἴσα μετ᾽ οἴνου· ἐπίχριε τὰς ὑγροτέρας ψώρας.

Ἄλλο, ᾧ χρώμεθα. ῥοδοδάφνης ἁπαλὰ φύλλα συνέψησον ἐν ἐλαίου ξ α̅, ἕως φρυγῶσιν, καὶ ῥίψας ἐπίβαλε τῷ ἐλαίῳ κηροῦ τρακτοῦ ℥ γ̅, μετὰ δὲ τὸ λυθῆναι ψύξας ἐπίπασσε θείου ἀπύρου ℥ α̅ καὶ κατάχριε ἐν ἡλίῳ ἢ ἐν βαλανείῳ. τινὲς ἅμα τῇ ῥοδοδάφνῃ καὶ σκίλλαν ἕψουσιν.

Ἄλλο. τῆς διὰ χυλῶν ℥ β̅, κηροῦ ℥ β̅, ῥοδίνου ℥ α̅, λιθαργύρου ℥ γ̅, ψιμυθίου ℥ γ̅, ὑγροπίσσης ℥ ς̅, ἑλκύσματος σηρικοῦ ℥ β̅, ὄξους τὸ ἀρκοῦν εἰς τὴν τῶν ξηρῶν λείωσιν.

1 διὰ] σωμάτων διὰ ABHM, *corr.* BH$^2$ βάθους] πάχους K 2 ἀφιέναι] DH: ἀφεῖναι ABEFGKMH$^3$ ψωρίασις K 4 δεῖ] διά K, *sed del.* φλεβοτομίας K, *sed corr.* 5 καθαίρειν DF τὴν] DFK: *om.* ABEGHM 7 ἔχε] ἔγχει D 9 δακρύου] K: δάκρυον ABDEFGHM 10 ιγ̅] ιβ D: ε̅ F: *corr. mrg.* D$^3$ 11 καὶ] D: *om.* ABEFGHKM 12 λευκῆς ῥίζα] K: λευκῆς ῥίζαι D: λευκῆς ῥίζης F: ῥίζα λευκῆς ABEGHM 13 < *(pr.)*] γρ. D: *mrg.* < α̅ D$^3$ μέσας *om.* F: *mut. in* μέλανας M$^2$ 15 ἐπιδήσας] D: ἐπικλύσας F: ἐπιλύσας ABEGHKM διὰ] DF: δὲ διὰ ABEGHKMD$^3$ 17—22 *post p. 323, 14 coll.* D 17 Ἄλλο *om.* KM ῥίζης DF 19 ποιεῖ *om.* D 20 μετ᾽ ὄξους *om.* D μετὰ *om.* E ῥητίνη] BDFKM: ῥητίνης AEGH τερμινθίνη K: τερεβινθίνης AH 21 μίσυος] D: μίσυ ABEFGHKM χαλκίτου] *scripsi*: χάρτου D: χαλκίτην ABGHM: χαλκίτιν EKH$^2$: χαλκίτης F 22 οἴνου] οἴνου μίξας D 23 Ἄλλο *om.* AE ᾧ χρώμεθα] DK: *om.* ABEFGHM ἐν *om.* DF ἐλαίῳ DFK 24 ἐπίβαλλε DEM 26 τινὲς] τινὲς δὲ DF 27 Ἄλλο *om.* AM: *supra scr.* H$^2$: *mrg.* E: *e corr.* B χυλοῦ D ℥ β̅ *(pr.)*] *om.* D: ℥ γ̅ K κηροῦ ℥ β̅ *om.* FK ℥ *(sec.)*] ἀνὰ ℥ D λιθαργύρου ... β̅ *(alt. 28) om.* G 28 ℥ γ̅ *(pr.) om.* D ℥ *(sec.)*] ἀνὰ ℥ D σηρικοῦ] σιρικοῦ D: ℥ β̅ σιρικοῦ ABEGHM: ℥ γ̅ σιρικοῦ K: ℥ β̅ συρικοῦ F, *e corr.* J ℥ β̅ *(alt.)*] ἀνὰ ℥ β̅ D: ℥ γ̅ K

Ἄλλο. ψιμυθίου ℥ ∠′, ἀμύλου ℥ ∠′, μολίβδου ℥ α̅, λωτάρια ἐρυθρὰ 4
ἢ ἀγχούσης ℥ β̅, κηροῦ ℥ ϛ̅, ῥοδίνου ℥ θ̅· τὴν ἄγχουσαν ἕψησον καλῶς μετὰ τοῦ ῥοδίνου, εἶτα ἐπίβαλε τὰ λοιπά.

Ἄλλο. ᾠὰ ι̅ ἢ ὅσα πρὸς τὴν χρείαν ἀποβρέξας ἐν ὄξει δριμυτάτῳ, ἕως οὗ τὸ λέπος αὐτῶν ἁπαλὸν γένηται, ἕψησον ἐν αὐτῷ τῷ ὄξει, εἶτα τὰ κροκὰ αὐτῶν συλλεάνας τῷ ῥοδίνῳ καὶ τῷ λοιπῷ ὄξει καὶ λιθαργύρου συμμέτρῳ εἰς γλοιοῦ πάχος κατάχριε.

Ἄλλο. τῶν ᾠῶν τῶν διὰ τοῦ ὄξους κροκὰ γ̅, ῥοδίνου ℥ ξ̅, θείου ἀπύρου ℥ γ̅· προεκλειώσας μετὰ τοῦ ὄξους τὰ κροκὰ καὶ τὸ θεῖον ἐπίβαλε τὴν κηρωτήν.

καὶ ἡ λιθάργυρος δὲ τῷ ὀξυροδίνῳ λειουμένη, ὡς ἐμπλαστρώδης 5
γενέσθαι, τὰς δριμυτέρας ψώρας ἀποκαθαίρει. καὶ τὰ διὰ λαπάθου δὲ σμήγματα καὶ τὰ πλείονα τῶν πρὸς τοὺς ἐλεφαντιῶντας σμηγμάτων κοινῶς ἐπί τε λέπρας καὶ ψώρας ἁρμόζει.

## γ′. Περὶ λειχήνων.

Μιχθέντων ἰχώρων λεπτῶν καὶ δριμέων ἑτέροις παχυχύμοις οἱ 1
λειχῆνες γίνονται ῥᾳδίως εἰς ψώραν καὶ λέπραν μεθιστάμενοι· διὸ τῶν ἰσχυρῶς ξηραινόντων χρῄζουσι φαρμάκων. μετὰ οὖν τὴν ὅλου τοῦ σώματος, εἰ δεήσοι, κένωσιν, ἁπλᾶ μὲν αὐτοῖς ἁρμόσει ἐρέβινθος, ἐλλέβορος, λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, πίσσα μιγνυμένη κηρωτῇ καὶ ῥητίνῃ, κροκοδείλου χερσαίου κόπρος καὶ ἡ τῶν ψάρων, ὅταν ὄρυζαν μόνην ἐσθίωσιν. πολλοὶ δὲ τούτῳ μόνῳ τοὺς ἐπὶ τῶν γενείων ἢ ἄλλῃ πῃ λειχῆνας ἰάθησαν· πυροὺς πολλοὺς λαβὼν ἐπί τινος ἄκμονος ἐπιτίθει διαπύρου καὶ τὸ ἀπορρέον ἐξ αὐτῶν ὑγρὸν ἔτι θερμὸν λαμβάνων ἐπίχριε τοὺς λειχῆνας. τοὺς δὲ τῶν παιδίων λειχῆνας σιέλῳ ἀνθρώπου συνεχῶς ἀπότριβε. τούτοις ποιεῖ καὶ τῆς κοκκομηλέας τὸ κόμμι χριόμενον. χρονιζόντων δὲ τῶν λειχήνων ἄγνου φύλλα τρίψας σὺν ὄξει κατάπλασσε ἢ καππάρεως τὰ φύλλα ὁμοίως. σύνθετα δὲ ταῦτα· θεῖον μετὰ λιβανωτοῦ ἢ μετὰ ἀμμωνιακοῦ διεὶς ὄξει κατάχριε.

γ′ *Oribasius, Synops. VII 49; Ad Eunap. III 59—60; cf. Aëtius VIII 16*

1—3 *post p. 322, 22 ad finem coll.* D 1 ℥ ∠′ *(pr.) om.* DF ℥ *(sec.)*] ἀνὰ ℥ DF 3 ἐπίβαλλε DFGHKM 6 εἶτα] FK: *om.* ABDEGHM τὰ . . . ὄξει *om.* D 7 συμμέτρῳ εἰς] *scripsi*: συμμέτρως ABDEGHKM: ὡς F 8 γ̅] τρία BH: ι̅ D 9 ἐπίβαλλε ABDFM: *alt.* λ *supra add.* G 11 ἐμπλαστρῶδες HK: ἐμπλάστρῳ δὲ F 12 λαπάθους BM 13 τοὺς] DK: *om.* ABEFGHM 14 ψώρας καὶ λέπρας G 17 γίνονται] DFK: ἐπιγίνονται ABEGHM ῥᾳδίως] DFGK: ταχέως ABEHM λέπραν καὶ ψώραν DFH 18 τὴν *om.* FK ὅλου τοῦ] ABDGHM: ὅλην τοῦ K: τοῦ ὅλου EF 19 ἐρέβινθοι K 20 λειχὴν] λιχὴν FK: λειχῆνες D: ἐχῖνος ABEGHM ὁ] οἱ D 22 μόνῳ] καὶ μόνῳ D ἄλλῳ D πῃ] τινι D: που F 23 ἰάσαντω E[3] διαπύρους DF 24 αὐτῶν] DFGK: αὐτοῦ ABEHM 25 τοὺς δὲ] πρὸς δὲ τοὺς D σιάλῳ K ανι̅ν̅ω D 26 τούτους D: τοῦτο F καὶ] καὶ ὁ K: καὶ τὸ E κοκκομηλέας] E: κοκκομηλαίας AB, *e corr.* KM: κοκκυμηλέας D: κοκκυμηλαίας GK: κοκωμιλέας H: κακομηλαίας M: κιμωλίας F τὸ] τῷ FK χριόμενον *om.* FK 27 φύλλα] φύλλα κατάπλασσε E: φύλλα τρίψας D

2 Τροχίσκος πρὸς λειχῆνας.

Κόλλης τεκτονικῆς < δ̄, λιβάνου < β̄· ὄξους κοτύλη ∠′ διαλύων ἐπίχριε.

Ἄλλο. χαλκίτεως, κόμμεως ἀνὰ < η̄, θείου ἀπύρου, μίσυος ἀνὰ < ς̄, λεπίδος χαλκοῦ, ἀκακίας ἀνὰ < β̄, ὄξει.

Ἄλλο χρῖσμα. θείου ἀπύρου, νίτρου ἀφροῦ ἀνὰ < δ̄, κάχρυος κόκκους ξ̄· λείου μετ' ὄξους, μόνον δὲ χρῖε τὸν ἀφρὸν μηδὲν μολύνων τοῦ ἀπαθοῦς, ξηρανθὲν δὲ ἔκπλυνε ὕδατι ψυχρῷ.

Ἄλλο. ἐλλεβόρου λευκοῦ < η̄, ἀλεύρου θερμίνου, κηρύκων κεκαυμένων, νίτρου ἀνὰ χοίνικα· ξηρῷ σμάσθω.

3 ἀγρίους δὲ καλοῦσι λειχῆνας τοὺς ὑπὸ μὲν τῶν μετρίως ξηραινόντων οὐδὲν ὀνιναμένους, ὑπὸ δὲ τῶν δριμυτέρων παροξυνομένους. χρὴ οὖν ἐπὶ τούτων φάρμακα παραλαμβάνειν δραστήρια μὲν ἱκανῶς, χωρὶς δὲ τοῦ δάκνειν ἰσχυρῶς, οἷόν ἐστι τοῦτο· γλαυκίου, λιβάνου, ἀλκυονίου, θείου, ἀσφάλτου, κόμμεως ἀνὰ 𐅻 ᾱ· ὄξει ἐπίχριε.

Ἄλλο. ἀφρικανὴν πίσσαν σὺν ὄξει ἑψήσας τακερωθεῖσαν ἐπίχριε.

Ἄλλο πρὸς λειχῆνας καὶ κνησμόν. χαλκάνθου, θείου ἀπύρου, νίτρου, λιβάνου ἴσα, ἐπὶ μὲν λειχήνων ὄξει, ἐπὶ δὲ κνησμοῦ οἴνῳ.

Ἄλλο λειχηνικόν. ἀμμωνιακοῦ θυμιάματος, ὀροβίνου ἀλεύρου, θερμίνου ἀλεύρου ἴσα, ὄξει.

## δ′. Περὶ κνησμοῦ.

1 Τὸν μὲν ἐν γήρᾳ συμβαίνοντα κνησμὸν οὐκ ἂν ἰάσαιο τέλεον, παραμυθήσῃ δὲ τοῖς ὑποτεταγμένοις· τὸν δὲ διὰ κακοχυμίαν τοῖς ἄλλοις γινόμενον ἰᾶσθαι προσήκει ταύτην κενοῦντας· εἴη δ' ἂν ὑπὸ χολώδους τινὸς ἢ φλεγματικοῦ χυμοῦ σεσηπότος ἢ καὶ ἁλμυροῦ συνισταμένη, διαγινώσκεται δὲ ἀπὸ τῆς ἡλικίας καὶ κράσεως καὶ διαίτης ὥρας τε καὶ χώρας καὶ τῶν λοιπῶν τούτοις συστοίχων. εἰ μὲν οὖν κατὰ τὰς φλέβας ἅμα τῷ αἵματι πλεονάζουσα φαίνοιτο, ἀπὸ φλεβοτομίας ἀρκτέον, εἰ δὲ ποιότητι μᾶλλον λυποῦσα, τοῖς καταλλήλοις αὐτὴν κενώσαντες φαρμάκοις ἐπὶ τὴν ἔξωθεν τραπῶμεν ἐπιμέλειαν. λουτρῷ τοίνυν χρη-

δ′ *cf. Aëtius XIII 126; Oribasius vol. IV 594*

2 ὄξους . . . χαλκίτεως *(4) om.* F κοτύλη] κ̊ ABEGHKM: κ^υ D διαλύων] D: ὄξει διαλύων ABEGHKM 4 η̄] θ̄ D μίσυος . . . ἀπύρου *(6) om.* E 5 ὄξει] σὺν ὄξει D: ὁμοίως ὄξει χρῶ F: ὄξει διάλυε G 6 χρῖσμα] DK: *om.* ABFGHM κάχρυος κόκκους ξ̄ *om.* K 7 ξ̄] ξζ̄ D χρῖε τὸν ἀφρόν] *mut. in* χρῖε τὸ πεπονθός M[2]: αὐτὸν τὸν τόπον χρῖε F μηδὲ K 8 ξηρὰν K 9 <] DFGK: ἀνὰ < ABEH: ἀν̄ *supra scr.* M κεκαυμένων] καὶ DFH 11 *pro titulo praem.* τίνες ἄγριοι λειχῆνες E: *idem mrg.* BM 12 παροξυνομένων ABGK 15 θείου, ἀσφάλτου] DFK: ἀσφάλτου θείου ABEGHM 16 *om.* E Ἄλλο] DGK: *mrg.* AB[2]: *om.* FHM φρυγανὴν F κατάχριε D 17 Ἄλλο *om.* E κνησμούς K: κνησμονάς F 19 λειχηνικόν *om.* AE: πρὸς λειχῆνας F 24 προκενοῦντα F *et corr. ex* προσκενοῦντα K ἂν] ἂν ἢ K 26 ἀπὸ] ἀπό τε FK 27 λοιπῶν] λοιπῶν τῶν D 29 μᾶλλον] μᾶλλον εἴη D

στέον πάντως μὲν νῆστιν, ἔσθ' ὅτε δὲ καὶ μικρὸν βεβρωκότα τὸ δεύτερον λούειν· δύσικμον γὰρ τὸ πάθος· σμᾶν δὲ τήλεως ἀφεψήματι ἢ σεύτλων ἢ πιτύρων ἢ μαλάχης ἀγρίας καὶ ἡμέρου ἢ πτισάνης, σὺν τούτοις δὲ καὶ ἀλεύρου κυαμίνου ἢ θερμίνου ἢ μυροβαλανίνου ἢ τοῦ πεπονάτου σκευαζομένου. εἰ δὲ χρονίζοι, λούειν μὲν ὁμοίως, πυριᾶν δὲ ἀφεψήματι ἐλελισφάκου, μυρίκης, λινοζώστεως, ὀριγάνου, γλήχωνος, δαφνίδων, σικύου ἀγρίου ῥίζης, καππάρεως, κονίας στακτῆς, ὀξάλμης· εἶτα προσπάσσειν ξηρῷ νίτρῳ ἢ μετὰ τρυγὸς ὄξους ἢ τῷ λαμβάνοντι νίτρου ἀφροῦ Ξ ᾱ, λιβανωτοῦ, θείου ἀπύρου ἀνὰ λι. ᾱ, κιμωλίας λι. τὸ L', ἢ τούτῳ· ἀφονίτρου, θείου ἀπύρου, ἀλκυονίου κεκαυμένου ἴσοις ξηροῖς ἢ μετά τινος τῶν εἰρημένων ἀφεψημάτων· εἰ δὲ βούλει, καὶ ἐλλεβόρου ξηροῦ σύμπασσε ἀλίπαντον. συγχρίειν δὲ ὀξελαίῳ συντετριμ- 2
μένης σταφίδος ἀγρίας ἢ θείου ἢ σανδαράχης ἢ πάντων ἢ σίνηπι μετὰ μυροβαλάνου πιέσματος καὶ ὀξελαίου ἢ κοχλίοις κεκαυμένοις καὶ λειανθεῖσιν μέλιτι ἢ λαπάθου ῥίζαις ἢ τοῖς δι' αὐτῶν σκευαζομένοις σμήγμασιν, ὡς ἐν τῷ περὶ ἐλέφαντος εἴρηται, ἤ τισι τῶν ἐν τοῖς ψωρικοῖς. εἰ δὲ ἑλκωθείη τὰ μέρη, χρῆσθαι παρύγρῳ τῷ διὰ πομφόλυγος καλουμένῳ, ἢ κηροῦ Γο ᾱ τήξας ἐν κοτύλῃ ᾱ Κυπρίνου ἐπισύμπλεκε θείου ἀπύρου Γο ᾱ.

### Ἕτερον πρὸς κνησμούς. 3

Καρύων μεγάλων τῶν ταγγῶν Γο ᾱ, θείου Γο ᾱ, σελίνου χυλῷ λειώσας χρῷ ἐν βαλανείῳ ἀνατρίβων ἐπὶ πολύ· τοῦτο μόνον ἤρκεσεν πολλοῖς ψωρικοῖς τε καὶ ἄλλως κνηθομένοις. καὶ τὸ σέλινον δὲ καθ' ἑαυτὸ χλωρὸν κοπτόμενον καὶ σμώμενον ἐν βαλανείῳ μεγάλως ὀνίνησιν· ὁμοίως δὲ καὶ τὸ περδίκιον καὶ ζυγία μετὰ ῥοδίνου λυθεῖσα καὶ καταχριομένη.

Ἄλλο. ὀρύζης καθαρᾶς καὶ ἄγαν λευκῆς Γο γ̄ κόψας καὶ σήσας λείωσον ὄξει δριμυτάτῳ ἕως γλοιοῦ πάχους καὶ ἐπιβαλὼν ἰδίᾳ λειωθέν-

16 περὶ ἐλέφαντος] α' 6—7   ψωρικοῖς] β' 3—4

1 καὶ *om.* D   2 δύσικμον] δόκιμον F: λύσεις μὲν K   σμᾶν] ἐπαντλεῖν D   3 πτισάνης] πτισάνης ῠ̆χ K   6 μυρρίχης D   8 προπλάσσειν K   9 ἀνὰ . . . ἀπύρου *(10) om.* K   ἀνὰ *om.* D   10 τὸ] ᾱ D: *om.* H   ἀπύρου] ἀπύρου ἀνὰ λι. ᾱ A   ἴσοις] D: ἴσων ABEHKM: ἴσον G: τὸ ἴσον F   12 ἀλίπαντον *om.* D   ἐντετριμμένης D   13 σταφίδος ἀγρίας] DFK: ἀγρίας σταφίδος ABEGHM   μετὰ] προσφέρειν μετὰ D   14 κοχλίαις D   15 μέλιτι] μέλιτι χρῆσθαι D   ῥίζας E: ῥίζης FG   17 τῷ] D: ἢ τῷ ABEHM: ἢ τὸ FGK   18 κοτύλῃ] κ̊ ABDEGHM: κ̆ K: κύθρᾳ F   κυπρίνῳ DM   21 Γο ᾱ *(pr.) om.* D   θείου . . . ᾱ *om.* G   Γο *(alt.)*] ἀνὰ Γο D   χυλῷ] K: χ̆ ABDEHM: χυλοῦ G: χυλὸν F   22 ἐν βαλανείῳ *om.* A   πολύ] πολὺ ἐν βαλανείῳ A   23 ψωριακοῖς K   24 ὤνησεν D: ὀνίνησεν K   25 ζυγία] D: ζυγέα G: ζυγεία F: ζυγαῖα ABEHKM   ἀναλυθεῖσα DG   27 Ἄλλο] ἄλλο κάλλιστον DG   ὀρύζαν καθαρὰν K   ἄγαν *om.* M   λευκὴν K   Γο γ̄ *om.* F   Γο γ̄ κόψας] συγκόψας K   28 ὄξει] ἐν ὄξει D   πάχους] DK: πάχος ABEFGHM   ἐπιβαλὼν] ADGHK: ἐπιβάλλων BEM: ἐπίβαλλε F

τος θείου ἀπύρου 𐅻 α̅ καὶ μίξας καλῶς ἐν βαλανείῳ χρῶ ἐπὶ πολὺ ἀνατρίβων· ἐπὶ δὲ τῶν περιττωματικωτέρων ἴσον ἴσῳ μίξας ἄμεινον αὐτὸ ποιήσεις.

## ε΄. Περὶ λεύκης.

**1** Ἡ λεύκη μεταβολή τίς ἐστι τοῦ χρωτὸς ἐπὶ τὸ λευκότερον ὑπὸ γλίσχρου τε καὶ κολλώδους γινομένη φλέγματος. ἐπειδὴ δὲ οὐ πᾶσα λεύκη θεραπευτή ἐστιν, διαγνώσεις αὐτῆς ἰστέον τοιάσδε· βελόνῃ κατακέντησον ἐξ ἐπιπολῆς τὴν λεύκην μὴ περαιτέρω τοῦ δέρματος, καί, εἰ μὲν αἷμα ῥυῇ, θεραπευτή ἐστιν, εἰ δὲ γαλακτώδης ὑγρότης, ἀθεράπευτος· ἢ ῥάκει ἐρινῷ τραχεῖ ἀνάτριψον αὐτήν, καὶ εἰ μὲν ἐρυθρότερος ὁ χροῦς γένηται, θεραπευτή ἐστιν, εἰ δὲ μείνῃ ἐπὶ τοῦ αὐτοῦ χρώματος, οὐ θεραπευθήσεται. καὶ τὰς πλείονα δὲ τοῦ σώματος κατειληφυίας χωρία τῶν ὀλίγα καὶ τὰς παλαιοτέρας τῶν νεωτέρων μᾶλλον ἀθερα-
**2** πεύτους εἶναι νομιστέον. τινὲς μὲν οὖν τὴν διὰ σιδήρου καῦσιν ἐπὶ τῆς λεύκης ἐδοκίμασαν κατ᾽ ἐπίφλεξιν καὶ μόνον γινομένην, ἕτεροι δὲ τό τε τῆς καύσεως ὀδυνηρὸν καὶ τὴν ἐκ ταύτης οὐλὴν δεδιότες οὐχ ἧττον ἀπρεπῆ τῆς λεύκης ὑπάρχουσαν τοῖς ἐσχαρωτικοῖς ἐχρήσαντο φαρμάκοις οἷα, φασίν, καὶ τὴν οὐλὴν ὁμόχρουν ἐργαζομένοις· ἄλλοι δὲ καὶ τούτων παραιτούμενοι τὴν δυσέργειαν τοῖς βάμμασιν ἐχρήσαντο τῆς παρ᾽ αὐτὰ μᾶλλον ἀπάτης ἀλλ᾽ οὐκ ὠφελείας φροντίσαντες· οὓς πλέον ἁπάντων παραιτητέον διὰ τὴν ταχεῖαν τοῦ πάθους παλιγγενεσίαν. χρηστέον τοίνυν ταῖς ὑποτεταγμέναις δυνάμεσιν· ἀδάρκης, κάχρυος, θείου ἀπύρου ἴσα, ἕκαστον κόψας καὶ σήσας ἰδίᾳ, εἶθ᾽ ὁμοῦ μετ᾽ ὄξους λειοτριβήσας ἐφ᾽ ἱκανὰς ἡμέρας ἐν ἡλίῳ κατάχριε, μὴ ἀθρόως, ἵνα μὴ ἑλκωθῇ ὁ χρώς· προελθόντος δὲ χρόνου προσβάλλεται βραχύ τι ἐλλεβόρου καὶ κνίδος ὁμοίως.

**3** Ἄλλο. συκῆς μελαίνης τοὺς ἀκρεμόνας βρέξον ὄξει καὶ λειοτριβήσας μῖξον ἀφονίτρου, θείου ἀπύρου, μυρίκης καρποῦ ἴσα, προεκνιτρώσας δὲ κατάχριε καὶ ἡλίαζε φυλασσόμενος, μὴ ἑλκωθῇ.

ὁ δὲ Ἀρχιγένης τοῖς φύλλοις τῆς συκῆς ἀσβέστου τὸ αὔταρκες μίξας ὁμοίως ἐκέχρητο· ἢ παρατρίψας, φησί, τὰς λεύκας ἐλλεβόρῳ λευκῷ, ἕως συνιδρώσασαι ὁμόχρους γένωνται τῷ ἄλλῳ σώματι, κατάχριε

22—29 *cf. Aëtius XIII 133*

2 ἴσον *om.* E ἴσῳ *om.* FG 5 χρώματος FK 7 διαγνώσεις] διάγνωσίς ἐστιν D ἰστέον *om.* D τοιάδε D βελόνην D 10 ἐρύῳ F 11 χρὼς D σχήματος D 12 καὶ τὰς] DK: -ς *ins.* M: καὶ τὰ ABEFG: κατὰ H πλείονας K δὲ *om.* H κατειληφυῖα AG 13 τῶν ὀλίγα] D, *e corr.* M: τῶν ὀλίγας ABEGHK: *om.* F 15 μόνην FH 16 τε *om.* K 18 ἐργαζόμενα M 20 ἀπάτης *om.* K 23 ἕκαστα K καὶ σήσας *om.* K εἶτα DFG 25 δὲ] δὲ τοῦ A πρόσβαλλε K τι] τι καὶ λευκοῦ D 27 βρέχε D: βρέξον ἐν E 28 ἀφρονίτρου K ἐκνιτρώσας K: καὶ προεκνιτρώσας D δὲ *om.* D 31 ἐκέχρητο] χρῶ K 32 συνιδρώσασαι] συνιδρώσας καὶ G ὁμόχροοι *e corr.* D

Ϲινωπίδι ἢ Μηλιάδι ἢ βελόναις ϲυνεϲπειραμέναις κατακεντήϲαϲ, ἕωϲ αἱμάξωϲι, κατάχριε Ϲινωπίδι μετ᾽ ὄξουϲ ἢ προαποϲμήξαϲ, ὡϲ εἴρηται, κατάχριε τῆϲ ϲυκῆϲ ὀπῷ προϲφάτῳ καὶ τῷ φύλλῳ αὐτῆϲ ἐπὶ ποϲὸν παράτριβε.

## ϛʹ. Περὶ ἀλφῶν λευκῶν τε καὶ μελάνων.

1 Ἡ τῶν ἀλφῶν γένεϲιϲ ὁμοειδήϲ ἐϲτι ταῖϲ λεύκαιϲ, ἀλλ᾽ ἐκεῖναι μὲν ἄχρι βάθουϲ τὸν χρῶτα τρέπουϲιν, ὡϲ καὶ τὰϲ τρίχαϲ λευκὰϲ ἐκφύεϲθαι, οἱ δὲ ἀλφοὶ ἐπιπολῆϲ τοῦ δέρματόϲ εἰϲιν, πλὴν ὅτι καὶ αὐτοὶ χρονίζοντεϲ ἄχρι βάθουϲ χωροῦϲιν, ὡϲ καὶ τὰϲ τρίχαϲ λευκὰϲ φύειν διὰ τὸν ὑποκείμενον χυμόν· ἐκ μὲν γὰρ τοῦ φλεγματικοῦ χυμοῦ λευκοὶ γίνονται, μέλανεϲ δὲ ἀπὸ τοῦ μελαγχολικοῦ. κοινῶϲ μὲν οὖν ἀμφοτέροιϲ ἁρμόζει πεπλυμένη τίτανοϲ ὕδατι λυθεῖϲα ἢ δρακοντίου ῥίζα ϲὺν ὄξει καταπλαϲϲομένη· ὁμοίωϲ ἐλλέβοροϲ ἑκάτεροϲ, θέρμων πικρῶν ἀφέψημα καταντλούμενον καὶ τὸ ἄλευρον αὐτῶν καταπλαϲϲόμενον δι᾽ ὄξουϲ ἢ ὀξυμέλιτοϲ, καππάρεωϲ τῆϲ ῥίζηϲ ὁ φλοιὸϲ ϲὺν ὄξει, κρίνου ῥίζα μετὰ μέλιτοϲ, κρόμυον ϲὺν ὄξει καταχριόμενον ἐν ἡλίῳ, κροκοδείλου χερϲαίου κόπροϲ, ὁμοίωϲ καὶ ἡ τῶν ψάρων, ὅταν ὄρυζαν μόνην ἐϲθίωϲιν, ϲηπέαϲ ὄϲτρακα καυθέντα. ϲύνθετον δὲ τοῦτο· ἀλκυονίου νίτρου ἀνὰ Ϝ β̄, ἐλλεβόρου λευκοῦ, θείου ἀπύρου ἀνὰ Ϝ ᾱ, ἔνιοι δὲ καὶ ϲφέκληϲ κεκαυμένηϲ.

2 Ἄλλο. θείου ἀπύρου, νίτρου ἀφροῦ ἀνὰ < δ̄, κάχρυοϲ κόκκουϲ ζ̄, λείου μετ᾽ ὄξουϲ· μόνον δὲ χρῖε τὸν ἀλφὸν μηδὲν μολύνων τοῦ ἀπαθοῦϲ, ξηρανθὲν δὲ ἔκκλυζε ὕδατι ψυχρῷ.

Ἄλλο. ἀλεύρου θερμίνου, κηρύκων κεκαυμένων, νίτρου ἀνὰ χοίνικα, ἐλλεβόρου λευκοῦ < η̄· ξηρῷ ϲμάϲθω.

Ἄλλο. ὀροβίνου ἀλεύρου λι. β̄, εὐζώμου ϲπέρματοϲ, ἀμυγδάλων πικρῶν, ϲικύου ἀγρίου ῥίζηϲ ἀνὰ λι. ᾱ· οἰνομέλιτι ϲυλλεαίνων ἐπίχριε καὶ μετὰ ὡριαῖον διάϲτημα ἀποϲπόγγιζε. ποιεῖ καὶ πρὸϲ ἐφήλειϲ καὶ ἰόνθουϲ καὶ ϲπίλουϲ.

ϛʹ *Oribasius, Synops. VII 48; Ad Eunap. III 58; cf. Aëtius XIII 132*
18—20 *Oribasius vol. IV 594, 19* 26—28 *ib. IV 595, 17*

1 ἢ . . . Ϲινωπίδι *(2)*] *post lin. 4 coll.* G *add.* μετ᾽ ὄξουϲ Μηλιάδι] μηδιάδι BDEGHM: μιδιάδι AFK ϲυνεπειραμέναιϲ F, *in ras.* D κατακεντήϲαϲ] καὶ κεντήϲαϲ K 3 τῆϲ *om.* F ἐπὶ ποϲὸν] ἐπίπαϲον H: ἐπιπάϲων F: ἐπιπάϲϲων D 7 τὰϲ *om.* DFG λευκὰϲ] DFGKB$^3$: *om.* ABEHM: ὁμοίαϲ *supra scr.* M$^2$ φύεϲθαι D: φαίνεϲθαι F 9 φυῆναι D 10 διὰ *om.* K, πρὸϲ *mrg.* ἐκ] ἐπὶ G: ἀπὸ K λευκοὶ] DK: λευκαὶ ABEFGHM 13 ἑκάτεροϲ] τε ἑκάτεροϲ καὶ D: ἑκάτεροϲ δὲ F 15 τῆϲ] τε τῆϲ D 17 καὶ] δὲ καὶ DG 18 ϲηπίαϲ ADK 19 Ϝ *(pr.)*] < FG δὲ] τε K 21 Ἄλλο *om.* HM: *mrg.* D$^3$ 22 ζ̄] ξ̄ F *et in ras.* M$^3$ 23 κλύζε DF 24 κεκαυμένων] κ̸ (ε supra) *mut. in* καὶ B: καὶ F 26 ὀροβίνου ἀλεύρου] DFM$^3$: ὀροβίνου K: ὀροβίνῳ ἀλεύρῳ ABEGHM ϲπέρματοϲ] DF, *e corr.* M: *comp.* GK: ϲπέρμα ABEHM 27 λεαίνων D 28 ὥραϲ DF ἐφηλίδαϲ D καὶ *(tert.) om.* K *post* 29 *hab. p. 328, 9—18* ABGHM

3 Ἄλλο Ἀρχιγένους. cυκῆς φύλλων ξηρῶν ἐν cκιᾷ, θείου, cτυπτηρίας ἴcα· cὺν ὄξει κατάχριε. ἢ φύλλων cυκῆς ⸓ δ̄, νίτρου ⸓ β̄, ἀλκυονίου κεκαυμένου ⸓ β̄· ὄξει κατάχριε ἐν βαλανείῳ. ἰδίως δὲ τοὺς μέλανας ἄκρως αἴρει cανδαράχη μετὰ ἡμίcους θείου, προνιτρώcας δὲ κατάχριε ἐν ἡλίῳ· τοὺς δὲ λευκοὺς χαλκάνθου, ἰοῦ ἴcα, νίτρου τὸ διπλάcιον· δίχα λίπους cμῆχε. ἢ κάχρυος, θείου ἀπύρου, ἀδάρκης ἴcα· λεάνας μετ' ὄξους cμῆχε καὶ κατάχριε· ὅταν δὲ ξηρανθῇ, λοῦε τρίβων αὐτό. ποιεῖ καὶ λευκαῖς.

4 [Ἄλλο πρὸς ἀλφοὺς λευκοὺς διὰ πείρας. θείου ἀπύρου ἐξάγια β̄, ἀcβέcτου ζώcης λευκῆς Ϝ δ̄, λευκὰ ᾠῶν ε̄, ἐλαίου ναρδίνου καὶ ὄξους βραχύ· λειοῦται τὸ θεῖον πρῶτον, εἶτα ἐπιβάλλομεν αὐτῷ τὸ νάρδινον ἔλαιον καὶ αὖθις λειοῦμεν, καὶ εἶθ' οὕτως ἐπιcτάζεται τὸ ὄξος, καὶ πάλιν λειοῦται· τὴν δὲ ἄcβεcτον ἰδίᾳ πλύναντες καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς ἐπιβάλλομεν τῷ θείῳ ἅμα καὶ τοῦ λευκοῦ τῶν ᾠῶν, καὶ πάλιν λειοῦμεν καὶ τὸ ἀθροιζόμενον ὑγρὸν ἀποχέομεν, cύμμετρον δὲ καταλιπόντες, ὥcτε δύναcθαι χρίειν τὸ ἄλειμμα, χρώμεθα οὕτως.

Ἄλλο διὰ πείρας. θεῖον ἄπυρον, cυκῆς φύλλα ξηρά, ἀφόνιτρον, ἀλκυόνιον, Κιμωλία, μυρcίνη· μετ' ὄξους χρῶ.]

## ζ'. Πρὸς cτίγματα ἐκ τῶν Ἀρχιγένους.

1 Τὰ δὲ cτίγματα ἐξελεῖς τὸ προcεcτηκὸς τῇ ἀμίδι μετὰ δριμυτάτου ὄξους καταχρίων, ἢ ἀcβέcτου μέρος ᾱ, νίτρου ὀπτοῦ πυρροῦ τὸ ∠' cὺν ὕδατι ἐν ἡλίῳ κατάχριε· ὅταν δὲ ἑλκωθῇ, ὡς ἕλκος κατούλου.

ὁ δὲ Κρίτων· πρὸς τὰ cτίγματα, φηcί, προεκνιτρώcας τὸν τόπον κατάπλαcον τερμινθίνῃ, εἶτα ἐπιδήcας ἔαcον ἡμέρας ϛ̄, τῇ δὲ ζ' λύcας κατακέντηcον βελόνῃ τὸ cτίγμα καὶ ἀποcπογγίcας τὸ αἷμα μετ' ὀλίγον τρῖψον ἁλὶ λεπτῷ, εἶτα τὸ φάρμακον ἐπιθεὶς ἔα ἡμέρας ε̄· ἔcτι δὲ λι-

23 — p. 329, 2 *cf. Oribasius, Synops. III 37*

1 Ἄλλο Ἀρχιγένους *om.* F: ἄλλο A, *mrg.* ἀρχιγένους ἐν cκιᾷ *om.* D θείου] θείου ἀπύρου D 2 ἢ — 8 *om.* H 2 ἢ] ἄλλο F 3 δὲ] δὲ πρὸς D μέλανας] μέλαινας AE: μὲν μέλαινας F: μέλενας G: μὲν λεάνας K 4 αἴρει] ἀρεῖ K: ὠφελεῖ D ἡμίcεος D δὲ *om.* A 5 τὸ *om.* BH 6 λίπους] λίπου BH: *comp.* F: λέπους μίξας D cμῆχε . . . ὄξους *(7) om.* G ἴcα] πίττης ἴcα D 7 λύε ADEM: *corr.* M 8 καὶ *om.* G: δὲ καὶ F 9—16] DE: *hic om.* ABHMG: *om.* FK 9 Ἄλλο] D, *mrg.* E: *om.* ABGHM ἐξάγια] ἐξ BEHM: ἐξ^α' D: ξ AG 10 ἐλαίου] ἐν ἐλαίῳ λύε D ναρδίνῳ D ὄξει D 11 βραχύ] *scripsi*: βραχεῖ D: βραχέως A: βραχέος BEHM: *comp.* G αὐτὸ EGH τῷ ναρδίνῳ ἐλαίῳ E 12 ἐπιcτάζομεν D 13 δὲ *om.* E 14 ἅμα] ἅμα δὲ D τὰ λευκὰ D 16 τῷ ἀλείμματι D 17—18] *hoc loco* G: *cum* 9—16 *ante lin. 1 mrg. add.* B: *om.* ADEFHKM 17 Ἄλλο] ἄλλο πρὸς ἀλφοὺς G φύλλων ξηρῶν B 18 κιμολαία BG μερcύνης G: *om.* B: μερcύνη B² 20 ἐξελεῖς] DF: ἐξελῆς K: ἐξέλης ABEGHM προcεcτηκὸς] D: προcεcτηκὼς K: προεcτηκὸς ABEFGHM 21 cὺν *om.* D 22 ὡς] ἑλκωθῇ K 24 κατάπλαcον] AEHK: κατάπλαccον GM: κατάπλαττε DF τερεβινθίνῃ B: *om.* F λούcας BHM 26 τρίψας DG ἁλςὶ DFG: ἁλcὶν K λεπτῶς K: λεπτοῖς DF

βάνου, νίτρου, κονίαϲ, ἀϲβέϲτου, κηροῦ ἀνὰ < δ̄, μέλιτοϲ ὄγδοον· λύϲαϲ γὰρ εὑρήϲειϲ τὸ μέλαν ἐπὶ τοῦ φαρμάκου.

Ἄλλο χρῖϲμα. πεπέρεωϲ < β̄, πηγάνου < δ̄, ϲανδαράχηϲ < δ̄, ἀρϲε- 2
νικοῦ < ᾱ, μέλιτοϲ τὸ ἀρκοῦν· κατάχριε προεκνιτρώϲαϲ καὶ τὰ ἄλλα ποιήϲαϲ ὁμοίωϲ τῷ πρώτῳ, λύων δὲ διὰ τριῶν ἡμερῶν καὶ τὸ μέλαν ἀπομάττων αὖθιϲ κατάχριε· αἴρει γάρ, φηϲίν, ἐν ἡμέραιϲ κ̄ ἄνευ ἑλκώϲεωϲ καὶ οὐλῆϲ.

Ἄλλο τὸ Κρητικὸν καλούμενον. λιβάνου < δ̄, νίτρου < β̄, χαλκάνθου < δ̄, κηροῦ < ϛ̄, πεπέρεωϲ < γ̄, τιτάνου < γ̄, θαψίαϲ < γ̄, ἀρϲενικοῦ < ᾱ ∠′, ϲανδαράχηϲ < γ̄, μέλιτοϲ τὸ ἀρκοῦν· χρῶ, ὥϲπερ ἐχρῶ τῷ πρὸ αὐτοῦ.

Ὀριβάϲιοϲ δέ φηϲι· βατράχιον καταπλαϲθὲν ἢ καππάρεωϲ φύλλα 3
τὰ ϲτίγματα αἴρει. εἰ δὲ διὰ βάθουϲ ὄντα μὴ ἀφαιροῖτο, ἐπ’ ὀλίγου δὲ τοῦ δέρματοϲ εἴη, ψυχρῷ καυτῆρι ἐϲχαρώϲαϲ ἄφελε.

## η′. Περὶ ἐξανθημάτων.

Ἐξανθήματα γίνονται παχέων χυμῶν ἐν τῷ δέρματι ϲφηνωθέντων καὶ πλέον κατὰ τὴν ἐπιδερμίδα πυκνὴν οὖϲαν. ἐφ’ ὧν μὲν οὖν κἂν τῷ βάθει πλῆθοϲ ὑπόκειται χυμῶν, τούτουϲ πρότερον δεῖ καθαίρειν· εἰ γάρ τιϲ μὴ πράξαϲ τοῦτο πρότερον ἐπιχειροίη διαφορεῖν, ἐμφράξει μᾶλλον αὐτοὺϲ ἢ κενώϲει διὰ τοῦ δέρματοϲ. εἰ δὲ τὸ βάθοϲ ἀπέριττον εἴη, χρὴ κενοῦν αὐτοὺϲ διὰ τοῦ δέρματοϲ καὶ μὴ πόρρω περιϲπᾶν βουλόμενον διὰ γαϲτρὸϲ ἢ δι’ ἐμέτων κενῶϲαι, ἀλλὰ τήν γε θεραπείαν τῶν ἐμπεπλαϲμένων τῷ δέρματι χυμῶν διὰ τῶν ἐκπυριώντων τε καὶ θερμαινόντων ποιητέον, καὶ μάλιϲτα, ὅταν πλατέα τυγχάνῃ τὰ ἐξανθήματα· ἐπὶ ψυχρῷ γὰρ ἱκανῶϲ καὶ παχεῖ χυμῷ τὰ τοιαῦτα γεγένηται. δάφνηϲ οὖν φύλλων ἁπαλῶν καὶ πηγάνου καὶ μάννηϲ ἴϲον ἑκατέρου τρίψαϲ καὶ λιβανωτὸν μετ’ ἐλαίου διεὶϲ ἐπάλειφε, ἢ ϲεῦτλον ἁπαλὸν ἑψήϲαϲ καὶ τρίψαϲ κατάπλαϲϲε, ἢ κηροῦ < η, θείου ἴϲον, ἁλὸϲ < ϛ̄, τὰ ξηρὰ τρίψαϲ καὶ ἐπιχέαϲ ἐλαίου κοτύληϲ ∠′ πάντα ὁμοῦ ἕψε καὶ γενομένῳ ἐμπλάϲτρῳ χρῶ· προϲεδρεύειν δὲ τῇ ἑψήϲει. ἀγαθὸν ϲφόδρα τὸ φάρμακον.

3—4 *Aëtius VIII 12* 12 Ὀριβάϲιοϲ] *Synops. VII 21* η′ *Oribasius, Synops. VII 7; Ad Eunap. III 21*

1 ὄγδοον] η̄ AE 3 < δ̄ *(pr.) om.* D < *(tert.)*] ἀνὰ < D 4 ἀρκοῦν] ἀρκοῦν μίξαϲ D 5 τῷ πρώτῳ *om.* K 8 Κρητικὸν] DGHK, *e corr.* M: κριτικὸν ABEFM 9 ϛ̄] ε̄ D: δ̄ F < γ̄ *(pr.) om.* DK τιτάνου < γ̄, θαψίαϲ < γ̄ *om.* F < *(quart.)*] ἀνὰ < D θαψίαϲ . . . ϲανδαράχηϲ < γ̄ *(10) om.* D 10 χρῶ] μίξαϲ χρῶ D ἐχρῶ τῷ] *scripsi*: τῷ D: ἐχρῶ ABEFGHKM 16 γίνεται FK: γίγνεται D 17 ἐπιδερματίδα DF 18 τούτοιϲ G: τούτου F
20 εἰ . . . δέρματοϲ *(21) om.* K, *mrg.* D 24 τυγχάνῃ] εἴη A 25 γεγένηται] *in ras.* D: γεγέννηται B: γίνεται K: γίγνεται F 26 ἴϲον] DGHK: ἴϲων ABEM: ἴϲα F 27 καὶ . . . τρίψαϲ *(28) om.* H, *post* 28 κατάπλαϲϲε *coll.* D *add.* κατάπλαττε 28 ἴϲα D: < η̄ G ἁλῶν F ϛ̄] η̄ G: ϛ̄ καὶ E 29 ∠′] τὸ ∠′ DF ἕψει D 30 ἑψήϲει] ἑψήϲει δεῖ D ϲφόδρα] γὰρ ϲφόδρα D

## θʹ. Περὶ ἐπινυκτίδων.

Αἱ ἐπινυκτίδες ἑλκύδριά εἰσιν ἀπὸ ταὐτομάτου ἐξανθοῦντα, φλυκταινοειδῆ, ὑπέρυθρα, ὧν ἐκρηγνυμένων ἰχὼρ ὕφαιμος ἀπορρεῖ. ταῦτα τῆς μὲν ἡμέρας οὐ πάνυ ἐνοχλεῖ, νυκτὸς δὲ ἐπώδυνά ἐστι μᾶλλον ἢ κατὰ τὸ ἕλκος. ὀπὸν οὖν σιλφίου ὕδατι διεὶς ἐπιτίθει· ξηραίνει γὰρ ἄνευ δήξεως· ἢ κώνειον ἐκλεάνας ἐπιτίθει ἢ κράμβην ὠμὴν μεθ᾽ ὕδατος ἢ σέλινον μετὰ ἀλφίτου τρίψας κατάπλασσε ἢ ὑοσκυάμου φύλλα μετὰ μέλιτος τρίψας ἐπιτίθει ἢ στρύχνον καθ᾽ ἑαυτὸ καὶ μετὰ κορίου χλωροῦ, ἢ ἐλαίας φύλλοις ἑφθοῖς μετὰ ὕδατος χρῶ, ἢ σταφίδας ἐκγιγαρτισθείσας λείας σπληνίῳ ἐπιπλάσας ἐπιτίθει ἢ ἀδίαντον τρίψας μετὰ μέλιτος. φυλακτέον δὲ τὴν τῶν δριμέων καὶ ὀξέων καὶ ἁλυκῶν προσφορὰν καὶ πυρίαν καὶ λουτρὸν καὶ ἥλιον.

## ιʹ. Περὶ φλυκταινῶν.

1 Τὰς δὲ μὴ ῥηγνυμένας αὐτομάτως φλυκταίνας, ἐπωδύνους δὲ γινομένας, ὀξείᾳ βελόνῃ τιτρᾶν προσήκει καθ᾽ ὑπόρρυσιν, εἶτα ἐκθλίβειν πράως τὸ ὑγρὸν τὸ δέρμα τὸ προκείμενον ἐῶντα· κἂν πληρωθῇ μύσαντος τοῦ τραύματος ἡ φλύκταινα, πάλιν δεῖ τιτρᾶν ὁμοίως καὶ ἐκθλίβειν, καὶ φυλάττειν τὸ δέρμα προσταλέν, ἄχρις ἂν ἀπουλωθῇ τὸ ὑπ᾽ αὐτὸ εἱλκωμένον. πρὶν μὲν οὖν ἐκραγῆναι τὰς φλυκταίνας ἑφθῷ φακῷ λείῳ μεθ᾽ ὕδατος κατάπλασσε ἢ ῥοιᾶς ῥαβδία χλιαίνων ἐπὶ τέφρας θερμῆς προστίθει καὶ κατόπτα τοὺς τόπους. ἐὰν δὲ ἐκραγῶσι καὶ ἕλκος γένηται, στέαρ ὕειον τήξας καὶ λιθαργύρου λείας μίξας καὶ εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει ἢ κρίνου ῥίζαν ἑψήσας ἐν ὕδατι καὶ τρίψας μετὰ κηρωτῆς ἐπιτίθει.

2 Πρὸς ἐπινυκτίδας καὶ φλυκταίνας.

Λιθάργυρον καὶ θεῖον ἄπυρον ἴσα μετ᾽ ὄξους καὶ μυρσίνου λείου γλοιώδει ἐπιχρίσει μετ᾽ ἐλαίου καὶ οἴνου. ποιεῖ πρός τε ταῦτα καὶ θερμὰ ἐκβράσματα καὶ περιζέματα καὶ ἀχῶρας ἀρχομένους τε δοθιῆνας καὶ κατακαύματα τό τε διὰ μολυβδαίνης καὶ τὸ δι᾽ ᾠῶν σκευαζόμενον φάρμακον.

1—6 *Oribasius, Coll. XLIV 20; Synops. VII 37; cf. Aëtius XIV 61* 7—12 *Oribasius, Synops. VII 42; Ad Eunap. III 54* ιʹ 1 *Oribasius, Ad Eunap. III 23; Synops. VII 9* ιʹ 2 *Oribasius vol. IV 615*

4 μὲν *om.* G δὲ] DFGK: γὰρ ABEHM 5 ἐπίχριε A ξηραίνει . . . ἐπιτίθει *(6) om.* E 8 αὐτὸ G: ἑαυτὸν F *et e corr.* DJ 9 μεθ᾽ DGM ἐκγιγαρθείσας G: ἐκγιγαρτηθείσας M 10 λειώσας D δίαντρον AE 12 πυριᾶν καὶ λούτρῳ καὶ ἡλίῳ D 14 δὲ] τε D γενομένους F: γενομένας K 15 προσήκει *om.* A καθ᾽] πρὸς AE, *mrg.* M (γρ.) ἐκθλίβειν] ἢ ἔκθλιψιν ἢ K 16 πράως τὸ] ὅλως τε K 18 ἀπουλωθὲν K 19 αὐτὸ] ABEHM: αὐτῷ DH²: αὐτοῦ FGK εἱλκωμένον] G: ἡλκωμένον ABEFHM: ἑλκωμένον K: εἱλκούμενον D 20 καταπλάσσεται K 26 λιθαργύρου AEFH: *comp.* G θείου ἀπύρου F ἴσα] μίξας F μυρσινίνου D λείου] ὀλίγον μίξας D 27 ἐπιχρίσει] *mut. in* ἐπὶ τῇ χρήσει M³ ποιεῖ] κέχρησο D: ποιεῖ δὲ FH τε πρὸς AE καὶ *(alt.)*] καὶ τὰ D 28 περιζέματι K: *comp.* G 29 τό τε] ποιεῖ δὲ καὶ τὸ D τὸ *om.* E

## ια΄. Πρὸς τὰ πυρίκαυτα.

**1** Τὰ πυρίκαυτα τῶν μετρίως ῥυπτόντων δεῖται φαρμάκων χωρὶς τοῦ θερμαίνειν ἢ ψύχειν ἐπιφανῶς. γῆ τοίνυν Χία καὶ Κιμωλία καὶ Κρητική, καὶ πᾶσα δὲ κούφη γῆ καταχριομένη μετ᾽ ὄξους μὴ πάνυ δριμέος ἢ ὕδατος μιγνυμένου ποιεῖ καλῶς καὶ κωλύει φλυκταινοῦσθαι, καὶ ᾠὸν ὅλον ὠμὸν παραχρῆμα ἐπιτιθέμενον ἀναλαμβανόμενον ἐρίῳ μαλακῷ· καὶ γὰρ ἐμψύχει μετρίως καὶ ἀδήκτως ξηραίνει. καὶ μέλανι δὲ γραφικῷ περίχριε ἢ λιβανωτῷ ὕδατι διειμένῳ ἢ φακῷ ἑφθῷ λείῳ ἢ ὀρόβῳ κατάπλασσε. πρὸς δὲ τὰ ἀφ᾽ ὕδατος θερμοῦ κατακαύματα, πρὶν φλυκταίνας γενέσθαι, ἐλαιῶν ἁλμάδων ὕδωρ συνεχῶς κατάντλει καὶ αὐτὰς τὰς ἁλμάδας μετὰ ἀλφίτου λείας κατάπλασσε ἢ στυπτηρίαν σχιστὴν τρίψας μετ᾽ ὄξους ἐπίχριε, ἢ χολῇ ταυρείᾳ μεθ᾽ ὕδατος δαψιλοῦς τετηκυίᾳ κατάχριε ἢ κονίαν στακτὴν κατάντλει γάρῳ ἢ ἅλμῃ ἢ βολβοὺς κρίνων ἢ ὑακίνθων ἢ ναρκίσσων μετὰ ῥοδίνου τρίψας καὶ ποιήσας γλοιῶδες κατάχριε. **2** ὁ δὲ Μάρκελλος σύνθετον τοῦτό φησι· ῥάκος μέλιτι δεύσας καὶ κριθαῖς ἀνακυλίσας κατάκαυσον καὶ βάλλε τῆς τέφρας < η̄, ψιμυθίου < δ̄, βουτύρου < η̄, κηροῦ < ις̄, στέατος αἰγείου < ις̄, ῥοδίνου < ις̄. πρὸς δὲ τὰ ἤδη πεφλυκταινωμένα ῥοῦν καὶ ἄλφιτον τρίψας μετ᾽ ὄξους κατάπλασσε ἢ κονίαν ἄσβεστον κηρωτῇ μιγνὺς καὶ εἰς ὀθόνιον ἐμπλάσσων ἐπιτίθει. καὶ τὸ σφαιρίον δὲ καλούμενον πρὸς ταῦτα χρήσιμόν ἐστι. τὰ δὲ εἱλκωμένα πράσοις λείοις κατάπλασσε ἢ ἀνδράχνην τρίψας μετὰ ἀλφίτων κατάπλασσε ἢ περιστερᾶς κόπρον εἰς ὀθόνιον ἐνειλήσας κατάκαυσον καὶ διεὶς ἐλαίῳ τὴν τέφραν αὐτοῦ χρῶ. θαυμαστὸν φάρμακον καὶ πίτυος ἢ πεύκης φλοιὸς ἢ ἀδίαντον ξηρὸν λεῖον ἢ μυρσίνης φύλλα κατακεκαυμένα· λεῖα ἐμπάσσεται· ποιεῖ δὲ τούτων ἕκαστον καὶ μετὰ κηρωτῆς συντιθέμενον. καὶ τὸ λαμβάνον δὲ τῆς ἐρυθρᾶς ἀγχούσης τῆς ῥίζης ξηρᾶς κοπείσης λείας Ϝ δ̄, κηροῦ τρακτοῦ Ϝ θ̄, ῥοδίνου Ϝ ιη̄, καὶ τὸ διὰ ψιμυθίου σὺν ὀλίγῳ μυελῷ ἐλαφείῳ ἀγαθόν ἐστι φάρμακον.

ια΄ *Oribasius, Synops. VII 6; Ad Eunap. III 20; cf. Aëtius XIV 64*

1 τὰ *om.* AEHM: *supra scr.* B 4 καὶ *om.* G μετ᾽] δι᾽ DFK 5 μεμιγμένη F 6 ὅλον] δὲ D ὠμὸν ὅλον H ὠμὸν *om.* K ἐπιτιθέμενον] ἐπιτιθέμενον ὠμὸν K 7 μετρίως] τελείως A, *corr. mrg.* (γρ.) 8 ἐπίχριε DFG ἢ *(tert.)*] καὶ D 11 ἀλφίτων D λειώσας F 12 ἐπίχριε] D: κατάχριε ABEGHKM ἐπίχριε . . . κατάχριε *(13) om.* F χολῇ ταυρείᾳ] K: χολὴν ταυρ(ε)ίαν ABDEGHM 13 τετηκυίᾳ] K: τετηκυῖαν ABDEGHM κατάχριε *om.* D κονείᾳ στακτῇ K γάρῳ ἢ] σὺν D ἅλμῃ] DFK: ἅλμη κατάντλει ABEGHM 14 ὑακίνθων] DG: ὑακίνθινον K: ὑακινθίνων ABEHM: ὑακινθίνῳ F 15 καταπλ^α G 16 βάλλε] DEFM: βάλε ABGHK 17 < δ̄ *om.* D < η̄ *(alt.)*] ἀνὰ < η̄ D < ις̄ *om.* DG 18 < ις̄ *(pr.) om.* DG < *(alt.)*] ἀνὰ < DG ις̄ *(alt.)*] ιβ̄ K 20 καὶ *(pr.) om.* D 22 ἢ *(pr.)* . . . κατάπλασσε *om.* FH ἀλφίτου K 23 καὶ *om.* M αὐτῶν F: *om.* E 24 θαυμαστὸν] θαυμαστὸν γάρ ἐστι D ἢ *(pr.)*] δὲ ἢ D 25 κεκαυμένα D ἐμπλάσσεται A: ἐμπλάσεται E 28 σὺν] δὲ σὺν D

### ιβ'. Πρὸς τοὺς ὑπὸ μαστίγων πληγέντας.

Ψιμυθίου καὶ λιθαργύρου ἴσα, κηροῦ τὸ τετραπλοῦν μετὰ Cουσίνου ἢ ῥοδίνου· ὡς ἐμπλάστρῳ χρῶ· τῇ δὲ πρώτῃ ἡμέρᾳ κατ' ἰδίαν τῷ Cουσίνῳ μόνῳ χρῶ. ἢ κρόκου < $\bar{α}$, τραγακάνθης < $\bar{α}$, ᾠὸν ὁλόκληρον χωρὶς τῶν λεπύρων ἑνώσας χρῶ. τοῖς μεμαστιγωμένοις δέρμα προβάτου νεωστὶ ἐκδεδαρμένου θερμὸν ἔτι περιτεθὲν θεραπεύει παντὸς μᾶλλον ἐν ἡμέρᾳ μιᾷ καὶ νυκτί.

### ιγ'. Τρίχας ἐκ κατακαυμάτων φυῆναι.

Τρίχες δὲ ἐκ κατακαύματος φύουσιν, ἐὰν συκῆς φύλλα ἐν χύτρᾳ ὀπτὰ μετὰ κηρωτῆς ἔμπλαστρον ἐπιθῇς· ἢ Καρικῆς < $\bar{η}$, σαμψύχου < $\bar{α}$ τρίψας μετ' ἐλαίου κηρωτῆς πάχος χρῶ. ἢ λατύπης < $\bar{ρ}$, λεπίδος < $\bar{ι}$, μεθ' ὕδατος ἀναπλάσας τροχίσκους ἔχε, ἐπὶ δὲ τῆς χρείας ἄνιε μέρος ἓν πρὸς $\bar{η}$ μέρη κηρωτῆς.

### 14 ιδ'. Πρὸς ἀποσύρματα.

1 Ἐπὶ δὲ τῶν ἀποσυρμάτων καὶ τῶν ἐπιπολαίων ἑλκῶν ταῖς πρώταις ἀποστύψας ἢ οἴνῳ ἢ ὄξει ἢ ὀξάλμῃ ταῖς ἑξῆς εἰς ἀπούλωσιν χρῶ ταῖς τε λιπαραῖς καὶ τῶν λευκῶν ἐμπλάστρων ταῖς τρυφεραῖς. ἄκρως δὲ ποιεῖ τοῦτο· ψιμυθίου μέρος $\bar{α}$, ἀμμωνιακοῦ τὸ ∠', μυρσίνου τὸ ἀρκοῦν· λεάνας ἐν ὕδατι τὸ ἀμμωνιακὸν μῖξον τὸ ψιμύθιον παραχέων τὸ μύρσινον καὶ χρῶ λιπαρᾷ· ἢ λατύπῃ καλῶς πεπλυμένῃ λεπίδα χαλκοῦ πρόσμιξον καὶ μυρσίνῳ λεάνας χρῶ, ἢ κιμωλίαν καὶ λιθάργυρον μετ' οἴνου καὶ κικίνου καὶ μυρσίνου λεάνας χρῶ.

### 2 Πρὸς παρασύρματα καὶ ἀποτρίμματα καὶ χρόνια ἕλκη καὶ πρεσβυτικοὺς καὶ ἁπαλοὺς χρῶτας.

Λιθαργύρου χρυσίτιδος < $\bar{ν}$, κηροῦ < $\bar{κ}$, ῥητίνης ξηρᾶς πευκίνης < $\bar{ιβ}$, ἐλαίου κοτύλην $\bar{α}$ ∠'· τὴν λιθάργυρον καὶ τὸ ἔλαιον ἑψήσας ἐπίβαλε τὰ λοιπὰ καὶ σπαθίσας ἢ καὶ μαλάξας ἐν θυείᾳ χρῶ. τὸ δὲ ἀπο-

5—7 *Oribasius, Synops. VII 14. Aëtius XIV 65*

1 *Cap.* ιβ' *et* ιγ' *permutat* F  2 τὸ] τε τὸ D: *om.* H  4 μόνῳ] *mrg.* H: *om.* F  τραγακάνθου E  5 λεπύρων] D: ὀρόβων ABEGHKM: θρόμβων F  τοῖς] τοῖς δὲ F  δέρμα] δὲ δέρμα D  6 ἐκδαρὲν F  θεραπεύει *om.* D  7 νυκτί] νυκτὶ λυσιτελεῖ D  8 φῦναι F  9 δὲ] DFGK: *om.* ABEHM  φύονται D  φύλλα συκῆς D  10 ἐμπλάστρου D  ἐπιθῇς] D: ἐπιθεῖς K: ἐπιθήσῃς AEGHM: ἐπιθήσεις B: ἐπιθείσῃς F  ἢ] ἄλλο D  σαμψύχου < $\bar{δ}$ καρικῆς < $\bar{η}$ D  11 ἢ . . . κηρωτῆς *(13) om.* F  12 τροχίσκους] τριάκοντα τροχίσκους D  ἄνιει μ/ D  15 ταῖς πρώταις] πρῶτον G: ταῖς πρώταις ἡμέραις D  16 ἢ *(pr.) om.* DG  ἢ *(sec.) om.* G  18 μέρος] μ/ D: ℵ F  τὸ *om.* B  μυρσινίνου D, *ut solet*  19 μῖξον *om.* E  20 λιπαρῷ FM  καλῶς πεπλυμένῃ] GK: καλῶς πεπλυμμένῃ D: καλῶς πεπλημμένῃ F: *om.* ABEHM  23 ἀποσύρματα DF  παρατρίμματα F  26 κοτύλιν F: κ ABDEGHKM  ἐπίβαλλε D

ϲυρὲν δέρμα οὐ χρὴ τῶν ἑλκῶν ἀποτέμνειν, ἀλλ' ἐπάγειν τὸ φάρμακον καὶ ἐπιτιθέναι· κολλᾶται γὰρ οὕτω, εἰ καὶ μελανθὲν εἴη, γυμνωθείϲηϲ δὲ τῆϲ ϲαρκὸϲ δύϲκολοϲ ἡ ἐπούλωϲιϲ δακνομένου καὶ ῥυπουμένου τοῦ ἕλκουϲ. ἀφλέγμαντα δὲ τηρεῖ τὰ ἀποϲύρματα ῥοῦϲ ἐρυθρὸϲ καταπλαϲϲόμενοϲ λεῖοϲ ϲὺν μέλιτι ἢ ϲχοίνου κόμη καυθεῖϲα καὶ ϲὺν μέλιτι ἐπιτεθεῖϲα.

Πρὸϲ ἀποϲύρματα καὶ μαϲτιγωθένταϲ καὶ περιθλάϲειϲ ἄρθρων ἀνώδυνον. **3**

Λιθαργύρου, ψιμυθίου ἀνὰ 𐅻 ῑ, κηροῦ 𐅻 ϛ̄, ἐλαίου καθαροῦ ἢ ῥοδίνου λι. ᾱ ∠′, ἀμύλου 𐅻 β. ποιεῖ δὲ πρὸϲ τὰ αὐτὰ καὶ τὸ πιλάριον τὸ δι' ἑλκύϲματοϲ καὶ ἡ δι' ᾠῶν ὁμοίωϲ.

## ιε′. Περὶ μυρμηκιῶν καὶ ἀκροχορδόνων.

Ἑκάτερον τούτων ἐπανάϲταϲίϲ ἐϲτιν τοῦ δέρματοϲ μικρὰ τυλώδηϲ, περιφερὴϲ κατὰ τὸ πλεῖϲτον· ἀλλ' ἡ μὲν μυρμηκία πλατεῖαν ἔχει τὴν βάϲιν καὶ πρὸϲ τὰϲ ἀποϲφίγξειϲ ὁμοίαν αἴϲθηϲιν ἐμποιεῖ δήγμαϲι μυρμήκων, ἡ δὲ ἀκροχορδὼν ϲτενὴν ἔχει τὴν βάϲιν, ὡϲ δοκεῖν ἐκκεκρεμάϲθαι ἄκρῳ χορδῆϲ ὡμοιωμένη. τούτουϲ τοίνυν τοὺϲ ὄγκουϲ αἱρεῖ ἐλατήριον μετὰ ἁλῶν ἐπιτεθέν, λιβανωτὸϲ μετ' ὄξουϲ, ὄλυνθοι μετ' ὄξουϲ καὶ ἀλεύρου καὶ νίτρου, ὀπὸϲ ϲυκῆϲ ἐπιχριόμενοϲ, ὁμοίωϲ δὲ καὶ τιθυμάλλου, ϲμαρίδοϲ κεφαλὴ ταριχηρὰ καυθεῖϲα, ἰὸϲ μετὰ θείου ἀπύρου καυθείϲ, ὠκίμου φύλλα μετὰ χαλκάνθου, κληματίδων ἔτι χλωρῶν καιομένων τὸ ἀποϲτάζον, προβατεία κόπροϲ μετ' ὄξουϲ, τράγου χολὴ ἐπιχριομένη, ἡλιοτροπίου τοῦ μεγάλου ὁ καρπὸϲ ϲὺν οἴνῳ καταπλαϲθείϲ, πήγανον μετὰ νίτρου καὶ πεπέρεωϲ, νίτρον ϲὺν οὔρῳ ἀφθόρου, κόπροϲ βοὸϲ ἀγελαίαϲ ἐν ὄξει.

## ιϛ′. Περὶ γαγγλίου.

Ϲυϲτροφὴ νεύρου τὸ γαγγλίον ἐϲτὶν ἐκ πληγῆϲ ἢ κόπου γινόμενον ἐν πλείοϲι μὲν τοῦ ϲώματοϲ μέρεϲιν, μάλιϲτα δὲ κατὰ τὰ κινούμενα, οἷον χεῖραϲ ἄκραϲ καὶ πόδαϲ. ἐφ' οὗ ὁ μὲν Ἀρχιγένηϲ φηϲίν· ἄϲβεϲτον

4—5 *cf. Aëtius XIV 66* 9—11 *Oribasius, vol. IV 608* ιε′ *cf. Aëtius XIV 4* 17—25 *cf. Oribasius, Synops. VII 43; Ad Eunap. III 55; vol. IV 622* ιϛ′ *cf. Aëtius XV 9* 26—29 *cf. Oribasius, Coll. XLV 9*

2 εἰ καὶ] κἂν DF 3 ἀπούλωϲιϲ D 9 ἢ ῥοδίνου *om.* K 11 καὶ ἡ] ἢ τὸ D 14 ἔχειν K 15 ἀποϲφίγξειϲ] D: ἀποψήξειϲ ABM: ἀποψίξηϲ H: ἀποψίξειϲ H[s]: ἀποψύξειϲ GK, *e corr.* J, *mrg.* H[2]: ἀποδείξειϲ E: ἀποκνήϲειϲ F δήγμαϲιν AEH: δῆγμα τοῦ G μυρμήκων] μύρμηκοϲ τοῦ ζώου ἀφ' οὗ καὶ ὠνόμαϲται G 16 δὲ] δι' F ἀκροχορδόνων FK δοκεῖ K ἐκκρέμαϲθαι FK: ἐκρεμάϲθαι D 17 ὁμοιουμένη D 18 λιβανωτοὺϲ E: λιβανωτὸὺϲ A 24 μετὰ νίτρου] μετ' οἴνου K πέπερ K νίτρου DM 27 κόπου] *e corr.* M: *corr. ex* κόπρου K: κρούϲματοϲ *in ras. min.* A[2] 28 κατὰ] περὶ D: καὶ *eras.* K

μετὰ cτέατος χηνείου καὶ τερμινθίνης ἐπιτίθει· Πόλλης δὲ τῷ δι' ἀχάτου λίθου φαρμάκῳ χρῆται· Ὀριβάσιος δὲ τούτῳ· ψιμυθίου, πιτυίνης, ἐλαίου παλαιοῦ ἀνὰ κεράμιον α̅, ἀμμωνιακοῦ θυμιάματος, χαλβάνης ἀνὰ ℥ α̅, κηροῦ ℥ δ̅· ἢ μολύβδινον δισκάριον, φησί, παχύτερον, ὡς οἱ σπόνδυλοι, μεῖζον τοῦ γαγγλίου ἐπιτίθει καὶ δέσμει· τῷ βάρει γὰρ διαλύει αὐτὸ ἐν χρόνῳ πλείονι. καὶ ἡμεῖς δὲ τούτῳ χρώμεθα.

## ιζ΄. Περὶ φλεγμονῆς.

1 Κοινῶς μὲν τοὺς θερμοὺς ἅπαντας καὶ ὀδυνηροὺς μετὰ φλογώσεως ὄγκους φλεγμονὰς προσαγορεύειν εἰώθασιν· παρὰ δὲ τὴν ἐργαζομένην αὐτοὺς ὕλην διάφορον ὑπάρχουσαν καὶ τούτων τὴν διαφορὰν ἐξαλλάττεσθαί φασιν· αἵματος μὲν γὰρ χρηστοῦ καὶ συμμέτρου τῷ πάχει ῥυέντος εἴς τι μόριον ἀθρόως καὶ διὰ τὸ πλῆθος σφηνωθέντος τὴν ἰδίως προσαγορευομένην γίνεσθαι φλεγμονήν, χολῆς δὲ ξανθῆς κατά τι μόριον ἱσταμένης ἕρπητα, αἵματος δὲ καὶ χολῆς ἅμα ξανθῆς ἐπιρρυέντων τὸ ἐρυσίπελας συνίστασθαι. ὅταν δὲ τὸ ἐπιρρέον αἷμα θερμὸν ἱκανῶς ᾖ καὶ παχύ, τοὺς ἄνθρακας ἐργάζεσθαι πέφυκεν.

2 οὐκοῦν ἀπὸ τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς ἀρκτέον ἐπὶ πολλῶν ἀεὶ συμβαινούσης, ἥτις ὄγκος ἐστὶν ἐνερευθὴς καὶ ὀδυνηρὸς καὶ ἀντίτυπος καὶ θερμὸς ἐξ αἵματος, ὡς ἔφην, χρηστοῦ τὴν γένεσιν ἔχων, ποτὲ μὲν ἐξ ὅλου τοῦ σώματος φερομένου, ποτὲ δὲ ἐν αὐτῷ τῷ μορίῳ πλεονάσαντος, ὡς μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων ἀλλὰ διεκπίπτειν δροσοειδῶς εἰς τὰς μεταξὺ κενὰς χώρας. καὶ τρώσεσι δὲ πολλάκις καὶ κατάγμασιν ἕλκεσί τε καὶ ἑτέροις πλείοσιν ἔξωθεν αἰτίοις τοῦτο τὸ πά-
3 θος ἕπεται. ἐπειδὰν οὖν ἐξαίφνης φλεγμήνῃ τι μόριον ἄνευ τοῦ προηγήσασθαι φανερὰν αἰτίαν, ὅλου δὲ τοῦ σώματος ἐπιπέμποντος τῷ μέρει, τὸ μὲν ὅλον δεῖ κενοῦν διὰ φλεβοτομίας, αὐτὸ δὲ τὸ φλεγμαῖνον ἐπιβρέχειν τε καὶ καταπλάττειν μὴ τοῖς θερμαίνουσι καὶ ὑγραίνουσιν ἀλλὰ τοῖς ἀπωθεῖσθαι μὲν τὸ ἐπιρρέον δυναμένοις, τὸ δὲ ἤδη περιεχόμενον ἐν τῷ πεπονθότι κενοῦν. καταπλάττειν οὖν τῷ δι' ἀειζώου καὶ λεμμάτων ῥοιᾶς ἑφθῶν ἐν οἴνῳ κηροῦ τε καὶ ἀλφίτων συγκειμένων. ὀδύνης μὲν οὖν σφοδρᾶς οὐκ οὔσης τούτῳ τε καὶ τοῖς τοιούτοις χρη-

2—4 *Aëtius XV 9* 4—6 *Oribasius, Coll. XLV 10; Synops. VII 44*
ιζ΄ 3—4 *Oribasius, Synops. VII 25; cf. Aëtius XIV 31*

1 τερεβινθίνης BDF Πόλλης] πολλῆς HKM: πόλης G, *e corr.* B: πόλλις AD: πόλις E: πολοῖς F δι'] DK: διὰ τοῦ ABEFGHM 2 χρηστέον D τοῦτο DK: ταῦτα F 3 κεράμιον] *comp.* ABEGHK: < D: ℥ MH³: λι. F α̅] α̅ κηροῦ ℥ δ̅ K ἀμμωνιακοῦ ... ℥ α̅ *om.* F 4 κηροῦ ℥ δ̅ *om.* K μολύβδινον] DGK: μολίβδινον ABEFHM 6 καὶ ἡ ὀξυρὰ καὶ μαστιχηρά *add. mrg.* H²M³ 11 φησι F: φησιν *e corr.* B μὲν *om.* G γὰρ] *supra scr.* M: γὰρ καὶ K 12 τὴν] *corr. ex* τὴν δὲ K 14 ξανθῆς χολῆς ἅμα F: χολῆς ξανθῆς ἅμα K τὸ *om.* K 17 ἀπὸ] καὶ ἀπὸ K: ἤγουν καὶ λίπον *mrg.* B³ 18 ἐρευθὴς G 24 φλεγμαίνοι DF τι] τὸ FK 29 τῷ δι'] D: τὸ δι' F: τοῦ ABEGHKM 30 κηροῦ] καὶ ῥοῦ D συγκειμένων] FK: συγκεικένῳ D: συγκειμένου ABEGHM 31 οὖν] ABGHM: *om.* DEFK τε] DFK: δὲ AE: *ras.* H: *om.* BGM τοῖς τοιούτοις] AEFGD, *mrg.* B³: τῆς ὀδύνης BK: τῆς ὀδύνης τοῖς τοιούτοις HM

στέον· cὺν ὀδύνῃ δὲ μείζονι τοῦ μορίου ῥευματιcθέντος μηδὲ οὕτως μὲν ὕδωρ θερμὸν ἢ ἔλαιον προcφέρειν ἢ τὰ διὰ τῶν ἀλεύρων καταπλάcματα· πολέμια γὰρ ταῦτα πάντα ταῖς ῥευματικαῖς διαθέcεcι· παραμυθεῖcθαι δὲ τὸ cφοδρὸν τῆς ὀδύνης τῷ διὰ γλυκέος καὶ ῥοδίνου καὶ κηροῦ βραχέος ἐρίοις ῥυπαροῖς οἴcυπον πολὺν ἔχουcιν· ἀναλαμβάνονται δὲ καὶ προcφέρονται θέρους μὲν ψυχρά, χειμῶνος δὲ χλιαρά, περιλαμβάνοντα καὶ τοὺς ἀνωτέρω τόπους τῶν πεπονθότων μορίων, cπόγγῳ βραχέντι οἴνῳ αὐcτηρῷ ἢ ὀξυκράτῳ ψυχρῷ. παραμικτέον δὲ 4
τοῖς καταπλάcμαcι καὶ τὰς πρὸς τοῦτο χρηcίμους πόας. ἑλξίνη τοίνυν πρὸς πᾶcαν φλεγμονὴν ἁρμόττει ἐν ἀρχῇ τε καὶ ἀναβάcει, γλαύκιον ὁμοίως, ἀτράφαξυς καὶ μαλάχη θρίδαξ τε καὶ κολοκύνθη πρὸς τὰς θερμὰς ἐπιπλαττόμεναι. ποιοῦcι καὶ τρίβολοι ἀμφότεροι πρὸς τὰς ἐκ ῥεύματος φλεγμονάς, κράμβη δὲ πρὸς τὰς cκληρυνομένας. παραλλαγῆς δὲ ἐπὶ τούτοις γενομένης καὶ πύου μὴ ὑποπίπτοντος τῷ διὰ χαλκίτεως ἐμπλάcτρῳ φαρμάκῳ θεραπεύειν ἤ τινι τῶν ὁμοίων τῶν πρὸς τὰ ῥεύματα ποιούντων, καθαρὸν δὲ ἔριον οἴνῳ βεβρεγμένον αὐcτηρῷ ἔξωθεν ἐπιβάλλειν τοῦ φαρμάκου. τούτῳ μὲν οὖν ἰάcῃ τῷ τρόπῳ τὰς ἐπὶ ῥεύματι φλεγμονάς· τὰς δὲ ἐπί τινι προφάcει cυνιcταμένας ὑγραίνων καὶ θερμαίνων οὐ βλάψεις, κἄν ποτε χρεία γένηται ἀποcχάζειν αὐτάς, δεόντως αὐτὸ ποιήcεις. τὰς δὲ ἐπὶ ῥεύματι φλεγμονὰς ἀποcχάcας, καὶ μάλιcτα ἐν ἀρχαῖς, αἴτιός τινος κακοῦ μεγάλου γενήcῃ τῷ πάcχοντι.

## ιη΄. Περὶ τῶν ἐκτὸς τοῦ cώματος ἀποcτημάτων.

Ἐὰν μὴ δυνατόν cοι φαίνοιτο κωλυθῆναι τὴν ἐκπύηcιν, ἄρτον 1
ἑψήcας ἐν ὑδρελαίῳ κατάπλαccε ἢ κρίθινον ἄλευρον παραπληcίως cκευαζόμενον· καταντλείcθω δὲ ὕδατι τὸ μόριον ἀλθαίας ῥίζης ἑψηθείcης. ὅταν δὲ δυcεκπύητος ὁ ὄγκος ἢ δυcδιαφόρητος ᾖ, τῷ διὰ τῶν ἰcχάδων καταπλάcματι χρήcῃ· δεῖ δὲ γλυκείας καὶ λιπαρὰς τὰς ἰcχάδας ἕψοντας κατατήκειν ἐν ὕδατι καὶ ποιεῖν ὅμοιον τὸ ὕδωρ μέλιτι λεπτῷ καὶ προcβάλλειν κρίθινον ἄλευρον· καὶ εἰ διαφοροῖτο μὲν ὁ ὄγκος, ἐνδεέcτερον δέ, ταῖς ἰcχάcιν cυνεψεῖν ὕccωπον ἢ ὀρίγανον, εἰ δὲ ἐπιτεῖναι βουλη-

9—13 *Oribasius, Coll. XLIV 1; Synops. VII 24; Ad Eunap. III 41*
ιη΄ 1—2 *Oribasius, Synops. VII 28; Ad Eunap. III 43; cf. Coll. XLIV 4. Aëtius XIV 32*

1 δὲ *om.* K 2 ὕδωρ θερμὸν] DFK: θερμὸν ὕδωρ ABEGHM 3 πάντα *om.* FK 4 γλυκέως FHK καὶ *(pr.)*] καὶ διὰ AE 5 ἐρίοις] ἐρίοις τε D ῥυπαροῖς *om.* D οἴcυπον] G: οἰcυπηροῖς D: πάνυ ὑcυπηροῖς F: οἴcοπον H: ὕccωπον ABEKM πολλὴν AE: ὕcωπον πολὺ F ἔχουcιν] ἔχουcι ῥύπον D 6 μὲν *om.* K 7 περιλαμβάνοντα] περιλαμβάνειν δὲ δεῖ D 8 ψυχρῷ *om.* E 11 ὁμοίως] τε ὁμοίως καὶ D κολοκύντη K 12 cτρόβιλοι D 13 cκληρυνομένας] cκληρυνομένας φλεγμονάς D δὲ *om.* G 14 τοῦτο K γινομένης BF τῇ F 15 ἐμπλάcτρῳ *om.* D: ἐμπλαcτῷ *Or.* φαρμάκῳ *om.* F 16 δὲ] τε D βεβρεγμένῳ HG 17 οὖν *om.* DF 18 ῥεῦμα K: ῥεύμαcι F 21 τινος *om.* DF 23 φαίνηται B 24 κατάπλαcον D 25 ἐνεψηθείcης D 27 ἕψοντας] K: ἕψοντα D: ἑψοῦντα ABEHM: *comp.* G: *om.* F 28 τὸ ὕδωρ ὅμοιον D 29 καὶ εἰ] εἰ δὲ D 30 ἰcχάcι DE: -ν *eras.* B

θείης μᾶλλον, ἅλας ἐπέμβαλλε τῷ ἀφεψήματι· πρόσεχε δὲ ἀκριβῶς, μὴ διὰ τὸ ξηραίνεσθαι σφοδρότερον σκιρρῶδες γένηται τὸ μόριον, κἄν ποτέ τι τοιοῦτον θεάσῃ, συναφεψεῖν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν ἢ ἀλθαίας ἢ βρυωνίας· ἰσχυροτέρα δὲ τούτων ἡ τοῦ δρακοντίου καὶ διαφορητικωτέρα ἐστίν, καὶ αὐτὸ δὲ τὸ διὰ τοῦ δρακοντίου φάρμακον ἰσχυρῶς τὰ τοιαῦτα διαφορεῖ. ἐνίοτε μὲν οὖν τοῦτο μόνον ἀφεψεῖς, ἐνίοτε δὲ καὶ ἰσχάδων ἐπεμβάλλεις καὶ τὸ ἄλευρον ἀναμιγνὺς ἅμα στέατι. καὶ τὸ ἀνήθινον δὲ ἔλαιον διαφορητικόν ἐστιν καὶ πεπτικὸν ὠμῶν χυμῶν καὶ ἀπέπτων ὄγκων· καὶ πίττα συμπέττει τοὺς σκληροὺς καὶ ἀπέπτους ὄγκους ἅπαντας ἐμβαλλομένη τοῖς καταπλάσμασι, καὶ μᾶλλον ἡ ὑγρά.

2 Φάρμακον σύνθετον

τὰ μὲν ἤδη πεπεμμένα τῶν ἀποστημάτων ἀπόνως ἐξηθοῦν, ὡς πολλάκις εὑρίσκεσθαι ἐπὶ τοῦ σπληνίου πῦον, τὰ δὲ μὴ πεπεμμένα εἰς τέλος διαφορεῖ. λίθου πυρίτου 𐅻 ιβ, ἀμμωνιακοῦ λείου ἴσον, κυαμίνου ἀλεύρου 𐅻 ϛ· ἀναλάμβανε ῥητίνῃ ὑγρᾷ καὶ εἰς δέρμα ἐπιπλάσας ἐπιτίθει· τὸ δὲ σπλήνιον μὴ ἀφαίρει, μέχρις ἂν αὐτομάτως πέσῃ. δεῖ δὲ μὴ πρὸ πολλοῦ σκευάζειν τὸ φάρμακον· ξηραίνεται γὰρ ταχέως.

3 ἐπὶ τούτοις δὲ μὴ διαφορηθέντος τοῦ ὄγκου, πύου δὲ κατ᾽ αὐτὸν ὑποπίπτοντος, διελόντα καὶ κενώσαντα τὸ πῦον φυλάσσεσθαι μὲν τοῦ λοιποῦ προσφέρειν ἔλαιον ἢ ὕδωρ· ἀλλ᾽ εἰ καὶ ἀπονίψαι πώποτε δέοι τὸ τραῦμα, μελικράτῳ τε καὶ ὀξυκράτῳ καὶ οἴνῳ καὶ οἰνομέλιτι χρηστέον. καὶ εἰ μὲν ἔτι φλεγμαίνοι, τὸ διὰ τῆς φακῆς κατάπλασμα· μὴ φλεγμαίνοντος δὲ τῶν ἄλλων τινὶ φαρμάκων τῶν ἐμπλάστρων ἐπὶ ταῖς τοιαύταις τομαῖς χρησόμεθα, καὶ οὐχ ἥκιστα τῷ διὰ τῆς χαλκίτεως. ἐπιτίθει δὲ κατ᾽ αὐτῶν σπόγγον ἢ ἔριον οἴνῳ βρέχων στρυφνῷ. τῷ δὲ τραύματι μηδὲν τῶν λιπαινόντων φαρμάκων προσφέρειν, οἷον τὸ τετραφάρμακόν ἐστιν· ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι.

4 Ὅσα ῥήσσουσιν ἀποστήματα.

Ἐπειδὴ δέ τινες οὐκ ἀνέχονται σιδήρῳ διαιρεῖσθαι τὰ ἀποστήματα, πειρατέον καὶ φαρμάκοις χρῆσθαι ἐπισπαστικοῖς. ναρκίσσου ῥίζαν λειοτρι-

ιη´ 3 *Oribasius, Synops. VII 26.*

1 ἐπέμβαλε ABEGHM 2 γίνεται K 3 συναφέψει F 5 διὰ *om.* D 6 οὖν *om.* AE: *in ras.* B τοῦτο] DE: τούτῳ A: τούτων BFGHKM μόνων F ἀφέψει D: ἡ ἀφέψησις F 7 ἐπεμβάλλεις] GK *Or.*: ἐπέμβαλλε D: ἐπεμβαλεῖς ABEHM: ἐπιβαλλεῖς F 8 δὲ] D *Or.*: *om.* ABEFGHKM 9 καὶ *(alt.)*] καὶ μὴν καὶ D 13 ἀπόνως] DF: *om.* ABEGHKM ὡς] δυνατὸν ὡς D: δύναται ὡς F 15 πυρίτιδος D 19 μὴ *om.* A: μηδὲν B δὲ *(alt.)*] τε D 21 ἀλλ᾽ εἰ καὶ] ἀλλὰ κἂν D πώποτε] K *Or.*: ποτὲ BDFGHM δέοι ποτὲ AE 22 τὸ . . . τε *om.* K μέλιτι E 23 ἔτι] D: τι G: τοι ABEHKM: *om.* F φλεγμαίνει DF τὸ] AE *Or.*: τῷ D: *om.* BFGHKM καταπλάσματι D: καταπλάσσωμεν F 24 τινὶ] DF: τι ABEGHM: *om.* K τῶν *(alt.)*] καὶ τῶν D τῶν ἐμπλάστρων] τῶν ἐμπλαστῶν *Or.*: *om.* F ἐπὶ] τῶν ἐπὶ D 25 τῷ] τὸ EFG 27 τῶν] DF: *om.* ABEGHKM 29 *om.* DFGK: *mrg.* MD[2]

βήσας ἐν μελικράτῳ μετὰ ἰρίνου ἑψήσας κατάπλασσε ἢ καλάμου ἁπαλὴν ῥίζαν λειοτριβήσας μετὰ μέλιτος, εἰ δὲ σκληρὰ εἴη, προεψήσας μελικράτῳ· ἢ ἀριστολοχίαν μετὰ μέλιτος κατάπλασσε. ῥήσσει δὲ πίσσης ξηρᾶς, προπόλεως Κρητικῆς ἴσα, καὶ ἀφουλοῖ. 4

Διονυσία πρὸς ἀποστήματα θαυμαστὴ καὶ πρὸς μασθοὺς καὶ βουβῶνας ἐπισπαστικὴ διὰ τῶν ἀδήλων πόρων διαφοροῦσα. 5

Ἐλαίου παλαιοῦ, ὕδατος ἀνὰ λι. α̅· ἑψήσας τὸ ὑδρέλαιον ἐπ' ὀλίγον ἐπίβαλλε ἀφονίτρου ℥ ϛ̄, μίσυος ℥ α̅ ἢ β̅, καὶ ἕψε ἕως ἀμολύντου, εἶτα ἐπίβαλλε μάννης, λιβάνου, κηροῦ, τερεβινθίνης ἀνὰ ℥ ϛ̄.

Πρὸς νευρικὰς ἀποστάσεις. 6

Κηροῦ, κολοφωνίας, βουτύρου ἀνὰ λι. α̅, πίσσης ξηρᾶς, μέλιτος ἀνὰ ℥ ϛ̄, ἰοῦ ℥ γ̄, ἰξοῦ τὸ ἀρκοῦν.

Ἄλλο, ἐπισπαστικόν. ἀμμωνιακοῦ θυμιάματος ℥ ϛ̄, κηροῦ, τερμινθίνης ἀνὰ ℥ δ̄, θείου ἀπύρου ℥ γ̄, νίτρου ℥ γ̄.

καὶ τὸ σμιλίον δὲ καλούμενον φάρμακον καὶ τὸ διὰ σκορόδων ἰσχυρῶς ῥήσσουσι τὰ ἤδη μεταβληθέντα. τὸ δὲ διὰ τοῦ χυλοῦ τοῦ λινοσπέρμου διαφορεῖ, μεταβάλλει, ῥήσσει πρὸς τὴν ἐπιτηδειότητα. πρὸς δὲ τὰ ἐπιεικέστερα τῶν ἀποστημάτων καὶ τὰ πρὸς παρωτίδας ἁρμόσει λελεγμένα.

ταῦτα μὲν οὖν περὶ τοῦ μεταπεσόντος ἀπὸ φλεγμονῆς ἀποστήματος· ὁ μέντοι Γαληνὸς ἔφη μηδὲ φλεγμονῆς ἐνίοτε προηγησαμένης ἀπόστημα συνίστασθαι, ταύτης δὲ τῆς ἐξ αἵματος χρηστοῦ τὴν γένεσιν ἐχούσης. εὐθὺς γὰρ ἐξ ἀρχῆς, φησί, δι' ἄλλον τινὰ χυμὸν ἐνίοτε ὀντιναοῦν ὑποδέρεται τῷ χρόνῳ καὶ ἀφίσταται τῶν ὑποκειμένων τὰ περιέχοντα. καὶ τοίνυν καὶ τμηθέντα παντοίαν ἰδέαν ὑγρῶν τε καὶ στερεῶν σωμάτων ἐντὸς ἑαυτῶν ἔχοντα φαίνεται· καὶ γὰρ καὶ βορβόρῳ καὶ οὔρῳ καὶ θρόμβῳ καὶ χυμῷ μελιτώδει καὶ μυξώδει καὶ ὀστοῖς ὄνυξί τε καὶ θριξὶν ἐν ἀποστήμασιν εὑρίσκεται παραπλήσια σώματα. καὶ μὴν καὶ ζῷα πολλάκις ηὕρηται σχεδὸν ἅπασι τοῖς ἐκ σηπεδόνος ἔχουσι τὴν γένεσιν ὁμοιότατα. καὶ λίθοις δὲ καὶ ψάμμοις ὀστράκοις τε καὶ ξύλοις

1–4 *Oribasius vol. IV 610*  5–9 *ib. 611*  19 λελεγμένα] *III 23, 13*  21 — p. 338, 2 *Galenus, De tumorib. 4 (VII 717 sq.); Ad Glauc. de med. meth. II 9 (XI 116)*

1 μετὰ] καὶ μετὰ F  2 προεψήσας] F: προεψίσας H: προσεψήσας ABEGKM: προσέψει D  3 ἀριστολοχίαν] AFKM: ἀριστολόχην H: ἀριστολοχίας B: ἀριστολοχίᾳ D: *comp.* EG  4 Κρητικῆς *om.* E  ἀπουλοῖ D: ἐπουλοῖ F  5 μασθοὺς] BFGK: μαστοὺς ADEHM  8 ἐπίβαλε ABHK  ἀφρονίτρου K  μίσυος . . . ϛ̄ *(12) om.* F  ἕψει D  9 ἐπίβαλε E, *e corr.* A  κηρωτοῦ AE  10 νευρητικὰς K  11 α̅ *om.* G  12 ℥ ϛ̄] DGHK: λι. β̅ AEM: λι. β̅ ℥ ϛ̄ B  13 τερμινθίνης] AGHKM: τερεβινθίνης BEDF  14 ἀνὰ] κηροῦ ἀνὰ G  δ̄] θ̄ D  ℥ γ̄ *(pr.) om.* DF  ℥ *(tert.)*] ἀνὰ ℥ DF  15 σκορόδων] D: σκορώδων K: σκορίδων F: σκόρδων ABEGHM  21 μηδὲ] μὴ AE  22 ταύτης . . . ἐχούσης *(23) om.* D  δὲ] δὴ F *et in ras.* B  24 ἀφίσταται] DF: ἀφίστασθαι ABEGHKM  29 εὕρηται ADE: εὕρηνται F  30 ὅμοια D: ὁμοιότητα K

ἄνθραξί τε καὶ πηλῷ καὶ γλοιῷ καὶ ἀμόργῃ καὶ τρυγί φησιν ἐοικότα τοῖς ἀπὸ σκήμματος μάλιστα χρονίσασιν ἀποστήμασι συνίστασθαι. διὸ τὴν τελειοτέραν τῶν ἐκτὸς μάλιστα τοῦ σώματος ἀποστημάτων σημείωσιν ὡς ἐν ἐπιτόμῳ λεκτέον, καὶ ὅσα τὴν διὰ φαρμάκων οὐκ ἐπιδέχεται διαφόρησιν.

8 ἀπόστημα τοίνυν ἐστὶ φθορὰ καὶ μεταβολὴ σαρκῶν ἤτοι σαρκωδῶν, οἷον μυῶν, φλεβῶν, ἀρτηριῶν. τούτων τὰ μὲν ἐν χιτῶνι περιέχεται, ὡς ἀθερώματα, στεατώματα, μελικηρίδες, τὰ δὲ ἄνευ χιτῶνος συνίσταται τῇ τοῦ γένους ὀνομασίᾳ προσαγορευόμενα, περὶ ὧν νῦν λέγομεν. τῆς τῶν ἀποστημάτων γενέσεως κατὰ μὲν τὸ πλεῖστον φλεγμονὴ προηγεῖται, περὶ ἧς διελάβομεν· ἔστι δὲ ὅτε καὶ κατ᾽ ἀρχὰς εὐθύς, ὡς ἀρτίως ἔφημεν, γίνεται. παρέπεται δὲ τῷ ἀποστήματι πύρωσις ἰσχυρὰ τοῦ τόπου καὶ μείζων ὄγκος ἐρυθρός τε μᾶλλον ἢ πρὶν καὶ σκληρὸς μετὰ νυγματώδους ἀλγήματος καὶ σφυγμοῦ καὶ βάρους, ὡς δοκεῖν ἐκκρέμασθαί τι τοῦ μορίου. εἰ δὲ δὴ καὶ ὁ τόπος ἐπίκαιρος εἴη, καὶ πυρετὸς ἐπιγίνεται καὶ ῥῖγος ἄτακτον, καὶ νυκτὸς μάλιστα πονοῦσί τε καὶ πυρέττουσιν, ἔστι δὲ ὅτε καὶ βουβὼν αὐτοῖς ἐγείρεται κατὰ τοὺς πλησίον ἀδένας. γενομένου δὲ τέλεον τοῦ ἀποστήματος τὰ πλεῖστα μειοῦται, τὰ δὲ νύγματα κνησμώδη γίνεται καὶ ἡσυχῇ ναρκώδη, καὶ ὁ ὄγκος κορυφοῦται μᾶλλον εἰς ὀξεῖαν κορυφὴν εὐαφής τε καὶ εὐεικτός ἐστιν, καὶ ἡ ἐπιφάνεια κατὰ τὴν κορυφὴν ἀποσύρεται. λέγω δὲ ταῦτα ἐπὶ τῶν ἔξω ῥηγνυμένων. εἰ μὲν οὖν ἐπὶ φαρμάκοις ἢ αὐτομάτως ῥαγείη, τῇ ἐμμότῳ θεραπευέσθω ἀγωγῇ κατὰ μέρος τοῦ πύου κενωθέντος· εἰ δὲ μή, στομοῦν αὐτὸ κατὰ τὸν ἐν τοῖς χειρουργουμένοις εἰρησόμενον τρόπον.

## ιθ΄. Περὶ γαγγραίνης καὶ σφακέλου.

1 Ἐπειδὴ μὴ διαφορουμένη μήτε εἰς πῦον ἡ φλεγμονὴ μεταβάλλουσα πολλάκις εἰς γάγγραινάν τε καὶ σφάκελον μεταπίπτει, λέγωμεν ἤδη καὶ περὶ τούτων.

γαγγραίνας μὲν γὰρ τὰς διὰ μέγεθος φλεγμονῆς νεκρώσεις ὀνομάζουσιν οὐκ ἤδη γεγενημένας ἀλλὰ γινομένας ἔτι. καὶ ἢν μὴ ταχέως τις τὴν τοιαύτην διάθεσιν ἰάσηται, νεκροῦται ῥᾳδίως τὸ παθὸν οὕτω

6–22 *Oribasius, Coll. XLIV 6* 11 διελάβομεν] *cap. 17* 12 ἔφημεν] *p. 337, 23* 24 εἰρησόμενον] *VI 34* ιθ΄ 1—2 *Oribasius, Coll. XLIV 25; Synops. VII 27; cf. Aëtius XIV 56*

1 καὶ τρυγί *om.* D 2 τοῖς] ἐν τοῖς AE ἀπὸ σκήμματος] ἀποσκήμμασι F: *om.* AE 4 ἐν] D: *om.* ABEFGHKM 7 φλεβῶν *om.* ABHM: *ins.* B² τούτων] καὶ τούτων F: τούτων δὲ D 10 γενέσεως] οὖν γενέσεως D 11 διαλάβωμεν D καὶ *om.* G εὐθέως D 12 ἔφαμεν D 13 ὄγκος] ὁ ὄγκος K 14 ἐκκρεμασθέν G 16 μᾶλλον D 17 ἔστιν ὅτε δὲ FK 18 γιγνομένου K 19 ἡσυχὴν K 20 εὐβαφής F: -β- *supra add.* E εὐεικτός] ἰκτικός FK 21 δὴ M 23 θεραπεύομεν D: θεραπεύειν F μέρους H *et e corr.* M 24 ἀναστομοῦν αὐτὰ D 28 μεταπίπτειν K 30 γὰρ *om.* K μεγέθους HM 31 ἢν] DK: εἰ ABEFGHM 32 τις *om.* D ἰάσηται] ἰάσηται τις D νεκροῦται] DFGK: νεκροῦταί τε ABEHM οὕτω] DG: *om.* F: οὗ τὸ ABEHKM: οὗτος H³

μόριον ἐπιλαμβάνει τε τὰ συνεχῆ καὶ ἀποκτείνει τὸν ἄνθρωπον. ὅταν δὲ τελέως ἀναίσθητα γένηται τὰ οὕτω παθόντα σώματα, τὸ πάθος οὐκέτι γάγγραιναν ἀλλ' ἤδη σφάκελον ὀνομάζουσι. συμβαίνει δὲ τοῦτο τὸ πάθος καὶ τοῖς ὀστοῖς, ὅταν ἡ περικειμένη σὰρξ αὐτοῖς μοχθηροὺς ἰχῶρας γεννῶσα διαβρέξῃ τούτοις αὐτὰ καὶ διασήψῃ. τελέως μὲν οὖν νεκρωθὲν τὸ μόριον τάχιστα χρὴ περικόπτειν, καθ' ἃ ψαύει τῆς τοῦ πλησιάζοντος ὑγιοῦς· τὴν δὲ γάγγραιναν θεραπεύειν χρὴ κενοῦντας ὅσον πλεῖστον τοῦ κατὰ τὸ πάσχον μόριον αἵματος· ἢ γὰρ φλέβα τεμόντας κενῶσαι δεῖ τὸ διεφθαρμένον αἷμα, ὅταν ᾖ περὶ αὐτὸ τὸ μόριον φλὲψ μεγάλη, ἢ ὅλον τὸ δέρμα διαιροῦντας πολλαῖς καὶ βαθείαις ἀμυχαῖς, καὶ ἐάσαντες ἀπορρυῆναι τὸ αἷμα τῶν πρὸς τὰ σηπόμενα χρησίμων τι ἐπιθήσομεν· ἔστιν δὲ ταῦτα· δι' ὀξυμέλιτος ἄλευρον ὀρόβων ἢ αἰρῶν ἢ τὸ τῶν κυάμων· σφοδρότερον δὲ προσάγειν βουλόμενος ἁλῶν ἐπεμβάλλειν ἢ τροχίσκον τὸν Ἄνδρωνος ἤ τινα τῶν ὁμοίων.

2 ποιεῖ πρὸς γαγγραίνας καὶ παλαιὰ κάρυα· ἀνακαθαίρει δὲ αὐτὰς ἀκαλήφη καὶ ὀπὸς τιθυμάλλου ἐν καιρῷ καὶ μέτρῳ προσαγόμενος. ὠφελεῖ δὲ αὐτοὺς καὶ θέρμων πικρῶν ἀφέψημα προσαντλούμενον. τινὲς δὲ καὶ μετὰ τὴν τομὴν ἐκτομῆς ἀσφαλείας χάριν καὶ καυτήρια προσφέρουσιν, ἐφ' οἷς ἁλσὶ μετὰ πράσου χρηστέον. ἐς ὕστερον δὲ πρὸς ἀπόπτωσιν τῆς ἐσχάρας καταπλαστέον τῷ δι' ἄρτου ἢ κριθίνου ἢ πυρίνου ἀλεύρου ἑψομένῳ ἐν ὑδρελαίῳ τῷ τε κεφαλικῷ ξηρίῳ μετὰ μέλιτος, τῷ τε τετραφαρμάκῳ καὶ τῷ Μακεδονικῷ καλουμένῳ χρηστέον. χωρίζει δὲ καλῶς τὰς ἐσχάρας ἄρτος μετὰ σελίνου λειωθεὶς ἢ ὠκίμου ἢ ἶρις ἢ πάναξ ἢ ἀριστολοχία ἢ ἄκορον μετὰ μέλιτος ἢ λίβανος. ἀφαιρεῖ δὲ καλῶς ἐσχάρας καὶ τὸ τοῦ Μαχαιρίωνος φάρμακον καὶ ἡ Ἶσις ἔμμοτος μετὰ μέλιτος. ἐπὶ δὲ τῶν μαλακῶν σωμάτων ἀρκεῖ καὶ τὸ τῶν ὀρόβων ἄλευρον μετὰ μέλιτος.

Ἐκ τῶν Ὀριβασίου πρὸς γαγγραίνας. 3

Ἰοῦ ξυστοῦ, μίλτου, σχιστῆς στυπτηρίας ἴσα· ὕδατι λεάνας ἐπίχριε.

ιθ' 3 *cf. Oribasius, Coll. XLIV 26. Aëtius XIV 56*

1 ἐπιλαμβάνει τε] D: ἐπιλαμβάνεται ABEFGHM: ἐπιλαμβάνηται K ἀποκτείνει] FK: ἀποκτένει DEM: ἀποκταίνει G: ἀποκτέννει ABH, *e corr.* D 2 οὕτω] τοῦτο D 3 δὲ] DF: δὲ καὶ ABEGHKM 5 αὐτὰ D: αὐτοῖς G 6 ἃ] ὃ D τῆς *om.* DF 8 φλεβοτομοῦντας K 9 δεῖ] χρὴ D ᾖ] ἡ DH τὸ αὐτὸ E 10 μεγάλη] μεγάλη ᾖ D: εἴη *add.* H[2] ἢ] ἢ καὶ D διαιροῦντες D 11 ἐάσαντες] DF: ἐάσαντας ABEGHKM *post* αἷμα *ins.* τῶν φαρμάκων ἐπιτιθέναι χρὴ *mrg.* H[2] 12 τι ἐπιθήσομεν] D: ἐπιθήσωμέν τι G: *om.* ABEFHKM ἀλεύρου D 13 τὸ] τοῦ D 14 ἐπεμβαλεῖν H: ἐπέμβαλλε D τὸν] τῶν E: τὸν τοῦ D 15 ποιεῖ] ποιεῖ καὶ E: ποιεῖ δὲ D 16 προσαγόμενα D 18 καὶ *(pr.) om.* D ἐκτομῆς *om.* D: ἐκ τῆς E: ἢ ἐκτομὴν F χάριν] DFGK, *mrg.* B[2]: *om.* ABEHM καυτήρια] DFGK: καυτῆρα ABEHM 19 ἐς] εἰς G: *om.* D 20 τῷ] τὸ FG 21 ἑψομένων K: ἑψομένοις D: ἑψομένου F ξηρῷ D: ξηρίνῳ G 22 τε *om.* K: *supra scr.* M 23 δὲ] DFGKB[2]: *om.* ABEHM 23. 24 ἢ πάναξ *om.* D 24 ἢ *(tert.)* . . . μέλιτος *(26) om.* D 25 ἔμμοτος] G: ἔμμοτα ABEFHKM 26 μετὰ] *om.* H: διὰ M 28—p. 340, 5 *om.* F 29 στυπτηρίας σχιστῆς D

γαγγραίνας καταπλασσομένας περιχαράξει αἴρινον ἄλευρον μετὰ ῥαφάνου καὶ ἁλῶν, ἔσθ' ὅτε καὶ ὄξους, σταφὶς ἀφῃρημένη τὰ γίγαρτα μετὰ φλοιοῦ σὺν ἁλὶ καὶ ὀξυμέλιτι, καρύων βασιλικῶν τὸ ἐντός, μυρσινόφυλλα ἐν οἴνῳ ἑφθὰ λεῖα μετὰ μέλιτος· ῥάφανος μετ' ὄξους καὶ ἐσχάρας ἄχρι ὀστέου ῥήσσει.

## κ'. Περὶ ἕρπητος.

1 Χολῆς ξανθῆς ἀμιγοῦς ἑτέρου χυμοῦ ἀποκριθείσης καὶ κατά τι μόριον ἱσταμένης τὸ πάθος ἕρπης ὀνομάζεται. εἰ μὲν δὴ παχεῖα τὴν σύστασιν εἴη καὶ μᾶλλον δριμεῖα, πᾶν ἑλκοῖ μέχρι τῆς ὑποκειμένης σαρκὸς τὸ δέρμα καὶ καλεῖται ἕρπης ἐσθιόμενος· εἰ δὲ λεπτή τε καὶ ἧττον δριμεῖα καὶ θερμή, φλυκταίνας μικρὰς ἐξ ἐπιπολῆς τοῦ δέρματος ἐγείρει κέγχροις ἐοικυίας καὶ κεγχρίας ἕρπης ἐκ τῆς ὁμοιότητος ὀνομάζεται· κατὰ δὲ τὸν Ὀριβάσιον φλέγματος ἐπιμιξία μετὰ τῆς ξανθῆς χολῆς τὸν κεγχρίαν ἕρπητα ποιεῖ. κενώσωμεν οὖν τὸ σῶμα πᾶν διὰ χολαγωγοῦ φαρμάκου· τοῖς πεπονθόσι δὲ τόποις τὰ ψύχοντα καὶ ξηραίνοντα προσαγάγωμεν φάρμακα, κατ' ἀρχὰς μὲν ἕλικας ἀμπέλου καὶ βάτου καὶ ἀρνογλώσσου καταπλάσσοντες, ὕστερον δὲ φακῆν τούτοις μιγνύειν, ποτὲ καὶ μέλιτος καὶ ἀλφίτων, καὶ τὸ γεγραμμένον πρὸς τὰς
2 ἐκ ῥεύματος φλεγμονὰς κατάπλασμα χωρὶς τοῦ ἀειζώου. τὰ δὲ εἱλκωμένα τροχίσκοις ἐπιχρίειν λυομένοις γλυκεῖ ἢ οἴνῳ λεπτῷ καὶ αὐστηρῷ μὴ παλαιῷ ἢ ὀξυκράτῳ ὕδαρεῖ· προσφέρειν δὲ καὶ γλαύκιον καὶ τὰ τούτῳ παραπλήσια δι' ὕδατος, μηδὲν δὲ ἀνύοντος ὄξους παραπλέκειν· καὶ χυλῷ δὲ ἀρνογλώσσου ἢ στρύχνου διεὶς οἴνῳ μεγάλως ὀνήσεις. ἢ λίνου σπέρμα φώξας καὶ ἑψήσας ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ λεάνας ἐπίθει, ἢ γῆν Κιμωλίαν στρύχνου χυλῷ διεὶς κατάχριε καὶ λιθαργύρου 𐅻 δ̄ καὶ πράσου χυλοῦ κυάθους ζ̄ καὶ σεύτλου χυλοῦ τὸ ἴσον κατάχριε λεάνας. χρονίων δὲ ὄντων ἤδη τῶν τοιούτων ἑλκῶν ἐπιτήδειος ὅ τε τοῦ Μούσα τροχίσκος καὶ ὁ τοῦ Ἄνδρωνος.

κ' 1—2 *Oribasius, Coll. XLIV 29; Synops. VII 33; Ad Eunap. III 49; cf. Aëtius XIV 60*

1 γαγγραίνας] γαγγραίνας γὰρ τοῦτο D  καταπλασσόμενα *e corr.* J  αἴρινον] ἔτι δὲ αἴρινον D  2 σταφὶς] καὶ σταφίδος D  ἀφῃρημένης D  3 ἁλὶ] ἁλσὶ *e corr.* B *et mrg.* B²: ἄληκι D  τὸ] DK: τὰ ABEGHM  μυρσίνου φύλλα H: μυρσίνης φύλλα D  4 καὶ *om.* D  7 $\overset{\upsilon}{\chi}$ G  καὶ] EFGK: *om.* ABDHM  8 ἱσταμένης *om.* D  12 καὶ] DFGK: *om.* ABEHM  ἕρπης . . . κεγχρίαν *(14)* *om.* B: καὶ κεγχρίας ἕρπης . . . κεγχρίαν ἕρπητα ποιεῖ *mrg.* B³  13 μετὰ *om.* K  15 καὶ] καὶ τὰ D  16 προσάγωμεν EF: προσάγομεν M  17 καταπλάττοντες DG  φακῇ E  18 μιγνύοντες D: μίγνυσι F  ποτὲ] ποτὲ δὲ D  19 κατάπλασσε K: *comp.* G  τοῦ *om.* D  ἡλκωμένα ADEFHM, *mrg.* B³  20 λειομένοις AE: λεγομένοις F  22 παραπλήσια τούτῳ D  παραπλέκειν . . . Κιμωλίαν *(25)* *om.* F  23 χυλῷ δὲ] χυλὸν δὲ προσβαλὼν D  στρυχνὸν D  οἴνῳ] *seq. ras.* BM: καὶ ἑψήσας ἐν οἴνῳ D  ὀνήσεις] D: ὀνίνησιν ABEGHM: ὀνίνησι K  24 σελίνου D  25 γῆν] *Or*: *om.* D: τὴν ABEGHKM  Κιμωλίαν] κιμωλίᾳ καὶ D  διεὶς *om.* D  26 κυάθους ζ̄ *om.* D  ἴσον] ἴσον μίξας D  27 λεάνας] λείοις D  ὄντων ἤδη] DGK: ὄντων F: ἤδη ABEHM  ἑλκῶν] ἑλκῶν ὄντων AE

Πρὸς τὸν φλυκταινώδη ἕρπητα. 3

Cκωρίαν μολίβδου ἐν οἴνῳ αὐστηρῷ λεάνας καὶ καταχρίσας ἐπάνω κατάπλασσε σεύτλου φύλλα ἐν οἴνῳ ἑφθά, ἢ κηροῦ 𐅻 δ̅, μυρσίνου 𐅻 ι̅ϛ̅, σκωρίας μολίβδου 𐅻 δ̅ οἴνῳ ἡμίσει κατάχριε. σταθείσης δὲ τῆς νομῆς τῇ διὰ τῆς σκωρίας κηρωτῇ χρῶ, ἢ φακῷ ἑφθῷ μετὰ μέλιτος κατάπλασσε. πρὸς δὲ τὸν ὑπὸ τὸ δέρμα ἕρπητα σκωρίαν μολίβδου ἀναλαβὼν λείου πηγάνου χυλῷ ἢ κηρωτῇ ἀντὶ πηγάνου μυρσίνῃ.

Ἄλλο. ἐρίου παλαιοῦ ἀπλύτου περὶ δᾷδα κεκαυμένου < ι̅β̅ ∟′, κηροῦ < κ̅ε̅, σκωρίας μολίβδου ὀξυβάφου ∟′, στέατος αἰγείου τεθεραπευμένου καὶ πεπλυμένου ἐφ᾽ ὕδατι < κ̅ε̅, μυρσίνου 𐅻 ε̅.

Ἄλλο πρὸς τοὺς ὀξέως νεμομένους. 4

Cιδίων γλυκείας ῥοιᾶς < ϛ̅, λιθαργύρου < ϛ̅, ἐρίου ἀπλύτου περὶ δᾷδα κεκαυμένου < γ̅, κηροῦ < ι̅β̅, ψιμυθίου < η̅, λιβάνου < β̅, σχιστῆς < α̅, οἴνῳ καὶ μυρσίνῳ.

## κα′. Περὶ ἐρυσιπέλατος.

Ἰδιαίτερον μὲν ὁ Γαληνὸς τὸν ἐξ αἵματος ζέοντός τε καὶ λεπτοῦ 1 συνιστάμενον ὄγκον ἐρυσίπελας ὀνομάζων τὸν ἐξ ἀμφοῖν αἵματός τε καὶ χολῆς ξανθῆς συνεστῶτα προσηγόρευσεν ἐκ τοῦ ἐπικρατοῦντος χυμοῦ τὴν προσηγορίαν τῷ πάθει θέμενος· φλεγμονὴν μὲν γὰρ ἐρυσιπελατώδη τοῦ αἵματος, ἐρυσίπελας δὲ φλεγμονῶδες τῆς ξανθῆς ἐπικρατούσης ὀνομάζει χολῆς· κοινότερον δὲ τὸν ἐξ αἵματός τε καὶ χολῆς θερμοτέρων γενομένων συνιστάμενον ὄγκον ἐρυσίπελας προσαγορεύει. καθ᾽ ἑκάτερον δὲ τρόπον οὐδὲν μέγα διοίσει πρός γε τὴν τῶν βοηθημάτων χρῆσιν. εἰδέναι δὲ χρή, ὅτι τῶν ἐρυσιπελάτων ἐργωδέστερα τυγχάνει μάλιστα τὰ περὶ κεφαλήν· ὅθεν, εἰ μὴ ἐμπράκτου τύχοι βοηθείας, ἐνίοτε καὶ πνίγει τοὺς πεπονθότας. εὐθὺς οὖν ἐξ ἀρχῆς τούτου φανέντος φλέβα τέμνειν ἐν τῷ ἀγκῶνι, μάλιστα μὲν τὴν ὠμιαίαν, εἰ δὲ

1—14 *Oribasius vol. IV 617. Aëtius XIV 60* κα′ *cf. Aëtius XIV 59* 16 Γαληνὸς] *Ad Glauc. De meth. med. II 1 (XI 75)* 24—p. 342, 1 *Oribasius vol. IV 616*

1 Πρὸς] ἄλλο πρὸς B 2 μολίβδου] DK: μολύβδου F: μολίβου ABEGHM 3 κατάπλασον σεύτλων D μυρσίνης K 4 μολίβδου] DK: μολίβου ABEFGHM 𐅻 δ̅] < α̅ D ἥμισυ FK τῆς *om.* K 6 τὸν] τοὺς D ἕρπητας D μολίβου ABE 7 χυλὸν FH: *comp.* K κηρωτῇ] FGK: *om.* D: κηρωτὴν ABEHM μυρσίνῃ] FK: μυρσίνης DH: μυρσίνην ABEGM

8 κεκαυμένην DF: κ̔ ABEGHKM ι̅β̅] β̅ G 9 κ̅ε̅] ι̅ε̅ D μολίβδου] DFGK: μολίβου ABEHM ὀξυβάφου] -ου *corr. ex* ο B: *om.* DG ∟′ *om.* F: < HKM *et seq. lac.* A: < ∟′ E, *in ras.* B: < α̅ DG 10 ἐφ᾽] ἐν F 12 < ϛ̅ *(pr.) om.* D < *(alt.)*] ἀνὰ < DF 13 κεκαυμένην DF: κ̔ ABEGHKM < β̅] FK: < α̅ D: *om.* ABEGHM 14 α̅] δ̅ D μυρσινίνῳ D 17 ἐρυσίπελαν AED[s] 18 ξανθῆς] DFGK: *om.* ABEHM συνεστῶτα *om.* DF: *supra scr.* D[s] 19 τὴν . . . θέμενος *om.* D 22 γινομένων D 23 ἕτερον DK γε] δὲ F: δέ γε K 24 κρίσιν AE ὅτι] DE[s]: *om.* ABEFGHKM τυγχάνει] ABDEFM: τυγχάννει H[2]: τυγχάννη H: τυγχάνειν GK 25 ἐκπράκτου AEK

μὴ φαίνοιτο, τὴν εὑριcκομένην· εἰ δὲ διά τι κωλῦον μὴ φλεβοτομήcομεν, καθάρcει χρηcτέον διὰ χολαγωγοῦ φαρμάκου. ταύτῃ μέν γε κἀπὶ τῶν ἐν τοῖc ἄλλοιc μέρεcιν ἐρυcιπελάτων χρηcτέον ἢ κλύcμαcι πρακτικωτέροιc καταχρίειν τε τοῖc πρὸc ἐρυcιπέλατα τὸ μὲν ἐπιρρέον ἀποκρουομένουc διὰ τῶν ψυχόντων, τὸ δὲ ἀθροιcθὲν διαφοροῦνταc διὰ τῶν μετρίωc θερμαινόντων τε καὶ ὑγραινόντων, πρὶν πελιδνὸν ἢ μέλαν γενέcθαι τὸ μόριον, φυλαττομένων ἀεὶ τῶν ἐπιχριομένων διύγρων διὰ τὸ cυχνότερον ἐξαλλάττεcθαι δι᾽ εὐαφῶν cπόγγων ἀποπλυνομένων τῶν πρώτων· ἡ γὰρ πολλὴ τοῦ μορίου πύρωcιc ταχέωc ἐξατμίζουcα ταῦτα
2 ξηραίνει. χρῄζει δὲ τὰ ἐρυcιπέλατα κατ᾽ ἀρχάc, ὡc ἔφην, τῶν ψυχόντων μεθ᾽ ὑγρότητοc ἄνευ cτύψεωc, οἷόν ἐcτιν ἀείζωον καὶ ἀνδράχνη καὶ ψύλλιον ὅ τε ἀπὸ τῶν τελμάτων φακὸc καὶ cέριc καὶ κολοκύντη cτρύχνον τε καὶ ὑοcκύαμοc καὶ θριδακίνη καὶ γλαύκιον, ἔτι γε μὴν cέλινον καὶ τῆc ῥάμνου τὰ φύλλα καθ᾽ αὑτὰ ἢ cὺν ἄρτῳ καταπλαccόμενα αἵ τε δι᾽ ὕδατοc πάνυ ψυχροῦ κηρωταί· μίγνυται δὲ καὶ ὀπίου τι τούτοιc καὶ χυλοῦ μήκωνοc καὶ κωνείου καὶ μανδραγόρου, καὶ γίνεται cύνθετα φάρμακα. γίνοιτο δ᾽ ἂν ἡ κηρωτὴ κηρῷ τρακτῷ ῥοδίνου τετραπλοῦ μιχθέντοc ἐξ ὀμφακίνου ἐλαίου χωρὶc ἁλῶν πεποιημένου ἐν θυΐᾳ τε μαλαττομένων αὐτῶν ὕδατοc παραχεομένου ψυχροῦ, ὅcον εἰcδέξαcθαι δύναται· εἰ δὲ καὶ ὄξουc λεπτοῦ καὶ διαυγοῦc βραχύ τι μίξαιc, ἄμεινον ἐργάcῃ τὸ φάρμακον. καὶ ἄλφιτα δὲ μετά τινοc τῶν εἰρημένων ψυκτικῶν βοτανῶν ἐμψύχουcιν ἱκανῶc καὶ φοίνικεc λιπαροὶ cύν τινι τούτων. καταχρίοιτο δ᾽ ἂν τὸ μέροc καὶ ψιμυθίῳ ἢ Κιμωλίᾳ ἢ κεραμικῇ γῇ μετὰ cτρύχνου ἢ λιθαργύρῳ μετὰ ῥοδίνου ἢ χαλκίτιδι μετὰ ἐλαίου καὶ γλυκέοc ἢ ψιμυθίῳ μετ᾽ ὄξουc καὶ λυκίου ἢ ἀκακίᾳ μετ᾽ ὄξουc. ἐνδιδούcηc δὲ τῆc ζέcεωc χρηcτέον ἁπλοῖc μὲν θείῳ ἀπύρῳ καὶ ἡδυόcμῳ μετ᾽ ὀξυροδίνου ἢ πηγάνῳ μετ᾽ ἀψινθίου καὶ ὄξουc καὶ ἐλαίου ἢ λιθαργύρῳ μετὰ χυλοῦ πράcου καὶ cεύτλου· cυνθέτοιc δὲ ἰδίωc μὲν ἐν

2 *sqq. Oribasius, Coll.* XLIV 27; *Synops.* VII 32; *Ad Eunap.* III 47–48

1 διά *om.* DF κωλῦον] κωλύει DF μή *om.* D φλεβοτομήcομεν] *e corr.* BM: φλεβοτομήcωμεν ABEGHKM: φλεβοτομεῖν DF 3 ἢ] ἢ καὶ D 4 τοῖc πρὸc] G: τοῖc περὶ τὰ F: τοῖc ABEHKM: τὰ DB³ *et in ras.* J ἐρυcιπέλαcι K ἀποκρουομένουc] DFK: ἀποκρουομένοιc ABEGHM 6 μέλαν ἢ πελιδνὸν D 8 εὐβαφῶν B: εὐβαθῶν F 11 cτύψεωc] DF: cτύψεοc *mrg.* H²: ψύξεωc ABEGHKM ἐcτιν] ἐcτιν τὸ K: ἐcτι τὸ F 12 κολοκύντη] κολοκύνθηc ξέcματα D: κολόκυνθα F 13 cτρύχνοc DFK: cτρύχνο̄ *in ras.* B μὴν] μὴν καὶ EF 15 ψυχροῦ πάνυ H 15. 16 τι τούτοιc] τούτοιc χυλὸc D 16 χυλοῦ *om.* D 17 cύνθετον φάρμακον D γίνοιτο] DF: γίγνοιτο K: καὶ γίνοιτο ABEGHM 18 πεποιημένον K θυείᾳ D 19 ὕδατοc] καὶ ὕδατοc DF περιχεομένου D 20 μίξαιc] EHM, *e corr.* AB: μίξαc AFGK: μίξειc D 23 τὸ *om.* K ἢ *(pr.) om.* K 24 λιθαργύρῳ . . . ὄξουc *(25) om.* F λιθαργύρῳ] D: *comp.* G: λιθαργύρου ABEHKM χαλκίτιδι] DK: χαλκίτιδοc ABEGHM 25 ψιμυθίου HK: *comp.* DG καὶ . . . ὄξουc *om.* K καὶ] μετὰ F: ἢ καὶ D λυκίῳ D ἀκακίαc AE 26 ἡδυόcμῳ] DFK: ἡδυόcμου ABEGHM 27 ἀψινθίου] BGK: ψιμυθίου ADEFHM ἢ *(alt.)*] καὶ E 28 λιθαργύρου FK: *comp.* G τεύτλου M δὲ *om.* A μὲν *om.* G

τῇ κεφαλῇ τούτῳ τῷ τροχίσκῳ· λιθαργύρου, ψιμυθίου, κρόκου, θείου ἀπύρου, ὀπίου μετὰ γλυκέος. κοινῶς δὲ πᾶσι μίλτου Σινωπικῆς, χαλκίτεως, μίσυος ὀπτοῦ, ἰοῦ, χαλκάνθου, σχιστῆς ἴσα· ὄξει χρῶ.

Ἄλλο. θείου ἀπύρου, ψιμυθίου, ὀπίου, ἀκακίας ἴσα ὄξει.

Κατάπλασμα πρὸς ἐρυσιπέλατα, ἕρπητας, ἀποστήματα, παρωτίδας καὶ πυρίκαυτα. 3

Ἀλθαίας νεαρᾶς φύλλων ἁπαλῶν λι. α̅ ἑψήσας ἐν ὑδρελαίῳ τρῖψον καλῶς καὶ προσβαλὼν ῥοδίνου 𐅻 δ̅, λιθαργύρου, ψιμυθίου ἀνὰ 𐅻 β̅ ∠′ λείου πάλιν κοριαννοῦ χυλῷ ἢ ἀειζώου ἢ στρύχνου, εἶτα ἐπιβαλὼν ψῖχας, ὡς ἐμπλαστρῶδες γενέσθαι, κατάπλασσε. ἐμπλάστρῳ δὲ ταύτῃ κέχρησο· κικίνου λι. α̅, μυρσίνου λι. α̅, κηροῦ 𐅻 ε̅, λιθαργύρου 𐅻 δ̅, ἰοῦ ξυστοῦ 𐅻 β̅· ὄξει λειοῦται ἰὸς καὶ λιθάργυρος.

Κηρωτὴ πρὸς ἐρυσιπέλατα καὶ κατακαύματα. 4

Κηροῦ τρακτοῦ 𐅻 δ̅, ῥοδίνου 𐅻 γ̅, ᾠὰ ϛ̅, περδικιάδος 𐅻 δ̅.

παυσαμένης δὲ τῆς φλεγμονῆς ἢ χρονιζούσης, πρὶν πελιδνὸν γενέσθαι τὸ μόριον, κατάπλαττε δι᾿ ὠμῆς λύσεως. εἰ δὲ καὶ φθάσοι γενέσθαι πελιδνόν, ἀποσχαστέον τὰ μέρη καὶ καταπλαστέον ἐπὶ πλεῖον καὶ καταντλητέον δι᾿ ὕδατος θερμοῦ γλυκέος, ἐνίοτε δὲ καὶ θαλάττης ἢ ἅλμης· καί ποτε καὶ τῷ καταπλάσματι μιγνύναι τοῦτο. κἄπειτα τοῖς εἰρημένοις συνθέτοις χρηστέον προσέχοντας· ἐπιμενόντων γὰρ εἰς μεταβολὴν πύου ἢ εἰς σηπεδόνα μετάπτωσις γίνεται.

## κβ′. Περὶ φύματος καὶ βουβώνων καὶ φυγέθλου.

Κατὰ μὲν τὸν Γαληνὸν ὁ βουβὼν καὶ τὸ φῦμα καὶ τὸ φύγεθλον ἀδένων εἰσὶ παθήματα, βουβὼν μὲν ἡ φλεγμονή, φῦμα δὲ ἡ πρὸς ἐκπύησιν ἐπειγομένη φλεγμονὴ τοῦ ἀδένος, φύγεθλον δὲ τὸ φλεγμονῶδες ἐρυσίπελας ἢ ἐρυσιπελατώδης φλεγμονὴ τοῦ ἀδένος· κατ᾿ ἄλλους δέ τινας κοινῶς ἅπαντες οἱ ἐκφυόμενοι παρὰ φύσιν ἐν οἰδηποτοῦν μορίῳ οἷον ἀποστηματώδεις ὄγκοι φύματα προσαγορεύονται· φησὶ γὰρ Ἱππο- 1

15—19 *Oribasius, Coll. XLIV 27; Synops. VII 32; Ad Eunap. III 48* 23 Γαληνὸν] *Ad Glauc. De med. meth. II 1 (XI 77)* 28 Ἱπποκράτης] *Aphorism. VII 57*

2 ὀπίου *om.* D *post* δὲ *supra add.* ἐπὶ D 3 σχιστῆς] στυπτηρίας σχιστῆς F ὄξει] λύσας ὄξει D: ὄξει καὶ G 4 *om.* DF 5 ἐρυσίπελας G: ἐρυσιπέλατα ἕλκη A 8 πρόσβαλλε D δ̅] α̅ D: α̅ ἢ καὶ δ̅ F 9 λείου πάλιν *om.* D χυλῷ] K: χυλὸν D: χυλοῦ F: *comp.* ABEGHM ἐπιβάλλων DF 10 ἐμπλαστῶδες G 11 λι. α̅ *(pr.) om.* D μυρσινίνου D λι. *(alt.)*] ἀνὰ λι. D 12 λειοῦται] λειουμ(έν)/ ποιεῖ δὲ καὶ D ἰὸς] ὁ ἰὸς F καὶ] καὶ ὁ F 13 Κηρωτὴ *om.* AE καὶ] κηρωτὴ καὶ AE καύματα K 19 καὶ τῷ] τῷ FK ταῦτα D 22 βουβῶνος K 24 βουβὼν] φῦμα D μὲν] μὲν γὰρ D φῦμα] βουβὼν D 25 ἐπειγομένη] DK: ἐπιγομένη E: ἐπιγινομένη ABGHM: ἐπιγενομένη F φύγεθλον . . . ἀδένος *(26)*] DFGK, *mrg.* $E^2$: *om.* ABHM δὲ *om.* FG 26 *ante* ἐρυσίπελας *eras.* καὶ K ἢ] ἢ ἡ D: ἡ F φλεγμονὴ] δὲ φλεγμονὴ F

κράτης· ὁκόσοισι φύματα ἐν τῇ οὐρήθρῃ ἐκφύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος λύσις.

**2** οἱ μὲν οὖν ἐπὶ προσπταίσμασιν ἢ ἑτέροις ἕλκεσιν ἢ ὀδύναις συνιστάμενοι βουβῶνες τῶν ἀκινδύνων εἰσίν, οἱ δὲ ἐπὶ πυρετοῖς, οἳ δὴ μάλιστα λοιμικῶς συνεισπίπτειν εἰώθασι, κάκιστοι, ἄν τε κατὰ τοὺς μηροὺς ἄν τε κατὰ τὰς μασχάλας ἢ τράχηλον ὦσιν γεγενημένοι. ἀλλὰ τοὺς μὲν προτέρους ἐν ἀρχῇ καθάπερ ἅπασαν φλεγμονὴν διὰ τῶν ψυχόντων τε καὶ στυφόντων ἀποκρούεσθαι βοηθημάτων ἤτοι σπόγγον ἐπιτιθέντας ἀπὸ ὀξυκράτου ἢ ἔρια δι᾽ οἴνου καὶ ἐλαίου ὠμοτριβοῦς ἢ ῥοδίνου ἢ μηλίνου ἢ σχινίνου ἢ μυρσίνου· κἄπειτα τοῖς διαφοροῦσι χρηστέον. εἰ δὲ καὶ ὅλον τὸ σῶμα πληθωρικὸν ᾖ, προκενωτέον αὐτό· ἀπερίττου δὲ ὄντος τοῦ μὲν ἕλκους, ἐφ᾽ οὗ γεγένηται, προνοήσομεν, ὡς ἐν τῷ περὶ ἑλκῶν εἰρήσεται, τὸν δὲ ἀδένα φλεγμαίνοντα παρηγορητέον ἐρίοις ἐν ἐλαίῳ τῶν χαλαστικῶν τινι δεδευμένοις, καὶ ὅλον δὲ τὸ κῶλον αὐτοῖς περιελίττειν· διαπυηθέντα δὲ τὸν ὄγκον οὐ προχείρως διαιρεῖν, ἀλλὰ πειρᾶσθαι τοῖς κηρωτοειδέσιν ἁπαλοῖς φαρμάκοις διαφορεῖν, ὁποῖόν ἐστι μάλιστα τὸ διὰ τοῦ ἀπερανοῦ καὶ τὸ βοτανικόν. μὴ γινομένης δὲ τῆς διαφορήσεως ἐπὶ τὴν ῥῆξιν ἰτέον ὁμοίως τοῖς ἄλλοις ἀποστήμασιν καὶ θεραπεύειν ὡς ἐκεῖνα.

**3** ἐπὶ δὲ τῶν ἐπὶ πυρετοῖς ἢ ἁπλῶς ἐπὶ πλήθει χυμῶν γινομένων φυλάττεσθαι μὲν τὰ ἀποκρούοντα διὰ τὸ μὴ παλινδρομεῖν ὠθουμένην εἰς τὸ βάθος τὴν ὕλην, ἀπὸ δὲ τῶν διαφορούντων εὐθέως ἄρχεσθαι· μηδενὸς δὲ κωλύοντος, οἷον ἡλικίας ἢ δυνάμεως, φλεβοτομία πρότερον ἀπ᾽ ἀγκῶνος παραλαμβανέσθω· κατὰ δὲ τὸν τόπον πυρίαις χρηστέον δι᾽ ἀφεψήματος χαμαιμήλων ἢ ἀνήθων ἤ τινος τῶν ὁμοίων. τὴν δὲ λοιπὴν τῶν φαρμάκων ὕλην μάλιστα μὲν ἐκ τῶν πρὸς παρωτίδας ἐν τῷ τρίτῳ λελεγμένων μετενεκτέον βιβλίῳ, οὐχ ἥκιστα δὲ κἀκ τῶν πρὸς φλεγμονὰς ἔναγχος εἰρημένων, ὥσπερ οὖν καὶ τὴν τῶν φυγέθλων θεραπείαν ἐκ τούτων τε καὶ τῶν πρὸς ἐρυσιπέλατα λεχθέντων. ὁ δὲ Ἀττικὸς ἀστὴρ ἡ πόα, ἣν καὶ βουβώνιον δι᾽ αὐτὸ τοῦτο καλοῦσιν, οὐ

3—6 *cf. Oribasius, Coll. XLIV 17* 6 *sqq. cf. Oribasius, Coll. XLIV 16; Synops. VII 31; Ad Eunap. III 46* 13 εἰρήσεται] *cap. 37 sqq.* 27 τρίτῳ] *cap. 23, 13* 28 ἔναγχος] *cap. 17* 29 λεχθέντων] *cap. 21* 30 *sq. Galenus XI 841*

1 οὐρήθρᾳ FM ἐκφύενται E: ἐκφύονται A 4 οἱ] ὅσοι D: οἷον F πυρεκτικοῖς D οἳ δὴ] ἤδη K: οἰδήμασι D: *om.* F 5 λοιμικοῖς F συμπίπτειν DFK κἂν D 6 κἂν D τὰς *om.* BK: *ins.* A ἢ] ἢ τὸν D 8 ἢ σπόγγους D 9 ἔριον B 10 μυρσίνου ἢ σχινίνου K μυρσινίνου D ἢ μυρσίνου] *mrg.* B[2] 11 ᾖ] εἴη FHK: εἰ *seq. ras.* M 12 προνοήσομεν] D, *e corr.* B: προνοήσωμεν ABEFGHKMD[3] 15 διαπυηθέντος δὲ τοῦ ὄγκου D οὐ] οὐ δεῖ D 16 κηρωτοειδέσι ABEFGH: κηροειδέσι M ἁπαλοῖς] DK: *om.* ABEFGHM φαρμάκοις] φαρμάκοις ἁπαλοῖς F διαφορεῖν] βοηθεῖν D 20 ἐπὶ *(sec.)*] ἐν G 23 δὲ *om.* FM φλεβοτομητέον D 24 παραλαμβανέσθω *om.* D τῶν τόπων D 26 ἐν] ἐν δὲ FK 28 ἔναγχος *om.* D 29 τε *om.* A: δὲ H τῶν πρὸς] τῶν ἐπὶ D: πρὸς περὶ G ἐρυσιπέλατος G: ἐρυσιπέλασι D προλελεχθέντων D

μόνον καταπλαττόμενον, ἀλλὰ καὶ περιαπτόμενον βουβῶνας ὠφελεῖν πεπίστευται.

τὰ δὲ φύματα διαφορεῖ καταπλαςςόμενα ἰδίως ἀδίαντον, ἀτράφαξυς, ἑλξίνη, ἀλθαίας ῥίζα ἐν οἴνῳ ἑψηθεῖςα, ἀμμωνιακὸν μετὰ μέλιτος μαλαχθὲν καὶ ἐπιτεθέν, ἰξὸς ςὺν ῥητίνῃ καὶ κηρωτῇ· ῥήςςει δὲ πρόπολις, θέρμοι πικροὶ μετὰ ὄξους καταπλαςθέντες, ςικύου ἀγρίου ῥίζα τερμινθίνῃ ἀναληφθεῖςα, καππάρεως ῥίζα ὁμοίως, νίτρον μετὰ ζύμης ἢ ςύκων. 4

## κγ΄. Περὶ δοθιήνων.

Καὶ ὁ δοθιὴν ὄγκος ἐςτὶν ἀποςτηματώδης ἐκ παχέων χυμῶν ἐν τοῖς ςαρκώδεςι μάλιςτα τόποις ςυνιςτάμενος, ἐπιεικὴς μὲν ὑπάρχων, ὅταν ἐν αὐτῷ μόνῳ ςυνίςταται τῷ δέρματι, κακοήθης δέ, ὅταν ἐκ πλείονος ἀνίςχῃ βάθους. διαφοροῦςι δὲ τοὺς δοθιῆνας καὶ πέττουςι πυροὶ μαςώμενοι καὶ ἐπιτιθέμενοι, μαςτίχη Αἰγυπτία, ςταφίδες ἐκγιγαρτιςθεῖςαι καὶ ςὺν ἁλςὶ τριβεῖςαι καὶ καταπλαςθεῖςαι· τοῦτο ἢ διαχεῖ ἢ ῥήςςει. ἢ ἰςχάδας ἑφθὰς ἐν ὑδρομέλιτι ἐπιτίθει ἢ ταῖς ἰςχάςιν μίξας ῥητίνην ἐπιτίθει ἢ αὐτὰς τὰς ἰςχάδας, ὅταν ὦςι λιπαραί, ςχίςας, ἢ ζύμην μετὰ νίτρου ἢ λινόςπερμα μετὰ μέλιτος ἢ ὑοςκυάμου φύλλα λεῖα μετὰ βουτύρου. ςύνθετα δὲ τό τε διὰ ζύμης καὶ τὸ διὰ γύρεως καὶ τὸ ἰδίως δοθιηνικὸν προςαγορευόμενον ἁρμόςει. πυρία δὲ μαλακοῖς ςπόγγοις ςυνεχῶς εἰς θερμὸν ὕδωρ ἀποβάπτων, εἶθ᾽ οὕτως ἐπιτίθει τὰ φάρμακα.

## κδ΄. Περὶ τερμίνθου.

Ὁ μὲν Ὀριβάςιος φύματος εἶδός φηςι τὴν τέρμινθον, ἐπικεῖςθαι δὲ αὐτῆς ἀνωτάτω φλύκταιναν μέλαιναν, ἧς ἐκραγείςης τὸ ὑποκάτω ὅμοιον ἀποςεςυρμένῳ φαίνεςθαι, τούτου δὲ διαιρεθέντος πῦον εὑρίςκεςθαι. Διοςκορίδης δὲ ὁ Ἀλεξανδρεύς φηςιν· τέρμινθοί εἰςιν ὑπεροχαὶ ἐπὶ τοῦ χρωτὸς ςυνιςτάμεναι, ςτρογγύλαι, μελανόχλωροι, ἐοικυῖαι τερμίνθου καρπῷ. καὶ ταύτας οὖν παραπληςίως τοῖς ἄλλοις φυματώδεςιν ὄγκοις θεραπευτέον ἐκ τῶν εἰρημένων μεταφέροντας τὰ βοηθήματα.

3—7 *Oribasius Synops. VII 29* 8—16 *Oribasius, Synops. VII 41; Ad Eunap. III 53; cf. Coll. XLIV 32—33* 22—25 *Oribasius, Synops. VII 36; cf. Coll. XLIV 18; Aëtius XIV 62* 26—28 *Galenus XVI 461*

1 βουβῶνας *om.* E 5 καὶ *(alt.)*] DFK: *om.* ABEGHM 6 τερμινθίνῃ] AEGHKM: τερεβινθίνῃ BDF 11 ὅταν *(pr.)*] ὅτε D 12 πέττουςι] πυοῦςι D 13 διαμαςώμενοι D ἐκγιγαρτιθεῖςαι BM: αἱ ἐκγιγαρτιςθεῖςαι K 15 ἢ ταῖς . . . ἐπιτίθει *(16) om.* G, *mrg.* B 16 ςχίςας *om.* D 17 λινόςπερμα] AEH: λίνου ςπέρμα K: λινόςπερμο (-ο *e corr.*) D: λινοςπέρμου F: λινόςπερμον GM, *e corr.* B 19 δοθιηνικὸν] ADE: δοθηνικὸν F: δοθιονικὸν GHKM, *e corr.* B δὲ] τε D: *om.* F 24 ἀνωτάτω] F: ἄνω κάτω ABE GHKM: ἄνω καὶ κάτω D 25 ἀνευρίςκεςθαι M 26 τερέμινθοι F: τερέβινθοι B 27 μελάγχροοι D τερεβίνθου B 28 καρπῷ] DFK: καρπόν ABEGHM 29 μεταφέροντας] DK: *comp.* EG: μεταφέροντα ABHM: μεταφέρων F τὰ] τὰ αὐτὰ F

## κε΄. Περὶ ἀνθράκων.

1 Τοῦ αἵματος μελαγχολικωτέρου γενομένου καὶ ζέσαντος ἐνσκήψαντός τε μορίῳ τινὶ τοὺς ὀνομαζομένους ἄνθρακας γίνεσθαι συμβαίνει, ἅπερ εἰσὶν ἐσχαρώδη ἕλκη, τὰ πολλὰ μὲν ἀπὸ φλυκταίνης ἀρχόμενα τοῖς πυρικαύτοις ἐμφερῶς, ἐνίοτε δὲ καὶ χωρὶς ταύτης. ἀλλὰ κνῶνταί γε πάντως ἐν ἀρχῇ τὸ μόριον, εἶτα ποτὲ μὲν μία φλύκταινα, ποτὲ δὲ πλείους ἐπανίστανται λεπταί, καθάπερ κέγχροι τινές, ὧν ἐκρηγνυμένων ὁμοίως ἐσχαρῶδες ἕλκος γίνεται παραπλήσιον τοῖς ὑπὸ καυτηρίων γινομένοις, ποτὲ μὲν τεφρώδους τῆς ἐσχάρας φαινομένης, ποτὲ δὲ μελαίνης, σὺν τῷ προσέχεσθαι τῇ βάσει καὶ τρόπον τινὰ προσηλῶσθαι μετὰ νομῆς· ἡ δὲ ἄλλη σὰρξ ἡ πέριξ φλογώδης ἰσχυρῶς καὶ μέλαινα τῇ χροιᾷ γίνεται καὶ στίλβουσα παραπλησίως ἀσφάλτῳ καὶ πίττῃ· τοιαύτη δέ ἐστιν ἡ ἀκριβῶς μέλαινα χολή. ἀλλ᾽ οἱ μὲν περὶ τῇ σαρκὶ συστάντες ἄνθρακες συντόμως περιγράφονται· οἱ δὲ κατὰ τῶν ὑμένων ἢ τῶν νεύρων γινόμενοι μέχρι πολλοῦ παραμένουσι καὶ τῆς συμπαθείας τοῖς ὑποκειμένοις μεταδιδόασι τόποις, ὥστε καὶ φλεγμονὰς ἐρυσιπελατώδεις αὐτοῖς γίνεσθαι· οὐκ ὀλίγοις δὲ καὶ εἰς διαπύησιν ἐτράπη, τοῖς δὲ πλείστοις καὶ πυρετοὶ συνεδρεύουσι. γίνονται δὲ καὶ κατά τινας ἐπιδήμους αἰτίας οἱ ἄνθρακες.

2 Θεραπεύειν οὖν τούτους, εἰ μὴ μικροὶ παντελῶς εἶεν, ἀπὸ φλεβοτομίας ἀρχομένους κενοῦντας αὐτοὺς μέχρι λειποθυμίας· καὶ ἀποσχάζειν δὲ μετὰ φλεβοτομίαν οὐκ ἀνάρμοστόν ἐστι βαθυτέραις ἀμυχαῖς διὰ τὸ τοῦ χυμοῦ πάχος. κατὰ δὲ τοῦ πεπονθότος τοῖς ἀποκρουομένοις μετρίως καὶ διαφοροῦσι χρησόμεθα· τοιοῦτο δέ ἐστι τὸ δι᾽ ἀρνογλώσσου καὶ φακῆς ἑφθῆς κατάπλασμα λαμβάνον ἄρτου κλιβανίτου τὸ ἁπαλὸν μήτε ἄγαν καθαροῦ μήτε ῥυπαροῦ. κατ᾽ αὐτοῦ δὲ τοῦ ἕλκους ἐπιθήσομεν τῶν σφοδρῶν τι φαρμάκων, οἷόν ἐστι τό τε Ἄνδρωνος καὶ τὸ Πολυείδου καὶ τὸ Πασίωνος, ἀνιέντες αὐτὰ γλυκεῖ μέχρι γλοιώδους συστάσεως, καὶ τὸ Μασσαλεωτικὸν ξηρὸν καὶ αὐτὸ παραπλησίως ἀνειμένον· καὶ ῥίζα δὲ δρακοντίου ἢ ἀριστολοχίας ἢ ὀπὸς σιλφίου ἢ Κυρηναϊκός, ἕκαστον δι᾽ ὄξους, καλῶς ἂν καταχρισθείη. τὰ δὲ ἐρυσιπελατώδη

κε΄ *cf. Aëtius XIV 58* 1—7 *Oribasius, Coll. LI 43* 1—29 *id. Synops. VII 12; Ad Eunap. III 27* 10—19 *Oribasius vol. IV 617*

4 ἅπερ] DEF: ὅπερ ABGHK: οἵπερ MB³ 5 πυρικαύστοις ADF ἀλλὰ κνῶνταί] ADEFK: ἀνακνῶνται BGHM 8 παραπλήσιο A: παραπλησίως D 9 φαινομένης] γενομένης D 13 ἀκριβῶς ἡ K ἀκριβὴς G 14 συστάντες] G, *e corr.* B: συνιστάντες AEHKM: συνιστάμενοι D: συνίστανται F 15 τῆς] D: τὰς ABEFGHKM 17 αὐτοῖς *om.* AF γίγνεσθαι K: φαίνεσθαι F 18 συνεδρεύουσιν AGH: -ν *eras.* B 20 τούτους] DGK: αὐτούς ABEFHM μὴ *om.* DF 21 ἀρχομένους] D: ἀρχόμενοι F: ἀρχόμεθα K: *om.* ABEGHM κενοῦντες FK 22 μετὰ] μετὰ τὴν D 24 τοιοῦτον DG: -ν *eras.* B 25 κατάπλασσε G 27 τι *om.* F: τε D 28 πολυείδους FGK 29 μασσαλιωτικὸν D ξηρὸν] AGK: δὲ ξηρὸν D: ξηρίον EF: ξηρίον εἰ H: ξηρὸν εἰ BM ἀνιέμενον FK 30 δὲ *om.* D ἀριστολοχία D ἢ *(sec.)*] καὶ FK κυριναικός F: κυρηναικόν DK: κυρηναικοῦ ABEGHM

τοῖς πρὸς ἐρυσιπέλατα καταχριέσθω. τὰ δέ γε περὶ συμπαθείας ὕποπτα τῶν μερῶν ἐμβρεκτέον οἰσυπηροῖς ἐρίοις δι' οἰνελαίου. παυσαμένης δὲ τῆς φλογώσεως κατὰ τῶν ἀνθράκων ἐπιρριπτέον κεφαλικὰς κηρωτὰς ἀνειμένας ἐμμότους· καλὴ δὲ μάλιστα ἡ διὰ βοτανῶν καὶ ἡ διὰ νίτρου καὶ τὰ πρὸς νομὰς ξηρὰ κατ' ἰδίαν καὶ μετὰ ῥοδίνου. ἐπιμενούσης δὲ τῆς σκληρίας χρηστέον τῇ μηλίνῃ Σαραπίωνος· σπουδαστέον μέντοι ὡς ὅτι τάχιστα διαπυΐσκειν τοὺς ἄνθρακας δὶς μὲν τῆς ἡμέρας, ἅπαξ δὲ τῆς νυκτὸς ἀλλάσσοντα τά τε καταπλάσματα καὶ φάρμακα. πρὸς δὲ τὸ ἐκριζῶσαι τοὺς ἄνθρακας καὶ ἀπολῦσαι τῆς πρὸς τὰ παρακείμενα συνεχείας ῥοιὰς ὀξείας κατασχίσας ἕψε ἐν ὄξει καὶ τακερὰς λειοτριβήσας ἔμπλασον εἰς ὀθόνιον καὶ ἐπιτίθει· ξηραινόμενον δὲ ὑγραινέσθω τῷ ὄξει.

3 Ἄνθρακας πυοποιεῖ καὶ ῥήσσει καρύου βασιλικοῦ παλαιοῦ τὸ ἐντὸς ἢ καὶ μὴ παλαιοῦ, κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ τὰ νέα καὶ ἁπαλὰ σφαιρία σὺν ἀλφίτοις, σταφὶς ἐκγιγαρτισθεῖσα, ἰσχάδες ἑφθαὶ ἐν οἴνῳ, μήκωνος κερατίτιδος ἄνθη, ὀπὸς σιλφίου μετὰ πηγάνου καὶ ὀλίγου μέλιτος, ὑγρόπισσον σὺν σταφίδι καὶ ὑείῳ στέατι.

## Πρὸς ἄνθρακας πάνυ καλόν. 4

Λιθαργύρου λι. $\bar{\alpha}$, ἐλαίου παλαιοῦ λι. $\bar{\alpha}$ ∠', ἀρσενικοῦ ℱ $\bar{\alpha}$· ἑψήσας ἔλαιον καὶ λιθάργυρον ἕως ἀμολύντου καὶ ἐπάρας ἐπίβαλλε τὸ ἀρσενικὸν καὶ πάλιν ἕψε, ἕως μέλαν γένηται, καὶ λειώσας εἰς θυΐαν χρῶ ἐμμότῳ.

## Πρὸς γαγγραίνας, παλαιὰ ἕλκη, Χειρώνια, χοιράδας, ποδάγραν, δαιμονίως δὲ πρὸς ἄνθρακας. 5

Πρὸς τοὺς ἐν βλεφάροις ἄνθρακας· ὀπίου, ἀκακίας, μίσυος ὀπτοῦ, λεπίδος χαλκοῦ ἀνὰ < $\bar{\beta}$, χαλκάνθου < $\bar{\alpha}$, ὑοσκυάμου σπέρματος < $\bar{\alpha}$· λεάνας ἐν ὕδατι χρῶ. ποιεῖ δὲ καλῶς, φησί, καὶ ἡ τετραφάρμακος ἔχουσα τὸ πέμπτον λιβάνου.

πρὸς δὲ τοὺς ἐν αἰδοίοις ἄνθρακας· χαλκίτεως, χαλκάνθου ἀνὰ < $\bar{\eta}$, ἀφονίτρου < $\bar{\beta}$· μεθ' ὕδατος λεάνας χρῶ. ποιεῖ δὲ καὶ κόπρος προβα-

12—15 *Oribasius, Synops. VII 12; Ad Eunap. III 27* 12—16 *cf. Oribasius vol. IV 618* 17—21 *Oribasius vol. IV 619* 24—27 *Oribasius vol. IV 618*

1 τοῖς] τὰ K χριέσθω D 3 φλογὸς K κεφαλωτὰς F 4 ἐμμότοις D 5 ξηρία F 8 ἀλάσσον BM: -τα *add.* B[5] καὶ] καὶ τὰ DF

10 ἔψει D: ἕψειν F ἐν *om.* F 11 ἔμπλασον] ABH· ἔμπλα^c^σον M: ἔμπλασσον EGK: ἔμπλασσε D: ἔμβαλλε ἐμπλάσσων F εἰς ὀθόνιον] ὀθονίῳ F ξηραινομένων F: ξηραινομένας D ὕγραινε D 12 ἄλλο *praemitt.* D

13 ὁ βλαστὸς D 15 κερατίδος E 16 ὀλίγον M αἵματος E σταφί^δ E: σταφίδων B 18 παλαιοῦ *om.* K 19 ἔλαιον] τὸ ἔλαιον F καὶ *(pr.)*] καὶ τὸν F ἐπίβαλλε *om.* K τὸ *om.* BK 20 ἔψει D ἐν θυείᾳ D 22 Πρὸς ... λιβάνου *(27) om.* F 23 δαιμονίως] δαιμονί^ω^ A: δαιμονίων E: μόνως G: τε δαιμονίως *e corr.* B[3] δὲ *om.* E ἄνθρακα K: *comp.* AE 24 τοὺς ἐν] ἐν E: τοὺς ἐν τοῖς A 25 ἀνὰ *om.* H < *(pr.)*] ℱ E $\bar{\beta}$ ... < *(sec.) om.* G < $\bar{\alpha}$ *(pr.) om.* D σπέρματος] σπέρματος ἀνὰ D: *comp.* EK: σπέρμα ABGHM < *(tert.)*] ℱ K 29 ἀφρονίτρου K δὲ *om.* D

τεία φωχθεῖσα μετὰ μέλιτος. ἐν Ἀλεξανδρείᾳ τῇ σαραπιάδι, ἥτις καὶ ὄρχις καὶ τριόρχης ὀνομάζεται, χλωρᾷ μετὰ ψιχῶν ὡς καταπλάσματι χρῶνται πρὸς ἄνθρακας καὶ πάντα τὰ ἐσχαρώδη. ἐκπεσούσης δὲ τῆς ἐσχάρας ὡς ἕλκος κοινὸν θεράπευε.

## κϛʹ. Περὶ καρκίνων.

1 Ἐν ἅπαντι μὲν τοῦ σώματος μέρει πέφυκεν ὁ καρκίνος γίνεσθαι· καὶ γὰρ ἐν ὀφθαλμοῖς καὶ ὑστέρᾳ, ὡς ἐν τοῖς περὶ αὐτῶν εἴρηται λόγοις, καὶ ἐν ἄλλοις δὲ πλείοσι μορίοις· ἀλλ᾽ ἐν τοῖς τιτθοῖς μάλιστα τῶν γυναικῶν πλεονάζει διὰ τὸ χαύνους ὄντας ἑτοίμως εἰσδέχεσθαι τὴν ὕλην παχυτάτην ὑπάρχουσαν· ἐκ μελαίνης γὰρ χολῆς ζεούσης οἱ καρκίνοι συνίστανται καί, εἰ δριμυτέρα τύχοι, μεθ᾽ ἑλκώσεως. διὰ τοῦτο κατὰ τὴν χροιὰν μελάντεροι τῶν φλεγμονῶν εἰσι χωρὶς θερμότητος τοσαύτης, αἱ φλέβες δὲ πληροῦνταί τε καὶ τείνονται πέριξ παραπλησίως τοῖς τοῦ καρκίνου τοῦ ζῴου ποσίν· ὅθεν καὶ τῆς ὀνομασίας ταύτης τετύχηκεν· τινὲς δέ φασι διὰ τὸ δυσαπολύτως ἔχεσθαι τῶν μορίων, ὧν ἂν λάβηται, καθάπερ ὁ καρκίνος τὸ ζῷον. διὰ δὲ τὸ πάχος τοῦ χυμοῦ τούτου καὶ ἀνίατος ὁ καρκίνος ἐστὶν μήτε ἀποκρουσθῆναι δυνάμενος μήτε διαφορηθῆναι, μήτε δὲ ταῖς ὅλου τοῦ σώματος εἴκων καθάρσεσιν ἢ καὶ τῶν μὲν πραοτέρων φαρμάκων ἐπιτιθεμένων καταφρονῶν, ὑπὸ
2 δὲ τῶν σφοδροτέρων παροξυνόμενος. δυνατὸν μὴν τοὺς ἀρχομένους καρκίνους κωλύειν αὔξεσθαι τὸν μελαγχολικὸν χυμὸν κενοῦντας, πρὶν ἐν τῷ πεπονθότι μορίῳ στηριχθῆναι. κενώσομεν δὲ πρῶτον μέν, εἰ μή τι κωλύοι, διὰ φλεβοτομίας, ἔπειτα δὲ διὰ καθάρσεως, κατ᾽ ἀρχὰς μὲν τοῖς ἁπλουστέροις, οἷόν ἐστι τὸ ἐπίθυμον πλῆθος ℔ δ̄ ἐν ὀρῷ γάλακτος ἢ μελικράτῳ διδόμενον, εἰς ὕστερον δὲ καὶ διὰ τῆς ἱερᾶς τὸν μέλανα λαμβανούσης ἐλλέβορον. ἐπὶ δὲ τοῦ πεπονθότος τόπου προσφερόμενον ἀλύπως ποιεῖ τοῖς εἱλκωμένοις στρύχνου χυλὸς ὀθονίου μαλακοῦ διπτύχου δευομένου ἐν αὐτῷ καὶ ἐπιτιθεμένου· δεῖ δὲ ἔξωθεν κατ᾽ αὐτοῦ ἐρίον ἁπαλὸν περιβάλλειν δευόμενον καὶ αὐτὸ τῷ χυλῷ καὶ προνοεῖν, ὅπως μὴ ξηρανθείη ταῦτα, συνεχέστερον ἐπαντλουμένου τοῦ χυλοῦ.

7 λόγοις] *III 26 et 67* 10—*p. 349, 2 Oribasius, Synops. VII 13; Ad Eunap. III 28. Aëtius XIV 57*

1 ἐν *om.* F: καὶ D τῇ] δὲ τῇ F σαραπίδι FK: σαριπιάδι E ἥ τισι A 3 χρηστέον D 4 θεραπεύειν E: θεραπεύει F: θεραπεύεται H 6 ἅπαντι] DFK: παντὶ ABEGHM 7 ὑστέραις DK *et corr. ex* ὑστέροις F 13 ἐκτείνονται G 14 τοῦ (*alt.*) *om.* EF τετύχηκε ταύτης ABEM: *corr.* B² (β-α): τετύχηκεν ταύτης H 17 τοῦτο K 18 ταῖς] DK: *om.* F: τῆς ABEGHM ἥκων K: ἥκειν F καθάρσεσιν] DK: καθάρσεσι F: καθάρσεως ABEGHM 19 ἢ] DHK: εἰ ABEM: *om.* FG 20 μὴν] μὲν B: μὲν οὖν D: μέντοι F 21 κωλύσειν K 22 κένως K δὲ *om.* K πρῶτον μέν *om.* E: πρῶτον F 23 κωλύει DEFH 25 διδόμενον] DFGK: δίδομεν ABEHM καὶ *om.* BF τὸν] τῆς τὸν D 25. 26 μέλαν ἀναλαμβανούσης K

26 προσφερόμεν^ο D 27 εἱλκωμένοις] BGK: ἡλκωμένοις AEFHM: ἡλκωμένοις ἐντέροις D 28 δευομένου] δεδευμένου D: *corr.* D³ 29 ἐρίου BM δεδευμένον D καὶ αὐτὸ τῷ] τῷ αὐτῷ F αὐτῷ AEH

χρήσαιτο δ' ἂν τις χρονίως ἐπὶ τῶν εἱλκωμένων καρκίνων καὶ τῷ διὰ πομφόλυγος· οὐκ ἀνάρμοστα δὲ καὶ τὰ κατὰ τὸ τρίτον περὶ τῶν ἐν ὑστέρᾳ καρκίνων λελεγμένα βοηθήματα.

Πρὸς τὰ καρκινώδη καὶ κακοήθη πρός τε τὰ ἐν ἕδρᾳ στολιδώδη καὶ τὰς ἐν αἰδοίοις ἢ ὄρχεσιν ἢ μαστοῖς φλεγμονάς. 3

ἐν μολιβδίνῳ ἰγδίῳ καὶ δοίδυκι μολιβδίνῳ Λημνίαν σφραγῖδα δι' ὀξυκράτου ἢ μελικράτου ἢ γάλακτος ἐκτρίψας, ὥστε μελανθῆναι ἢ ῥόδινον ἢ ὀμφάκινον ἔλαιον ἢ χυλὸν ἀειζώου ἢ κοτυληδόνος ἢ θριδακίνης ἢ ψυλλίου ἢ ὄμφακος τρίψας ὁμοίως κατάχριε.

διαιτάσθω δὲ ὁ κάμνων ἔν τε χυλῷ πτισάνης πλεονάζων καὶ γάλακτος ὀρῷ καὶ λαχάνων μαλάχῃ καὶ ἀτραφάξυϊ βλίτῳ τε καὶ κολοκύνθῃ καὶ τοῖς πετραίοις τῶν ἰχθύων καὶ ὀρνέοις ἅπασι πλὴν τῶν ἑλείων.

Ἀρχιγένους πρὸς καρκινώδη καὶ κακοήθη ἕλκη. 4

Καρκίνων ποταμίων κεκαυμένων καὶ καδμίας ἴσα λεῖα ἐπίπασσε ἢ τὴν σποδὸν τῶν καρκίνων μετὰ κηρωτῆς ἐπιτίθει ἢ ἐρυσίμου σπέρμα λεῖον σὺν μέλιτι ἐπιτίθει.

## κζ΄. Περὶ οἰδήματος.

Περὶ τῶν ἐπὶ θερμοτέροις χυμοῖς συνισταμένων ὄγκων διαλαβόντες αὖθις περὶ τῶν ἐναντίων διαληψόμεθα τὴν ἀρχὴν ἀπὸ τοῦ οἰδήματος ποιούμενοι. ὥσπερ γὰρ ἐπὶ χολώδει ῥεύματι τὸ ἐρυσίπελας, οὕτως ἐπὶ φλεγματώδει τὸ οἴδημα γίνεται, χαῦνός τις ὄγκος ὑπάρχων ἀνώδυνος. ἴσμεν δὲ δήπου καὶ ἄλλως οἰδήματα γινόμενα περὶ τοῖς ποσὶν ἐν ὑδερικαῖς διαθέσεσι καὶ φθόαις καὶ καχεξίαις. ἐπ' ἐκείνων μὲν οὖν σύμπτωμά ἐστι τὸ οἴδημα τοῦ κατέχοντος πάθους τὸν ἄνθρωπον οὐδεμιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον· ἀρκεῖ γάρ, εἴπερ ἄρα, τηνικαῦτα τρίβειν τὰ σκέλη, ποτὲ μὲν δι' ὀξυροδίνου, ποτὲ δὲ δι' ἐλαίου καὶ ἁλῶν ἢ καὶ αὐτῷ τῷ ὀξυροδίνῳ τῶν ἁλῶν ἐπεμβάλλοντα.

2 τρίτον] *cap. 67* κς΄ 3—4 *Aëtius XIV 57* 4—9 *cf. Oribasius, Coll. LI 57* 10—13 *Oribasius, Synops. VII 13; Ad Eunap. III 28* κζ΄ *Oribasius, Coll. XLIV 31; Synops. VII 35; Ad Eunap. III 51; cf. Aëtius XV 1*

1 χρονίως] μετρίως A, *corr. mrg.* (γρ.) ἐπὶ τῶν χρονίως D εἱλκωμένων] GK: ἡλκωμένων ABDEFHM τῷ] D: τῶν K: τὸ ABEFGHM 7 τρίψας D 8 ὀμφάκιον BH 11 καὶ *(pr.)*] ποιεῖ δὲ καὶ D ἀτράφαξυς DK: ἀτράφαξις F: ἀτράφαξυ G βλίτῳ] ἢ βλίτα D: βλήτον K τε *om.* EGM κολοκύνθῃ] FK: κολόκυνθα D: κολοκύντη ABEGHM 12 οἱ πετραῖοι D ὄρνεα D ἅπασιν HK: πάντα D 14 καὶ *om.* AE 15 κεκαυμένων] D: *om.* FH: *comp.* ABEGKM 16 ἢ] DF: *om.* ABEGHKM σπέρματος F

17 λειότατον DK: *om.* F 20 ἀπὸ] ἐπί K 24 φθόαις] DFH, *e corr.* B: φθοραῖς AEGKM, *e corr.* H 26 δεομένου D εἴπερ ἄρα *om.* D 28 ἢ ... ἁλῶν *om.* K αὐτῷ] D: αὐτὸ B: αὐτοῦ AEGHM τῷ ὀξυροδίνῳ αὐτῷ F τῷ ὀξυροδίνῳ] D: τοῦ ὀξυροδίνου AEGHM

διὰ δὲ τὸν φλεγματώδη χυμὸν ἐπιρρυέντα μορίῳ συστάντος οἰδήματος ἱκανὸς ἐνίοτε καὶ σπόγγος ὀξυκράτῳ βραχεὶς καὶ ἐπιτιθέμενος μετ᾽ ἐπιδέσεως ἠρέμα σφιγγούσης ἐκ τῶν κάτω μερῶν ἀρχομένης, τελευτώσης δὲ εἰς τὰ ἄνω. καινὸν δὲ χρὴ εἶναι τὸν σπόγγον· εἰ δὲ μὴ παρείη τοιοῦτος, ἐκκαθαίρειν τὸν παρόντα νίτρῳ καὶ μᾶλλον τῇ καλουμένῃ στακτῇ κονίᾳ. μὴ καθισταμένου δὲ ἐπὶ τούτοις τοῦ οἰδήματος βραχύ τι στυπτηρίας μιγνύειν· ἐπιτήδειον δὲ καὶ τὸ ἁπαλώτατον ἐλλύχνιον ὑγρότητι τοιαύτῃ δευόμενον καὶ ἐπιτιθέμενον· καλὸν δὲ καὶ τὸ γλαύκιον. κεχρονικὸς δὲ οἴδημα προϋπαλείψας ἐλαίῳ τὸ μόριον, εἶτα ἐπιθεὶς σπόγγον ἐκ κονίας καὶ σφίγξας βιαιότερον θεραπεύσεις. διαφορεῖ δὲ καὶ προστέλλει τοὺς οἰδηματώδεις ὄγκους γῆ πᾶσα καταχριομένη, καὶ μᾶλλον ἡ Αἰγυπτία, καὶ ἰσάτις ἥμερος.

## κη΄. Περὶ ἐμφυσήματος.

Πνεύματος φυσώδους ποτὲ μὲν ὑπὸ τῷ δέρματι, ποτὲ δὲ ὑπὸ τοῖς περιοστέοις ὑμέσιν ἢ τοῖς τοὺς μῦς περιέχουσιν ἀθροιζομένου τὸ ἐμφύσημα γίνεται· ἀθροίζεται δέ ποτε καὶ κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα καὶ μεταξὺ τούτων τε καὶ τοῦ περιτοναίου κατὰ τοὺς τυμπανίας προσαγορευομένους ὑδέρους. καὶ διαφέρει γε τῶν οἰδημάτων τῷ πρὸς τῷ μὴ βοθροῦσθαι καθάπερ ἐκεῖνα πιεζόμενα καὶ ψοφεῖν ὥσπερ τύμπανον. συνεργεῖ δὲ τῷ μὴ διαπνεῖσθαι τὸ πνεῦμα τῶν σωμάτων ἡ πυκνότης ἅμα τῷ καὶ αὐτὸ παχυμερὲς εἶναι τὸ πνεῦμα· ὅθεν καὶ ὁ σκοπὸς τῆς θεραπείας ἀραίωσις μὲν τῶν σωμάτων, λέπτυνσις δὲ τοῦ πεπαχυσμένου πνεύματός ἐστι διὰ τῶν λεπτομερῶν τε καὶ θερμῶν ἐπιτελουμένη φαρμάκων. ἐπὶ μὲν οὖν τῶν κατὰ τὴν γαστέρα καὶ τὰ σπλάγχνα λεπτομερὲς ἔλαιον ἐργάζεται τοῦτο πήγανον ἐναπεζεσμένον ἔχον ἢ κύμινον ἢ σελίνου σπέρμα· καί ποτε καὶ σικύα μεγάλη χωρὶς ἀμυχῶν περὶ τὸν ὀμφαλὸν δὶς ἢ τρὶς τεθεῖσα διεφόρησεν. τῶν μυῶν δὲ διὰ θλάσιν, ὥσπερ ἐπὶ κρούσμασιν, ἐμπεφυσημένων ἐπὶ τοῖς ἄγαν θερμοῖς καὶ δριμέσιν ἀγανακτεῖν συμβαίνει τὰ μόρια· διὸ κατ᾽ ἀρχὰς

κη΄ *Oribasius, Coll. XLV 22; Synops. VII 50; Ad Eunap. III 61; cf. Aëtius XV 2*

2 ἐπιτιθέμενος] DFK: ἐπιτεθεὶς ABEGHM 4 παρείη] DF: παρίει H: παρῇ ABEGK: παρεῖ M 6 κονίᾳ στακτῇ DM καθισταμένου] F: καθαιρομένου ABEGHKM: καθαιρουμένου B²: ἐνδιδόντος D τι] τι καὶ D 9 κεχρονικὸς] καιχρονικὸς H: κεγχρονικὸς M: καὶ χρονικὸν D: καὶ χρονικῶς F τὸ μόριον ἐλαίῳ D ἐπιθεὶς] DF: ἐπιτιθεὶς ABEGHM: ἐπιτίθει K 10 σφίξας FH: σφίγμα G βιαιότερον] AFHM: βεβαιότερον BDEK: προυπαλείψας G 11 προστέλλει *etiam codd. Or.* 12 καὶ] BDF: καὶ ἡ AEGHKM ἥμερος] ἡ ἥμερος DF 15 περιοστέοις] *corr. ex* ὀστέοις B²: περὶ τὰ ὀστέα D ἢ] οἱ D: *om.* F τοῖς *(alt.) om.* DF: εἰς K τὸ] τοῦ K *et post ras.* A 16 ἐμφυσήματος K 17 τε] δὲ K τοῦ] τὸ B: *om.* DFM 20 μὴ *om.* K 23 πεπαχυσμένου] DK: πεπαχυμένου F: παχέος ABEGHM διὰ] δὲ K

24 τὴν *om.* F τὰ *om.* DF 27 προ^ς^τεθεῖσα D 28 ἐπὶ κρούσμασιν] DFM³: ἐπὶ κρούσματι K: ἐπίκρουσμα ABEGHM ἐμπεφυσημένων] ADHK: ἐμπεφυσιωμένων F: ἐπεμφυσημένων BGM: ἐπεμφυσημένον E 29 συμβαίνειν D

μὲν τοῖς παρηγορικοῖς δεῖ πλεονάζειν, παρακμῆς δὲ γενομένης τοῖς διαφοροῦσι. χρηστέον τοίνυν τῷ ἀφεψήματι μετ᾽ ἐλαίου βραχέος ἀναλαμβάνοντας οἰσυπηροῖς θερμὰ ἢ καὶ τὴν δι᾽ ὑσσώπου κηρωτὴν ἐπιμιγνύντας, καὶ φροντίζειν, ὅπως ἂν ἡ θερμότης παραμένοι· ψύχεσθαι γὰρ οὐ συμφέρει. παρηγορηθέντος δὲ τοῦ κάμνοντος ὄξους παραμιγνύναι καὶ νίτρου ἢ ἀφονίτρου καὶ μετὰ ταῦτα καὶ τῆς στακτῆς κονίας, εἶθ᾽ ὕστερον διαφορητικαῖς ἐμπλάστροις εἰς ἀποκατάστασιν χρῆσθαι, οἷα ἐστι καὶ ἡ ὑποτεταγμένη· γλοιὸν ἀποζέσας διήθησον πρῶτον, ὡς καθαρὸν γενέσθαι, καὶ πάλιν ἐμβαλὼν τῇ κακάβῃ καὶ λεάνας ἄσβεστον τίτανον ὡς ἄλευρον ἔμπασσε μέχρι πηλώδους συστάσεως καὶ χρῶ. τούτου δὲ δραστικώτερόν ἐστι τὸ διὰ συκομόρων σύνθετον φάρμακον.

### κθ΄. Πρὸς στρέμματα καὶ θλάσματα.

Πρὸς τὰ περὶ τοῖς ἄρθροις στρέμματα καὶ θλάσματα ποιεῖ ἔρια οἰσυπηρὰ ἢ σπόγγος ὀξελαίῳ βρεχόμενος καὶ ἐπιτιθέμενος, βολβῶν ἑφθῶν τὰ ἁπαλὰ μετὰ μέλιτος ἢ κηρωτῆς, ἅλας λεῖον μετὰ μέλιτος, ἄγνου φύλλα καὶ ἅλας καὶ νίτρον ὀπτὸν λεῖα μετὰ κηρωτῆς. χρῶ δὲ καὶ καταντλήσει ὕδατος γλυκέος ἢ θαλασσίου θερμοῦ· μετὰ δὲ τὸ παύσασθαι τὴν φλεγμονὴν καὶ τοὺς πόνους καὶ ἀνατρίψει χρῶ τῶν ἐστραμμένων μορίων.

### λ΄. Περὶ σαρκοθλασμάτων καὶ ἐκχυμωμάτων.

Σαρκὸς θλασθείσης ὑπό τινος βαρέος ἐμπεσόντος καὶ τῶν μικρῶν ἐν ταύτῃ φλεβίων διακριθέντων αἷμα προχεῖται κατὰ διαπήδησιν, ὅθεν ἀθροιζόμενον ὑπὸ τῷ δέρματι ποιεῖ τὸ καλούμενον ἐκχύμωμα μὴ διαιρεθέντος τοῦ δέρματος, ᾧπερ ὄγκος εὐαφὴς εἴκων ἕπεται πελιδνὸς ἀνώδυνος τὰ πολλά. σκοπὸς οὖν ἐστιν ἡμῖν διαφορῆσαι τὸ περιεχόμενον αἷμα, καὶ τοῦτο συντόμως, πρὶν μελανθῆναι. κατ᾽ ἀρχὰς δὲ καὶ τῶν στυπτικῶν τι παραπλέκειν χρὴ τοῖς διαφοροῦσι διὰ τὸ τοὺς χι-

κθ΄ *Oribasius, Synops. VII 16; Ad Eunap. III 31; cf. Aëtius XIV 71*
λ΄ *Oribasius, Synops. VII 14; Ad Eunap. III 29; cf. Aëtius XIV 68*

2 βραχέντος D 3 θερμοῖς DF 3. 4 ἐπιμιγνύντες FK 4 ἢ] DF: *om.* ABEGHKM παραμένοι] ABDEGHKM: παραμένει F ψύγεσθαι K 6 ἀφρονίτρου K: φονίτρου M τῆς] τὴν K: ταῖς τῆς D 7 εἶθ᾽] AEF: εἰς BDGHKM διαφορητικοῖς D 8 ἡ *om.* K διήθησον] D: ἤθησον ABEGHKM: ἤθισον F 9 ἐμβαλὼν] DFK: ἔμβαλον ABEGM: ἔμβαλλε H καὶ λεάνας] λείου F ἄσβεστον] F: σβέσον ABDEGHKM 10 ἔμπασσε] ἔμπασε F: ἔμπλαττε K: καὶ ἔμπλασσε ABEGHM: καὶ ἔμπλαττε D 12 περὶ στρέμματος καὶ θλάσματος D 15 ἢ . . . μέλιτος] F: *om.* ABDEGHKM 16 νίτρον] EF: νίτρου D: κίτρον ABGKM: κήτρον H ὀπτοῦ D: κόπτων F λείου D μετὰ] μέρος μετὰ D: μετὰ μέλιτος ἢ μάλιστα F 17 καὶ] FG: *om.* ABDEHKM ἢ] ἐν K θαλασσίῳ θερμῷ K 21 βάρους F μικρῶν *om.* D 22 ἐν ταύτῃ] αὐτῇ F 23 μὴ] *supra scr.* M²: δ D: ἢ F 23. 24 ἀναιρεθέντος K 24 ᾧπερ] *scripsi*: ὅπερ F: ὥσπερ ABDEGHKM 25 οὖν] D: *om.* F: μὲν οὖν BEGHKM: μὲν μὲν οὖν A ἡμῖν ἐστι DK ἐστι F: ἐστι τὸ K ἡμῖν *om.* F 26 αἷμα . . . ἀρχὰς] δεῖ D 27 χρὴ *om.* D

τῶνας τῶν φλεβίων τεθλασμένους χρήζειν πυκνώσεως· μετὰ δὲ ταῦτα καὶ χωρὶς τοῦ στύφειν τοῖς διαφορητικοῖς μόνοις χρησόμεθα· καὶ ἀποσχάζοντες δὲ ἐν ἀρχῇ τὰ ἐκχυμώματα οὕτω τὴν ἑξῆς θεραπείαν προσάγομεν. πρὸς δὲ τὰ χρόνια τῶν ἐκχυμωμάτων ῥάφανος καταπλασσομένη ποιεῖ· ἀφαίρει δὲ αὐτήν, ὅταν ἄρξηται δάκνειν· ἢ ῥαφάνων χυλὸν μετὰ ψιχῶν κατάπλασσε. εἴδη δὲ τοῦ ἐκχυμώματός ἐστιν καὶ τὰ καλούμενα ὑπώπια καὶ τὰ ὑποσφάγματα καὶ ἡ κατὰ τοὺς ὄνυχας ἐπιδρομὴ τοῦ αἵματος ἐκ πληγῆς γινομένη· περὶ ὧν ἐν τοῖς ἰδίοις εἴρηται τόποις κατὰ τὸ τρίτον βιβλίον, περὶ δὲ τῶν ἐν τοῖς ὄνυξι κἀν τοῖς χειρουργουμένοις εἰρήσεται.

## λα΄. Περὶ ῥήγματος καὶ σπάσματος.

1 Τὰ ῥήγματα σὺν ἐκχυμώσεσι μὲν γίνεται πάντως, ἰᾶται δὲ αὐτὰ τῶν φαρμάκων τὰ μετρίως θερμαίνοντα· τοιοῦτο δέ ἐστι τὸ διὰ τῶν αἰγείρων ἄκοπον, καὶ ὅσα τούτῳ ὅμοια. δεῖ δὲ ἐπὶ τῶν ἐν βάθει τοῦ σώματος ῥηγμάτων δριμύτερα καὶ τμητικώτερα προσφέρειν τὰ φάρμακα· ὠφέλιμος δὲ τοῖς τοιούτοις καὶ ἡ τῆς σικύας χρῆσις. ἐὰν μὲν οὖν εὐθὺς διαφορηθῇ τὸ ὅλον ἐκχύμωμα, συμφύεται ῥᾳδίως ἡ διαστᾶσα σάρξ· ἐὰν δὲ χρονίσῃ καὶ ῥύπος ὑποτραφῇ, συμφυῆναι τῷ ῥήγματι λοιπὸν ἀδύνατον, παρατιθέναι δὲ ἀλλήλοις τὰ χείλη μόνον, ὡς καὶ μικρὰν πρόφασιν ῥᾳδίως αὐτὰ διιστᾶν ἐμπίπλασθαί τε τὴν μεταξὺ χώραν αὐτῶν ὑγρότητός τινος καὶ τρόπον τινὰ συνεχῶς ἐκχύμωμα γίνεσθαι παραπλήσιον τῷ κατ᾽ ἀρχάς, πλὴν ὅτι θᾶττον ἐκείνων διαφορούμενον ἅτε ἰχῶρα λεπτὸν περιέχον, τοῦ κατ᾽ ἀρχὰς ἐξ αἵματος συνισταμένου.
2 τὸ δὲ σπάσμα γίνεται διασπωμένων τινῶν ἰνῶν καὶ παρηγορίας μόνης δεῖται ἄχρις ἀνωδυνίας· κολληθῆναι γὰρ αὐτὰς οὐ δυνατόν. ἀριστολοχία τοίνυν στρογγύλη ῥήγμασι καὶ σπάσμασιν, εἴπερ τι ἄλλο, ἐπιτήδειον, ὁμοίως κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα καὶ ὁ χυλὸς αὐτῆς, ῥέον, κόστος, βδέλλιον σὺν ὀξυμέλιτι πινόμενα.

9 τρίτον] *capp. 25, 4; 22, 7; 81, 6* 10 εἰρήσεται] *VI 86* λα΄ *Oribasius, Synops. VII 15; Ad Eunap. III 30; cf. Aëtius XIV 69—70*

1 χρήζειν] F: ὄντας χρήζειν D: ἔχειν χρήζειν ABEGHKM 2 καὶ *(pr.) om.* DF μόνοις] F: μόνον ABEGHKM: μᾶλλον D 3 οὕτως F προσάγομεν] DM: προσάγωμεν F: προσαγάγωμεν ABEGHK 5 ἀφαίρει] D: ἀφαιρεῖν F: ἀφορεῖ K: διαφορεῖ ABEGHM ῥεφάνων BGKM: ῥαφάνου D χυλὸν] DF: *comp.* EK: χυλὸς ABGHM 6 μετὰ ψιχῶν κατάπλασσε] K: μετὰ ψιχῶν κατάπλαττε D: μετὰ ψιχῶν καταπλασσόμενοι F: καταπλασσόμενος μετὰ ψιχῶν ABEGHM εἶδος F ἐστιν] -ν *eras.* B: ἐστι M: εἰσι D: *om.* F 9 δὲ] τε K καὶ K 12 ἐκχυμώσεσι] *Or*: ἐγχυμώσεσι F: ἐκχυμώσει ABDEGHKM ταῦτα DF 13 τοιοῦτον G 14 τούτῳ] τῶν τοιούτων D 16 τῆς σικύας ἡ DF 19 παρατεθῆναι F δὲ *om.* K 19. 20 μικρᾷ προφάσει F 20 διεστάναι F 21 συνεχὲς D γίνεται K 22 πλὴν . . . ἀρχὰς *(23) om.* D διαφορουμένων FGK 23 συνισταμένῳ D 24 ἰνῶν τινων G 25 ἄχρις] DF: ἄχρι ABEGHKM 26 ἀριστολοχία] DF, *e corr.* B: *comp.* GK: ἀριστολοχίας ABEHM στρογγύλη] DF, *e corr.* B: *comp.* G: στρογγύλης ABEHKM 27 αὐτοῦ F 28 ῥῆον G: ῥαῖον D

## λβʹ. Περὶ σκίρρων.

Ὁ μὲν ἀκριβὴς σκίρρος ὄγκος ἐστὶν παρὰ φύσιν ἀναίσθητός τε καὶ σκληρός, ὁ δὲ οὐκ ἀκριβὴς δυσαίσθητος· καὶ ὁ μὲν ἀναίσθητος ἀνίατος, ὁ δὲ δυσαίσθητος οὐκ ἀνίατος μέν, οὐ μὴν εὐίατος· γίνεται γὰρ ὑπὸ γλίσχρου καὶ παχέος χυμοῦ δυσλύτως ἐμπλαττομένου τοῖς σκιρρουμένοις μορίοις. ἐνίοτε μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς συνίσταταί τε καὶ αὔξεται, τὰ πολλὰ δὲ ὑπὸ τῶν ἰατρῶν κατασκευάζεται ψυξάντων τε καὶ στυψάντων σφοδρῶς ἐρυσιπέλατά τε καὶ φλεγμονάς. ἐὰν μὲν οὖν τις τὰ ἰσχυρῶς διαφοροῦντα τοῖς σκιρρουμένοις σώμασιν προσφέρῃ φάρμακα, σαφῆ μείωσιν ἐργασάμενος τοῦ σκίρρου χρόνῳ βραχεῖ τὸ λοιπὸν τοῦ πάθους λείψανον ἀνίατον ἐργάσεται τῆς μὲν λεπτοτέρας ὑγρότητος διαφορηθείσης, τῆς δὲ λοιπῆς ἀποξηρανθείσης καὶ οἷον λιθώδους γεγενημένης. χρὴ τοίνυν τὸ διαφορητικὸν φάρμακον ἔχειν τι καὶ μαλακτικὸν ἄνευ τοῦ θερμαίνειν τε καὶ ξηραίνειν ἰσχυρῶς· τοιοῦτοι δέ εἰσιν μυελοί τε σύμπαντες καὶ μᾶλλον ὁ ἐλάφειός τε καὶ μόσχειος, στεάτων δὲ τό τε λεόντειον καὶ τὸ τῆς παρδάλεως καὶ τὸ τῶν ἄρκων, εἶτα τῶν ταύρων, ἐν δὲ τοῖς ὀρνέοις τό τε χήνειον καὶ τὸ τῆς ἀλεκτορίδος καὶ φασιανικόν, ξηρότερόν τε τὸ τῶν αἰγῶν τε καὶ τράγων, ἔτι τε πρὸς τούτοις ἀμμωνιακὸν θυμίαμα καὶ βδέλλιον, μάλιστα τὸ Σκυθικόν, καὶ
στύραξ ὁ ὑγρότερός τε καὶ λιπαρὸς καὶ ἡ Αἰγυπτία μαστίχη. ἐπὶ μὲν 2
οὖν τῶν ἄλλων μορίων σκιρρωθέντων ἑκάστῳ τε τούτων κατ᾽ ἰδίαν χρηστέον καὶ τοῖς ἐξ αὐτῶν συντιθεμένοις φαρμάκοις· ἐπὶ δὲ τῶν τενόντων καὶ συνδέσμων ὄξει δριμυτάτῳ δεῖ σβεννύειν προπυρωθέντα λίθον, εἰ μὲν οἷόν τε, τὸν πυρίτην, εἰ δὲ μή, τὸν γοῦν μυλίτην, ἐφ᾽ οὗ τὸ πεπονθὸς μόριον χρὴ διακινεῖν, ὅπως τὸν ἀναφερόμενον ἀτμὸν δέχοιτο, καὶ μετὰ τοῦτο πάλιν τὸ μαλακτικὸν ἐπιτιθέναι φάρμακον ἐλαίῳ τε μὴν λεπτομερεῖ ἀπ᾽ ἀρχῆς, οὐχ ὕδατι, τὸ μόριον καταντλεῖν ἄχρι παντὸς ἑκάστης ἡμέρας, ἐναφέψοντας ἐνίοτε τῷ ἐλαίῳ καὶ τῆς ἀλθαίας τὴν ῥίζαν ἢ τοῦ ἀγρίου σικύου· λουτροῦ δὲ τὸ παράπαν ἀφεκτέον αὐτοὺς ἢ γοῦν τοῦ συχνοῦ. μετρίως δὲ τοῦ σκίρρου μαλαχθέντος ἀμμωνιακὸν τὸ λιπαρώτατον διέντες ὄξει δριμυτάτῳ καταχρίομεν τὸ

λβʹ *Oribasius, Coll. XLIV 30; Synops. VII 34; Ad Eunap. III 50. cf. Aëtius XV 3—4*

5 δυσλύτως ἐμπλαττομένου *om.* K 6 τε *om.* FGH 7 δὲ πολλὰ D 8. 9 ἰσχυρῶς τὰ G 9 φάρμακα *om.* D 10 σαφῆ] DFGK: καὶ σαφῆ ABEHM 11 ἐργάσεται] DK: ἐργάσηται ABEM: ἐργάσιται H: ἐργάζεται FG 14 τοιοῦτο E 15 τε *(pr.)*] DFGK: *supra scr.* B: *om.* AEHM ὁ *om.* DE 16 δὲ] τε H 18 φασιανικόν] G: φασινιακόν B: τὸ φασιανοῦ D: φασιανῶν F: φασιανικοῦ AEHKM τε *(pr.)*] δὲ D τε *(sec.) om.* A καὶ *(alt.)*] DFK: καὶ τῶν ABEGHM 19 ἀμμωνιακὸν] ADEFGB²: ἀμμωνιακοῦ BHKM θυμίαμα] *comp.* ABGKM: *om.* FH μάλιστα] καὶ μάλιστα D 20 ὁ] *supra scr.* D: *om.* F 21 ἑκάστῳ τε] ἑκάστοτε FGH *et e corr.* B 23 καὶ] BDFK: τε καὶ AEGHM 24 τὴν πυρίτιν D 25 ὅπως] DFGK, *in ras.* B³: ἐφ᾽ οὗ AEHM 27 μὴν *om.* DFG τὸ *om.* FH: *ins.* B³ μόριον . . . ἐναφέψοντας *(28)*] μόνῳ ἀλλ᾽ F καταντλεῖν] *scripsi*: ἀπαντλεῖν ABEGHKM: ἐπαντλεῖν *e corr.* D 28 ἡμέρας *om.* M ἐναφέψοντες K 31 ἀμμωνιακοῦ F

μόριον ἄχρι συχνῶν ἡμερῶν· μεθ' ἃς πάλιν τῷ μαλακτικῷ χρηστέον προσειληφότι χαλβάνης τε καὶ ὀποπάνακος καὶ τῶν λιπαρωτάτων· τοιαῦτα δέ εἰσι μάλιστα τὸ διὰ πέρνης καὶ τὸ Ἀμυθάονος καὶ τὰ πρὸς χοιράδας ἀναγραφησόμενα φάρμακα.

## λγʹ. Περὶ χοιράδων.

1 Αἱ χοιράδες ἀδένες εἰσὶν ἐσκιρρωμένοι κατά τε τὸν τράχηλον καὶ μασχάλας καὶ βουβῶνας μάλιστα συνιστάμεναι. κοινῶς μὲν οὖν τῇ τῶν σκίρρων εἰρημένῃ νῦν ὑπάγεται θεραπείᾳ· ἰδίως δὲ θέρμων πικρῶν ἄλευρον δι' ὀξυμέλιτος ἕψων κατάπλασσε (τοῦτο καὶ πρὸς τὰ φύματα) ἢ βοείᾳ κόπρῳ σὺν ὄξει ἑψομένῃ κατάπλασσε (τοῦτο καὶ τοὺς σκιρρώδεις ὄγκους ἅπαντας διαφορεῖ). καλῶς δὲ διαφορεῖ χοιράδας ἄσβεστος μέλιτι ἢ γλοιῷ ἀναληφθεῖσα ἢ ἐλαίῳ ἢ στέατι χοιρείῳ, ἢ ἀσβέστου καὶ νίτρου ἴσα, καρδαμώμου καὶ τήλεως τετραπλοῦν, σὺν μέλιτι ὡς μάλαγμα
2 ἐπιτίθει· τὰς σκληρὰς διαφορεῖ. τὰς μεταβεβλημένας ῥήσσει αἴρινον ἄλευρον μετὰ περιστερᾶς κόπρου καὶ λινοσπέρμου ἐν οἴνῳ ἑψηθέν, ὄλυνθοι ἄγριοι καὶ ἥμεροι, ἢ κάρδαμον λευκὸν λεῖον μετὰ πίσσης ὑγρᾶς μαλαγματῶδες ποιῶν ἐπιτίθει ἢ σικύου ἀγρίου ῥίζης ξηρᾶς καὶ δάφνης φύλλων ξηρῶν κεκαυμένων τὴν τέφραν μετὰ τερμινθίνης ἐπιτίθει ἢ σταφίδος ἀγρίας, νίτρου τὸ ἴσον, εὐζώμου τὸ διπλάσιον, μετὰ ῥητίνης ἐπίθες ἢ κόπρον αἰγείαν ἢ βοείαν ἐν ὄξει ἑφθὴν ἢ ὀρόβινον ἄλευρον ἐν οὔρῳ ἀφθόρου παιδὸς βραχὲν καὶ ἀναληφθὲν πίσσῃ καὶ κηρῷ ἐν ἐλαίῳ τετηκόσιν ἢ ὄφιν νεκρὸν βαλὼν εἰς χύτραν καὶ γυψώσας δὸς εἰς κάμινον καυθῆναι καὶ τὴν σποδὸν αὐτοῦ μῖξον τήλεως ἴσῳ καὶ ἀναλαβὼν μέλιτι χρῶ. καὶ τὸ διὰ τῶν ἀσπίδων δὲ φάρμακον θαυμαστόν ἐστι τό τε διὰ τοῦ στρουθίου καὶ τὸ διὰ τοῦ ἀγρίου σικύου καὶ τὸ διὰ κεδρίας.

3 χοιράδας διαπυΐσκει ἢ διαχεῖ· σμύρνης < ῑ, ἀμμωνιακοῦ θυμιάματος < ζ̄, ἰξοῦ δρυΐνου < η̄, χαλβάνης < δ̄, προπόλεως < ᾱ· ὀλμοκοπεῖται.

4 Πρὸς χοιράδας μαστῶν καὶ σκληρίας.

Ἰξοῦ εἰργασμένου, ῥητίνης ξηρᾶς, κηροῦ ἀνὰ λι. ᾱ, χαλβάνης F γ.

λγʹ 1—2 *Oribasius, Coll. XLV 21; Synops. VII 29; Ad Eunap. III 44*

2 καὶ τῶν] D: τῶν ABEFGHKM 3 εἰσιν E: ἐστι FK πτέρνης F 6 τὸν *om.* D 9 κατάπλαττε DF τὰ πρὸς K 10 ἑψημένῃ F κατάπλαττε DF 11 καλῶς δὲ διαφορεῖ *om.* K 12 ἔλαιον ἢ στέαρ χοίρειον D ἄσβεστον D 13 νίτρον D καρδάμου GK: ἢ καὶ καρδαμώμου D 14 τὰς . . . ῥήσσει] ποιεῖ καὶ D σκληρίας F ἴρινον FG 15 καὶ] ἢ D λινόσπερμον DF 16 ὄλυνθοι] καὶ ὄλυνθοι D κάρδαμον] καὶ καρδάμωμον D 18 τερεμινθίνης B: τερεβινθίνης DF 19 νίτρου] καὶ νίτρου D τὸ *(alt.)*] τε τὸ D 20 ἐπιτίθει FM 21 ἐν *(alt.)*] D: καὶ ABEFGHKM 23 τῷ σποδῷ F ἴσον FG 25 τοῦ *(pr.)*] *supra scr.* D διὰ τοῦ *(alt.)* *om.* F: δι' D 27 σμύρνης] ἄλλο. σμύρνης D 28 ὀλμοκοπήσας χρῶ DF 29 μαστῶν καὶ] *mut. in* καὶ μαστῶν B²: μασθῶν καὶ K: καὶ μασθῶν F 30 ἰοῦ K ῥητίνης] καὶ ῥητίνης K F] ἀνὰ F G γ̄] γ̄ ποιεῖ D: γ̄ ἑνώσας χρῶ F

### Πρὸς χοιράδας εἱλκωμένας καὶ ἀνελκωτούς. 5

Κηροῦ πιτυΐνης, στέατος χοιρείου ἀνάλου, πρασίου, ἰοῦ ξυστοῦ ἀνὰ ℥ ϛ̄.

### Χοιραδικόν. 6

Ἐλαίου παλαιοῦ λι. β̄, κηροῦ λι. ᾱ, κολοφωνίας ℥ δ̄, νίτρου ℥ δ̄, σκόρδα ιβ̄· λεπίσας τῶν σκόρδων τὰς ἄγλιθας βρέξον εἰς τὸ ἔλαιον ἐπὶ ἡμέρας γ̄, εἶτα ἑψήσας, ἕως φρυγῶσιν, αὐτὰς μὲν ῥῖψον, ἐντήξας δὲ τὰ τηκτὰ τῷ ἐλαίῳ μετὰ τὸ ἀφελεῖν τοῦ πυρὸς ἔμπασσε λειότατον τὸ νίτρον· ῥήσσει καὶ ἀποστήματα.

Ἄλλο. συκίνης τέφρας ℥ β̄, σχιστῆς ℥ ᾱ, ἀφονίτρου ℥ ᾱ, ὑγροπίσσης ℥ ζ̄.

### Σηπτὴ χοιραδική. 7

Σχιστῆς, σανδαράχης ἀνὰ < δ̄, λεπίδος χαλκοῦ < β̄, ἀρσενικοῦ < ᾱ· ξηρῷ κατάπασσε χοιράδας, ἐὰν δὲ ᾖ καρκινώδη, ῥοδίνῳ φυράσας δὶς τῆς ἡμέρας χρῶ.

## λδʹ. Περὶ στεατωμάτων καὶ ἀθερωμάτων καὶ μελικηρίδων.

Τοῦ γένους τῶν ἀποστημάτων, ὡς ἐν ἐκείνοις ἐλέγομεν, ὑπάρχοντα καὶ ταῦτα προσηγορίας ἕκαστον αὐτῶν ἰδίας τετύχηκεν ἀπὸ τῆς ὁμοιότητος τῶν περιεχομένων οὐσιῶν κατὰ τοὺς ὄγκους· ἔστι γὰρ αὐτῶν ἡ μέν τις οἱόνπερ τὸ στέαρ, ἡ δὲ οἷον μέλι, καί τις ἀθήρᾳ παραπλήσιος. οἱ σκοποὶ δὲ τῆς θεραπείας κοινοί, διαφορῆσαι τὸ περιεχόμενον ἢ σῆψαι πᾶν ἢ ἐκτεμεῖν. ἔνιοι μὲν οὖν ὄγκοι τοῖς τρισὶν ὑποπίπτουσι σκοποῖς, οἳ [μὲν] λεπτότερον ὑγρὸν ἔχουσιν, ὡς μελικηρίς, ἔνιοι δὲ τοῖς δύο μόνοις, ὥσπερ τὸ ἀθέρωμα· καὶ γὰρ καὶ ἐκτεμεῖν

λγʹ 5 *Oribasius IV 609, 27* λγʹ 7 *Oribasius IV 620, 1* λδʹ *cf. Aëtius XV 8* 17 ἐλέγομεν] ιηʹ 8 18—p. 356, 2 *Galenus, Meth. med. XIV 12 (X p. 985)*

1 εἱλκωμένας] BGK: εἱλκωμένους AE: ἡλκωμένας DFHMB[2] 3 ϛ̄] ϛ̄ χρῶ F

5 ℥ δ̄ *(pr.) om.* D νίτρου ℥ δ̄ *om.* F ℥ *(alt.)*] ἀνὰ ℥ D 6 σκόρωδα K: σκόροδα D: σκορόδων F ιβ̄] τρισκαίδεκα D τῶν . . . ἄγλιθας] τὰ σκόροδα F σκορόδων DK ἄγλιθας] ABEHKM: σκελίδας DG, *mrg.* B[2] (γρ.) 7 αὐτὰς] GK: ταύτας D: αὐτὰ ABEFHM μὲν *om.* D 8 τὰ τηκτὰ τῷ ἐλαίῳ] DFGK: τῷ ἐλαίῳ τὰ τηκτὰ ABEHM τὸ *(pr.)*] τοῦ BH ἔμπασσε] G, *e corr.* B: ἐπίπασαι F: ἔμπλασσε ABDEHKM λειότατον *om.* F τὸ *(alt.) om.* DF

9 νίτρον] νίτρον λεῖον F καὶ *om.* G 10 Ἄλλο] *mrg.* A[2]: *om.* E ℥ ᾱ *(pr.) om.* DF ἀφρονίτρου K ℥ *(alt.)*] ἀνὰ ℥ DF 12 σηπτική D: σηπτικὸν F χοιριακή K: χοιριακῶν F 13 ἀνὰ *om.* D β̄] ᾱ M 14 ξηρῷ] *seq. ras.* B: ξηροῖς D κατάπλασσε EG: κατάπλαττε τὰς D καρκινῶδες F

16 στεάτων HM *et* B, *corr.* B[3]: στεα^τω^μάτων D 17 ἐν] *in ras.* B[2]: *om.* HM 18 ταῦτα] ταῦτα καὶ K 20 οἱόνπερ τὸ] οἷόν τι D: οἱόνπερ καὶ E ἀνθηρὰ K: ἀθέρι DF 21 παραπλησίως K: παραπλησία F: παραπλησίως ἔχει D 23 ὑποπίπτουσα D οἳ μὲν] οἷα δὴ D: ὅσοι F: μὲν *deleo* ἔχοντες D 24 ἀθέρωμα] DFGK: ἀθήρωμα ABEHM ἐκτεμεῖν] DFK: ἐκτέμνειν ABEGHM

οἷόν τε καὶ σῆψαι τοῦτο· τὸ δὲ στεάτωμα διὰ τῆς χειρουργίας μόνης θεραπεύεται μήτε σαπῆναι μήτε διαφορηθῆναι δυνάμενον· ἑκάστου δὲ τούτων τὴν διάγνωσιν ἐν τοῖς χειρουργουμένοις εὑρήσεις. τῶν μὲν οὖν διαφορούντων τὴν ὕλην ἐν τῷ περὶ χοιράδων εὑρήσεις· ἰδίως δὲ μελικηρίδας διαφορεῖ τοῦτο· σταφίδες ἀφαιρεθέντων τῶν γιγάρτων κ̄, λεπίδος 𐅵 γ̄· προπυριῶν ἐπιτίθει.

2 Ἄλλο. λαδάνου, βδελλίου, χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος, προπόλεως, τερμινθίνης ἴσα· ὁλμοκοπεῖται. ποιεῖ καὶ χοιράσι, παρωτίσι, δοθιῆσι, φύμασιν.

ὁ δὲ Ἀρχιγένης· πρὸς μελικηρίδας, φησίν, ἀφόνιτρον καὶ ἐλλεβόρου τὸ διπλοῦν μετὰ κηρωτῆς σκληρᾶς ἐπιτίθει.

3 τοῖς δὲ σηπτοῖς οὐχ οἷόν τε χρήσασθαι περικειμένου τοῦ δέρματος· δεῖ οὖν τούτου πρότερον τὰς μελικηρίδας τε καὶ τὰ ἀθερώματα ἢ καὶ χοιράδας γυμνοῦν διὰ τῶν καυστικῶν φαρμάκων· ἐξ ὧν ἁπλούστερον μέν ἐστιν τὸ λαμβάνον ἀσβέστου καὶ σάπωνος καὶ στακτῆς κονίας, ποικιλώτερον δὲ καὶ φυλάττεσθαι δυνάμενον ἀποθέσει τοῦτο· ἀσβέστου 𐅵 δ̄, σφέκλης (ἥτις ἐστὶν τρὺξ οἴνου) κεκαυμένης, νίτρου ὑγροῦ ὀπτοῦ ἀνὰ 𐅵 β̄, μίλτου 𐅵 ᾱ· λείου ἐν στακτῇ κονίᾳ, ποιήσας δὲ πάχος μέλιτος ὑγροτέρου ζέσον πράως, ὥστε πως συστῆναι, καὶ ἀπόθου ἐν μολιβδίνῃ πυξίδι παραστάζων τῆς κονίας, ὅπως μὴ ταχέως ξηρανθῇ. ποιεῖ καὶ πρὸς ἀκροχορδόνας, μυρμηκίας, πτερύγια, ἥλους, τύλους, οὐλὰς ὑπερεχούσας· ἡ σφέκλα μὴ παλαιοτέρα δύο μηνῶν ἔστω. τούτῳ ἐπίχριε τὸ δέρμα καί, ὅταν ἄρξηται ξηραίνεσθαι, ἀποπλύνας σπόγγῳ αὖθις ἐπίχρισον καί, ὅταν μελανθῇ τὸ δέρμα, πάλιν ἀποπλύνας τοῖς ἀπεσχαρωτικοῖς· ἐκπεσούσης δὲ τῆς ἐσχάρας τὰ σηπτὰ παραλαμβανέσθω.

σηπτὴ ἱκανῶς ἄδηκτος. λεπίδος χαλκοῦ 𐅵 δ̄, σανδαράχης 𐅵 β̄, ἐλλεβόρου μέλανος 𐅵 β̄· μετὰ ῥοδίνου χρῶ.

4 Ἄλλο. λεπίδος, σανδαράχης, κνίδης σπέρματος πεφωσμένου ἴσα· μετὰ ῥοδίνου χρῶ.

3 χειρουργουμένοις] *VI 36* 4 τῷ περὶ χοιράδων] *cap.* λγʹ 5—6 *Oribasius IV 610, 25* 28—29 *Oribasius IV 619, 29*

2 διαφθαρῆναι E 3 τούτου ABEHM: *corr.* B τῶν . . . εὑρήσεις *(4) om.* F οὖν *om.* K 4 τῷ] τοῖς B 5 κ̄ . . . γ̄ *(6) om.* F 6 γ̄] δ̄ GK 7 Ἄλλο] *mrg.* E$^{2}$D$^{3}$ 8 τερεβινθίνης DF καὶ ποιεῖ D 10 πρὸς *om.* K ἀφφρόνιτρον K ἐλλέβορον D 11 τὸ *om.* D διπλοῦν] λευκοῦν A, *corr. mrg.* (γρ.) μετὰ *om.* D κηρωτῇ σκληρᾷ D 12 σηπτικοῖς D 13 ἀνθερώματα K 14 φαρμάκων τῶν καυστικῶν A 15 μὲν *om.* K 16 καὶ *om.* AEF ἀποθέσει] ἐν ἀποθέσει F δ̄] ᾱ D 17 κεκαυμένης] κ$^{ε}$ ABDEGM: κεκαυμένου F: καὶ KB$^{2}$, *comp.* H ὑγροῦ *om.* GK ἀνὰ *om.* D 19 ὑγρότερον F: ὑγροῦ M πράως] DGK, *mrg.* B$^{2}$: τρεῖς M: τρὶς ABEFH ὥστε πως] τέ πως ὡς D καὶ *om.* D μολιβδίνῃ] DFK: μολυβδίνῃ ABEGHM 22 σφέκλα] AEB$^{2}$: σφέκλη D: σφέκλην F: φέκλα BGHKM τούτῳ] DG: τοῦτο ABEFHKM 24 τοῖς] χρῶ τοῖς F ἀπεσχαρωτικοῖς] D, *e corr.* B: ἀποσχαρωτικοῖς BEGH: ἀπασχαρωτικοῖς K: ἐσχαρωτικοῖς AFM; *deinde add.* κέχρησο D: χρῆσαι G, *mrg.* B$^{3}$ 25 σηπτικὰ D 26 σηπτική D 𐅵 β̄ *om.* D 27 𐅵] ἀνὰ 𐅵 D χρῶ *om.* M 28 Ἄλλο] DFG: ἄλλ$^{ο}$/ K: ἄλλη ABEHM πεφωγμένου K ἴσοις D

Ἄλλο. ἐχίνων κεκαυμένων, σηπίας ὀστράκου, ἀρσενικοῦ ἴσα μετὰ ῥοδίνου· τὰ δὲ κύκλῳ προσκατάχριε ψιμυθίῳ μετ᾽ ἐλαίου.

ἀγαθὴ δὲ καὶ ἡ δι᾽ ἀσβέστου· ἀσβέστου μέρη β̄, χαλκίτεως μέρος ᾱ, ἀρσενικοῦ μέρος ᾱ.

## λε΄. Περὶ κηρίων.

Τὸ κηρίον ὄγκος ἐστὶν ἐπὶ τοῦ δέρματος ἔχων κατατρήσεις, δι᾽ ὧν μελιτῶδες ὑγρὸν ἐκκρίνεται. ἐπιθετέον οὖν αὐτῷ σταφίδας μετὰ πηγάνου ἢ συκῆς τὰ ἁπαλώτατα φύλλα μετὰ μέλιτος ἢ κάρδαμον μετὰ λινοσπέρμου σὺν μέλιτι ἢ σικύου ἡμέρου ῥίζαν μετὰ μέλιτος ἢ θεῖον ἄπυρον μετὰ κηρωτῆς ἢ τερμινθίνης. ποικιλωτέραν δὲ τὴν περὶ τῶν κηρίων ποιήσεις θεραπείαν τὰ ἐν τῷ περὶ ἀχώρων κατὰ τὸ γ΄ βιβλίον εἰρημένα μεταφέρων ἐνταῦθα.

## λϛ΄. Περὶ ἁπλοῦ ἕλκους.

Ἐπειδὴ τὸ ἁπλοῦν ἕλκος διαίρεσίς ἐστιν μόνον, εἴ τις συνάγοι τὰ διαιρεθέντα δεσμὸν ἐν κύκλῳ περιθείς, συμφυήσεται τὰ διεστῶτα μόρια χωρὶς ἑτέρας τινὸς πραγματείας· δεῖ δέ, ὅταν μὲν καθ᾽ ἕν τι τῶν χειλῶν ἐκτετραμμένον εἴη τὸ ἕλκος εἰς τὸ πλάγιον, ἐκεῖθεν τὴν ἀρχὴν ποιεῖσθαι τῆς ἐπιδέσεως καὶ περιτρέπειν εἰς τἀναντία, κατ᾽ ἀμφότερα δὲ οὔσης τῆς ἐκτροπῆς τὴν ἀπὸ δυεῖν ἀρχῶν παραλαμβάνειν ἐπίδεσιν καὶ προσάγειν οὕτως τὰ χείλη· μηδενὸς γὰρ μεταξὺ τῶν χειλῶν παρεμπεσόντος, οἷον τριχὸς ἢ ψάμμου ἢ ἐλαίου ἢ ῥύπου ἤ τινος τοιούτου, πάντως συμφυήσεται τὸ ἕλκος. μεγάλου δὲ ὄντος τοῦ ἕλκους, ὡς μὴ δύνασθαι τὰ κεχωρισμένα δι᾽ ὅλου συναχθῆναι διὰ τῆς εἰρημένης ἐπιδέσεως, ῥαφαῖς πρότερον αὐτὰ συνακτέον, εἶθ᾽ οὕτως ἐπιδήσαντα τοῖς κολλητικοῖς λεγομένοις χρηστέον βοηθήμασιν ξηραίνειν τε καὶ δαπανᾶν τὴν ἠθροισμένην ὑγρότητα καὶ ἑτέραν ἐπιρρεῖν κωλῦσαι δυναμένοις.

λε΄ *cf. Aëtius XV 11* 7—10 *Oribasius IV 611, 9* 11 γ΄ βιβλίον] *cap.* γ΄ 4
λϛ΄ *Oribasius, Synops. VII 1; Ad Eunap. III 13. cf. Aëtius XIV 26*

1 Ἄλλο *om.* E: *mrg.* F κεκαυμένων] καὶ F *et comp.* H σηπέας BGHKM: *corr.* B 2 ῥοδίνου] ῥοδίνου ποίει D: ῥοδίνου χρῶ F προκατάχριε B: κατάχριε DF ψιμιθίῳ G: ψιμυθίου K 3 δὲ] DFGK: *om.* ABEHM ἀσβέστου *(alt.)*] ABEHM: *om.* DFGK 4 ᾱ] ᾱ γρ. β̄ ABME[2] 5—12 *post cap. 37* F, *mrg.* ζητ΄ ἄνωθεν 5 κηρίου FG 6 περὶ τὸ δέρμα D 8 καρδάμου M: καρδάμωμον D 10 τερεβινθίνης BDFG τὴν περὶ *om.* D: τὴν F 11 ποιήσει K 14 συνάγοιτο K: συνάγει DF τὰ *om.* K 15 περιτιθείς D ἐμφυήσεται K: ἐμφυήσαιτε F τὰ *om.* K 16 μὲν] μέν τι K 18 κατ᾽] εἰς τὰ F ἀμφότερα] DF: ἀμφοτέρας ABEGHKM 19 δυοῖν F, *mrg.* B 20 παραπεσόντος BE: περιπεσόντος F 22 τοῦ ἕλκους K 23 τὰ *om.* D ὅλου] ὅλου τὰ μέρη D 24 ῥαφαῖς . . . ἐπιδήσαντα *om.* D ἐπιδῆσαν K

## λζ΄. Ὅcα κολλᾶν ἕλκη δύναται.

1 Δρυὸc φύλλα καταπλαccόμενα καὶ ἰτέαc καὶ κράμβηc μηλέαc τε ὁ καρπὸc καὶ τὰ φύλλα καὶ ὁ χυλὸc καὶ ὁ φλοιὸc τῆc αὐcτηροτέραc, ἀρνόγλωccον, πάπυροc ὀξυκράτῳ ἢ οἴνῳ βραχεῖcα καὶ ἐν κύκλῳ περιειλουμένη. τὰ δὲ πρόcφατα κολλᾷ πίτυοc καὶ πεύκηc τὰ φύλλα καὶ ὁ φλοιὸc πρόcφατοc ὡc ἐπίδεcμοc περιειλούμενοc μεθ' ὕδατοc ἢ ὀξυκράτου ἢ οἴνου, τυρὸc πρόcφατοc λειωθείc, ἔξωθεν δὲ ἐπιτιθέναι δεῖ φύλλα λαπάθου ἢ ἀμπέλου ἢ τεύτλου ἢ θριδακίνηc· ὁ δὲ ὀξυγαλάκτινοc τυρὸc καὶ τὰ μείζονα τραύματα, ἀχράδεc δὲ καὶ ἀναcτέλλουcι τὸ ῥεῦμα· ἵππουριc καταπλαccομένη, κἂν νεῦρα διατετμημένα τύχῃ, ἰcάτιc ἡ ἥμεροc ἐπὶ τῶν cκληρῶν cωμάτων, κἂν ἐν ταῖc τῶν μυῶν ᾖ κεφαλαῖc, κυπαρίccου τὰ φύλλα καὶ οἱ βλαcτοὶ καὶ τὰ νέα τῶν cφαιρίων καὶ μαλακὰ ἐπὶ τῶν cκληρῶν cωμάτων· μιγνύναι δὲ χρὴ λελειωμένην ἄχνην ἀλεύρου λαμβάνοντα ἀπὸ τοίχου πληcιάζοντοc μύλῃ· cμύρνα cὺν ὕδατι καταχριcθεῖcα ἢ λιβανωτόc, γῆc ἔντερα (καὶ νεύρων διακοπὰc κολλᾷ), πεν-
2 ταφύλλου φύλλα μετὰ μέλιτοc, cκόρδα καέντα καταπλαccόμενα. πρὸc δὲ τὰ πρεcβυτικὰ ἕλκη ἀναγαλλὶc ποιεῖ μετὰ κηρωτῆc, κριθαὶ καυθεῖcαι καὶ ψιμύθιον μετὰ κηρωτῆc μυρcίνηc τριπλαcίονοc. πρὸc δὲ τὰ ἐν κεφαλῇ cμύρναν ξηρὰν ἐπιπάccειν καὶ μὴ βρέχειν (ταχέωc γὰρ cυνάγει), ἢ ἀλόην ξηρὰν ἢ ἀριcτολοχίαν τρίψαc καὶ μετὰ μέλιτοc καὶ οἴνου cυνεψήcαc ἕωc cυμμέτρου πάχουc εἰc μοτὸν ἐπιχρίων ἐπιτίθει. τῶν δὲ cυνθέτων κολλητικῶν αἵ τε βάρβαροί εἰcι καὶ ἡ χρυcῆ καὶ ἡ Νικολάου δι' ἰτεῶν τε καὶ διὰ δικτάμνου καὶ ταύταιc ἕτεραι παραπλήcιαι τὰ μεγάλα μάλιcτα τραύματα κολλᾶν δυνάμεναι.

λζ΄ *Oribasius, Synops. VII 1; Ad Eunap. III 13*

2 μηλέαc] DF: μηλαίαc G: χαμαιλέαc AM: χαμαιλαίαc B (*ante* λ *ras. 2 litt.*): χαμελαίαc EK: χαμελέαc H   3 ὁ φλ$^{β}$οιὸc καὶ $^{α}$ὁ χυλὸc M   4 ἀρνόγλωccον] GK *et fort.* D: ἀρνογλώccου ABEFHMD$^{3}$   περιειλουμένη] περιειλουμένη ποιεῖ D   7 τυρὸc] καὶ τυρὸc D   δὲ] δὲ δεῖ D   δεῖ] FKB$^{2}$: *om.* ABDEGHM   8 cεύτλου DF   9 ἀχράδεc] καὶ ἀχράδεc D   δὲ καὶ] *Or*: δὲ DF: καὶ ABEGHKM   10 ἵππουριc] καὶ ἵππουριc D   διατεταμένα K: διατεταμμένα F   τύχῃ] GK: τύχοι ABDEHM: εἴη F   ἰcάτιc] ἰcάτηc AEKM: καὶ ἰcάτιc D: εἰc ὅτι F   ἡ] DGKB$^{2}$: *om.* ABEFHM   11 κυπαρίccου] καὶ κυπαρί$^{c}$cου D: κυπαρίccου δὲ F   13 ἐπὶ] καὶ ἐπὶ B: *om.* K   τῶν *om.* K   ἄχνην] F: ἀράχνην AEGHKM, *e corr.* B: ἀνδράχνην B$^{5}$ *sed* -δ- *del.*: ἀράχνην καὶ προcεμβάλλειν D   14 λαμβάνοντοc F: *om.* D   ἀπὸ τοίχου] *Or*: ἀπὸ τοίχουc F (-οι- *e corr.*): *om.* ABDEGHKM   πληcιάζονταc E: πληcιάζοντα H: τὰ πληcιάζοντα D   μύλου F: τῇ μύλῃ ἔτι δὲ D   15 ἢ *om.* D   16 φύλλα *om.* K   cκόροδα DF   κατακαέντα K: καέντα καὶ F   17 ἀναγαλλὶc] *Or*: ἀνάπαλιν ABDEFGHKM   κηρωτῆc] κηρωτῆc τοῦτο D   κριθαὶ . . . κηρωτῆc *(18)* *om.* F   18 μετὰ] D: δὲ μετὰ ABEGHKM   μυρcινίνηc D   τριπλάcιοc AE   19 ἐπιπάccειν . . . ξηρὰν *(20)* *om.* D   20 μετὰ] *Or*: *om.* ABDEFGHKM   μέλιτοc καὶ οἴνου] οἰνομέλιτι F   23 δι'] ἡ δι' D   τε *om.* K   διὰ] ἡ διὰ D   24 δυνάμενα K

## λη΄. Πρὸς περιωδυνοῦντα καὶ φλεγμαίνοντα.

Πρὸς δὲ τὰ περιωδυνοῦντα καὶ φλεγμαίνοντα τραύματα χρεία τῶν ξηραντικῶν τε καὶ ἀφλεγμάντων φαρμάκων. ὑγρῶν μὲν οὖν κάλλιστόν ἐστιν οἶνος, ποιεῖ δὲ καὶ ὀξύκρατον, εἰ δὲ σὺν ῥύπῳ φλεγμαίνοι, καὶ μελίκρατον ὑδαρές· τῶν δὲ ξηρῶν φαρμάκων κοινῶς μὲν ἁρμόσει τὰ πρὸς φλεγμονὰς εἰρημένα πλὴν τῶν ἐλαιωδῶν τε καὶ δριμέων, ἰδίως δὲ τοῦτο· ῥοιὰν γλυκεῖαν ἑψήσας ἐν οἴνῳ καὶ τρίψας κατάπλασσε. θαυμαστὸν τοῦτο καὶ πολύχρηστον· πρός τε γὰρ τὰ ἐν κεφαλῇ ἕλκη ποιεῖ καὶ τὰ ἐν αἰδοίοις καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι περιωδυνοῦντα καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. εἰ δὲ καὶ ἐρυσίπελας ἤ τι τοιοῦτον τῷ ἕλκει προσγένοιτο, τοῖς πρὸς ἐκεῖνα χρηστέον ἀναγεγραμμένοις βοηθήμασιν.

## λθ΄. Πρὸς ἄπεπτα καὶ ἀνεκπύητα ἕλκη.

Τὰ μὲν πρόσφατα καὶ διὰ τὸ ἔτι φλεγμονώδη τυγχάνειν ἀνεκπύητα τῶν ἑλκῶν συμπέττει τε καὶ πυοποιεῖ ἁπλᾶ μὲν ὕδωρ εὔκρατον καταντλούμενον, πύρινον ἄλευρον ἢ χόνδρος ἢ ἄρτος ἢ κόλλα ἡ εἰς τὰ βιβλία μετὰ τερμινθίνης καταπλασσόμενα, κηρός, κρόκος, λιβανωτός, πίσσα, ῥόδινον, στέαρ ὕειόν τε καὶ μόσχειον· σύνθετον δὲ τὸ τετραφάρμακον ἔμμοτον ἀνεθὲν ῥοδίνῳ. τὰ δὲ παλαιὰ καὶ τυλώδη συμπέττει ἁπλᾶ μὲν σταφὶς ἥμερος, στύραξ, χαλβάνη, σμύρνα, λάδανον, πίσσα, ῥητίνη, βούτυρον, μαστίχη Αἰγυπτία, ὕσσωπον, σύνθετα δὲ ἥ τε διὰ τοῦ κηκίνου ἄκηρος Γαληνοῦ ἔμμοτος ἀναλυθεῖσα δι᾽ ἐλαίου παλαιοῦ ἢ κηκίνου ἥ τε δίχρωμος ὁμοίως καὶ τὸ βασιλικὸν καὶ αἱ παραπλήσιαι.

## μ΄. Περὶ τῶν κοίλων ἑλκῶν.

Τὸ κοῖλον ἕλκος τῆς ἐλλειπούσης σαρκὸς ἀπαιτεῖ τὴν ἀναπλήρωσιν, 1
ὕλη δὲ ταύτης αἷμα σύμμετρόν τε καὶ χρηστόν ἐστιν. οὐκοῦν τὴν μὲν συμμετρίαν αὐτοῦ διὰ τῆς αὐτάρκους τροφῆς χαριζόμεθα, τὴν εὐκρασίαν δὲ διά τε τῆς αὐτῶν τῶν τροφῶν εὐχυμίας καὶ τῆς εὐκρασίας τοῦ

2—4, 7—10 *Oribasius, Synops. VII 1; Ad Eunap. III 14* 22 Γαληνοῦ] *De comp. medic. per gen. IV 14 (XIII 759)* μ΄ *cf. Aëtius XIV 33—35* 25 *sqq. cf. Galenus, Meth. med. III 3*

1 ὀδυνοῦντα AE φλεγμαίνοντα] φλεγμαίνοντα ἕλκη AEF 2 χρεία *om.* E 3 ὑγρὸν DEFH 4 ποιεῖ] εἰ K δὲ *(alt.)*] DFK: δὲ καὶ ABEGHM 5 ἁρμόζει D 6 τε] DFGK: *om.* ABEHM 7 ῥοιὰν γλυκεῖαν] DFK: ῥοιὰς γλυκείας ABEGHM ἐν οἴνῳ ἑψησας F κατάπλαττε DE 8 τοῦτο] γὰρ τοῦτο F γὰρ *om.* D τὰ *om.* K ἐγκεφαλῇ K: ἐν τῇ κεφαλῇ AEFG 9 τὰ *(pr.) om.* E 10 τοιοῦτον] ABDF: τοιοῦτο EHM: τοιούτω GK 15 τε] δὲ K 16 εἰς] πρὸς D 17 τερεβινθίνης BF 18 ὕειόν] DFGK: χοίρειόν ABEHM 20 ἥμερος] DFG: μ A: μ^ε BEHKM σμύρνη K πίσση AE 23 ὅλως K 24 τῶν *om.* FG 25 τῆς *om.* D 26 τὴν] καὶ τὴν K μὲν *om.* E: *supra scr.* B² 27 αὐτῷ D αὐτάρκου DFM χαριζόμεθα] D, *e corr.* J: χρησόμεθα KM: χρησώμεθα ABE GH: ἐργασώμεθα F: *fort.* προχειριζόμεθα 28 τῶν *om.* FHK

μορίου, ἐν ᾧ τὸ ἕλκος ἐστίν. ἐπεὶ δὲ τοῦ κενουμένου περιττώματος
τὸ μὲν λεπτὸν ὑγρότερον τὸ ἕλκος ἀποτελεῖ, τὸ δὲ παχύτερον περι-
πηγνύμενον αὐτῷ ῥύπος γίνεται, διὰ τοῦτο φαρμάκων δεῖται τῶν
μετρίως ξηραινόντων τε καὶ ῥυπτόντων· τοιαῦτα δέ ἐστι λιβανωτὸς
καὶ κρίθινον ἄλευρον καὶ κυάμινον καὶ ὀρόβινον καὶ ἶρις καὶ ἀριστο-
λοχία καὶ καδμία καὶ πάναξ καὶ πομφόλυξ. ὅταν δὲ μηδὲν ὠφελήσῃ
τὸ προσαγόμενον σαρκωτικὸν φάρμακον, οὕτω πως ἐπ' ἄλλο μετα-
βαίνειν. ἀλλ' εἰ μὲν πλείων ὁ ῥύπος φανείη καὶ ὑγρότερον τὸ ἕλκος,
εἰδέναι προσῆκεν, ὡς ἐνδεέστερον ἐξήρανεν τὸ φάρμακον, καὶ ἐπιτείνειν
αὐτὸ μέλιτος μίξει· εἰ δὲ καθαρὸν καὶ μᾶλλον ἄνικμον εὑρεθείη, πλέον
ἤπερ ἐχρῆν ἐξήρανεν, καὶ χρὴ δι' ἐλαίου πλείονος ἀνιέντα κηρωτὴν
2 προσφέρειν. συμβαίνει δὲ ἐνίοτε τοῦ φαρμάκου τυγχάνοντος ἰσχυροτέρου
συντήκεσθαί τι τῆς σαρκός, ὡς ῥυπαρὸν καὶ ὑγρὸν φαίνεσθαι τὸ ἕλκος
παραπλησίως τοῖς ἐνδεέστερον ξηρανθεῖσιν· ἀλλὰ τοῦτο κοιλότερόν τε
συντηκόμενον γίνεται καὶ ὀχθῶδες τοῖς χείλεσιν ἐρυθρόν τε καί τι καὶ
φλεγμονῆς ἔχον, πολλάκις δὲ καὶ δάκνεται σαφῶς ὁ πάσχων· τὸ δὲ
ἕτερον ὑπὸ τῶν ἔλαττον ξηραινόντων οὐδὲν τούτων ἔχει παρακολου-
θοῦν. σαπρότης τοίνυν ξύλων, καὶ μάλιστα ὅσα μετέχει μετρίας στύψεώς
τε καὶ ῥύψεως, ὥσπερ καὶ ἡ πτελέα, καθαίρει καὶ ἀναπληροῖ τὰ καθαρὰ
τῶν ἑλκῶν ἢ ἀνεμῶναι προστιθέμεναι. πίτυος φλοιὸν ἀποξύσας καὶ
τρίψας μετὰ κηρωτῆς εἰς μοτοὺς ἐγχρίων ἐπὶ τῶν κοίλων ἑλκῶν καὶ
3 μάλιστα τῶν προσφάτων ἐπιτίθει· πληροῖ γὰρ αὐτά. σύνθετα δὲ καθαρῶν
μὲν ὄντων τῶν ἑλκῶν τό τε διὰ τῶν ὀστρέων ἐστὶ καὶ τὸ Μανέθωνος
διὰ σφέκλης καὶ τὸ διὰ τῆς ἁλόης καὶ ἡ μελιτηρὰ προσαγορευόμενον
ξηρίον καὶ τὸ λαμβάνον ἀμύλου, μάννης, ἅλικος, ὀρόβου ἴσα· ὁμοίως
δὲ καὶ τὸ διὰ λιβάνου καὶ τὸ ἀφροδιτάριον, ῥυπαρώτερον δὲ ποσῶς,
τά τε κεφαλικὰ προσαγορευόμενα ξηρία. ἔμμοτα δὲ φάρμακα ἥ τε τρο-
φός ἐστι καλουμένη καὶ ἡ Ἶσις καὶ ἡ Ἀθηνᾶ καὶ ἡ διὰ τῶν ἀτρακτυ-
λίδων· ἔστι καὶ τὸ λεγόμενον Ἰταλικὸν καὶ ὅσα διὰ πείρας.

3—22 *Oribasius, Synops. VII 2; Ad Eunap. III 15*

1 ἐπεὶ] D, *e corr.* J: ἐπὶ ABEFGHKM 3 τῶν *om.* F 7 οὕτω πως] οὕτως F: οὐ χρὴ συντόνως D 8 ἀλλ' *om. Or* 9 προσήκει F 10 μᾶλλον καὶ D 11 ἤπερ] BDM: εἴπερ AEFGHK χρὴ] δεῖ D πλείονος] DFG: πλεῖον ABEHKM ἀνιέντας F 12 τυγχάνοντος] συμβαίνοντος K 13 τι] D: *om.* ABEFGHKM 14 τε] τε καὶ M 15 μοχθῶδες K τε καί τι] D: τ' ἔτι AEHK, *e corr.* M: τε ἔτι G, *e corr.* B: τε F 16 φλεγμονὴν E: φλεγμονῶδες F ἔχον *om.* F: ὑπάρχων H 17 ἐλάττων BGK, *corr.* B: ἐλάττω F ξηραῖνον K οὐδὲν τούτων ἔχει *om.* FK συνακολουθοῦσα K: συνακολουθεῖ F 18 πρότης K 20 πίτυος] ἡ πίτυος D 21 ἐπὶ] κατὰ DG: διὰ K
24 διὰ *(pr.)*] καὶ τὸ διὰ DF διὰ τῆς] δι' F ἁλὸς G προσαγορευομένη DF 25 ξηρίον] τὸ ξηρίον D: *om.* F ὁμοίως . . . ξηρία *(27) om.* F
26 ῥυπαρωτέρων D ποσῶς] DK, *e corr.* B: πως A: πως ὡς BEGHM
27 τά] ὅσα A τε *(pr.) om.* D 27. 28 καλουμένη τροφὸς (*om.* ἐστι) F
28 ἡ *(pr.) om.* K 29 ἔστιν G: *om.* F: *fort.* ἔτι

### μα΄. Ἀνακαθαρκικὰ ῥυπαρῶν ἑλκῶν.

1 Τὰ ῥυπαρὰ τῶν ἑλκῶν, εἴτε κοῖλα εἶεν εἴτε ἰcόπεδα, καλῶc ἀνακαθαίρει ἀριcτολοχία cὺν μέλιτι, τερεβινθίνη μετὰ ἴcου ῥοδίνου καὶ μέλιτοc ἢ ἀντὶ ῥοδίνου βούτυρον, ἶριc Ἰλλυρικὴ μετὰ μέλιτοc, ἐλαῖαι κολυμβάδεc καταπλαcθεῖcαι· πρὸc δὲ τὰ νευρώδη τερμινθίνη cὺν βουτύρῳ τακεῖcα. τοῖc δὲ ἄγαν ῥυπαροῖc καὶ νομώδεcι ποιεῖ πράcιον μετὰ μέλιτοc· τοῦτο καὶ ἐcχάραc ἐκβάλλει.

2 cύνθετα δὲ ταῦτα· ἀμόργηc ἑφθῆc, μέλιτοc ἀπηφριcμένου, cτυπτηρίαc φορίμηc ἴcα.

Ἄλλο. cαραπιάδοc τῆc καὶ τριόρχεωc ξηρᾶc, ἴρεωc Ἰλλυρικῆc, πραcίου ξηροῦ, ἀριcτολοχίαc ἀνὰ < η̄, ὀροβίνου ἀλεύρου < ῑ· ξηρῷ χρῶ καὶ μετὰ μέλιτοc.

ἔτι δὲ πρὸc τὰ ῥυπαρὰ τῶν ἑλκῶν ἥ τε Αἰγυπτία ποιεῖ καὶ αἱ δι᾽ ἁλῶν κηρωταὶ cυντακεῖcαι ἥ τε Ἰνδικὴ καὶ ἡ Ἀθηνᾶ καὶ αἱ χλωραὶ ἀνιέμεναι τό τε διὰ κιcήρεωc καὶ τὰ δι᾽ ὀρόβου ξηρὰ καὶ ὁ μελάγχλωροc τροχίcκοc· ὁμοίωc δὲ καὶ ὁ κριογενήc.

### μβ΄. Πρὸc cκώληκαc ἑλκῶν.

Πρὸc τοὺc ἐν ἕλκεcι γεννωμένουc cκώληκαc τὸ μὲν πρῶτόν ἐcτι παῦcαι τὴν ὑγρότητα καὶ τὴν cηπεδόνα τὴν ἐργαζομένην αὐτούc· ἀναιρεῖ δὲ τοὺc cκώληκαc κοινῶc μὲν ἅπαντα τὰ πρὸc τοὺc ἐν ὠcὶ cκώληκαc ἀναγεγραμμένα· πρὸc δὲ τοὺc ἐν τοῖc ἕλκεcι, Ἀρχιγένηc φηcίν, ψιμύθιον καὶ πόλιον ἴcα cὺν πίccῃ ὑγρᾷ κατάχριε.

### μγ΄. Περὶ ὑπερcαρκούντων ἑλκῶν.

1 Ἡ τῶν ὑπερcαρκούντων ἑλκῶν καθαίρεcιc ὑπὸ τῶν ἰcχυρῶc ξηραινόντων γίνεται φαρμάκων, οἷόν ἐcτι διφρυγὲc καταπλαccόμενον καὶ λεπὶc χαλκοῦ καὶ τὰ ὀcτρεώδη πάντα καυθέντα καὶ οἱ ἐχῖνοι καυθέντεc ἀμφότεροι cὺν τῷ cώματι παντί. ἀλλὰ ταῦτα μὲν μετρίωc καθαίρει

μα΄ *cf. Oribasius IV 612*  μβ΄ *cf. Aëtius XIV 48*  21 Ἀρχιγένηc] *Galenus, De compos. med. per gen. IV 10 (XIII p. 733)*  μγ΄ 1 *cf. Oribasius, Synops. VII 4; Ad Eunap. III 17. Aëtius XIV 36*

1 ἀνακαθαρτικὸν G: *comp.* E  2 καλῶc] *om.* F: καθαρῶc AED[3]  3 τερμινθίνη E  4 βουτύρου F  8 *ante* cύνθετα *add.* ἄλλ^ο/ B  10 Ἄλλο] *mrg.* E  τῆc καὶ] *om.* D: καὶ K: τῆc FG  12 καὶ μετὰ] FGB[2]: καὶ ABEHKM: cὺν D  μέλιτι D  13 ἔτι] ἐπὶ K  δὲ] δὲ καὶ HM  15 τε] δὲ FM  17 ἑλκῶν] ἐν ἕλκει D  18 γεννωμένουc] BK: γενωμένουc M: γεννομένουc H: γενομένουc AEG: γινομένουc DF  19 καὶ τὴν cηπεδόνα *om.* D  αὐτούc] ∸ τὴν cηπεδόνα D: *mrg.* ∸ αὐτούc  21 τοῖc *om.* DF  ἕλκεcι] BGHKM: ἕλκεcιν AEF: ἕλκει cκώληκαc D  22 φηcίν] AH: *comp.* EGK: φηcί BDFM  πόλιν A  ἴcα *om.* G  24 ὑπὸ] DFG: *om.* ABEHKM: ὑπὲρ *supra scr.* B[2]: διὰ *supra scr.* J  25 γίνεται] E: γίγνεται ADFG: γίνονται BK (*corrigere vol.* K[3]): γίνονται δὲ M: δαίων τε H (*h. e.* δέονται)  ἐcτι] ἐcτι τὸ DF  καταπαccόμενον G *et e corr.* B: καλούμενον F  26 ὀcτρεώδη] ὄcτρεα δὲ DG

τε καὶ προσcτέλλει τὰ ὑπερcαρκοῦντα· τὸ δὲ τῆς Ἀσίας πέτρας ἄνθος ἰσχυρότερον, τούτου δὲ μᾶλλον cῶρί τε καὶ χρυσόκολλα καὶ χαλκῖτις καὶ μίσυ, καυθέντα δὲ ἀδηκτότερα, καὶ τοῦ χαλκοῦ τὸ ἄνθος ὁμοίως· ὁ δὲ ἰὸς πάντων ἰσχυρότερος. ἅλες δὲ καυθέντες τὰς πλαδαρὰς τῶν σαρκῶν ὑπεκτήκουσιν· ὁμοίως καὶ μοτοὶ τιλτοὶ ἐκ ῥάκους ἐν ἅλμῃ δριμυτέρᾳ βραχέντος καὶ ξηρανθέντος πεποιημένοι καὶ ἐπιτιθέμενοι τὰ μέτρια τῶν ὑπερσαρκωμάτων ὑπεκτήκει· ὁ δὲ ἰὸς μετὰ λεπίδος χαλκοῦ τῶν ἰσχυρῶς ἐστι καταστελλόντων. σύνθετα δὲ ἥ τε Ῥοδία καλουμένη ξηρὰ καὶ τὸ ψαρόν, ἔτι τε τὸ ξανθόν, ἀδήκτως καταστέλλει· τὰς δὲ μεγίστας ὑπερσαρκώσεις ἄχρι βάθους ἐσχαροῦσιν οἵ τε Φαυστιανοὶ τροχίσκοι λεῖοι ἐπιπαττόμενοι καὶ τὸ ἡλιοκαὲς ξηρίον. τὸ δὲ λαμβάνον ἀσβέστου λεπίδος τε χαλκοῦ καὶ μάννης ἴσον ποιεῖ καὶ πρὸς τὰ ὑπεραυξανόμενα καὶ μύκησιν ὅμοια ἀνακαθαίρει τε μετὰ μέλιτος καὶ πληροῖ μετὰ κηρωτῆς.

2 Ξηρίον καταστέλλον.

Λιθαργύρου, χαλκίτεως, ἰοῦ, μολυβδαίνης ἴσα.

3 Καταστέλλον ἰσχυρῶς ἄδηκτον· ποιεῖ δὲ καὶ πρὸς νομὰς καὶ μάλιστα ἐπουλίδας, λευκαίνει δὲ καὶ τοὺς ὀδόντας.

ἀσβέστου λι. ᾱ, ἀρσενικοῦ 𐅻 ξ̄· λειώσας τὸ ἀρσενικὸν ξηρὸν μεθ' ὕδατος ἐπίβαλλε τὴν ἄσβεστον πλυθεῖσαν ὥσπερ καδμίαν καὶ τρίψας ξήραινε καὶ χρῶ.

καὶ τῶν τροχίσκων δὲ ὅ τε παντόλμιος, καὶ ὅσοι πρὸς πόλυπάς εἰσιν ἀναγεγραμμένοι, καλῶς ἕλκη καταστέλλουσιν. αἱ δὲ χλωραὶ τῶν ἐμπλάστρων, καὶ μάλιστα ἡ διὰ τῶν Καππαδοκικῶν ἁλῶν, ὁμοίως δὲ καὶ ἡ Ἶσις ἄκρατος, ὑπερσαρκοῦν κωλύουσι τὰ ἕλκη.

## μδ'. Περὶ νομῶν καὶ σηπεδόνων καὶ φαγεδαίνης.

1 Καταντλήμασι μὲν χρηστέον ἐπὶ τῶν νεμομένων τε καὶ σηπομένων ἑλκῶν δι' ὄξους τε καὶ ὀξυκράτου ἢ οἴνου στύφοντος ἢ ψυχροῦ ὕδατος ἢ θαλάττης ἢ ἀφεψήματος φακῆς, σιδίων, βαλαυστίων, σχίνου, μύρτων, ἀκάνθης Αἰγυπτίας, ἤ τινι τῶν στυφόντων τε καὶ ξηραινόντων·

17—21 *Oribasius IV 613, 3* μδ' *cf. Galenus, De compos. med. per gen. IV 10 (XIII 731 sqq.). Aëtius XIV 50*

1 τε *om.* D προσcτέλλει] *scripsi*: προστέλλει DFG: προστέλλεται ABEHKM 2 καὶ *(pr.)* . . . χαλκῖτις *om.* F χαλκῖτις . . . τοῦ *(3) om.* D χαλκίτης BEHM, *corr.* E[2]: *comp.* G 6 βραχέντες καὶ ξηρανθέντες FG 7 μέτρια] DFGB[2]: μετρικὰ ABHKM: μερικὰ E ὑπεκτήκουσιν D 8 δὲ *om.* B 9 ξηρὰ *om.* D 10 φαυστινιανοὶ D 11 ξηρίον] DFGH, *e corr.* B: ξηρόν ABEKM δὲ] τε D 12 τε *om.* DF: *eras.* B ἴσον] τὸ ἴσον G καὶ *(alt.)*] δὲ καὶ D ὑπεραυξανόμενα] -αν- *eras.* B: ὑπεραυξηθέντα F 13 τε] γὰρ D: τε καὶ F ἀναπληροῖ DG 15 ξηρὸν DF 16 ἄλλο *praem.* BG 19 τῷ ἀρσενικῷ ξη⁻ῷ D: *om.* F 21 ξήρανε FG 22 πάντολμος F 25 ἄκρατος] *mut. in* ἀκροτάτως B: ἀκροτάτως G: ἄκρας F ὑπερσαρκοῦντα D 26 φαγεδαίνης] DG, *e corr.* B: φαγεδαινῶν AEFHKM 27 τε *om.* D σηπεδονωδῶν D: σηπεδονῶδες F 29 σχοίνου BG

καταπλαστέον τε τούτοις αὐτοῖς καὶ τοῖς δι᾽ ὀροβίνου ἀλεύρου καὶ στυπτηρίας ὑγρᾶς, ἄρτου τε σεμιδαλίτου τοῦ ἐντός, κωβιοῦ παλαιοῦ ἢ ἄλλου ταριχηροῦ παλαιοῦ, σαρκὸς ἀπλύτου, τερεβινθίνης ὑγρᾶς ἴσα σταθμῷ λεάνας ἐπιτίθει, ἢ ἀριστολοχίας καὶ κικίνων φύλλων χυλοῦ τὸ ἴσον, ἰοῦ τὸ ἥμισυ δι᾽ ὕδατος μέλιτος πάχος κατάχριε· ἐὰν δὲ μὴ ἀφιστῆται ἡ ἐσχάρα, ἐλατηρίου τὸ ἴσον τῷ ἰῷ πρόσμισγε. ἐπὶ δὲ τῶν σηπεδονωδῶν ποιεῖ σῶρι λεῖον ἐπιπασσόμενον καὶ ἐπάνω τίλμα ξηρόν· ἢ ἀριστολοχίαν στρογγύλην καὶ κηκῖδας ἴσα μετ᾽ ἐλαίου περίχριε, ἢ σικύου ἀγρίου ῥίζαν ἢ κράμβης ἢ σεύτλου ἢ λαπάθου φύλλα ἐνδήσας θερμοσποδίᾳ ἔγκρυψον, ὅταν δὲ μαλακυνθῇ, σὺν ἁλὶ τρίψας ἐπίθες· εὐτόνως ἀνακαθαίρει. ἢ θαλλίᾳ ἐν οἴνῳ ἑφθῇ μετὰ μέλιτος κατάπλασσε ἢ χαλκῖτιν κατάπλασσε ἢ σελίνου σπέρμα λεῖον μετὰ χαλκάνθου ἐπιτίθει ἢ θύμῳ καὶ σταφίδι καὶ σύκοις ἑφθοῖς κατάπλασσε ἢ συκίνοις φύλλοις λείοις μετὰ μέλιτος ἢ νίτρῳ καὶ κυμίνῳ καὶ ἀλεύρῳ μετὰ μέλιτος ἢ σικύου ἀγρίου ῥίζῃ ἢ σκίλλῃ ἑφθῇ μετὰ μέλιτος, ἢ σώρεως < ιβ̄, χαλκίτεως < ῑ, μίσυος < δ̄, σὺν ὄξει δριμυτάτῳ ἡμικοτυλίῳ λέαινε, μέχρι ἂν ξηρανθῇ, καὶ ἀνελόμενος χρῶ μήλην βάπτων καὶ ἐπικυλίων τῷ ἕλκει καὶ ἐπάνω διπλοῦν ὀθόνιον ἐξ οἰνελαίου ἐπιτίθει· ἐὰν δὲ φλεγμαίνῃ, ὑοσκυάμῳ μετὰ ἀλφίτου ἢ κράμβῃ μετὰ μέλιτος κατάπλασσε.

### Πρὸς σηπεδόνας τὰς ἐν παντὶ τόπῳ καὶ νομάς. 2

Ἀσβέστου, χαλκίτεως ἀνὰ < β̄, ἀρσενικοῦ < ᾱ· τούτῳ καὶ πρὸς τὰ ἐν τοῖς δακτύλοις πτερύγια καὶ πρὸς φαγεδαίνας καὶ πρὸς ἄνθρακας χρηστέον, ἐν τοῖς αἰδοίοις μετὰ μέλιτος, ἐν δὲ τοῖς λοιποῖς ξηρῷ, ἄνωθεν σπλήνιον ῥητίνης ἐπιτιθείς.

1 τε] δὲ καὶ D: *om.* FJ τούτοις *om.* E: γρ. τούτοις *mrg.* E²: τούτοις τε J: τοῖς F αὐτοὺς E καὶ *(pr.)*] D: *om.* ABEFGHKM δι᾽] δὲ F *et seq. ras. 2 litt.* B 2 τοῦ] τὸ EFG 3. 4 ἰσόσταθμα D 4 ἀριστολοχίας] FH: *comp.* DGK: ἀριστολοχίαν ABEM χυλοῦ] DF: *comp.* G: χυλῶν A: χυλὸν BEHKM 5 πάχος] πάχος ποιήσας D 6 τὸ *om.* D 7 σηπεδόνων DH τίλμα ξηρόν] ξηρὰ τιλτά G 8 ἀριστολοχία F: *comp.* DGK στρογγύλη DF: *comp.* GK καὶ] D: ἢ ABEFGHKM ἴσα] δὲ D 9 κράμβην ἢ σεῦτλον D φύλλα] DF: φύλλων ABEGHKM 9. 10 συνδήσας θερμῇ σποδιᾷ D 10 μαλακυνθῇ] DG: μαλακοθῇ B: μάλα καυθῇ AEHKM: μαλαχθῇ F ἁλσὶ DG ἐπιτίθει E 11 εὐτόνως] εὐτόνως γὰρ DF ἢ . . . κατάπλασσε *om.* D 12 ἢ *(pr.)* . . . λεῖον *om.* F χαλκίτην ABEGHKM σελίνου] λίνου G σπέρμα] σπέρμα κατάπλασσε K λεῖον] DEGK: ἢ λινόσπερμον λεῖον F: λεῖον ἢ λινόσπερμα λεῖον ABHM ἐπιτίθει] ἢ λινοσπέρμου K 14 ἢ . . . μέλιτος *om.* A νίτρῳ καὶ κυμίνῳ] D: νίτρου καὶ κυμίνου F: νίτρον καὶ κύμινον ABEGHKM καὶ ἀλεύρῳ] ἀλεύρῳ D: καὶ ἀλεύρου F: καὶ ἄλευρον ABEGHKM 15 ἢ *(pr.)*] καὶ K 17 μέχρις EFG, *e corr.* B μήλῃ F, *e corr.* B: μίλην D 19 φλεγμάνῃ D ὑοσκυάμῳ] D: ὑοσκυάμου ABEFGHKM κράμβην G 21 τοῦτο FK 23 μετὰ] μὲν μετὰ D ξηρῷ] ξηροῦ (ω *supra*) D, *mrg.* γρ. ξηρὸν ἀνεθὲν σπλ^η/ 24 ἐπιτίθει DF, *corr.* D²

3 Πρὸς νομὰς πάσας, καὶ τὰς ἐν στόματι, καὶ πρὸς αἱμορραγίας καὶ ὑπερσαρκοῦντα καταστέλλον πάγχρηστον ξηρόν.

Χαλκίτεως, μίσυος ὠμῶν ἀνὰ < κ̄, λεπίδος σιδήρου < ιϛ̄, κηκῖδος ὀμφακίτιδος < η̄.

4 Πρὸς νομὰς καὶ σηπεδόνας.

Ἀλῶν < β̄, στυπτηρίας οἱασδήποτε κεκαυμένης < ᾱ, λεπίδος, κισήρεως κεκαυμένης ἴσα· ποιεῖ καὶ ἰὸς ξυστὸς μετὰ μίσυος κεκαυμένου ἀναληφθέντα πίσσῃ ὑγρᾷ καὶ λεπὶς σιδήρου σὺν ἐλαίῳ.

5 Πρὸς νομὰς αἰδοίου

ταῦτά τε καὶ τὸ λεγόμενον ἁρμόσει μελιτήριον τό τε δι᾿ ὀξυμυρσίνης καὶ τὸ διὰ χάρτου ξηρὸν πρὸς πάσας νομὰς καὶ τὸ δι᾿ ὀξυμέλιτος κοράκιον ὅ τε τοῦ Ἄνδρωνος τροχίσκος καὶ οἱ παραπλήσιοι. τὰ δὲ αὐτὰ ταῦτα καὶ πρὸς φαγεδαίνας ἁρμόζει· καὶ γὰρ καὶ ἡ φαγέδαινα ἕλκος ἐστὶ νομῶδες ἀναβιβρωσκόμενον.

6 Πρὸς τὰ πλαδαρὰ καὶ δυσώδη

Λημνία σφραγὶς δι᾿ ὄξους ἢ ὀξυμέλιτος ἢ ὀξυκράτου ἢ οἴνου ἀνειμένη εἰς πηλώδη σύστασιν καταχρισθεῖσα ποιεῖ ἢ κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ τὰ σφαιρία τὰ ἁπαλὰ ἢ κολοκύνθης ξηρᾶς κεκαυμένης τέφρα ἢ πλατάνου φλοιοῦ κεκαυμένου ἢ ἀνήθου κεκαυμένου ὁμοίως ἢ ἐρίων ῥυπαρῶν κεκαυμένων ἢ ἀρνόγλωσσον, ἰσάτις καθ᾿ αὑτὴν ἢ σὺν ἀλφίτοις ἢ πευκεδάνου ῥίζα ξηρά.

## με΄. Περὶ τῶν οὐλῆς δεομένων ἑλκῶν.

1 Ξηραίνοντες καὶ στύφοντες τὴν σάρκα τῶν οὐλῆς δεομένων ἑλκῶν εἰς τοσοῦτον, ὥστε μὴ μόνον διαφορῆσαι τὸ παρὰ φύσιν περιττόν, ἀλλὰ καὶ τοῦ κατὰ φύσιν ἅψασθαι, τὸ ἐπιπολῆς τοῦ ἕλκους παραπλήσιον δέρματι κατασκευάσομεν καὶ εἰς οὐλὴν ἄξομεν τὸ ἕλκος. ἐπιτήδειον δὲ εἰς τοῦτο κηκὶς ὀμφακῖτις καὶ τὰ τῆς ῥοιᾶς λέμματα μετρίως

με΄ 1 *Oribasius, Synops. VII 3; Ad Eunap. III 16. cf. Aëtius XIV 37*

1—2 *add.* D[3] 2 ξηρὸν πάγχρηστον DE ξηρίον FG, *mrg.* B[2] (γρ.) 3 < κ̄ . . . ἀλῶν *(6) om.* D ιϛ̄] ϛ̄ B, *sed corr.* 6 β̄] ιβ̄ KM: ιβ̄ ἢ < β̄ B οἱασδήποτε] *in ras.* B: ἧσδήποτε HKM: σχιστῆς F λεπίδος . . . κεκαυμένου *(7) om.* D 8 ἐλαίῳ] ἐλαίῳ ποιεῖ D 9 αἰδοίων F 10 μελητήριον B: μελιτάριον D: ἐλατήριον E: δηλιτήριον A: καὶ μελιτήριον F 11 ξηρίον F: ξηρὸν καὶ D: καὶ *supra add.* B[2] 13 φαγέδαιναν D ἁρμόζει . . . φαγέδαινα *om.* D 14 ἐστὶ] ABE, *comp.* K: δέ ἐστι D: ἐστὶν GHM: τί ἐστιν F 15 καὶ] ἕλκη καὶ DG, *e corr.* B 17 ἀνιεμένη F 18 καὶ *(pr.)*] ἢ D 19 τέφρα] ἡ τέφρα DF φλοιὸς κεκαυμένος D ἢ *(alt.)*] καὶ ἡ B ἀνήθου] FGB[2]: ἀνηθίνου BEKM: ἀνιθήνου AH: ἄνηθον D κεκαυμένον D 20 ἔριον ῥυπαρὸν DF κεκαυμένον D: *om.* F ἰσάτις . . . ἢ *(pr. 21) om.* F ἰσάτις] ἢ ἰσάτις D 26 ἄξωμεν EGH: αὔξωμεν AF 27 εἰς τοῦτο] *corr. ex* τοῦτο M: τοῦτο D: εἰ τοῦτο H: *om.* K ὀμφακίτης BGKM: ὄμφαξ F

ξηραίνοντα· καὶ ὅcα δὲ χωρὶc τοῦ cτύφειν ἀδήκτωc ξηραίνει, καὶ ταῦτα εἰc οὐλὴν ἄγει, οἷον cμύρνα, λιθάργυροc καί, εἰ καυθείη, ὄcτρεον (ἐπιπαττόμενα γὰρ ξηρὰ καὶ ταῦτα πολλάκιc ἐπούλωcεν), πίτυοc φλοιὸc cὺν κηρωτῇ μυρcίνῃ, κιccοῦ ἄνθοc μετὰ κηρωτῆc, κρίνου ῥίζα cὺν ῥοδίνῳ, ἢ πιτυΐνη ξηρά, κίcηριc ὀπτή, λεπὶc χαλκοῦ ἴcα· ξηροῖc χρῶ· τοῦτο καὶ καταcτέλλει. ἢ κιcήρει λείᾳ μάννηc καὶ διφρυγοῦc μίξαc ἀνὰ ὀλίγον χρῶ, ἢ λιθαργύρου μέροc α̅, διφρυγοῦc τὸ ἥμιcυ, μετὰ κηρωτῆc ὡc cπλήνιον ἐπιτίθει. τὰ δὲ παλαιὰ ἄπουλοι ἰξὸc cὺν λιβανωτῷ, ἰὸc μετὰ διφρυγοῦc ἴcου καὶ μετὰ κηρωτῆc μυρcίνηc, ἢ κενταύριον τὸ μικρὸν πρόcφατον καταπλαττόμενον. τὰ δὲ ὑγρότερα κρίνου ῥίζῃ κατάπλαττε. πρὸc δὲ τὰ καθ᾽ ἕδραν τε καὶ αἰδοῖον μάλιcτα φλεγμαίνοντα ἀλόῃ χρῶ λείᾳ ξηρᾷ ἢ δι᾽ ὕδατοc, ἢ λεπίδα χαλκῆν ἢ χρυcόκολλαν ἐν ἡλίῳ μετὰ κηροῦ μαλάξαc ἐπιτίθει.

## Ξηρὸν ἀπουλωτικόν. 2

Ὀcτρέων < ιβ̅, μάννηc < ϛ̅, καδμίαc < δ̅· ποιεῖ καὶ πρὸc νομάc.

Ἄλλο. ἀριcτολοχίαc < ϛ̅, πίτυοc φλοιοῦ < ϛ̅, μάννηc < ϛ̅, κιcήρεωc < δ̅, κολοφωνίαc < δ̅, ἴρεωc < δ̅.

Ἄλλο. κέρατοc ἐλαφείου κεκαυμένου < δ̅, πίτυοc φλοιοῦ ꟻ ϛ̅, ψιμυθίου ꟻ δ̅, ἰοῦ ξυcτοῦ ꟻ θ̅, καδμίαc < ιη̅.

Ἄλλο. κυτίνων, χαλκάνθου ἀνὰ < ιϛ̅, λεπίδοc χαλκοῦ, cτυπτηρίαc cχιcτῆc ἀνὰ < η̅, κηκῖδοc < α̅.

Ἄλλο. ψιμυθίου, λιθαργύρου ἀνὰ < η̅, cκωρέαc μολίβδου, κηκῖδοc, cμύρνηc ξηρᾶc ἀνὰ < δ̅.

## Κατουλωτικόν. 3

Cχιcτῆc cτυπτηρίαc ꟻ α̅ λειώcαc βρέξον ἐν ὕδατοc ξ α̅, λυθείcηc δὲ τῷ ὕδατι μοτοὺc βρέξαc καὶ ξηράναc αὐτοῖc χρῶ.

με′ 2 *cf. Aëtius XIV 38*

1 καὶ *(pr.) om.* FK 2 οἷον *om.* K cμύρνηc K λιθαργύρου F ὄcτρεον] καὶ ὄcτρεον D 3 ἐπούλωcε M: -ν *eras.* B: ἀπούλωcεν ἔτι δὲ D 4 μυρcινίνῃ D κιccοῦ . . . μυρcίνηc *(9)*] *litt. minorib. mrg. inf. ins.* B ἄνθοc] τὸ ἄνθοc BDG ἰρίνου K 5 ἢ *om.* BFG ἴcοιc D 6 ἢ *om.* DF κίccηριc DF: κίccιρηc K 7 λιθάργυρον D 8 πληνίον H: πληcίον K 9 ἴcα FG μυρcινίνηc D: ἢ cμύρνηc B 10 κρίνου] D: κυπρίνου ABEGHKM: κυπέρου F ῥίζαν FG 12 λείᾳ *om.* D λεπίδοc χαλκοῦ EF χρυcόκολλον AK: χρυcοκόλληc F 13 ἡλείῳ G: πλείω K 14 ξηρίον F 15 καδμίαc . . . ϛ̅ *(tert. 16) om.* D καδμία E καὶ] δὲ καὶ F 16 ϛ̅ *(pr.)*] β̅ F: ιϛ̅ K < ϛ̅ *(sec.) om.* G: < β̅ F < *(tert.)*] ἀνὰ < G 17 < δ̅ *(pr.) om.* F < δ̅ *(sec.) om.* DFG < *(tert.)*] ἀνὰ < DFG δ̅ *(tert.)*] α̅ K 18 ἐλάφου D κεκαυμένου *om.* DF < δ̅ *om.* F ꟻ ϛ̅] *in ras.* M: *om.* F 19 ꟻ *(pr.)*] *in ras.* M: ο < K: < G: ἀνὰ < F ꟻ *(alt.)*] < FGK 20 κυτίνων . . . Ἄλλο *(22) om.* D 20. 21 cχιcτῆc cτυπτηρίαc GK 22 <] DFGK: ꟻ ABEHM cκωρίαc DEGH μολίβου FK 23 <] ꟻ FK 25 cτυπτηρίαc cχιcτῆc DF ἐν . . . τῷ *(26) om.* F ὕδατοc] GK: ὕδατι ABDEHM 26 αὐτοὺc D

4 Ἔμπλαστρος ἀπουλωτικὴ τῶν ἁπλουστέρων.

Κηροῦ < μ̅, λιθαργύρου < λε̅, διφρυγοῦς < η̅, μυρσίνου ἡμικοτύλιον. ποιεῖ δὲ πρὸς ταῦτα καὶ ἡ φοινικίνη καὶ ἡ διὰ καδμίας τό τε μυρσινάτον καὶ τὰ παραπλήσια. πρὸς δὲ τὰ δυσαπούλωτα κηροῦ, μυρσίνου ἀνὰ < ϛ̅, καδμίας < ϛ̅, μολίβδου, λιβάνου ἀνὰ < β̅, σχιστῆς στυπτηρίας, χαλκοῦ κεκαυμένου ἀνὰ < α̅, ἰοῦ ξυστοῦ < β̅· ἐπίλυε παρὰ μίαν.

5 Χρονίοις καὶ δυσαπουλώτοις.

Καδμίας < η̅, χρυσοκόλλης < η̅, σχιστῆς < η̅, ἰοῦ, λεπίδος χαλκῆς ἀνὰ < α̅, πιτυΐνης < μ̅, κηροῦ < ρ̅, μυρσίνου τὸ ἀρκοῦν.

Ἄλλο. κηροῦ, πιτυΐνης ἀνὰ ʒ ϛ̅, καδμίας ʒ γ̅, χαλκίτεως ὠμῆς ʒ γ̅, μυρσίνου τὸ ἀρκοῦν· οἴνῳ λειοῦται ἡ καδμία καὶ ἡ χαλκῖτις ἐν τοῖς ὑπὸ κύνα· χρῶ πλατύσματι καὶ ἐπάνω μοτῷ καὶ σπόγγῳ δι᾽ οἴνου.

Ἄλλο. χαλκοῦ κεκαυμένου ʒ β̅, σχιστῆς στυπτηρίας ʒ β̅, ἁλῶν ἀμμωνιακῶν < β̅, κηροῦ ʒ ϛ̅, κολοφωνίας ʒ ϛ̅, μυρσίνου ʒ β̅· ὄξει λειοῦται τὰ ξηρὰ ἐν ἡλίῳ ἡμέρας κ̅, ὅταν δὲ μελιτῶδες γένηται, ἐκτήξας καὶ ψύξας τὸν κηρὸν μίσγε μαλάσσων. ποιεῖ πρὸς ταῦτα καὶ τὸ διὰ κισήρεως φάρμακον ἥ τε Ἶσις καὶ τὰ παραπλήσια.

## μϛʹ. Περὶ κακοήθων ἑλκῶν, ἃ δὴ Χειρώνια καὶ Τηλέφεια καλεῖται.

1 Τὰ παλαιὰ καὶ δυσκατούλωτα τῶν ἑλκῶν οἱ μὲν Χειρώνεια προσηγόρευσαν οἷα δὴ τοῦ Χείρωνος αὐτοῦ δεόμενα πρὸς ἴασιν, οἱ δὲ Τηλέφεια διὰ τὸ τὸν Τήλεφον ἐν ἕλκει τοιούτῳ χρονίσαι. σκεπτέον τοίνυν, μήποτε καὶ τὸ ὅλον σῶμα κακόχυμον ὑπάρχον τοιαύτας ἐπιρροίας ἐκπέμπει τῷ ἕλκει, καὶ τὸν πλεονάζοντα χυμὸν διὰ τῶν καταλλήλων κενωτέον φαρμάκων. εἰ δὲ καὶ κιρσὸς ἐπιπέμπων εἴη τοῖς σκέλεσιν ἐν τούτοις τοῦ ἕλκους τυγχάνοντος, καὶ τοῦτον ἀποληπτέον, ὡς ἐν τοῖς

μεʹ 4 *cf. Aëtius XIV 39*

1 ἔμπλαστρον AE 2 μυρσινίνου D 3 φοινικίνη] *e corr.* B: φοινικήνη G: φοινίκη AEHM 4 μυρσινίνου D 5 ἀνὰ < ϛ̅] *om.* D: ἀνὰ λι. ϛ̅ F < *(sec.)*] AEGK: ʒ BFHM: ἀνὰ < β̅ D μολίβου ABEHM: μολυβδαίνης F β] α̅ M: ϛ̅ F στυπτηρίας σχιστῆς F 6 ἀνὰ >] DFGHK: *om.* B: ἀνὰ ʒ AEMB[3] 8 < η̅ *(pr. et sec.) om.* DFG < *(tert.)*] ἀνὰ < DFG χαλκοῦ F 9 < μ̅, κηροῦ] ἀνὰ <. ϛ̅ D μυρσινίνου D 10 Ἄλλο] *mrg.* D[3] κηροῦ . . . Ἄλλο *(13) om.* F ʒ ϛ̅] < ϛ DG: ʒ β̅ K ʒ *(alt.)*] < DG γ̅] DGK: ϛ̅ ABEHM χαλκίτεως . . . γ̅ *(11) om.* K 11 μυρσινίνου D οἴνου H: οἴνῳ δὲ D 11. 12 ἐν τοῖς] τούτοις D 13 Ἄλλο . . . παραπλήσια *(17) om.* D ʒ β̅ *(pr.) om.* F στυπτηρίας σχιστῆς F: *om.* K ʒ β̅ *(alt.) om.* FK 14 <] ἀνὰ ʒ F ʒ ϛ̅ *(pr.)*] *om.* G: < ϛ̅ F ʒ *(sec.)*] ἀνὰ ʒ G: *om.* F ϛ̅ *(sec.) om.* F ʒ *(tert.)*] ἀνὰ ʒ F 15 ξηρία E ἡλίῳ *om.* EG ἡμέρες E: ἐπὶ ἡμέρας F 16 μίσγε μαλάσσων] μάλασσε μίξας αὐτὰ H 18 ἃ . . . καλεῖται *(19) om.* F δὴ] DEK: δεῖ G: *om.* ABHM καὶ] τε καὶ DG 20 δυσαπούλωτα EF 25 εἴη] DFGK: *om.* ABEHM 26 τοῦτον] τούτων FG ἀπαλειπτέον D

χειρουργουμένοις εἰρήσεται, ἢ διὰ φλεβοτομίας γοῦν αὐτοὺς κενωτέον συχνὸν ἀφαιροῦντας τοῦ αἵματος, κἄπειτα τοῖς τοπικοῖς χρηστέον βοηθήμασιν τῆς ἀνασκευαστικῆς ἀδήκτως ὑπάρχουσι δυνάμεως. ἁπλᾶ μὲν οὖν τὰ διὰ κισήρεώς τε καὶ διφρυγοῦς καὶ λεπίδος ἰοῦ τε καὶ τιτάνου μετρίως πλυθείσης· ἢ στυπτηρίαν σχιστὴν λείαν ἐπίπασσε. ὑσσώπου < δ̄, σταφίδος < δ̄, νίτρου < β̄, προεπιχρίσας μέλιτι κατάπλασσε, ἢ λεπίδος χαλκῆς < ῑ, στυπτηρίας < β, μετὰ κηροῦ < ῑ μαλάξας ἐν ἡλίῳ ἐπιτίθει. σύνθετα δὲ ταῦτα·

### Ἔμπλαστρος πρὸς Χειρώνια. 2

Ψιμυθίου Ϝ η̄, σχιστῆς στυπτηρίας Ϝ β̄, λεπίδος χαλκῆς Ϝ β̄, ἁλῶν ἀμμωνιακῶν, λιβάνου, ἰοῦ ξυστοῦ, σιδίων ἀνὰ Ϝ β̄, ἀσβέστου ξηρᾶς Ϝ ᾱ, κηροῦ λι. ᾱ, μυρσίνου λι. ᾱ ∟· τὰ ξηρὰ οἴνῳ λείου. ἐκτυλοῖ ἐν ἀρχῇ καὶ ἀποτιθέμενον φυλάσσεται, ἐπὶ τέλει δὲ τὸ ἀπὸ χρήσεως ἀναμαλασσόμενον μυρσίνῳ κατουλοῖ.

Ἄλλο. λιθαργύρου λι. ᾱ, ἐλαίου λι. β̄, χαμαιλέοντος μέλανος ῥίζης, ἀριστολοχίας, κηκῖδος ὀμφακίτιδος ἀνὰ Ϝ ᾱ, χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος, λιβανωτοῦ ἀνὰ Ϝ β̄· σκεύαζε κινῶν ῥίζαις χλωρῶν καλάμων.

### Ἀρχιγένους πρὸς Χειρώνια τά τε ἐπὶ τῶν κνημῶν καὶ τὰ ἐν μαστοῖς κακοήθη, χοιράδας, παρωτίδας. 3

Στέατος βοείου λι. γ̄, τερμινθίνης Ϝ ε̄, μάννης Ϝ ζ̄, γῆς τῆς λεγομένης Σάρδης, ᾗ οἱ γναφεῖς χρῶνται, Ϝ ε̄· τὰ τηκτὰ κατὰ τῶν ξηρῶν βαλὼν καὶ ἑνώσας χρῶ.

Ἄλλο Ἀρχιγένους κηροῦ Ϝ δ̄, ἐλαίου ὀμφακίνου, μάννης ἢ λιβανωτοῦ, διφρυγοῦς, λεπίδος ἀνὰ < δ̄· σὺν ὄξει τὰ ξηρὰ λεάνας καὶ μελιτῶδες πάχος ποιήσας μίσγε τῇ κηρωτῇ καὶ χρῶ ἀνεὶς ἐμμότῳ.

1 εἰρήσεται] *VI 82* 15—17 *Oribasius IV 613, 26* 20—22 *Galenus, De compos. med. per gen. IV 11 (XIII 733)*

1 γοῦν] *corr. ex* γ' M: *om.* F αὐτοὺς *om.* F 2 βοηθήμασι χρηστέον A 4 τε *(pr.) om.* DF τίτανος F 5 πλυθεισῶν G: πλυθεῖσα F ἢ] DFGK: *om.* ABEHM ἐπίπλασσε K: ἐπίπασσε ἢ DF 6 σταφίδος < δ̄ *om.* DFG κατάπασσε D, *e corr.* B ἢ] DFGK: *om.* ABEHM 7 χαλκοῦ DEF: *comp.* G ῑ *(pr.)*] β̄ D: γ̄ F ῑ *(alt.)*] β̄ DH ἡλίῳ] ☉ ἡμ^ε G 8 σύνθετα . . . Χειρώνια *(9)*] ἄλλο F 9 ἔμπλαστρον AE 10 σχιστῆς . . . β̄ *(pr.) om.* F στυπτηρίας σχιστῆς DG Ϝ β̄ *(pr.) om.* DG χαλκοῦ DF: *comp.* G Ϝ β̄ *(alt.)*] AEH: *om.* DFG: < β̄ BKM 11 β̄] η̄ F ξηρᾶς] G: ξηροῦ D: ξ^ε ᾱ K: ζώσης F: *om.* ABEHM 12 μυρσίνου] GK: μυρσινίνου D: *om.* F: μυρσίνης ABEHM λι. ᾱ ∟] *om.* F: λι. ᾱ H λειοῖ K ἐκτιλοῖ EFG 13 ἐπὶ — 14 *om.* F 13 ἐναλλασσόμενον D 14 μυρσινίνῳ D 16 ὄμφακος GK 17 λιβανωτοῦ . . . *p. 368, 2*] ἄλλο F 17 ῥίζας GK χλωραῖς D 19 χοιράδας] καὶ χοιράδας καὶ D 20 τερεβινθίνης DG τῆς] DGK: *om.* ABEHM 21 κναφεῖς G 23 ἄλλη DK Ἀρχιγένους] τοῦ αὐτοῦ E 24 <] Ϝ DH μέλιτος D 25 τὴν κηρωτὴν D ἀνεὶς] ἀνιεὶς G: *om.* B

4 Πρὸς τὰ τῶν γυναικῶν κακοήθη ἕλκη καὶ τῶν ἄλλως ἁπαλοχρώτων.

Κηροῦ Τυρρηνικοῦ < $\bar{η}$, cτέατος ταυρείου, τερμινθίνης, μολίβδου κεκαυμένου καὶ πεπλυμένου ἀνὰ < $\bar{α}$· χρῶ ἐμμότῳ ἀνεὶς διὰ ῥοδίνου ἢ μυρcίνου.

## μζ΄. Πρὸς οὐλὰς μελαίνας.

1 Οὐλὰς μελαίνας αἴρει βρυωνίας ῥίζης λευκῆς καὶ μελαίνης ἑψηθείσης ἐν ἐλαίῳ ἄχρι χυλώσεως τὸ ἔλαιον ἐπιτιθέμενον, καλαμίνθη ἐν οἴνῳ ἑφθή, λιθάργυρος πεπλυμένη cὺν ῥοδίνῳ λευκῷ. τὰς δὲ ἐκ λειχήνων οὐλὰς καὶ τὰς ἄλλας ὁμοχρόους ποιεῖ ὄνειον cτέαρ καταχριόμενον, εὐζώμου cπέρμα λεῖον μετὰ χολῆς αἰγὸς καὶ βοὸς καὶ προβάτου καταχριόμενον cὺν λιθαργύρῳ, προβάτειος ἀcτράγαλος κεκαυμένος λεῖος cὺν αὐστηρῷ οἴνῳ, ἀμμωνιακὸν θυμίαμα cὺν ὑείᾳ χολῇ καταχριόμενον. cύνθετα δὲ λιθαργύρου, ἡδυόcμου, λιβανωτοῦ ἴcα μέλιτι.

Ἄλλο. νίτρου, ἀμμωνιακοῦ θυμιάματος, cμύρνης, θείου ἀπύρου ἴcα ὄξει λευκῷ ἢ οἴνῳ ἢ ὕδατι λειοτριβήcας ἐπίχριε ὀλιγοστόν, ὡς μὴ ἑλκωθῆναι.

Ἄλλο. κιμωλίας, περιcτερῶν κόπρου, cάπωνος, λιβάνου ἴcα δι' ὄξους.

2 Cμῆγμα πρὸς οὐλὰς μελαίνας.

Κιμωλίας < $\bar{η}$, ἀφονίτρου < $\bar{ε}$, ἐλλεβόρου λευκοῦ < $\bar{ε}$, μυροβαλάνου πιέcματος < $\bar{δ}$· ἐν βαλανείῳ cμῆχε.

## μη΄. Περὶ κόλπων.

1 Ὅτε τὸ παρακείμενον δέρμα τοῖc ἕλκεcιν ἐπὶ πλέον ἀκόλλητον ἢ τοῖc ὑποκειμένοιc cώμαcιν, κόλπον τὸ τοιοῦτον πάθος ὀνομάζουcι. πρὸς μὲν οὖν τὴν ἄνω χώραν ἀνατεταμένου τοῦ κόλπου ῥᾳδίως ἐκρεῖ διὰ τοῦ cτόματος ὁ ἰχώρ, καὶ ἡ κόλληcις εὐχερὴς γίνεται· ἀναρρόπου δὲ ὄντος αὐτοῦ μένων ἔνδον ὁ ἰχὼρ ἀναβιβρώcκει τι τῶν cυνεχῶν,

μϛ΄ 4 *Oribasius IV 613, 17* 6—12 *Oribasius, Synops. VII 21; Ad Eunap. III 37* 14—17 *Oribasius IV 614, 14* μζ΄ 2 *Aëtius XIII 129* μη΄ *Oribasius, Coll. XLIV 15. cf. Aëtius XIV 53*

1—2] DGK, *mrg.* B: ἄλλο ABEHM 1 καὶ] καὶ τὰ K ἄλλως] D: ἄλλων BGK 3 <] ἀνὰ < M η] $\bar{ν}$ G: $\bar{δ}$ M μολίβου K 4 κεκαυμένου] *om.* H: $\overset{ε}{κ}$ ἀνὰ < $\bar{δ}$ AE πεπλυμένου] F: $\overset{ε}{π}$ DGK: $\overset{εε}{ππ}$ ABEHM ἀνὰ < $\bar{α}$] ὁμοίως AE: ἀνὰ < $\bar{δ}$ DG: ἀνὰ 'ϰγγ. $\bar{α}$ F ἀνιεὶc DG 5 μυρcινίνου D 7 λευκῆς *om.* K 8 ἐν *om.* AE γλοιώcεως F 11 cπέρμα] *mrg.* M: τε cπέρμα D 13 ὑείᾳ] ὑα G: *om.* D 15—19 *om.* F 15 cμύρνης . . . ἴcα *(16)*] DGK: θείου ἀπύρου ἴcα cμύρνης ABEHM 16 ἢ *(alt.) om.* K ὀλίγιστον D 21 ἀφρονίτρου K < $\bar{ε}$ *(pr.)*] < $\bar{η}$ F: *om.* D < $\bar{ε}$ *(alt.)*] *om.* F: ἀνὰ < $\bar{ε}$ D 24 γρ. ἐπικείμενον *mrg.* B[2] 26 ἀνατεταμμένου EH: ἀνατεταγμένου K τοῦ *om.* K 27 ὁ *om.* DFGK εὐχερῶς F 28 μένων] ὁ D ὁ *om.* DFK

καὶ εἰ μὴ πρότερον εἰς ὑπόρρυσίν τινα ποιήσεις τομήν, οὐδὲν ἀνύσεις οὔτε ἐν τῷ σαρκοῦν αὐτοὺς οὔτε ἐν τῷ κολλᾶν. εἰ δὲ κατά τι τῶν κώλων, οἷον πῆχυν ἢ μηρόν, ὁ κόλπος ὑπάρχει, δύναιτ' ἂν καὶ χωρὶς ἀντιδιαιρέσεως κολληθῆναι κατάρροπον ἐπινοοῦντός σου σχῆμα· ἐν μὲν γὰρ τῷ πήχει πλησίον τοῦ ἀγκῶνος ὑπάρχοντος τοῦ στομίου τὸ ἄκρον τῆς χειρὸς ὑψηλότερον ἀνατείνων εἰς ὑπόρρυσιν τρέψεις τὸν κόλπον· ἐν δὲ τῷ μηρῷ τοῦ κόλπου πρὸς τῷ γόνατι τὸ πέρας ἔχοντος κατάρροπον ἐργάσῃ τὸ σχῆμα κατὰ τὴν ἰγνύαν ὑποτιθεὶς ὑπαυχένιον μαλακόν, ὡς ταπεινοτέραν ἔχειν τὴν θέσιν τὸν βουβῶνα τοῦ γόνατος. εἰ 2
μὲν οὖν μὴ δέοιτο σαρκώσεως ὁ κόλπος, εὐθὺς δι' εὐθυτρήτου τινὸς αὐλίσκου κύστιν ἔχοντος ἐνειμένην πρὸς μὲν τὸ ἀπορρύψαι τοὺς κατὰ τὸν κόλπον ἰχῶρας μελικράτῳ ὑδαρεῖ, ὡς ἂν πίοι τις, κλυστέον αὐτόν, πρὸς δὲ τὴν μέλλουσαν κόλλησιν οἴνῳ ἢ οἰνομέλιτι, κἄπειτα χωρητέον ἐπὶ τὸ κολλητικὸν φάρμακον. εἰ δὲ κοῖλος ὢν ὁ κόλπος δέοιτο σαρκώσεως, πρῶτον μὲν ἐνιέναι τοῦ διὰ χάρτου ξηροῦ ὀλίγον μετὰ πολλοῦ ῥοδίνου, κἄπειτα τιλτῷ μοτῷ βύειν τὸ στόμιον, μετὰ δὲ τοῦτο τῆς Ἴσιδος ἢ τοῦ Μαχαιρίωνος ἤ τινος τῶν παραπλησίων ἐμπλάστρων φαρμάκων ἅμα ῥοδίνῃ κηρωτῇ ὑγροτέρᾳ τήκοντας ὡσαύτως ἐνιέναι. συμ- 3
μέτρως δὲ ὑποσαρκωθέντος τοῦ κόλπου τῶν παρακολλητικῶν τι φαρμάκων ἐπιθήσεις, ὡς εἰ καὶ πρόσφατον ἔναιμον ἐθεράπευες τραῦμα· τοιαῦται δέ εἰσιν αἵ τε βάρβαροι καὶ δίχρωμοι καὶ κιρραὶ προσαγορευόμεναι, μάλιστα δὲ πασῶν ἡ διὰ τοῦ κικίνου καὶ τῶν μεταλλικῶν χωρὶς κηροῦ σκευαζομένη κιρρὰ τοῦ Γαληνοῦ ἔμπλαστρος ἁρμόσει. μετὰ δὲ τὴν ἐπίθεσιν τοῦ φαρμάκου σπόγγος καινὸς ἐξ οἰνομέλιτος ἢ οἴνου περιβαλλέσθω μαλακὸς μάλιστα, καὶ ἡ ἐπίδεσις ἀπὸ μὲν τοῦ πυθμένος ἀρχέσθω τοῦ κόλπου, τελευτάτω δὲ ἐπὶ στόμα· αἱ δὲ περιβολαὶ τῶν ὀθονίων σφιγγέτωσαν μὲν ἀνωδύνως τὸν πυθμένα τοῦ κόλπου, κατὰ βραχὺ δὲ ἐκλυέσθωσαν ἄχρι τοῦ στομίου τῆς περιβαλλομένης ἔξωθεν ἐμπλάστρου τῷ κόλπῳ διεψαλισμένης κατὰ τὸ στόμιον, ὡς ἐκκρίνεσθαι τοὺς ἰχῶρας, μικροῦ δέ τινος ἄλλου κατὰ τούτου ἐπιτιθεμένου ἐμπλαστρίου ἐκ τοῦ αὐτοῦ φαρμάκου χαύνου διὰ τὴν αὐτὴν ἔκροιαν· ἐὰν

23 Γαληνοῦ] *De comp. medic. per gen. II 12 (XIII 519)*

3 ὁ] DFG: ἡ K: *om.* ABEHM    ὑπάρχει] DFGK: ὑπάρχοι ABEHM    4 διαιρέσεως F: ἀντιδιαθέσεως K    5 τῷ *om.* E    7 ἔχοντος] D, *e corr.* B: ἔχοντι AEGHKM: ἔχοντα F    8 ἰγνὺν DG    10 σαρκώσεως] καυχήσεως K    εὐθυτρήτου] DG: εὐθυτρίτου F, *e corr.* B: εὐτρήτου AEHK: εὐτρίτου BM    11 ἀπορρύψαι] D: ἀπορύψαι K: ἀπορρίψαι ABEHM$D^3$: ἀπορίψαι FG    12 κόλπον] τόπον G    πίνοι D    13 χωρήσεως K    14 ἐπὶ . . . σαρκώσεως *om.* K    κόλπος] τόπος AE    15 ὀλίγον] BGK: ὀλίγου ADEHM    ὀλίγον . . . τιλτῷ *(16) om.* F    πολλοῦ *om.* G    16 βύειν] *e corr.* B: μύειν D: δυοῖν F    18 τήκοντος AEHM    19 ὑπερσαρκωθέντος D: -πο- *e corr.* A    τι] ABEHM: τε F: *om.* DGK    21 τοιαῦτα E    22 δὲ *om.* K    24 οἴνου] DFGK: οἴνῳ ABEHM    25 μαλακὸς] DG: μαλακῶς F$B^3$: μαλακῷ ABEHKM    μάλιστα] ὡς ἔνι μάλιστα F    26 τελευτῶσα E    ἐπὶ] ἐπὶ τὸ E    αἱ δὲ . . . κόλπου *(27) om.* D    27 σφιγγέτωσαν μὲν] FGK, *mrg.* $B^3$ (γρ.): *om.* ABEHM    29 διεψαλλισμένης AE: διεσταλμένης F    τὸ *om.* AE    30 δέ] γέ D    31 ἐκ] κατὰ K

δὲ αὐτὸ μέχρι τῆς ἐπιλύσεως, ἣν διὰ τρίτης ποιησάμενος ἀφαιρήσεις αὐτὸ τοῦτο καὶ ἀλλάξεις ἐάσας τὸ καθ᾽ ὅλου τοῦ κόλπου περιβεβλη-
**4** μένον φάρμακον. ἔσται δέ σοι διάγνωσις, εἰ κεκόλληται τὸ βάθος τοῦ κόλπου καλῶς, ἐκρυέντος ἰχῶρος ὀλίγου τε καὶ πεπεμμένου ἢ καὶ μηδ᾽ ὅλως ἐκρυέντος· ἔτι δὲ καὶ κατ᾽ αὐτὸν τὸν κόλπον, εἰ μήτε ὀδύνη τις αἰσθητὴ μήτε ὄγκος, ἀλλὰ προσέσταλται τὸ χωρίον ἅπαν καὶ ξηρὸν καὶ ἀνώδυνόν ἐστιν· ἐὰν δὲ καὶ πῦον εὔπεπτον ἐπὶ τοῦ στόματος ἴδῃς ὀλίγον, ἔτι μᾶλλον ἐλπίδας ἀγαθὰς ἕξεις. εἰ δὲ καὶ κατὰ τὴν πρώτην ἢ δευτέραν ἡμέραν ἐκκρίνηταί τις ἰχὼρ λεπτὸς ἐκ τοῦ κόλπου, μὴ πάνυ τι τῆς κολλήσεως ἀπέλπιζε· πολλάκις γὰρ ἡ τοῦ φαρμάκου δύναμις ἐκθλίβει σφοδρῶς ἐκ τῶν ὑποκειμένων ὑγρότητα λεπτήν, ἧς ἐκθλιβείσης συμμέτρως ξηρὰ γενόμενα τὰ χωρία κολλᾶται. κατὰ δὲ τὴν τρίτην ἡμέραν ἢ τετάρτην ἀπὸ τῆς ἀρχῆς ἐὰν ἄπεπτος ἰχὼρ φέρηται διὰ τοῦ στομίου, γίνωσκε μὴ κεκολλῆσθαι τὸν κόλπον καὶ ἐπίμενε τῷ αὐτῷ φαρμάκῳ· ἀφιστάμενον δέ, ὡς εἰκός, αὐτὸ δι᾽ ὑγρότητά τινα καὶ ἀλλάξαι οὐδὲν ἄτοπον ἐκ τοῦ αὐτοῦ φαρμάκου.

## **5** Περὶ ῥακωδῶν κόλπων.

Ὅταν δὲ βραδέως τμηθέντος ἀποστήματος ἤτοι διὰ ἀμαθίαν τοῦ ἰατρεύοντος ἢ διὰ δειλίαν τοῦ θεραπευομένου τὸ ἐπικείμενον τῷ κόλπῳ δέρμα λεπτὸν καὶ ῥακῶδες εἴη καὶ μὴ οἷόν τε περιελεῖν αὐτό, μετὰ τὰ λελεγμένα κλύσματα κολλητικῷ χρηστέον φαρμάκῳ, συστάσει μὲν ὑγρῷ, τῇ δυνάμει δὲ ξηρῷ. τοιαύτη δέ ἐστιν ἡ διὰ χαλκίτεως φοινικίνη προσαγορευομένη ἀνιεμένη δι᾽ ἐλαίου παλαιοῦ, ὡς μήτε σκληρὰν πάνυ εἶναι μήτε ἀμόλυντον, κἄπειτα μετὰ οἴνου μετρίως παλαιοῦ φυρομένη, εἶτα ἐπιτιθεμένη ἐν κύκλῳ μετὰ τῆς προσηκούσης ἐπιδέσεως. ἁρμόττει δὲ ἐπὶ τῶν ῥακωδῶν, ὡς εἴρηται, δερμάτων οὐχ ἥκιστα μέλι μέχρι συστάσεως ἐμπλαστρώδους ἑψηθὲν καὶ ἐπιτεθέν· ἄμεινον δὲ μετὰ τὴν ἐν τῷ ῥάκει ἐπίπλασιν καταπάττειν αὐτῷ διὰ κοσκίνου μετεώρου χνοώδη σμύρναν ἢ ἀλόην ἢ λιβανωτὸν ἢ πάντα ὁμοῦ. ἐπειράθην δὲ τοῦ λεπτοῦ κενταυρίου θαυμασίου φαρμάκου πρὸς τὴν αὐτὴν χρείαν· ἐφεξῆς δὲ αὐτῷ τὸ σύμφυτόν ἐστιν καὶ μετὰ τοῦτο τῆς Ἰλλυρίδος ἴρεως ἡ ῥίζα, μεθ᾽ ὃ τὸ τῶν ὀρόβων ἄλευρον. ἐνίοτε δὲ καὶ κατ᾽ αὐτὴν τὴν

μη′ 5 *cf. Aëtius XIV 54*

1 ὑπολύσεως D 2 τὸ] DK: τε F: τι ABEGHM 3 ἔστω DF *Gal.* 5 ἔτι δὲ καὶ] ἐπεὶ δὲ καὶ K: ἢ F 6 προσέσταλται] ADEHK, *e corr.* B: προέσταλται BGM: προέστανται F 9 ἐκκρίνεται FG 10 ἀπέλπιζεν K: ἀφέλπιζε FHM 11 ὑπερκειμένων D 13 ἢ τετάρτην ἡμέραν FG ἐὰν] ἐν K φέρηται] D *Or.*: φαίνηται ABEGHM *Gal.*, *e corr.* K: γένηται F 14 μὴ] FGKB²: *om.* ABDEHM 15 δὲ] DF: *om.* ABEGHKM 21 τὰ *om.* K φαρμάκῳ] φαρμακώδη K 21. 22 μὲν ὑγρῷ *om.* K 22 τῇ δὲ δυνάμει F ἐστιν ἡ] ἐστι K 23 παλαιοῦ] *om.* G: πολλοῦ F 24 μετὰ] *om.* K: *ras.* M, *mrg.* μετὰ: μετ᾽ DFG 26 δεμάτων ABHM: *corr.* B³ 28 τῷ *om.* K καταπάττειν] καταπλάττειν FGK: ἐπιπάττειν ABDEHM αὐτῷ] DFH: αὐτῷ μετὰ K: αὐτὸ ABEGM κοσσίκου K 29 ἐπειράνθη A: ἐπειράνθην E 31 αὐτὸ FK 32 μεθ᾽ ὃ] μετὰ H ὃ] ABDEKM: ἃ F: ὧν GB² τὸ *om.* K κατ᾽ αὐτὴν] ταύτην G: κατὰ M

ἔψηϲιν ἐμπάττομεν αὐτὰ τῷ μέλιτι, ὅτε μέλλει καθαιρεῖϲθαι ἀπὸ τοῦ πυρὸϲ ἡ κακκάβη, κάλλιον δὲ καὶ μετὰ τὸ ἐπαρθῆναι· εἶτα κινεῖν, ὅτε δὲ γένηται χλιαρόν, ἐπιτιθέναι αὐτὸ τῷ κόλπῳ καὶ ἐπιδεῖν, ὡϲ εἴρηται.

## μθ΄. Περὶ ϲύριγγοϲ.

Ἡ ϲύριγξ κόλποϲ ἐϲτὶ τετυλωμένοϲ ἐξ ἀποϲτημάτων τὰ πολλὰ 1 ϲυνιϲτάμενοϲ ἐκ μεταφορᾶϲ τῶν καλαμίνων ϲυρίγγων ὠνομαϲμένοϲ. εἰ μὲν οὖν εἰϲ ὀϲτοῦν καταλήγοι, τῶν ἀδυνάτων ἐϲτὶν αὐτὴν ἄνευ χειρουργίαϲ ἰαθῆναι, πλὴν εἰ μὴ χρόνῳ λεπὶϲ αὐτομάτωϲ ἢ ὀϲτοῦν ἀποϲταίη· εἰ δὲ μὴ καταλήγοι εἰϲ ὀϲτοῦν, διὰ τῶν ἐκτυλωτικῶν τε καὶ κολλητικῶν ἰαθήϲεται φαρμάκων. ἐκτυλωτικὰ μὲν οὖν εἰϲι ταῦτα· ϲπονδυλίου ῥίζα περιξεομένη καὶ ἐντιθεμένη ϲυρίγγων τύλουϲ ἀφαιρεῖ, καὶ ἐλλέβοροϲ μέλαϲ ἐντιθέμενοϲ ἐν δύο καὶ τριϲὶν ἡμέραιϲ ἀφίϲτηϲι τὸν τύλον· ἀμόργη ἡψημένη καὶ ἐγκλυζομένη, ϲῶρι ὠμὸν ἢ κεκαυμένον μετ᾽ ὀλίγου κράματοϲ ἐγκλυζόμενον, ϲῶρι καὶ κροκόμαγμα μεθ᾽ ὑδρομέλιτοϲ· ἢ ἐλατήριον τερμινθίνῃ ἀναλαβὼν κολλούρια ποίει καὶ ἐντίθει, ἢ ϲιλφίου ῥίζηϲ χυλῷ ἐγχυμάτιζε. ὑπεκτήκει δὲ τοῦτο· ἰοῦ < ι̅β̅, ἀμμωνιακοῦ < β̅· ἀναλαβὼν ὄξει ποίει ἐπιμήκη.

### Κολλούριον, ᾧ χρῶμαι εἰϲ ἐκτύλωϲιν ϲυρίγγων. 2

Ἀμμωνιακοῦ θυμιάματοϲ, χαλκάνθου, ἰοῦ, μίϲυοϲ, χαλκίτεωϲ, κόμμεωϲ ἴϲα· ἀναλάμβανε ὄξει.

Ἄλλο, ἐκ τῶν Ἡλιοδώρου χειρουργουμένων. καδμίαϲ, μίϲυοϲ, χαλκάνθου, χαλκοῦ κεκαυμένου, κόμμεωϲ ἀνὰ < δ̅, χαλκίτεωϲ ὠμῆϲ < γ̅· ἀναλάμβανε οὔρῳ παιδὸϲ ἀφθόρου καὶ πλάϲϲε κολλούρια, ἐνθεὶϲ δὲ τὸ κολλούριον ἐν τῇ ϲύριγγι ἔξωθεν ἐπιτίθει ἄρτου τὸ ἐντὸϲ ὕδατι βραχὲν ἀλλάϲϲων αὐτό, ἕωϲ ἀφλέγμαντοϲ γένηται, καὶ ἐκπέϲῃ ἡ ἐϲχάρα.

Ἄλλο, ὃ ἔλαβον ἐν Ἀλεξανδρείᾳ. ἀγχούϲηϲ ῥιζῶν, μίϲυοϲ ὀπτοῦ, χαλκίτεωϲ, ἰοῦ, ϲτυπτηρίαϲ ϲχιϲτῆϲ, χαλκάνθου, ἁλόηϲ ἀνὰ ℥ α̅, κανθαρίδαϲ ε̅· ὄξει λειώϲαϲ ποίει κολλούρια.

μθ΄ *cf. Aëtius XIV 55* 5—10 *Galenus, Comm. in Hippocr. De humor. III 28 (XVI 463)* 10—17 *Oribasius, Coll. XLIV 15; Synops. VII 30; Ad Eunap. III 45* μθ΄ 2 *Oribasius IV 614*

1 ἐμπλάττομεν G: ἐμπαττόμενα D αὐτὸ F: *om.* D καθελεῖϲθαι G 2 κάλλιον] ποιοῦϲι, κάλλιον D εἴτε K: *om.* G κινεῖν *om.* D ὅτε] ἐνίοτε K 3 δὲ] BDFGK: *om.* AEHM ἐπιθέναι FM: ἐπιτίθει K αὐτὰ D: αὐτῷ GH 7 οὖν *om.* FK 9 τε *om.* AF 10 ϲφονδυλίου K 11 ἐπιτιθεμένη BF 13 ϲῶρι *om.* F 15 τερεβινθίνῃ DF ἐπιτίθει G 16 χυλὸν DF: *corr.* D ι̅β̅] β̅ F 17 ἐπιμήκη] ADEM: ἐπὶ μήκει BGHK: ἐπιμήκη κολλύρια F 18 Κολλούριον] DG, -ιον *in ras.* B: *comp.* AEHM: ἐκτυλοῦν ϲύριγγαϲ K: ἄλλο ἐκτυλοῦν ϲύριγγαϲ F ᾧ χρῶμαι] DHK *et* ᾧ *in ras.* B: ὃ χρῶμαι AEGM: *om.* F εἰϲ . . . ϲυρίγγων *om.* FK: εἰϲ ἐκτύλωϲιν D 19 Ἀμμωνιακοῦ . . . χειρουργουμένων *(21) om.* D 21 χαλκάνθου *om.* D 23 ἀνάλαβε D πλάττε DF δὲ *om.* K 24 τῇ] τῷ K 25 ἀλλάϲϲων αὐτό] καὶ ἅλαϲ ϲὺν αὐτῷ D ἀφλέγμαντοϲ] AEKM, *e corr.* B: ἀφλέγματοϲ BH: ἀφλέγμαντον DFG 26 ὃ *om.* K ῥίζηϲ D 27 χαλκάνθου *om.* D

Ἄλλο. χαλκάνθου < β̄, χαλκίτεως, ἰοῦ ἀνὰ < ᾱ· ἀναλάμβανε κόμμι ἢ ἀμμωνιακῷ καὶ χρῶ.

3 ὅταν δὲ ἐκτυλωθῇ, ἰῷ ἑφθῷ μετὰ μέλιτος καθαρωτάτου ὀκταπλασίου ἀνακάθαιρε ποιῶν κολλούρια· μετὰ δὲ τὸ ἐκτυλωθῆναι σαρκωτικοῖς δεῖ χρῆσθαι.

Κολλούριον σαρκωτικόν. ἀλόης, σμύρνης, ἀμμωνιακοῦ, ᾠῶν λεπῶν κεκαυμένων τῆς τέφρας ἴσον· ὕδατι λειώσας πλάσσε κολλούρια καὶ ἐντίθει.

Ἄλλο. σμύρνης, ἀλόης, λιβάνου, σιδίων τὸ ἴσον· ἀναλάμβανε ὕδατι (τινὲς χολῇ ταυρείᾳ).

σαρκοῖ δὲ καὶ τὸ ὀμφάκιον ἐγκλυζόμενον.

οἶδά τινα κεδρίᾳ κλύζοντα τὰς σύριγγας, καὶ θαυμαστῶς ἐπετύγχανεν.

4 μετὰ δὲ τὸ σαρκωθῆναι τῷ κολλητικῷ χρηστέον φαρμάκῳ κατὰ τὸν ἐν τῷ περὶ τῶν ἄλλων κόλπων διηγορευμένον τρόπον. στενῆς δὲ οὔσης ἅμα καὶ μακρᾶς τῆς σύριγγος, φησὶν ὁ Γαληνός, καὶ μηδέπω μοι φαινομένης ἔχειν ἔνδον ἐν αὐτῇ τύλον, ἀλλὰ μόνον ῥύπον, ἐνῆκα πρότερον τὴν κονίαν, εἶτα ἐπισχὼν ἐν τῇ σύριγγι τοσοῦτον χρόνον, ἕως ὅτε τὸν ῥύπον ἤλπισα τελείως ἐκπεσεῖν, μετὰ ταῦτα ἐπέθηκα τὸ φάρμακον. ἦν δὲ τὸ διὰ κικίνου ἐλαίου λεχθὲν ἀνωτέρω.

## ν΄. Περὶ τῶν ἀναρρηγνυμένων.

Τινὰ δὲ τῶν ἑλκῶν ἐπουλούμενα πολλάκις μετὰ χρόνον οὐ πολὺν αὖθις φλεγμαίνει τε καὶ ἀναρρήγνυται· παθόντος γὰρ ὀστοῦ τινος ἐνίοτε ἡ ἐπικειμένη σὰρξ ἐπουλοῦται μὲν ῥᾳδίως καὶ ὑγιὴς εἶναι δοκεῖ τελέως, πάλιν δὲ ἰσχυρῶς ἐπιρρέοντος κατ᾽ ὀλίγον ἐκ τοῦ φθειρομένου κατὰ [τὸ] βάθος ὀστοῦ φλεγμονή τε καὶ πῦον ὑπογίνεται τὴν οὐλὴν ἀναξαῖνον. τίς οὖν ἡ θεραπεία τῶν τοιούτων ἑλκῶν; ξήρανσις ἐπὶ τοσοῦτον, ὡς ἀποστῆναι τὸ πεπονθὸς ὀστοῦν. ῥᾳδίως οὖν ἀναπλεύσει

15 διηγορευμένον] *cap. XLVIII* 16 Γαληνός] *Ad Glauc. de med. meth. II 10 (XI 132)* 20 ἀνωτέρω] *p. 369, 22* ν΄ *Oribasius, Coll. LI 40; Synops. VII 10; Ad Eunap. III 24. cf. Aëtius XIV 45*

1 κόμμει D: κόμι BEKM, *supra scr.* A: κόμη GH: κόμην F 2 ἢ ἀμμωνιακῷ] DG, *mrg.* B: ἢ ἀμμωνιακοῦ K: ἢ ἀμμωνιακὸν F: *om.* AEHM 3 ἐκτυλωθῶσιν K καθαρωτάτου *om.* GK 4 ἀνακαθάρε FD[3]: ἀνακαθάραι E, *e corr.* D[3]: ἵνα καθάραι K 5 δεῖ] δὴ K κεχρῆσθαι D χρῆσθαι . . . σμύρνης *(6) om.* K 6 ἀλόης . . . Ἄλλο *(9) om.* F ᾠο K: ὡς G: ὠῶ H λέπους D: λέπον K 7 ἴσα D πλάσον G: πλάττε D 9 ἀλόης *om.* D 10 χολῇ] δὲ χολὴν D ταυρείαν D 11 ὀμφάκινον K 12 τινα] δέ τινα D κεδρίᾳ] DFGK: κεδρίαν ABEHM τοὺς FK 17 ἡνίκα G: ἕνεκα F 18 εἶτα *om.* G 19 ὅτε] ὅτου D: *om.* B 20 διὰ] διὰ τοῦ GK 22 ἀπουλούμενα D οὐ *om.* K: δὲ F 23 φλεγμαίνει τε] DF: φλεγμαίνεται BEGHKM: φλεγμαίνεταί τε A 24 ἀπουλοῦται D 26 τὸ *om.* K: τοῦ GH βάθους G ὑπογίνεται] K: ὑπο γὰρ F: ἐπιγίνεται ABDEHM: ἐπιγίγνεται G 27 ξήρανσις] DG: ξηρανεῖς ABEHKM: ξηραίνειν F 28 ἀναπλέουσι F: ἀναπαύσει AE

τὰ ἐγκαθήμενα τῶν ὀςτῶν, εἰ μήκωνος ἀγρίας καὶ ςυκῆς φύλλα λεῖα μετὰ πάλης ἀλφίτου καὶ οἴνου καταπλάςεις ἢ ὑοςκυάμου ςπέρμα καὶ χάλκανθον ἴςα τρίψας ἐπιθήςεις· ἢ πευκεδάνου ἡ ῥίζα λεπίδας ὀςτῶν ἀφίςτηςιν ἐν τάχει.

## να΄. Περὶ τῶν ἐν ἄρθροις ἑλκῶν.

Τὰ ἄρθρα ξηρότερα τῶν ςαρκωδῶν ἐςτι μορίων· διόπερ ἑλκωθέντα ξηροτέρων δεῖται φαρμάκων. καλῶς γοῦν ὁ τοῦ Πολυείδου τροχίςκος ποιεῖ μετ' οἴνου τριβόμενος ἕως γλοιώδους ςυςτάςεως καὶ τὰ ὁμοίως τούτῳ ξηραίνοντα φάρμακα. καὶ θαλάττῃ δὲ καὶ ἅλμῃ πολλάκις αἰονήςαντες αὐτὰ βέλτιον ἐθεαςάμεθα διατιθέμενα. χρηςτέον οὖν ἐπὶ τῶν ἄρθρων καὶ τοῖς μᾶλλον ξηραίνουςιν.

## νβ΄. Ὅςα ςκόλοπας καὶ ἀκίδας καὶ ἀκάνθας ἀνάγει καὶ τὰ παραπλήςια.

Ἀκίδας καὶ καλάμους, ἔτι δὲ ςκόλοπας καὶ ἀκάνθας, ἐπιςπῶνται ἀναγαλλίδες αἱ δύο, ἀριςτολοχία ςτρογγύλη, ἀμμωνιακὸν ςὺν μέλιτι, ὑοςκυάμου καρπὸς λεῖος καταπλαςςόμενος. καλάμου ῥίζαν κόψας καὶ μέλιτι μίξας εἰς ὀθόνιον ἐμπλάςςων δαψιλὲς ἐπιτίθει· ςυντόμως ἀνάγει.

## νγ΄. Περὶ αἱμορραγίας τῆς τε ἀπὸ φλεβὸς καὶ τῆς ἀπὸ ἀρτηρίας.

Ἐπὶ τῶν αἱμορραγούντων μορίων τὸ τοῖς κόλποις ἐναντίον ἁρμόςει ςχῆμα, τοῦτο δέ ἐςτι τὸ ἀνάρροπον. ἔςτω δὲ μηδὲ τοῦτο ἄμετρον· κίνδυνος γὰρ ὀδύνην γενέςθαι καὶ αὖθις αἱμορραγῆςαι τὸ ἀγγεῖον· οὐδὲν γὰρ ὀδύνης πλέον αἱμορραγίας τε κινεῖ καὶ φλεγμονὰς αὐξάνει.

ἐπὶ δὲ τῶν αἱμορραγούντων μορίων αὐτίκα μὲν ἐπίβαλλε τὸν δάκτυλον ἐπὶ τὸ ςτόμα τοῦ κατὰ τὸ ἀγγεῖον ἕλκους ἐρείδων πράως καὶ

να΄ *Oribasius, Synops. VII 19; Ad Eunap. III 35* νβ΄ *Oribasius, Synops. VII 17; Ad Eunap. III 32* νγ΄ *Galenus, De meth. med. V 3—4 (X 318 sqq.); Oribasius, Synops. VII 20; Ad Eunap. III 36. cf. Aëtius XIV 51*

2 παιπάλης D: ἀπάλης F καὶ οἴνου *om.* FG καταπλάςεις] BDM: καταπλάςις H: *comp.* G: καταπλάςςεις AEF: μεταπλάςεις K ἢ *om.* K 3 χαλκάνθου F: χαλκὸν E ἐπιθήςεις] D: ἐπιθείςεις *e corr.* B²: ἐπιτίθει AEF GKM: ἐπιτήθι H ἢ *om.* G ἡ ῥίζα] ῥίζαν DF ὀςτῶν] γὰρ ὀςτῶν D 6 εἰςὶ τῶν ςαρκωδῶν F ἐςτιν EH: -ν *eras.* B: εἰςιν G 7 οὖν DF Πολυείδους F 8 ὅμοια K 9 τούτων AEH καὶ *(alt.) om.* FK μονίςαντες K 10 διατιθέμενοι K 11 καὶ *om.* DF 12 ἀνάγει] *om.* E: καὶ καλάμους ἀνάγει D καὶ τὰ παραπλήςια *om.* E τὰ *om.* K 14 Ἀκίδας . . . ἐπιςπῶνται *om.* D δὲ] δὲ καὶ G 16 καταπλαςςόμενος] DFGK: καταπαςςόμενος ABEHM *ante* καλάμου *add.* ἄλλο D 17 μέλι ABEK εἰς] DF: εἰς τὸ ABEGHKM δαψιλῶς G ἐπιτιθεὶς K ςυντόμως ἀνάγει] *om.* F: ςυντόμως γὰρ ἀνάγει D 18 τε *om.* DEF τῆς ἀπὸ *om.* F 20 κόλποις] DFGK: ςκολόποις AE: ςκωλόποις BM: ςκώλποις *e corr.* B *seq. ras. 3 litt.*: κολώποις H 21 μηδὲ τοῦτο] τοῦτο μὴ D 23 αὔξει B 24 ἐπίβαλε K 25 ἐπὶ] κατὰ D ἀγγεῖον] εὐαγγέλιον K, *corr.* K²

πιέζων ἀνωδύνως· ἅμα τε γὰρ ἐφέξεις τὸ αἷμα καὶ θρόμβον ἐπιπήξεις τῇ τρώσει· καὶ μέντοι καί, εἰ διὰ συχνοῦ βάθους εἴη τὸ αἱμορραγοῦν ἀγγεῖον, ἀκριβέστερον ἂν καταμάθοις τήν τε θέσιν αὐτοῦ καὶ τὸ μέγεθος, καὶ πότερα φλέψ ἐστιν ἢ ἀρτηρία. μετὰ δὲ ταῦτα σμικροῦ μὲν ὄντος τοῦ ἀγγείου τινὶ τῶν ἰσχαίμων χρηστέον· κάλλιστα δὲ αὐτῶν ἐστι τὰ ἐμπλαστικὰ συντιθέμενα διά τε τῆς φρυκτῆς ῥητίνης καὶ ἀλεύρου πυρίνου χνοῦ καὶ γύψου, καὶ ὅσα τοιαῦτα, ᾠοῦ τῷ λευκῷ φυρώμενα καὶ σὺν λαγῴαις θριξὶν ἐπιτιθέμενα. μεγάλου δὲ ὄντος αὐτοῦ διαπείρας ἀγκίστρῳ τὸ ἀγγεῖον ἀνάτεινέ τε καὶ περίστρεφε μετρίως· ἐπισχεθέντος δὲ τοῦ αἵματος, εἰ μὲν φλὲψ εἴη, πειρᾶσθαι χωρὶς βρόχου στέλλειν τὸ αἷμα τοῖς αὐτοῖς τούτοις φαρμάκοις, εἰ δὲ ἀρτηρία, δυοῖν θάτερον,
2 ἢ βρόχον περιθεὶς ἢ ὅλον διακόψας τὸ ἀγγεῖον ἐφέξεις τὸ αἷμα. βρόχον δὲ ἀναγκαζόμεθά ποτε καὶ ταῖς μεγάλαις περιτιθέναι φλεψίν, ὥσπερ γε διατέμνειν ποτὲ αὐτὰς ὅλας, ἐγκαρσίας δηλονότι. κατασταίη δ᾽ ἄν τις εἰς ἀνάγκην τοῦδε κατὰ τὰς ἐκ πολλοῦ βάθους ὀρθίας ἀναφερομένας καὶ μάλιστα διὰ στενοχωρίας τινὸς ἢ μερῶν κυρίων· ἀνασπᾶται γὰρ οὕτως ἑκάτερον τὸ μέρος ἑκατέρωσε, καὶ κρύπτεται καὶ σκέπεται πρὸς τῶν ἐπικειμένων σωμάτων ἡ τρῶσις. ἀσφαλέστερον δὲ ἄμφω ποιεῖν, βρόχον μὲν τῇ ῥίζῃ περιθεῖναι τοῦ ἀγγείου, τέμνειν δὲ τοὐντεῦθεν. ταῦτα δὲ πράξαντα σαρκοῦν ὅτι τάχιστα τὸ τραῦμα, πρὶν ἀπορρυῆναι τοῦ ἀγγείου τὸν βρόχον· εἰ μὴ γὰρ ταχέως σαρκωθῇ, ἀλλ᾽ εὑρεθῇ που χώρα κενή, τὸ καλούμενον ἀνεύρυσμα γίνεται. διαγνώσῃ δέ, πότερα φλὲψ ἢ ἀρτηρία ἐστὶν ἡ αἱμορραγοῦσα τῷ τῆς μὲν ἀρτηρίας ξανθότερόν τε καὶ λεπτότερον εἶναι τὸ αἷμα καὶ σφυγματωδῶς κενού-
3 μενον, τῆς δὲ φλεβὸς μελάντερόν τε καὶ χωρὶς σφυγμοῦ. ἄριστον οὖν ἁπάντων, ὧν ἴσμεν, σαρκωτικῶν ἐστι φάρμακον, ᾧ καὶ πρὸς τὰς ἐκ μηνίγγων αἱμορραγίας ἀσφαλέστερον χρῆσθαι καὶ πρὸς τὰς ἐν τραχήλῳ τρώσεις ἄχρι καὶ τῶν σφαγιτίδων (καὶ γὰρ καὶ τούτων ἐπέχει τὸ αἷμα χωρὶς βρόχου), λαμβάνον λιβανωτοῦ τοῦ λιπαρωτάτου μέρος α, ἀλόης ἐπὶ μὲν τῶν μαλακωτέρων σωμάτων μέρος ∠΄, ἐπὶ δὲ τῶν σκληροτέρων τὸ ἴσον καὶ ἀντὶ λιβανωτοῦ μάννης τὸ ἴσον· ᾠοῦ τῷ λευκῷ καὶ τοῦτο φυράσθω, ὡς μελιτώδη σύστασιν ἔχειν, εἶτα ἀναλαμβανέσθω λαγῴαις

4 πότερα] FK: πότερον BDGHM: πρότερον AE  μικροῦ F  7 πυρίνου] καὶ πυρίνου K  χνοῦ *om.* D  φυραθέντα F  8 λαγείαις D  διαπείρας] DF: διαπέρας GK: διαπέρα ABEHM  9 ἀνάτεινέ τε] ἀνάτειναί τε BM: ἀνατείνεται K  τε καὶ *om.* F  12 ὅλα K  ἐφέξεις] στήσεις D  βρόχον *(alt.)*] βρόγχον K  16 μερῶν κυρίων] FK: μορίων κυρίων ABEHM: κυρίων μορίων DG  17 τὸ *om.* K  ἑκατέρως FK  καὶ κρύπτεται] ἐγκεκρύπτεται K: καίκρυπται H  καὶ *(alt.)*] τε καὶ K  18 σκέπεται] ABDGM: σκέπτεται EFK  19 βρόγχον K  ῥίζῃ] ῥήξει DF  δέ] τε K  20 πράξαντας FK  ἀρκοῦν K  21 μὴ] μὲν B  22 εὑρεθῇ] DFK: εὑρεθεῖ E: εὑρεθείη ABGHM  που χώρα] ἰχῶρά που K: ἰχῶρα F  23 προτέρα K: πότερον D  ἐστιν ἡ ἀρτηρία FG  24 κινούμενον E  25 τῆς δὲ] τὸ δὲ τῆς F  καὶ] καὶ παχύτερον καὶ D  26 ἐστι *om.* DF  φάρμακον] FH: φαρμάκων ABDEGKM  27 ἀσφαλέστερον] BDFG: ἀσφαλέστατον AEHKM  29 λαμβάνον] τὸ λαμβάνον D  31 λιβάνου D  τῷ] δὲ τῷ D  τούτῳ EG: τὸ K  32 σχεῖν D  ἀντιλαμβανέσθω D  λαγείαις D, *sed corr.*

θριξὶν μαλακωτάταις κἄπειτα τῷ τε ἀγγείῳ καὶ τῷ ἕλκει παντὶ πλεῖστον ἐπιτιθέσθω· καταδείσθω δὲ ἔξωθεν ἐξ ὀθόνης ἐπιδεσμίδι, τὰς μὲν πρώτας ἐπιβολὰς δ̄ ἢ ε̄ κατ᾽ αὐτοῦ τοῦ αἱμορραγοῦντος ἀγγείου ποιουμένων ἡμῶν, ἐντεῦθεν δὲ ἐπὶ τὴν ῥίζαν αὐτοῦ νεμομένων· εἶτα λύσας διὰ τρίτης, εἰ μὲν ἀσφαλῶς ἔτι προσέχοιτο τῷ ἕλκει τὸ φάρμακον, αὖθις ἕτερον ἐν κύκλῳ περιχέοντα καὶ ὥσπερ ἐπιτέγγοντα πάλιν ἐπιδεῖν· εἰ δὲ αὐτόματος ὁ πρῶτος ἀποπτύοιτο μοτός, ἀτρέμα πιέζοντα τῷ δακτύλῳ τὴν ῥίζαν τοῦ ἀγγείου πρὸς τὸ μηδὲν ἐπιρρυῆναι τοῦτο μὲν ἀφελεῖν ἠρέμα, προσθεῖναι δὲ ἕτερον, οὕτω τε θεραπεύειν, μέχριπερ ἂν σαρκωθῇ τὸ ἀγγεῖον, ἀεὶ τοῦ ἀναρρόπου φυλαττομένου σχήματος ἀλύπως. **4** τὰ δέ γε τὰς ἐσχάρας ἐπιπηγνύντα γυμνότερον ἐργάζεται τὸ μέρος, ἢ κατὰ φύσιν εἶχεν, ἀποπιπτούσης τῆς ἐσχάρας, καὶ πολλοῖς αἱμορραγία δυσεπίσχετος ἠκολούθησεν ἐπὶ ταῖς τῶν ἐσχαρῶν ἀποπτώσεσιν. χρηστέον δὲ ὅμως καὶ τούτοις, ὅταν ἀνάγκη μεγάλη βιάζηται· μεγίστη δὲ ἀνάγκη τοῦ χρῆσθαι φαρμάκοις ἐσχαρωτικοῖς ἢ καυτηρίοις διαπύροις, ὅταν ἐξ ἀναβρώσεως σηπεδονώδους ἡ αἱμορραγία γίνηται. καὶ μέντοι κἀπειδὰν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἅπαν ἐκκόψωμεν τὸ σηπόμενον, ἀσφαλέστερον ἤτοι καίειν αὐτοῦ τὴν οἷον ῥίζαν ἢ φαρμάκοις ἐσχαρωτικοῖς χρῆσθαι· τοῦτο δὲ μάλιστα ἐπί τε αἰδοίων καὶ ἕδρας συμβαίνει γίνεσθαι. σκοπὸς δὲ τῶν ἐσχαρούντων ἡ μετὰ στύψεως θερμότης, καθάπερ ἐν χαλκίτιδι καὶ μίσυι καὶ χαλκάνθῳ. τὰ δὲ διὰ τῆς ἀσβέστου σφοδρότερα μέν, ἀλλὰ διὰ τὸ μὴ στύφειν τὴν τίτανον θᾶττον ἀποπίπτουσιν αἱ ἀπ᾽ αὐτῶν ἐσχάραι. κάλλιον δὲ μένειν αὐτάς· φθάνει γὰρ ὑποσαρκοῦσθαι κατὰ τὴν βάσιν αὐτῶν καὶ γίνεσθαι καθάπερ τι πῶμα τοῖς ἀγγείοις. **5** ἐπὶ δὲ τῶν οὕτως αἱμορραγούντων ἰσάτις ἥμερος ἐπιπαττομένη καλῶς ἐπέχει ἢ κηκῖδες καυθεῖσαι· δεῖ δὲ αὐτὰς διαπύρους δι᾽ ὄξους ἢ δι᾽ οἴνου σβεννύειν. καθάπαξ δὲ αἱμορραγίας ἵστησιν ἁπλᾶ μὲν ἀλόη, λίβανος, μάννα, Σάμιος ἀστήρ, ἰὸς σιδήρου, ἐρίων καυθέντων ὁμοίως ἡ τέφρα λειοτάτη, κόπρος ὄνου καὶ ἵππου, ἄσφαλτος, βατράχου σποδιά, διφρυγές, κηκίς, μυρσίνη ξηρά, στυπτηρία πᾶσα ὠμή τε καὶ καυθεῖσα, ῥητίνη φρυκτή, ἀμπέλου φλοιὸς ἢ φύλλα ξηρά, τῶν πλατάνων

νγ´ 5—6 *Oribasius IV 604 sq.*

1 τε *om.* F: *supra scr.* $B^2$   2 δὲ] τε D: *om.* AE   ἐπιδεσμίδι] F: ἐπιδέσμει δὲ ABEGKM: ἐπιδεσμὴ δὲ H: ἐπιδέσμῳ D   3 ἐκβολὰς G   4 τρεπομένων D   5 τὸ *om.* D   6 περιέχοντα K   7 αὐτομάτως K   πιέζοντα] FK: πιεζοῦντα ABDEG: πιάζοντα H: πιαιζοῦντα M   9 τε *om.* AE   10 ἀεὶ] δεῖ K   12 μόριον G   13 ἀποπτώσεις K: ἀποπτώσεσι DG: -ν *eras.* B   14 δ᾽ ADEM   βιάζηται] ADEF: βιάζεται BGHK: ἄξεται M   15 ἢ *om.* K   16 γίνηται] D: γένηται F: γίνεται ABEGHKM   17 καὶ] καίειν D   18 ἤτοι] γὰρ ἤτοι D: εἴη τὸ F   αὐτοῦ] FGK: αὐτὴν ABDEHM   τὴν] DFGK: *om.* ABEHM   21 ἐν] ἡ ἐν D   22 διὰ τὸ μὴ] μὴ διὰ τὸ K   24 ὑποσαρκοῦσθαι] DFGK: ὑπερσαρκοῦσθαι ABEHM   κατὰ *om.* F: τὰ κατὰ *Galen.*   γίγνεσθαι G: γίνονται D   25 ἀγγείοις] DFGK: αἰτίοις ABEHM: γρ. τοῖς ἀγγείοις *mrg.* $B^3$   ἥμερος] ἡ ἥμερος FG, *e corr.* B: ἦν μέρος K   29 ὁμοίως *om.* DF   ἄσφαλτος] FGK, *mrg.* $B^2$: *om.* ABDEH(M?)   βατράχου] F: βραχοῦ $ABED^3$ *(de M non constat)*: βραχοῦσι H, *mrg.* M: βραχουσιν K: βραχύς G, *mrg.* $B^2$: *om.* D   30 σποδιά] F: σίδια ABDEGHM: δια K   κηκίς] *supra scr.* $D^3$   κεκαυμένη D

τῶν cφαιρίων ὁ χνοῦς, μάλιστα ὅτε τὸν ἐπίπαγον ἀποβάλῃ· ἰδίως δὲ μυκτῆρος αἱμορραγίαν ἐντιθέμενα στέλλει ὀξυςχοίνου καρπός, κνίδης φύλλων χυλός, χαλκῖτις, ἀνθυλλὶς κεκαυμένη, τρίχες λαγωοῦ, νάρθηκος τὸ μέςον καυθὲν cὺν ὄξει, ὀνὶς ξηρὰ ἢ ὑγρά, χυλὸς πράςου μετὰ λιβάνου ἐλλυχνίῳ ἀναληφθείς. cύνθετα δὲ πάςης αἱμορραγίας εἰςὶ φάρμακα τάδε· cπόγγον καινὸν εἰς ὑγρὰν πίςςαν δεύςας καὶ ἀςφάλτῳ καταπλάςας ἐν χύτρᾳ καινῇ καῦςον, τῆς δὲ cποδιᾶς μέρη β̄ βαλὼν μίςγε μολίβδου μέρος ᾱ καὶ cτίμεως μέρος ᾱ.

6 Ἄλλο. λιβανωτοῦ, μάννης, θείου ἀπύρου ἴςα· ἔμπλαςςε.

Ἄλλο. χαλκίτεως < κ̄, λιβανωτοῦ ἢ μάννης < ις̄, ῥητίνης φρυκτῆς < η̄, γύψου κεκαυμένου < η̄.

Ἐςχαρωτικὸν ἴςχαιμον. χαλκίτεως, χαλκοῦ κεκαυμένου, χαλκάνθου, μίςυος ὀπτοῦ ἴςον.

Καὶ ἡ Ῥοδία δὲ προςαγορευομένη καὶ ἡ ξανθὴ τῶν ἀγαθῶν ἰςχαίμων εἰςίν.

## νδʹ. Περὶ νευροτρώτων.

1 Τὰ τετρωμένα τῶν νεύρων ἢ νυγέντα τὴν φλεγμονὴν καὶ τὴν ὀδύνην ὑπερβάλλουςαν ἔχει διὰ τὸ περιττὸν τῆς αἰςθήςεως· διὸ καὶ πυρετοὶ καὶ cπαςμοὶ τούτοις περιγίνονται, τιςὶ δὲ καὶ παραφροςύνη διὰ τὴν πρὸς τὸν ἐγκέφαλον τῶν νεύρων cυνέχειαν· ἔςθ᾽ ὅτε δὲ καὶ κατ᾽ ἄλλα χωρία τοῦ τρωθέντος μορίου φλεγμοναὶ καὶ ἀποςτάςεις εἰώθαςι γίνεςθαι κατ᾽ αὐτοῦ τοῦ νεύρου τοῦ τρωθέντος διὰ τὴν cυνέχειαν αὐτοῦ. δεῖ οὖν τὴν τοῦ δέρματος τρῶςιν διατηρεῖν ἀκόλλητον, ἵνα δι᾽ αὐτῆς οἱ ἰχῶρες ἐκρέοιεν, ἐπὶ δὲ τῶν νυγμάτων, εἰ τυφλὰ φαίνοιτο, καὶ προςεπιτέμνειν δύο διαιρέςεςιν τεμνούςαις ἀλλήλας. ἐν δὲ τοῖς βοηθήμαςιν, εἰ πληθωρικὸν εἴη τὸ cῶμα καὶ ἡ φλεγμονὴ μεγάλη, πρῶτον ἀπὸ φλεβοτομίας ἄρχεςθαι· κακοχύμου δὲ φαινομένου
2 τοῦ cώματος καὶ καθάρςει χρηςτέον. φάρμακα δὲ προςαγέςθω τῷ τραύματι τὰ τὴν ὀδύνην πραΰνοντα καὶ τὴν ἐκροὴν ἀναςτομοῦντα, μὴ γεγονυίας μάλιςτα τῆς ἐπιδιαιρέςεως. τὸ μὲν οὖν θερμὸν ὕδωρ τὸ ταῖς

νδʹ *Galenus, De meth. med. VI 2—3 (X 391 sqq.); Oribasius, Synops. VII 22; Ad Eunap. III 38. cf. Aëtius XIV 27*

1 ὅτε τὸν] τῶν K ἀποβάλῃ] DK: ἀποβάλλῃ ABEG(M?): ἀποβάλλει F: ἐπιβάλλῃ H 3 ἄνθηλις χαλκῖτις D 4 καὲν D ὄνωνις D πραςίου D 5 εἰςὶ φάρμακα] εἰςὶν φάρμακα K: φάρμακά εἰςι E *sed add.* β—α: φάρμακα D: *om.* F 6 τάδε] DFGK, *e corr.* B: καὶ τάδε ABEH(M?) εἰς] F: *om.* ABDEGHKM ὑγρὰν πίςςαν] *mut. in* ὑγρᾷ πίςςῃ B: ὑγρᾷ πίττῃ D 7 λαβὼν F 8 ᾱ (*alt.*)] β̄ G 9 θείου ἀπύρου μάννης K ἔμπλαςςε] FGHK: ἔμπαςςε ABDEM 10—15 *om.* F 10 κ̄] ADGKM: η EH, *e corr.* B 11 < η̄ (*pr.*) *om.* D < (*alt.*)] ἀνὰ < D 19 ἐπιγίνονται D: ἐπιγίγνονται F 20 δὲ *om.* M: *seq. ras. 3—4 litt.* A καὶ . . . ἀποςτάςεις (*21*)] *mrg.* A (γρ). 21 κατ᾽ ἄλλα] DF: τἄλλα ABEHKM: τὰ ἄλλα G: *mrg.* γρ. καὶ κατὰ ἄλλα τὰ πέριξ χωρία B[3] 22 γίγνεςθαι FG 24 ἐκρέωςιν F 25 δυςὶ D τεμνούςας G ἀλλήλας] DG: ἀλλήλαις ABEFHKM 28 καὶ] *supra scr.* D[3] προςακτέον F: *om.* G 29 τὰ] προςακτέον τὰ G 30 διαιρέςεως DM: ἐπι *mrg.* M

ἄλλαις φλεγμοναῖς ἐπιτηδειότατον εἰδέναι τούτοις πολέμιον, καὶ κάλλιον καταιονᾶν ἐλαίῳ λεπτομερεῖ μηδὲν ἔχοντι στύψεως θερμῷ πρὸς αἴσθησιν· οὔτε γὰρ τὸ ψυχρὸν οὔτε τὸ χλιαρὸν ἄγαν ἀβλαβὲς αὐτοῖς ἐστι. τῶν δὲ φαρμάκων ἐπιτήδειός ἐστι ῥητίνη τερμινθίνη, καθ' ἑαυτὴν μὲν ἐπὶ παιδίων καὶ γυναικῶν καὶ τῶν ἁπαλοσάρκων, μετὰ δὲ εὐφορβίου μαλαττομένη ἐπὶ τῶν σκληροσάρκων, κἄν ποτε σκληροτέρα τύχοι, σύν τινι τῶν λεπτομερῶν ἐλαίων. καταπλάσμασι δ' ἄν τις ἐπὶ τῶν φλεγμαινόντων καὶ σηπομένων νεύρων χρήσαιτο κρίθινον ἄλευρον ἢ κυάμινον ἢ ὀρόβινον ἑψήσας ἐν κονίᾳ στακτῇ σὺν ὀξυμέλιτι. χωρὶς δὲ τῆς 3
ἑψήσεως ἐπὶ τῶν νυγμάτων καὶ κηρωτῇ τις ἂν χρήσαιτο τοιαύτῃ· κηροῦ Γ° γ̄, εὐφορβίου Γ° ᾱ ἢ περιστερᾶς κόπρου ἐπὶ τῶν σκληροτέρων σωμάτων, ἐλαίου Γ° β, ἔσθ' ὅτε καὶ τερμινθίνης Γ° ᾱ· ἐμπλαστρῶδες δὲ τὸ φάρμακον ἐργαζόμενος εἰς τὴν οὐγκίαν τοῦ εὐφορβίου ἀνὰ ξ Γ° κηροῦ καὶ φρυκτῆς ῥητίνης καὶ ἐλαίου καὶ πίσσης λιπαρᾶς ἐμβαλεῖς, ἀντὶ δὲ τῆς ῥητίνης πρόπολιν τὴν λιπαρωτάτην ἐμβάλλων ἄμεινον ποιήσεις. καὶ τοῦτο δὲ πρὸς τὰ νυγέντα νεῦρα τῶν ἀγαθῶν ἐστι φαρμάκων ποιοῦν καὶ πρὸς τοὺς λυσσοδήκτους· ὄξους ξ ᾱ, πίσσης λιπαρᾶς λι. ᾱ, ὀποπάνακος Γ° γ̄· τὸν ὀποπάνακα λύσας ὄξει ἐπὶ πλέον ἐκλείου καὶ τὴν πίσσαν τήξας καὶ μίξας ἕψε. τοῦτο τὸ φάρμακον τοῖς νενυγμένοις νεύροις ἐπιτήδειόν ἐστιν οὐ συγχωροῦν μῦσαι τὸ στόμιον τοῦ νύγματος, ὥσπερ οὐδὲ τῶν λυσσοδήκτων συνουλωθῆναι τὸ ἕλκος· ποιεῖ δὲ ἐπὶ μόνων τῶν σκληρῶν σωμάτων. εἰ δὲ ἐπὶ παιδίου νυγέντος ἢ 4
ἁπαλοσάρκου χρήσασθαι βουληθείης αὐτῷ, ἔνεστί σοι τήκειν αὐτὸ διά τινος τῶν διαφορούντων, ἀμαρακίνου ἢ ὀποβαλσάμου ἢ ἐλαίου παλαιοῦ. ἁρμόττει δὲ καὶ τὸ βασιλικὸν φάρμακον προσλαμβάνον νίτρου ἢ ἀσβέστου ἢ εὐφορβίου ἢ θείου ἀπύρου ἢ ἀγρίας περιστερᾶς κόπρου ἢ ὀποπάνακος ἢ σαγαπηνοῦ ἢ ὀποῦ Κυρηναικοῦ ἢ καστορίου· εἰς λίτραν δὲ τοῦ φαρμάκου Γ° ᾱ ἐμβαλεῖν τῶν εἰρημένων τινός· ποιεῖ γὰρ καλῶς πρὸς τοὺς νευροτρώτους καὶ μάλιστα τοὺς νενυγμένους. δύναιτο δ' ἄν

16—24 *Oribasius, Ad Eunap. III 39*

4 ἐπιτήδειον D: ἐπιτηδεία F  τερεβινθίνη F  5 καὶ *(pr.)*] τε καὶ M  καὶ *(alt.)*] καὶ ἐπὶ M  6 τύχη F  10 σήψεως FG  12 β̄] ιβ F  τερεβινθίνης F  ἐμπλαστρῶδες . . . οὐγκίαν *(13) om.* F  13 ἐργαζομένῳ *e corr.* D  οὐγκίαν] ABEK: ὀγκίαν GHM: Γ° D  ξ Γ°] K: Γ° ξ DF: ξ Γ°Γ° A: ϛ Γ°Γ° E: ξ οὐγκίας BGH: ξ ὀγκίας M  14 καὶ *(pr.)*] *om.* G: τε F  ῥητίνης φρυκτῆς FH  καὶ *(sec.)* . . . ῥητίνης *(15)*] FG: *mrg.* B *omisso* ῥητίνης *ins. ante* ῥητίνης *(14)*: καὶ D: *om.* AEHKM  καὶ *(sec.) om.* F  πίττης G  ἐμβαλεῖν F  15 τῆς *om.* F  πρόπολιν τὴν λιπαρωτάτην] προπόλεως μ/ D  ἐμβαλὼν BH: βαλὼν F: ἐμβάλλειν D  ἄμεινον . . . δὲ *(16) om.* D  16 τῶν ἀγαθῶν] ἀγαθόν F  φάρμακον DF  17 ποιοῦν . . . λυσσοδήκτους] *pro titulo* D  19 καὶ μίξας] FGB[2]: *om.* ABDEHKM  ἕψει D  τὸ *om.* B  22 παιδίων G *et e corr.* B  νυγέντων G *et e corr.* B  23 ἁπαλοσάρκου] F: ἁπαλοσάρκων ABDEGKM: ἁπαλόσαρκον H  χρήσασθαι] FGB[2]: χρῆσθαι ABDEHKM  ἔνεστί] F: ἔστι ABEGHKM: ἐπιμελὲς ἔστω D  24 *post* διαφορούντων *ins.* αὐτὸ *mrg.* B[2]  25 προσλαμβανόμενον AEF  28 Γ° ᾱ *om.* E  ἐμβαλεῖν] F: ἐμβάλλειν ABEGHKM: ἔμβαλλε D  γὰρ] δὲ B  καλῶς] FG: *om.* ABDEHKM  29 καὶ] FG: καλῶς καὶ ABDEHKM

τις κατ᾽ ἀγρὸν μηδενὸς εὐπορῶν πρόπολιν πρόσφατον καὶ λιπαρὰν ἐντιθέναι κατὰ τοῦ τραύματος ἢ ζύμην, μάλιστα παλαιάν, μόνην τε καὶ μετὰ τῆς προπόλεως μίξας ἢ μετὰ ὀποῦ τιθυμάλλου. τοῖς καταπλάσμασι δὲ τοῖς δι᾽ ὀξυμέλιτος ἢ στακτῆς κονίας μετὰ ἀλεύρου κυάμων ἢ ὀρόβων ἢ ἐρεβίνθων ἢ θέρμων πικρῶν ἢ κριθῶν ἢ πάλης ἀλφίτων οὐ μόνον ἐπὶ τῶν φλεγμαινόντων ἀλλ᾽ ἤδη καὶ κατ᾽ ἀρχὰς εὐθέως κεχρῆσθαι δεῖ· τὰ δὲ χαλαστικὰ τῶν καταπλασμάτων ἐπὶ τῶν νευροτρώπων ἀεὶ παραιτεῖσθαι δεῖ. εἰ δὲ μὴ νυγείη τὸ νεῦρον, ἀλλὰ σαφεῖ τῇ τομῇ τρωθείη διαιρεθέντος καὶ τοῦ προκειμένου δέρματος, ὡς γυμνὸν φαίνεσθαι τὸ νεῦρον καὶ ὄρθιον, οὐκ ἐγκάρσιον, διῃρημένον, τῶν προειρημένων δι᾽ εὐφορβίου καὶ τῶν οὕτω δριμέων οὐδενὶ χρήσῃ· γυμνὸν
5 γὰρ ὂν τὸ νεῦρον οὐκ οἴσει τὴν δύναμιν αὐτῶν σφοδρὰν οὖσαν. τὴν τίτανον οὖν παραλήψῃ πεπλυμένην πολλάκις ἐν ὥρᾳ θερμῇ πλείονι τῷ ἐλαίῳ δευομένην. καλὸν δὲ καὶ τὸ διὰ πομφόλυγος καὶ τὸ διὰ μέλιτος ἐν ῥοδίνῳ πλείονι τακέν. δεῖ δὲ μηδὲν τῆς τρώσεως ψαύειν· αἰσθητικὸν γάρ ἐστι τὸ νεῦρον καὶ τῇ κράσει ψυχρὸν καὶ συνεχὲς τῇ κυριωτάτῃ τῶν ἀρχῶν. ἀλλ᾽ οὐδ᾽ ἐλαίῳ καταιονᾶν προσήκει τὸ τοιοῦτον ἕλκος· ῥυποῦται γάρ. ἀπομάττειν οὖν μόνον τοὺς ἰχῶρας δεῖ μαλακὸν ἔριον ὑπαλείπτρῳ περιελίττοντας. πάντων δὲ κατὰ γνώμην προχωρούντων ἀκίνδυνον γλυκεῖ διαβρέχειν· ἐπὶ δὲ τῶν ἰσχυροτέρων καὶ τῷ Πολυείδου τροχίσκῳ μετὰ σιραίου θερμῷ διαμότῳ χρῆσθαι. μετὰ δὲ τὸ σκεπασθῆναι τὸ γεγυμνωμένον νεῦρον τοὺς μοτοὺς ἔξωθεν περιβάλλειν δεῖ τινι τῶν πρὸς τὰς στενὰς τρώσεις ποιούντων, οἷον τῷ δι᾽ εὐφορβίου ἢ τῷ διὰ τῆς κόπρου τῶν περιστερῶν, συμπεριλαμβά-
6 νοντα πολὺ καὶ τῶν ὑγιεινῶν μερῶν. τῆς τρώσεως δὲ ἐγκαρσίας γενομένης ὁ μὲν κίνδυνος τοῦ σπασθῆναι μείζων, τὰ δὲ τῆς θεραπείας καὶ ἐπὶ ταύτης ὅμοια, πλὴν ὅτι τῆς τρώσεως ἔτι προσφάτου τυγχανούσης ῥαφαῖς ἐχρήσαντό τινες καὶ τῶν κολλητικῶν τινι φαρμάκων· ἀλλὰ δεῖ τὰς ῥαφὰς μὴ λίαν ἐπιπολῆς διδόναι, ἵνα μὴ τὸ βάθος ἀκόλλητον μείνῃ, ἀλλὰ βαθυτέρας, φυλαττόμενον μέντοι τὸ πάλιν ὑπὸ τῆς βελόνης νυγῆναι τὸ νεῦρον. εἰδέναι δὲ καθάπαξ ἐπὶ τῶν νευροτρώτων, ὅτι τὸ τὰ νύγ-

31—p. 379, 5 *cf. Galenus, De comp. medic. sec. gen. III 2 (XIII 606)*

2 παλαιὰν μάλιστα H  3 τῆς *om.* D  μετὰ *(alt.) om.* D  4 ἀλεύρου] F *et e corr.* B: ἄλευρον BH: ἀλεύρων ADEGKM  5 παιπάλης D: ἀπάλης F  ἀλφίτου FG  *deinde* οἷς *supra add.* D  7 δεῖ] F: *om.* ABDEGHK  8 νυγείη] F: νυγῇ ABDEGK: νυγεῖ HM  13 θερινῇ *Or*: θέρους F  14 τὸ *(pr.)*] DFGM: τὰ ABEHK  15 ἐν ῥοδίνῳ] σὺν ῥοδίνῳ D: εὐροδίνῳ H: ὑγροροδίνῳ B  ψαύειν] ψαύειν ψυχρόν F  17 τὸ ... μήτε τῷ *(p. 379, 13) om.* F  18 δεῖ] ADEKM: διὰ GH, *e corr.* B  19 μαλακὸν ἔριον] ABDEHKM: μαλακῶν ἐρίων G *et e corr.* B  21 Πολυείδου] DM: πολυείδῳ ABEGK: πολυίδῳ H  σιραίου] G: σειρέου D: συρέου *e corr.* J: σηρέου *e corr.* B: σιδηρέου ABEHKM  23 *ante* τινι *ins.* σὺν B[3]  οἷον] οἷόν ἐστι D  τῷ] τὸ DEGK  24 τῷ] τὸ DEG  25 δὲ *om.* D  γινομένης M: δὲ γενομένης D  26 σπασθῆναι] *Or*: σκεπασθῆναι ABDEGHKM  27 ταύτης] BGK: ταύτῃ ADEHM  ἔτι] ἐπὶ K  28 τινι] *om.* G: ἔστιν οἷς D  30 τὸ] τὸ μὴ D  31 δὲ] *om.* K: δὲ δεῖ D  τὸ *(alt.) om.* GK

ματα θεραπεῦον φάρμακον θερμότερον ὑπάρχον οὐχ οἷόν τέ ἐστιν διαίρεσιν νεύρου θεραπεύειν οὐχ ὑπομένοντος τὴν ἐξ αὐτῶν δῆξίν τε καὶ φλόγωσιν, οὔτε δὲ τὸ τὰς διαιρέσεις θεραπεῦον ἁρμόζει τοῖς νύγμασιν· οὐ γὰρ ἐξικνεῖται πρὸς τὸ βάθος ἡ δύναμις αὐτοῦ στενῆς οὔσης τῆς τοῦ δέρματος διαιρέσεως.

7 δίαιτα δὲ παραλαμβανέσθω λεπτοτέρα καὶ στρωμνὴ μαλακή, καὶ θερμῷ τῷ ἐλαίῳ χρῆσθαι κατὰ μασχαλῶν καὶ κεφαλῆς καὶ τραχήλου, τῆς δὲ τρώσεως ἐν σκέλει γενομένης κατά τε βουβώνων καὶ ἤτρου καὶ τῶν τῇδε χωρίων. λουτρῶν δὲ τὸ μὲν σύμπαν ἄχρι τῆς παρακμῆς τῶν φλεγμονῶν ἀπέχεσθαι μηδαμῶς αὐτοῖς ἁρμοζούσης τῆς τοῦ ὕδατος, ὡς ἔφημεν, ψαύσεως. ἐπεὶ δέ τινες οὐκ ἀνέχονται μένειν ἄλουτοι δι' ἔθος, εἰ μὲν τὸ τετρωμένον μόριον χεὶρ εἴη, πειρατέον ὡς οἷόν τε μὴ βρέχειν αὐτὴν τῷ ὕδατι μήτε τῷ θερμῷ μήτε πολλῷ πλέον τῷ ψυχρῷ· ἐν ποδὶ δὲ τῆς τρώσεως γενομένης, ἐπεὶ τὸ μὴ βρέχειν ἀδύνατόν ἐστιν, μελλόντων αὐτῶν λούεσθαι κατὰ τοῦ τετρωμένου μέρους ἐπιθεὶς τῶν ἐμπλάστρων τι φαρμάκων ἔξωθεν αὐτοῦ πάλιν ἐπίβαλλε πολυπτύχους ὀθόνας πλείονας ἐλαίῳ διαβρόχους, αἷς αὖθις ἔξωθεν ἐπίδεσμον ἐξ ὀθόνης ἐπιβάλλειν, καὶ μετὰ ταῦτα πάλιν ἐν αὐτῷ τῷ βαλανείῳ προσκατάχει τοῦ ἐπιδέσμου τὸ ἔλαιον μέλλοντος εἰς τὴν πύελον ἐμβαίνειν τοῦ νευροτρώτου· λουσαμένου δὲ τὰ μὲν ἐπικείμενα πάντα ἀπόβαλλε, χρῶ δὲ τῇ προειρημένῃ τῆς ὅλης θεραπείας ἀγωγῇ. 8 θλάσεως δὲ μόνης τοῦ νεύρου γενομένης, ἐὰν μὲν ἅμα τῷ δέρματι θλασθέντι καὶ ἕλκωσις γένηται, τὸ διὰ τῶν κυαμίνων ἀλεύρων καὶ ὀξυμέλιτος ἐπιτήδειον κατάπλασμα, προσβαλεῖς δὲ ἐνίοτε καὶ ὀροβίνων ἀλεύρων καὶ ἴρεως. τῇ θλάσει δὲ ὀδύνης συνούσης πίττης ὑγρᾶς μιγνύειν. ἐὰν δὲ χωρὶς τοῦ θλασθῆναι τὸ δέρμα γένηται, διαφορητικώτερον καταντλεῖν ἐλαίῳ θερμῷ συνεχῶς, ἀνηθίνῳ φημὶ ἢ πηγανίνῳ ἢ ἰρίνῳ ἢ ἀμαρακίνῳ. τοῦ νεύρου δὲ ὅλου διακοπέντος κίνδυνος μὲν οὐδεὶς ἕψεται, τὸ μόριον δὲ ἀνάπηρον γενήσεται· θεραπεία δὲ ὁμοία παραληφθήσεται τοῖς ἄλλοις ἕλκεσιν.

9–21 *cf. Galenus, De comp. medic. sec. gen. III 2 (XIII 597)*
21–30 *Aëtius XIV 29*

3 οὔτε] οὔτω K 6 καὶ *(pr.)*] τε καὶ G 7 καὶ *(pr.)*] ἢ K 8 γενομένης] BD: γινομένης AEGHKM 11 ἔφαμεν *e corr.* D ἄλουτοι] ἀλλ' οὗτοι K 12 ὡς] ὁμοίως K 13 πολλῷ πλέον] D: *om.* FG: τῷ πολλῷ πλέον ABEKM: τὸ πολλῷ πλέον H 14 γινομένης AEH 15 ἐπιθεὶς] ABEGK: ἐπίθες F: ἐπιτιθεὶς DM: ἐπιτηθεὶς H 16 ἔξωθεν . . . ἐπίδεσμον *(17) om.* D 17 διαβρόχους] F: διαβρεχούσας K: διαβραχείσας ABEGHM αἷς] *Gal.*: καὶ F: *om.* ABEGHKM ἐπίδεσμον] GK, *e corr.* B: ἐπιδεσμῶν ABEHM: ἐπιδέσμει F 17. 18 ἐξ ὀθόνης *om.* F 18 ἐπιβάλλειν] ABDEGKM: ἐπιβάλλην H: *om.* F προσκατάχει] AEHKM: προσκαταχεῖν D: προκατάχει G: προκατέχειν *e corr.* B: προκαταντλεῖν F 19 τῷ ἐπιδέσμῳ F 22 γινομένης A 24 προσβαλεῖς] ADEF, *e corr.* B: προσβάλλεις BGHM: προσβάλλης K ὀρόβινον ἄλευρον DFGM: *corr.* M 25 δὲ] DFGB[3]: *om.* ABEHKM πίσσης F 26 διαφορητικώτερον] *mut. in* διαφορητικωτέρῳ B[3] 28 ὅλως K οὐδεὶς μὲν M ὅψεται K 29 γενήσεται] D: γένηται F: γίνεται ABEGHKM δὲ] τε D

9 αὕτη μὲν ἡ διὰ τῶν ἁπλουστέρων βοηθημάτων ἐπὶ τῶν νευροτρώτων ἴαςις ἀρκοῦςα πρὸς τὴν ὅλην θεραπείαν. τινὲς δὲ καὶ πολυςυνθέτοις ἐπὶ αὐτῶν εἰώθαςι χρῆςθαι φαρμάκοις, ὁποῖά ἐςτι τό τε διὰ τῶν μεταλλικῶν καὶ αἱ βάρβαροι προςαγορευόμεναι τό τε κίςςινον καὶ τὸ διὰ τοῦ ἠριγέροντος καὶ τὸ μελάγχλωρον ἥ τε Ἰνδικὴ καὶ ἡ ἁρμονία καὶ ἡ Ἀθηνᾶ, ὧν τὰς ςυνθέςεις καὶ τὸν τῆς χρήςεως τρόπον κατὰ τὸ ἕβδομον εὑρήςεις βιβλίον. ἐπεὶ δέ τινες τῶν ζαπλούτων καὶ πολυτελέςιν ἐπὶ τῶν νευροτρώτων ἀξιοῦςι χρῆςθαι φαρμάκοις, ὁ Γαληνὸς ἀνεγράψατο πρὸς μὲν τὰ νύγματα τῶν νεύρων τάδε· κινναμώμου 𐅻 ᾱ, δικτάμνου 𐅻 ᾱ, μαράθρου 𐅻 ᾱ, ἀμαράκου 𐅻 β̄, κηροῦ 𐅻 η̄, ὀποβαλςάμου 𐅻 ῑ, τερεβινθίνης 𐅻 ᾱ.

10 Ἄλλο. ὀποῦ Κυρηναικοῦ 𐅻 α, κηροῦ 𐅻 γ, ὀποβαλςάμου 𐅻 ιβ.

πρὸς δὲ τὰ γυμνωθέντα νεῦρα τόδε· κηροῦ μυρεψικοῦ 𐅻 γ̄, μύρου ςπικάτου ἢ φουλιάτου ἢ νάρδου 𐅻 ιβ, πομφόλυγος πεπλυμένης 𐅻 ᾱ, ναρδοςτάχυος 𐅻 ᾱ, ἀμώμου 𐅻 ᾱ, φύλλου 𐅻 α. καὶ ταῦτα δὲ τῶν ὑπὲρ ἐλπίδας εὐδοκιμούντων ὁ Γαληνὸς ἀπεφήνατο.

## νε΄. Περὶ ἀγκυλώςεως.

Ἀγκύλας τε καὶ ἀγκυλώςεις προςαγορεύειν εἰώθαςι τὰς τῶν ἄρθρων κατοχὰς διὰ ςφήνωςιν ἢ νευρικήν τινα τάςιν γινομένας, ἐφ᾽ ὧν τῆς μαλακτικῆς τε καὶ χαλαςτικῆς δεήςει δυνάμεως. κοινότερον μὲν οὖν καὶ τὰ ἐπὶ τῶν ἐςκιρρωμένων μορίων, ἔτι δὲ μᾶλλον τὰ ἐπὶ τῶν παραλυθέντων εἰρημένα τούτοις ἁρμόςει, ἰδιαίτερον δὲ καταιονήςεις δι᾽ ὑδρελαίου, ἐν ᾧ ἀφηψήθη λινόςπερμον, τῆλις, ἀλθαία, δάφνη, ςικύου ἀγρίου ῥίζα, καὶ αὐτὸ τὸ Cικυώνιον. μετὰ δὲ τὴν καταιόνηςιν προςαγέςθω τούτοις ἄκοπα μὲν πρῶτον τὰ ἁπλούςτερα, οἷόν ἐςτι τό τε διὰ τῆς αἰγείρου καὶ τὸ διὰ τῆς ἐλάτης τό τε βρόμιον καὶ τὸ Βαςιλείου καὶ ἡ πυξίς· μεθ᾽ ἃ τό τε Ἀριςτοφάνειον καὶ τὸ τοῦ Ἀζανίτου. ἰςχυρότατα

νδ΄ 9 *cf. Oribasius IV 605 sq.* 8 Γαληνὸς] *De comp. medic. sec. gen. III 8 (XIII 635 sqq.)*

2 ἰάςει K ἄλλην AK 3 ἐςτιν DH: εἰςι FK τό] ἡ D τε] FGK: *om.* ABDEHM 4 καὶ *(pr.)*] FGK: τε καὶ ABDEHM 5 Ἰνδικὴ] ἴνδη K: *om.* F καὶ ἡ] DGK: *om.* ABEFHM ἀρμενία DF 6 τὰς] DFGHK: καὶ τὰς ABEM 9 𐅻 ᾱ *om.* DF 10 δικτάμνου] μαράθρου K 𐅻 ᾱ *(pr.) om.* DF μαράθρου] δικτάμνου K: μαράθου D: μάρου *Gal.* 𐅻 ᾱ *(sec.)*] *om.* K: ἀνὰ 𐅻 ᾱ DF 𐅻 *(tert.)*] ⟨ AEFM˙ β̄] ᾱ F 𐅻 *(quart.)*] *om.* G: ⟨ AEM 13 τόδε] *om.* D: τάδε AF 14 φουλλιάτου G: φολιάτου K ναρδίνου G πεπλυμένης] F: *comp.* AEMB³: πεπ K: πεπλυμμένης D: *om.* B: περι G 𐅻 ᾱ *om.* FG 15 𐅻 ᾱ *(pr.) om.* DFG 𐅻 ᾱ *(sec.) om.* DFG 𐅻 *(tert.)*] ἀνὰ 𐅻 DFG καὶ . . . εὐδοκιμούντων *(16) om.* K ὑπὲρ] DF: ὑπ᾽ ABEGM 17 ἀγκυλώςεως] FK: ἀγκυλώςεων ABDEGM 18 τε *om.* G 19 τινα *om.* M τίςιν K: πίεςςιν F 20 δεήςει] BD: δεήςη F: δεήςοι AEGKM 21 τὰ *(pr.)*] DGK, *e corr.* B: τὰς ABEM 22 δὲ] δὲ μᾶλλον GK: μᾶλλον *add. mrg.* B καταιονήςεις] DFK: καταιόνηςις BM: καταιώνηςις AEG 23 ἀφηψήθη] DGK: ἀφεψήθη ABEFM 24 αὐτὸ] DF: οὕτω ABEGK: οὕτως M 27 ἰςχυρότατον D

δὲ τό τε λυσιπόνιον προσαγορευόμενον καὶ τὸ ποικίλον ἐστίν. ἔμπλαστρα δὲ φάρμακα τό τε Ἀμυθάωνός ἐστι καὶ ἡ ἀνίκητος· κάλλιστον δὲ τοῦτο· βδελλίου, στέατος μοσχείου, ἀμμωνιακοῦ θυμιάματος, ἴρεως Ἰλλυρικῆς ἀνὰ < ιϚ̄, ὀποπάνακος, χαλβάνης, κάχρυος, στύρακος, λιβάνου ἀνὰ < η̄, πεπέρεως κόκκοι ρ̄ξ̄, κηροῦ λι. ∠΄, ῥητίνης τερεβινθίνης λι. ∠΄, ἰρίνου ὑποστάθμης ὅσον ἐξαρκεῖ, οἴνου τὸ ἱκανόν· κοπτόν ἐστι τὸ φάρμακον· ἔστι δὲ καὶ ἄκοπον ἀγαθὸν διαλυόμενον ἰρίνῳ ἢ κυπρίνῳ ἢ δαφνίνῳ. μεταξὺ δὲ τῶν τε ἀκόπων καὶ τῶν ἐμπλάστρων ἐστὶ τὸ διὰ πέρνης τὸ πολυμάγματον. ἡ δὲ τῶν ἀκόπων χρῆσις διὰ μαλακῆς γινέσθω καὶ ἐπιμόνου τρίψεως μετὰ τοῦ ἀποπειρᾶσθαι καὶ τῆς τοῦ πεπονθότος ἄρθρου κάμψεώς τε καὶ ἐκτάσεως.

## νϚ΄. Περὶ κεχαλασμένων ἄρθρων.

Χαλᾶται τὰ ἄρθρα πολλάκις ἐπί τε πυρεκτικοῖς χρονίοις νοσήμασιν ἐπί τε κωλικοῖς καὶ παραλυτικοῖς θερμοτέρας ὡς μάλιστα καὶ ὑγροτέρας αὐτὰ δυσκρασίας καταλαβούσης, κἀντεῦθεν ἡ κίνησις παραποδίζεται. ἐφ᾽ ὧν ἀκακίας χυλὸς ἀνεθεὶς ὕδατι καὶ καταντλούμενος ἢ βάτου ἢ μυρσίνης ἢ σχίνου ἢ πτελέας τῶν ῥιζῶν τοῦ φλοιοῦ ἁρμόσει τὸ ἀφέψημα ἢ σίδια καταπλασθέντα ἢ μυρσίνης φύλλα σὺν κηρωτῇ μυρσίνῃ ἐπιτιθέμενα· κρατύνεσθαι γὰρ δεῖται τὰ συνδετικὰ νεῦρα διὰ τῆς στυφούσης τε καὶ ξηραινούσης δυνάμεως. τὰ οὖν τοιαῦτα τοῖς ἄρθροις ἐπιθετέον φάρμακα, οἷον τό τε διὰ ἰτεῶν καὶ ἡ ὀξηρὰ καὶ ἡ φοινικίνη οἴνου στύφοντος ἢ ὄξους τι προσλαβοῦσα. πολλοὶ δὲ νομίζοντες ὑπὸ ψύξεως γίνεσθαι τὴν τοιαύτην ἀκράτειαν εἶτα θερμοτέροις χρησάμενοι βοηθήμασιν μείζονα βλάβην εἰργάσαντο.

## νζ΄. Περὶ ἑλμίνθων.

Τρεῖς εἰσιν ἅπασαι τῶν ἑλμίνθων αἱ διαφοραί, μία μὲν ἡ τῆς στρογγύλης κατὰ πάχος, ἑτέρα δὲ ἡ τῆς πλατείας καὶ τρίτη, ἣν ἀσκα-

2—7 *Galenus, De comp. medic. sec. gen. VII 6 (XIII 969); Oribasius IV 610. cf. Aëtius XII 42* νϚ΄ *cf. Aëtius XIV 72* 16—18 *Oribasius, Synops. VII 23; Ad Eunap. III 40* νζ΄ *cf. Alexander Trall. II 587 sqq.*

1 λυσιπόνιον] DFGK, *e corr.* A: λυσοπόνιον BM: λυοπόνιον AE τὸ *(alt.)*] DFG: τοῦτο ABEKM ἔμπλαστα K 2 φάρμακα *om.* D ἐστι] *om.* D: ἐστιν G ἄκκητος AE 4 χαλβάνης . . . κηροῦ *(5) om.* D 5 κόκκοι *om.* K ξ̄ G ∠΄ *(pr.)*] *post ras.* K: τὸ ∠΄ AE 6 ὑποστάθμη ABEM: ὑποστάθμην KB² 7 ἄκοπτον BF 9 πολυμίγματον F *et corr. ex* πολυμάγματον B 10 ἐπιπόνου G 15 καταλαμβανούσης F παρεμποδίζεται F 16 ἀνεθείσης D καὶ *om.* D 17 μυρσίνου F ἁρμόττει F 18 μυρσινίνῃ D: μυρσίνου F 19 γὰρ] δὲ D 20 τὰ . . . ἐπιθετέον] καὶ σύνθετα οὖν ἐπιθετέον τοῖς ἄρθροις τοιαῦτα F 21 καὶ *(pr.)*] ἐστι καὶ D: ἢ F ὀξηρὰ D: ξηρὰ K 22 τι] D: *om.* F: ἐστὶ AEGM: ἔτι K *et e corr.* B 23 γίγνεσθαι G: γενέσθαι F 26 εἰσι πᾶσαι DF 27 ἀσκαρίδας F

ρίδα προσαγορεύουσιν. ἡ δὲ γένεσις ἁπάσαις ἐξ ὠμῆς καὶ παχείας καὶ φλεγματικῆς ὕλης καὶ πρὸς σῆψιν ἐπιτηδείας ἐστίν, οἵαπερ ἀθροίζεται τοῖς παιδίοις καὶ τοῖς ἄλλως ἀδηφαγοῦσιν, ἀλλ᾽ οὐκ ἀπὸ θερμῆς καὶ δριμείας ἢ μελαγχολικῆς· αὗται γὰρ καὶ τὴν τοῦ τρέφειν ὑπερβᾶσαι φύσιν ἀφυεῖς πρὸς τὴν τῶν ἑλμίνθων καθεστήκασι γένεσιν, τοὐναντίον δὲ καὶ φθαρτικὰ τούτων εἰσὶ τὰ χολώδη μάλιστα περιττώματα. εἰ δέ ποτε ταῖς ἕλμινσι χολὴ συνεξεκρίθη ξανθὴ κάτωθεν ἢ καὶ δι᾽ ἐμέτων, αὐτὰς μὲν ἐν τοῖς ἐντέροις ἴσθι γινομένας, τὸν δὲ χολώδη χυμὸν ἤτοι κατὰ τὸ στόμα τῆς γαστρὸς ἢ ἐν ἄλλῳ τινὶ συστῆναι μορίῳ. ἑκάστης οὖν αὐτῶν διαφορᾶς εἴπωμεν εἶδός τε καὶ γένεσιν καὶ τόπον καὶ διάγνωσιν καὶ θεραπείαν ἀπὸ τῆς στρογγύλης ἀρξάμενοι.

2 Περὶ στρογγύλων ἑλμίνθων.

Αἱ τοίνυν στρογγύλαι τῶν ἑλμίνθων τὸ μὲν εἶδος ἅπασι κατάδηλον ἔχουσιν, ὅτι δὴ καὶ μᾶλλον αὗται τῶν ἄλλων πλεονάζουσι. συνίστανται δὲ κατὰ τὰ λεπτὰ μάλιστα τῶν ἐντέρων πλησιάζουσαι καὶ τῇ γαστρί (διὸ καὶ διὰ στόματος πολλάκις ἀναφέρονται, τισὶ δὲ καὶ διὰ ῥινῶν ἐξεκρίθησαν), πλεονάζουσαι μᾶλλον τῶν ἄλλων περὶ τὰ νήπια καὶ σὺν πυρετῷ κατὰ τὸ πλεῖστον. ἀλλὰ περὶ μὲν τὰς ἀρχὰς τῶν πυρετῶν γινόμεναι τὴν ὑπόστασιν ἐξ ὑποκειμένης διαφθορᾶς ἴσχουσιν, περὶ δὲ τὰς ἀκμὰς ἐκ πονηρᾶς νόσου, περὶ δὲ τὰς παρακμὰς ἐκ μεταβολῆς τῶν ὅλων ἐπὶ τὸ κρεῖττον· καὶ γὰρ Ἱπποκράτης φησίν· ἀγαθὸν δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι πρὸς κρίσιν ἰούσης τῆς νόσου, αἳ δὴ καὶ
3 τάχιον ἀποκτείνονται. παρέπεται δὲ τοῖς ἕλμινθας στρογγύλας ἔχουσι δηγμὸς ἐντέρων καὶ κοιλίας καὶ βῆχες μικραὶ διερεθίζουσαι ξηραί, τισὶ δὲ καὶ λυγμός, ὕπνοι τε μετὰ παλμῶν καὶ ἀλόγων ἐξαναστάσεων (ἔνιοι δὲ καὶ μετὰ κραυγῆς ἐξανίστανται καὶ πάλιν καταφέρονται), σφυγμοὶ ἀνώμαλοι, καὶ οἱ πυρετοὶ μεγεθύνονται ἀτάκτως ἐπιτιθέμενοι μετὰ περιψύξεως τῶν ἄκρων καὶ τρίτον ἔσθ᾽ ὅτε καὶ τέταρτον τῆς ἡμέρας ἢ τῆς νυκτὸς ἀλόγως ἐπισημαίνοντες. τοῖς δὲ παιδίοις καὶ μάσησις μετὰ

νζ´ 2—9 *cf. Aëtius IX 39; Oribasius IV 572 sq.* 21 Ἱπποκράτης] *Prognost. 11 (II 136)*

1 ἡ] F, *e corr.* E: αἱ ABDGHKM γένεσις] H: γέννησις F: γενέσεις ABDEGKM ἁπάσαις] F, *mrg.* B[3] (γρ.): ἅπασαι ABDEGHKM: ἁπασῶν *e corr.* E καὶ παχείας *om.* F καὶ *(alt.)*] DFK: *om.* ABEGHM 2 πρὸς σῆψιν] DF: σήψεως ABEGHKM ἐστίν] AEGHM: ἐστί FK: εἰσίν D *et e corr.* B 3 ἄλλως] DF: ἄλλοις ABEGHKM καὶ *(alt.)*] ἢ F: ἱ H 6 δὲ *(pr.)*] γὰρ F εἰσὶ] ἐπὶ K περιττεύματα K 7 ἕλμισι FK, *corr.* K: ἕλμισιν G συνεκρίθη AE: *corr.* E[3] 8 γιγνομένας G: γενομένας F 10 διαφορᾶς αὐτῶν B: διαφορᾶς αὐτῆς F 11 ἀρξόμενοι K 12 *om.* F περὶ] περὶ τῶν BDHM 14 δὴ *om.* D πλεονάζουσιν EHK: πλεονάζουσαι F 18 ἀλλὰ] ἀλλ᾽ αἱ F 19 διαφθορᾶς] BDHM[3], *e corr.* E: διαφορᾶς AEFGKM ἔχουσι F δὲ] μὲν D 21 δὲ καὶ] γὰρ F 22 νούσου E δὴ] FG: δὲ ABDEHKM 23 ἀποκρίνονται DG 24 σμικραὶ D διερεθίζουσι F 25 καὶ *(pr.)* *om.* A παλμῶν] σπασμῶν D ἔνια K 26 ἐξανίσταται K καταφέρεται K 27 μετὰ] καὶ μετὰ M 28 ἄκρων] *mrg.* B[3]: ἄρθρων BF καὶ *(alt.)*] ἢ F 29 ἢ] καὶ FH μάδησις D

προβολῆc τῆc γλώττηc διὰ κενῆc καὶ τριcμὸc ὀδόντων γίνεται, καὶ τὰ ὄμματα μύουcι, καὶ cιωπᾶν ἐθέλουcι καὶ πρὸc τοὺc διεγείρονταc ἀγανακτοῦcι, καὶ οἱ ὀφθαλμοὶ ὕφαιμοι φαίνονται, καὶ τὰ μῆλα ἐρυθραίνεται καὶ πάλιν εἰc τὸ πελιδνὸν μεταβάλλεται, πρὸc βραχὺ δὲ ταῦτα καὶ ἐκ διαcτημάτων. τιcὶ δὲ προcτρέχουcαι τῷ cτομάχῳ ναυτιῶν καὶ δηγμῶν αἴτιαι γίνονται, καὶ ἀνορεκτοῦcιν οἱ κάμνοντεc, ἐκβιαcθέντεc δὲ ναυτιῶντεc μόλιc καταπίνουcιν ἢ καὶ ἀπεμοῦcι τὸ προcενεχθέν· πολλοῖc δὲ καὶ ἡ γαcτὴρ καταφέρεται μετὰ διαφθορᾶc τῶν ἐδηδεcμένων καὶ ἐμφυcᾶται τυμπάνου δίκην, τό τε λοιπὸν cῶμα παραλόγωc ἐκτήκεται μήτε λιμαγχονίαc γενομένηc μήτε κενώcεωc ἀμέτρου. οὐκ ἐπὶ πάντων δὲ πάντα δεῖ ζητεῖν τὰ λεχθέντα cημεῖα, ἀλλά τινα πρὸc τὸ ἐπικρατοῦν, ἐνίοτε δὲ καὶ τὰ πλεῖcτα. ταῦτα δὲ cυμβαίνει τῶν ζῴων ἑλιccομένων κατὰ τὰ ἔντερα καὶ δακνόντων καὶ τῆc πυρετώδουc θερμαcίαc ἀτμοὺc ἀναφερούcηc παρὰ τὸν ἐγκέφαλον μοχθηροὺc ἐκ τῆc ἀθροιcθείcηc ἐν τῇ γαcτρὶ cηπεδονώδουc ὑγρότητοc. ἐφ᾽ ὧν δεῖ πῇ μὲν ἀμφοῖν ὁμοίωc προνοεῖcθαι τοῦ τε πυρετοῦ καὶ τῶν ἑλμίνθων, πῇ δὲ τοῦ πυρετοῦ φροντίcανταc ὀλίγον cπουδαίωc ἐξαιρεῖν τὰc ἕλμινθαc τοῦ cώματοc· πολλοὶ γὰρ ἀμεληθέντεc διεβρώθηcαν ὑπ᾽ αὐτῶν καὶ cπαcθέντεc ἀπέθανον· ἄλλοι δέ φαcιν ἑωρακέναι διὰ τῶν βουβώνων τοῦ κάμνοντοc αὐτὰc ἐξεληλυθέναι. ἐξαιρήcειc δὲ ταύταc ἀποκτείναc, ἀποκτενεῖc δὲ τοῖc πικροῖc μάλιcτα χρώμενοc βοηθήμαcιν. κοινῆc μὲν οὖν τῆc θεραπείαc τοῦ πυρετοῦ καὶ τῶν ἑλμίνθων ὑπαρχούcηc ἁρμόcει τῶν βοηθημάτων τὰ ἁπλούcτερα. προποτιcτέον τοίνυν αὐτοὺc τῷ τε τῶν χαμαιμήλων ἀφεψήματι καὶ τῶν ὀνομαζομένων μυξαρίων, ἢ καὶ αὐτὰ δοτέον ἐcθίειν τὰ μυξάρια καθηψημένα· δοτέον δὲ καὶ τῆc cέρεωc τὸν χυλὸν ἢ τοῦ κοριαννοῦ τὸ cπέρμα μεθ᾽ ὕδατοc θερμοῦ λεῖον ἢ μετ᾽ ὀξυκράτου ἢ τῆc μυωτίδοc βοτάνηc τὸ ἀφέψημα ἢ τοῦ ἐλαφείου κέρατοc τὸ ῥίνημα ἢ τὴν Cινωπίδα μίλτον λειοτάτην. καὶ ἐλαίου δὲ ὠμοτριβοῦc τοῦ πικροῦ κατὰ βραχὺ κοχλιάρια β καταρροφείτωcαν· τῷ μὲν γὰρ πικρῷ τὰc ἕλμινθαc ἀναιρεῖ, τῷ δὲ ὀλιcθηρῷ καταcῦρον αὐτὰc τῇ κόπρῳ cυναποδίδωcιν. φλεγμονῆc δὲ καὶ διατάcεωc τῶν cπλάγχνων ὑπαρχούcηc τῷ διὰ λινοcπέρμου καὶ ἀλεύρου θερμίνου καὶ ἀψινθίαc καὶ βρυωνίαc ῥίζηc χρηcτέον καταπλάcματι δι᾽ ὑδρομέλιτοc ἢ καὶ τῇ δι᾽ ἐλαίου χαμαιμη-

1 προcβολῆc HM, -c- *eras.* B   τριγμὸc K   3 ὕφαιμοι] F: κοῖλοι D: *om.* ABEGHKM   ἐρυθραίνεται] GK: ἐρυθραίνονται F: ἐρυθρὰ γίνεται D: ἐρυθρὰ γίνονται ABEHM   4 μεταβάλλονται F   ταῦτα *om.* F   5 δὲ *om.* F   6 αἴτιοι F: αἴτια E   7 καὶ *om.* K   ἀφεμοῦcιν K: ἀφεμοῦcι F   8 διαφορᾶc FG   ἐδηδωμένων F   9 τε] δὲ E   10 λιμαγχονίαc] *post* λι- *ras. 1 litt.* K: ἀγχονίαc B, *corr.* B[s]: μελαγχονίαc A: μελαγχολίαc E   οὐκ *om.* K   δὲ] δεῖ F   11 δεῖ] *om.* DF: δὴ B   13 πυρώδουc D   ἀτόμουc K   14 παρὰ] κατὰ F   15 ὧν] F: ᾧ ABDEGHKM   δὴ K   16 τε *om.* DEH   καὶ . . . πυρετοῦ *om.* K   17 ἕλμειc K   21 χρώμενοc] *om.* DF: *corr.* *ex* χρωμένοιc K   κοινῆc . . . ἕλμινθαc καὶ *(p. 384, 24)* *om.* F   τῆc] DEGK, *e corr.* B: τῆc δὲ BHM: τῆcδε τῆc A   23 τε *om.* D   24 καὶ *(pr.)*] ἢ καὶ G   ἐcθίειν . . . δοτέον *(25)* *om.* K   25 cέρ[ρ]εωc D   27 μυοcωτίδοc G: μυοτίδοc BHK   28 πικροτάτου G

λίνου καὶ οἴνου καὶ ἀψινθίας καρποῦ καὶ ἀλόης περὶ τὰ ὑποχόνδρια
6 καταιονήϲει. μὴ ϲφόδρα δὲ τῶν πυρετῶν ἐνοχλούντων μικτέον τοῖϲ μυξαρίοιϲ τὸ ἡδύοϲμον καὶ δοτέον, ἐν ἀπυρεξίᾳ δὲ καὶ τὰ δραϲτικώτερα, οἷον τὸ ἀφέψημα τοῦ ϲερίφου ἢ καλαμίνθηϲ ἢ πτέρεωϲ ἢ τοῦ καρδαμώμου τὸ ϲπέρμα ἢ ῥοιᾶϲ ὀξείαϲ ῥίζηϲ ἀποτριτωθὲν τὸ ἀφέψημα ἢ τοῦ φρυκτοῦ κυμίνου ἢ νίτρου πυρροῦ ἀνὰ γρ. γ̄ ἢ τὸ ϲανδονικὸν ἢ τὸ ἀβρότονον ἢ καὶ ἄμφω ὁμοῦ ϲὺν μέλιτι καταπότια γεγενημένα ἢ θέρμων πικρῶν γρ. γ̄ ἢ τῆϲ κράμβηϲ ἢ τοῦ εὐζώμου τὸ ϲπέρμα λεῖον ἢ τὸ ἀψίνθιον, ὃ καὶ μόνον πολλάκιϲ ἤρκεϲεν. δοτέον δὲ καὶ τῆϲ πεπλυμένηϲ ἀλόηϲ ὅϲον γρ. γ̄ (τοῦτο τῶν ἄγαν εὐδοκιμούντων ἐϲτίν), ἐπὶ δὲ τῶν ἰϲχυροτέρων καὶ ἀπλύτου. ἐπειδὴ δὲ τὰ παιδία τὴν ἀλόην οὐ προϲίενται, διὰ ζωμηρύϲεωϲ ὑπτίων αὐτῶν κρατουμένων τὸ ϲτόμα διαϲτήϲαντεϲ διὰ κλυϲτηριδίου τινὸϲ ἰϲχυρὸν ἔχοντοϲ αὐλίϲκον ἄκουϲιν αὐτοῖϲ τὴν ἀλόην ὡϲ ὅτι μάλιϲτα ἐϲωτέρω παραπέμψαντεϲ ἐμβαλοῦμεν, θαυμαϲία μέθοδοϲ ἐπὶ τῶν δυϲαναϲχετούντων παιδίων, ἐφ᾽ ὧν καὶ τροφὰϲ πολλάκιϲ ῥοφηματώδειϲ τῷ τρόπῳ τούτῳ ἀνορεκτούντων ἐν-
7 εχέαμεν. καὶ τὸ κῦφι δὲ καὶ τὸ μαϲουάφιον καλῶϲ ἂν δοθείη καὶ τὸ κέραϲ τὸ ἐλάφειον κεκαυμένον μετὰ πεπέρεωϲ ϲὺν μέλιτι ἢ ὀξυμέλιτι· καὶ τὰ λοιπὰ δὲ δι᾽ ὀξυμέλιτοϲ αὐτοῖϲ πειρατέον διδόναι (κάλλιον δέ, εἰ καὶ ϲκιλλητικὸν εἴη τὸ ὄξοϲ, καὶ μάλιϲτα τοῖϲ τελειοτέροιϲ) ἢ τὸ νᾶπυ μετὰ ἐλαίου καὶ ὄξουϲ κοχλιαρίου μέγεθοϲ. τοὺϲ δὲ μετὰ ῥεύματοϲ κοιλίαϲ ἐνοχλουμένουϲ ὑπὸ τῶν ἑλμίνθων προποτιϲτέον ἀρνογλώϲϲου χυλῷ, ἢ καὶ αὐτὸ ξηρὸν δοτέον τὸ ἀρνόγλωϲϲον· ἐπ᾽ ἴϲηϲ γὰρ πρὸϲ ἑκάτερον ἐνεργεῖ τήν τε ῥύϲιν καὶ τὰϲ ἕλμινθαϲ. καὶ καταπλαϲτέον δὲ τούτουϲ τῆϲ δι᾽ ὠμῆϲ λύϲεωϲ καὶ πτέρεωϲ καὶ ἀψινθίαϲ καὶ ἀλεύρου θερμίνου καὶ ϲανδονικοῦ καὶ ἀβροτόνου· ἤδη δὲ καὶ ϲίδια καὶ ἀκακίαν
8 καὶ κηκῖδα ἢ βαλαύϲτιον ἐπιμικτέον. ἐπεὶ δέ τινεϲ πολλάκιϲ ἀπαρέϲκονται τοῖϲ πικροῖϲ πόμαϲιν, τῶν μὲν ἤδη λεχθέντων αὐτοῖϲ διδόναι τὰ μὴ καταφανῶϲ πικρά, πρὸϲ δὲ τούτοιϲ ἔτι χαμαιπίτυν τε καὶ πράϲιον, ἑλένιον, δαφνόκοκκον, καϲϲίαν, θύμον, γλήχωνα, καρπηϲίαν καὶ κύπερον, πολυπόδιον, ἶριν, κνῆκον, ἐρυθρόδανον, ἄκανθαν Αἰγυπτίαν μετὰ πεπέρεωϲ ἴϲου γρ. ϛ̄ εἰϲ ἀπόζεμα ἡδυόϲμου, μορέαϲ ῥίζηϲ τὸν χυλὸν ἢ

4 *sqq. cf. Oribasius, Ad Eunap. IV 89*

1 ἀψινθίαϲ] ἀψινθίου δὲ D  καρπὸϲ D  2 καταιονήϲει] ὀνήϲει D  3 τὸ] ABDEHM: τὸν GKB² καὶ *(pr.) om.* K (G?, *supra scr.* C)  4 τὸ *om.* D  τοῦ *(pr.) om.* D  πτερώϲεωϲ K  6 ϲαρδονικὸν K  8 ἢ τῆϲ . . . γ̄ *(10) om.* H  9 ἀψίνθινον B  ὃ καὶ] DGK, *in ras.* E: ἢ καὶ ὃ ABM  10 γ̄ *om.* A  11 καὶ] καὶ τῆϲ D  τὴν ἀλόην τὰ παιδία AE  12 ὕπτιον D  14 μάλιϲτα] μάλιϲτα τὰ K  ἐμβαλοῦμεν] AEG: ἐμβαλοῦ BKM: ἐμβάλλου H: ἐμβάλλουϲιν D  15 θαυμαϲία] αὕτη θαυμαϲία D  παιδίων *om.* A  16 ἀνεχέαμεν K  17 μαϲϲουάφιον D  22 ἀπὸ D  24 καὶ *(alt.) om.* B  25 τῆϲ] τῷ D: τοὺϲ F  26 ϲαρδονικοῦ FK  27 καὶ κηκῖδα *om.* G  ἢ] ἢ καὶ D: *om.* GK  βαλαυϲτίων DFG  ἐπειδὴ F  ἀπαρέϲκονται πολλάκιϲ F  28 τὰ *om.* K  29 τε] *seq. ras.* B: *om.* K  30 δαφνόκοκκα DF  καὶ *om.* DF  κύπερον] κύπερον καὶ G

τὸ ἀφέψημα, πετροσέλινον καὶ τὰ παραπλήσια τῶν εὐωδῶν σπερμάτων. ἔξωθεν δὲ χρηστέον ἀλόῃ σὺν μηλίνῳ καὶ οἴνῳ (τοῦτο καὶ τὴν ὄρεξιν διεγείρει πάνυ περισπούδαστον οὖσαν), ἐπιμικτέον δὲ τῇ ἀλόῃ πολλάκις καὶ ἀψίνθιον· ἢ χολῇ ταυρείᾳ πληροῦν τὸν ὀμφαλὸν σύν τινι τῶν εἰρημένων πικρῶν, ἢ τὸ διὰ τῆς ῥοδοδάφνης ἔλαιον συχνῶς ἐπαλειπτέον, ἢ τὴν κεδρέαν ἐπιθετέον μόνην τε καὶ σὺν κηρωτῇ κατὰ πάσης τῆς γαστρός, ἢ τὴν ξηρὰν πίτταν λείαν ἐπιπαστέον, ἢ τὸ ἡδύοσμον ἢ μελάνθιον σὺν ῥοδίνῳ ἐπιχριστέον, ἢ καὶ σερίφου ἀπόζεμα αὐτοῖς ἐπιμικτέον, ἢ μηλέας Περσικῆς τὰ φύλλα ἐκλειώσαντες καταπλάσομεν· χρηστέον δὲ καὶ τῷ ἐλαφείῳ μυελῷ τρόπον ἀλείμματος κατά τε ὀμφαλοῦ καὶ ἤτρου καὶ ὀσφύος. καὶ κηρωτὴν δὲ προσάξομεν, εἰ δέοι, 9
ταύτην· ἀλόης, ἀψινθίου, ἀλεύρου θερμίνου, σερίφου, μελανθίου ἀνὰ γρ. ϛ̄, κηροῦ ℔ ᾱ ∠´, χαμαιμηλίνου τὸ ἀρκοῦν· χολῇ ταυρείᾳ λείου τὰ ξηρά. ἐνετέον δὲ συχνότερον αὐτοὺς τῷ μελικράτῳ, ὅπως ἂν πρὸς τὴν γλυκύτητα τοῦ μέλιτος αἱ ἕλμινθες ὑποβιβάζοιντο κάτω. εἰ δὲ σαπεῖσαι κατὰ τὸ βάθος μὴ ἐκκρίνοιντο, ἀλλὰ μᾶλλον ἀναθυμιάσεις ἐργάζοιντο, δεῖ ὑπεξάγειν αὐτὰς ἢ τὴν ἀλόην ἢ τὸ δι᾽ αὐτῆς πικρὸν φάρμακον αὐτοὺς προποτίζοντα, ὅπου γε καὶ ἄλλως οὐκ ἀνόνητος αὐτοῖς ἐστιν ἡ δι᾽ ὑπηλάτου μετρία κένωσις.

## Περὶ πλατείας ἕλμινθος. 10

Ἡ πλατεῖα ἕλμινς ἔστι μέν, ὡς εἰπεῖν, μεταβολὴ τοῦ ὑποπεφυκότος ἔνδοθεν τὰ ἔντερα ὑμένος ἐπί τι σῶμα ζῳῶδες, ἥτις ἢ ἐκκρίνεται πολλάκις ὅλη ἄπιστον ὄψιν μεγέθους χάριν παρέχουσα ἢ κατὰ μέρη ἀποκρίνεται, ἀπολυθεῖσα μέντοι οὐ συνίσταται· πλεονάζει δὲ ποτὲ μὲν καὶ ἐπὶ ἀπυρέτων, καὶ πυρέττουσι δὲ συμβαίνει διὰ μακρὰς νόσους, ἐπιφέρουσα δηγμοὺς τοῦ στομάχου συνεχεῖς καὶ πρὸς σιτία ὀρέξεις ἀκρατεῖς. τὸ γὰρ ζῳοποιηθὲν ἐν τοῖς ἐντέροις τὴν παρακειμένην ἀναρπάζει τροφήν, ὡς ἑτέρας εὐθὺς προσδεῖσθαι καί, εἰ μὴ λάβοιεν, δάκνεσθαι τὰ ἔντερα. παρέπεται δὲ αὐτοῖς καὶ ἰσχνότης τοῦ σώματος καὶ

νζ´ 10—13 *cf. Aëtius IX 40; Oribasius IV 573 sq.*

1 πετροσέλινα E, πετροσελίνου FGM 2 χριστέον M ἀλόην AEG καὶ *(pr.)*] ἢ F τούτῳ K: ταῦτα F 3 τῇ ἀλόῃ πολλάκις] FGK: πολλάκις τῇ ἀλόῃ ABDEHM 4 χολῆς ταυρίας F σύν . . . ῥοδοδάφνης *(5)*] δάφνης F 5 τὸ διὰ] τῷ τῆς D ἐλαίῳ DF 6 κεδρίαν DFG 7 ἢ *(tert.)*] ἢ τὸ D: ἢ τῷ F μελανθίῳ F 9 τὰ *om.* K καταπλάσομεν] AEM: καταπλάσωμεν K: καταπλάσσομεν FGH: καταπλάττομεν D: καταπλάσσωμεν B 10 τρόπον] ἐν τρόπῳ D τε] τε τοῦ DF 11 καὶ κηρωτὴν] *inc.* N 12 σερίφου *om.* D 13 χαμαιμήλου K χολῇ] ἢ χολῇ D 15 ἔλμεις GK ὑποβιάζοιντο EF 17 ἢ τὸ . . . αὐτοὺς *(18) om.* F 18 προποτίζοντας D: *comp.* G: ποτίζοντες F ὅπου . . . οὐκ] εἰ καὶ F ἐστιν] ἀλαχοῦ ἐστιν F 21 ἕλμινς] AEKM, *e corr.* DB[3]: ἕλμις DFG: ἕλμινθος B: ἕλμινθα H 22 τῶν ἐντέρων D τι] ABDEH: τὸ CK: τε F: τισι M *mrg.* ση. ξένος BM 23 χάριν *om.* E ἢ] ἢ καὶ D 24 οὐ] οὐκέτι F ποτὲ] πολλάκις D 25 μακρᾶς νόσου FGK 27 ἁρπάζει EF 28 εὐθὺς] αὖθις D προδεῖσθαι K: ὑποδεῖσθαι F

ἀδυναμία μετὰ νωχελίας. τὸ δὲ ἀψευδέστατον σημεῖον· τοῖς διαχωρήμασιν συναποκρίνεταί τινα σπέρματι κολοκύνθης ἐμφερῆ.

11 ἡ δὲ θεραπεία σύμφωνος· προποτισμοί τε γὰρ οἱ διὰ τῶν δριμέων καὶ σκορδοφαγία καὶ τῆς πτέρεως ἢ τοῦ κενταυρίου τὸ ἀφέψημα πινόμενόν τε καὶ ἐνιέμενον ἢ καλαμίνθης ἢ δικτάμνου ἢ γλήχωνος. ἐνετέον δὲ αὐτοὺς καὶ τὴν ἅλμην, προποτίζειν δὲ τοῦτο μηδὲ τοῖς ὑπὸ τῶν ἄλλων ἑλμίνθων ἐνοχλουμένοις ἄχρηστον, εἰ ἀπύρετοι μάλιστα τυγχάνοιεν· νίτρου ἐρυθροῦ, πεπέρεως, καρδαμώμου ἴσον· ἡ δόσις γρ. γ̅ μετ' οἴνου ἢ ὕδατος θερμοῦ.

12 Ἄλλο. ἔκλειγμα. πεπέρεως, δαφνίδων καθαρῶν, κυμίνου Αἰθιοπικοῦ, μαστίχης ἴσον, μέλιτος τὸ ἀρκοῦν· ἡ δόσις κοχλιάριον α̅ ἕωθεν καὶ εἰς κοίτην· εἰ δὲ βούλει πρακτικώτερον αὐτὸ γενέσθαι, καὶ νίτρου τοῦ ἐρυθροῦ τὸ ἴσον.

Ἄλλο. ἑλενίου, ἀμμωνιακοῦ θυμιάματος, πεπέρεως (ἐν ἄλλῳ πτέριδος) ἀνὰ < ε̅ μετ' ὀξυμέλιτος θερμοῦ· καὶ διαστήσας πότιζε εὐφορβίου < α̅ ἢ β̅ τοὺς τελείους.

13 Ἄλλο. πτέρεως ὀξύβαφον, νίτρου < β̅· δίδου ἐν κοτύλῃ ὕδατος προκεκενωμένῳ· βέλτιον δὲ γίνεται, εἰ προσλάβοι καὶ σκαμμωνίαν ὀλίγην.

Ἄλλο. ῥοιᾶς ὀξείας ῥιζῶν φλοιοῦ εἰς τὸ ἄνω λεπισθέντος < δ̅, πεπέρεως < δ̅, καρδαμώμου < ϛ̅, πρασίου < β̅· μέλιτι δίδου προεσκορδοφαγηκότι.

εἰς δὲ παντελῆ τοῦ πάθους ἀπαλλαγὴν καὶ τῆς θηριακῆς ἂν παράσχοις μὴ κωλύοντος ἰσχυροῦ πυρετοῦ.

## 14 Περὶ ἀσκαρίδων.

Καὶ αἱ ἀσκαρίδες, ὡς ἤδη καὶ φθάσαντες εἴπομεν, εἶδός εἰσιν ἑλμίνθων σκώληξι παραπλήσιον, συνιστάμεναι περὶ τὰ ἔσχατα τοῦ ἀπευ-

νζ' 14—16 *cf. Aëtius IX 41; Oribasius IV 573*

1 μετὰ νωχελίας] DG, *e corr.* A: μετὰ νοχελίας F: μετὰ νωχαλίας AHKMN: μετ' ἀνωμαλίας E: μετ' ἀνομαλίας B   διαχωρήσασιν K   2 σπερματικὰ K   3 οἱ] DFK: οἵ τε ABEGHMN   4 σκορδοφαγίαι B: σκοροδοφαγία DFG   6 αὐτοῖς A   τῇ ἅλμῃ D   μηδὲ] οὐδὲ D   8 ἴσον] FGK: ἴσα BDEHMN, *e corr.* A   10 ἄλλο . . . πυρετοῦ *(24) om.* F   ἔλιγμα D   12. 13 τοῦ ἐρυθροῦ *om.* B   13 τὸ *om.* D   17—19 *post lin. 22 coll.* G

17 Ἄλλο *om.* H   πτέρεως ὀξύβαφον] ππ^εε G   νίτρον G   ἐν κοτύλῃ] DK: ἐν κ^ο ABEHM: ἓν κοχλιάριον C (G?)   18 προκενώσας K   προσλάβοις K   καὶ *om.* GK   20 Ἄλλο *om.* A   < δ̅ *om.* D   21 πεπέρεως < δ̅ *om.* E   < *(pr.)*] ἀνὰ < D   μέλιτι] ἐν μέλιτι D   21. 22 προεσκοροδοφαγηκότι D: προεσκοροδοφαγότι G: προεσκοροδοφαγόντι K   25 ν̅η̅ BCK   26 αἱ *om.* E   εἶδός] ἴδιοι K   ἐστιν D   27 σκώληξιν AGMN, -ν *eras.* B: σκώληξην *corr. in* σκώληξι H   παραπλήσιον] AE: παραπλησίων DE²: παραπλήσιοι BFGKMN: παραπλησίως *e corr.* H   τὰ] CDFB²: *om.* ABEHKMN   ἔσχατα τοῦ] ἐσχάτου K

θυςμένου καὶ τὰ πρῶτα τοῦ cφιγκτῆρος ἐπιφέρουcαι τῶν τόπων τού-
των κνηcμὸν ἰcχυρόν. ποιητικὰ δὲ τοῦ εἴδους φαῦλαι τροφαὶ καὶ ψῦξις
καὶ διαφθορὰ cιτίων. κενωτέον οὖν αὐτὰς ἐπὶ μὲν τῶν νηπίων βαλάνοις
διὰ μέλιτος μετὰ μετρίων ἁλῶν ἢ νίτρου, ἐπὶ δὲ τῶν τελειοτέρων
ἅλμῃ δριμείᾳ ἢ ἀφεψήματι κενταυρίου cὺν νίτρῳ καὶ μέλιτι ἢ κολο-
κυνθίδος ἢ ἀψινθίου ἢ χαμαιλέοντος ἢ ἀγχούσης ἢ κνήκου ἢ ὑccώπου
ἢ γλήχωνος ἢ καλαμίνθης θερμοῖς. μετὰ δὲ τὰ κλύσματα ὑποχριστέον **15**
τὸ ἀπευθυςμένον ἁπλοῖς μὲν ἀκακίᾳ ἢ ὑποκιστίδι μετὰ νίτρου ἢ ῥῷ
Cυριακῷ μετὰ στυπτηρίας ὑγρᾶς, ἐπὶ δὲ τῶν στυφομένων Λημνίᾳ
cφραγῖδι μετὰ οἴνου· συνθέτοις δὲ τῷ τε Ἄνδρωνος τροχίσκῳ καὶ τοῖς
παραπληcίοις· καὶ τῇ κεδρέᾳ δὲ αὐτοὺς ἐνετέον διὰ κλυστῆρος πολυ-
τρήτου, οἷοίπερ εἰcιν οἱ μητρεγχύται προcαγορευόμενοι, ἢ κρέας ἁλιστὸν
ἁρμόcαι δυνάμενον ἐνθέντες ἐπιδέcει χρώμεθα, ἐφ᾽ ὅσον ἂν ὑπομένῃ
χρόνον, καὶ τοῦτο πολλάκις ἀλλαccέσθω. κοινῶς δὲ πάντας τοὺς ὑπὸ **16**
τῶν ἑλμίνθων νοcοῦντας ὠφελοῦcιν ἰχνεύμονος τρίχες ὑποθυμιώμεναι.
τροφαὶ δὲ αὐτοῖς ἔστωcαν εὔχυμοί τε καὶ εὐδιοίκητοι μήτε τὴν τῶν
ἑλμίνθων ποιητικὴν αἰτίαν αὔξουcαι μήτε τὴν δύναμιν ἐλαττοῦcθαι
cυγχωροῦcαι, δι᾽ ἣν καὶ οἴνου δώcομεν ὑδαροῦ. cυχνότερον δὲ τρέφειν
αὐτοὺς δι᾽ αὐτὸ δὴ τοῦτο, καὶ ἵνα μὴ τροφῆς ἀμοιροῦcαι αἱ ἕλμινθες
δήξεις ἐμποιῶcι. καιρὸς δὲ τῆς τροφῆς, ὅτε μάλιστα εὐτροφώτερον
ἔχουcιν. εἰ δὲ καὶ ῥευματισμὸς ἐνείη τῆς γαστρός, ἰcτέον μᾶλλον πλη-
θυνομένας τὰς ἕλμινθας μὴ διοικουμένων τῶν τροφῶν, καὶ δεῖ ῥοφη-
ματώδη μὲν αὐτοῖς διδόναι cιτία ἐπιμιγνύντας τινὰ καὶ τῶν στυπτικῶν,
οἷον ἄπιον ἢ μῆλον ἢ ῥοιάν, καὶ μάλιστα τὴν ὀξεῖαν. ἔξωθεν δὲ τῆς
γαστρὸς ἐφεκτικοῖς χρῆcθαι βοηθήμαcιν, ὡς ἀνωτέρω λέλεκται.

## νη΄. Περὶ δρακοντίων.

Ἐν Ἰνδικῇ καὶ τοῖς ἄνω τῆς Αἰγύπτου τόποις τὰ λεγόμενα δρα- 1
κόντια cυνίcτανται, καθάπερ ἑλμινθώδη τινὰ ζῷα, ἐν τοῖς μυώδεcι τῶν

7 *Oribasius, Ad Eunap. IV 89* 25 ἀνωτέρω] *p. 384, 24 sqq.* νη΄ *cf. Aëtius XIV 85*

1 καὶ τὰ] κατὰ K τῶν τρόπων K: τῷ τόπῳ DF: τὸν τόπον GH τούτῳ D: τοῦτον G: *om.* F 2 ψύξεις DF 3 διαφθοραὶ D: διαφοραὶ F: διατροφαὶ H, *corr.* H² 5 κολοκυνθίδα M 7 θερμοῖς] *mut. in* ἢ θέρμων B²: ἢ θέρμους F 8 ἀκακίαν ἢ ὑποκυστίδα GK 9 ἐπὶ . . . οἴνου *(10) om.* F Λημνίᾳ] καὶ λημνίᾳ D 10 σύνθετα M 11 κεδρίᾳ D: κέδρου F αὐτοῖς F 13 δυνάμενα K ἐνθεὶς D: ἐνεθέντες AF, *corr.* A χρῶ D ὑπομένῃ] H: ὑπομένει F: ὑπομένοι ABDEGKMN 15 τῶν *om.* DF νοcοῦντας] ἐνοχλουμένους N ἰχνευμένος BHN, *corr.* B 16 μήτε] D: μηδὲ ABEFGHKMN 17 αὐξόντων K μήτε] D: μηδὲ ABEFGHKMN δύναμιν] δαπανὴν AE 18 δι᾽ ὃ F ὑδαροῦ] ABEHKMN: *om.* F: ὑδαροῦς DG 19 δι᾽] δεῖ δι᾽ D δὴ] τε D 20 ἐμποιῶcι] DGK: ἐμποιοῦcι ABFH: ἐμπο'οῦcι M: ἐμποιοῦcιν E καιρὸς] *corr. ex* καιροῦ B²: καιροὺς HMN ὅτι K εὐφορώτερον F 21 προcείη D τῇ γαστρί F 22 ἕλμεινς K: ἕλμης G 24 ὅcον K ἀπίων DFG, *mrg.* B³ μήλων CDF ῥοιῶν DFG τὴν ὀξεῖαν] τῶν ὀξιζουcῶν G: τῶν ὀξύνων F: . . . ξουcῶν *mrg.* B³ 25 ὡς] K: καθὼς F: ὧν G: *om.* ABDEHMN λέλεκται] AFGK: δὲ λέλεκται BEMN, *e corr.* A: δὲ περὶ αὐτῶν λέλεκται D: διαλέλεκται H 26 νη΄] ν̅θ BC: *om.* K δρακόντων AKM: -ί- *eras.* N 27 τῆς] τοῖς BHMN 28 cυνίcταται AK

μορίων, οἷον βραχίοσι, μηροῖς, κνήμαις, ἐπὶ δὲ τῶν παιδίων καὶ πλευροῖς, ὑπὸ τῷ δέρματι συνιστάμενα καὶ κινούμενα σαφῶς· εἶθ' ὅταν χρονίσῃ, κατά τι πέρας τοῦ δρακοντίου πυοῦται ὁ τόπος, καὶ τοῦ δέρματος ἀναστομουμένου ἔξω προέρχεται τοῦ δρακοντίου ἡ ἀρχή, ἑλκόμενον δὲ τὸ δρακόντιον ἀλγηδόνας ἐμποιεῖ, καὶ μάλιστα ὅταν ἀπορραγείη. διὸ τινὲς μέν φασι χρῆναι μολίβδιον ἐξαρτᾶν τοῦ δρακοντίου, ἵνα μὴ ἀθρόως ἀλλὰ κατὰ μέρος τῷ βάρει τοῦ μολιβδίου ἡ ἀπόπτωσις αὐτοῦ γένηται· ἕτεροι δὲ τούτων κατεγνωκότες διὰ τὸ μηδὲν ἧττον τῷ βάρει τοῦ μολιβδίου τὸ δρακόντιον ἀπορρήγνυσθαι καὶ ὀδύνας ἰσχυρὰς ἐμποιεῖν παρακελεύονται τὸ μόριον εἰς ὕδωρ καθεῖναι θερμόν, ἵνα τὸ δρακόντιον θαλπόμενον πρὸς τὸ ἐκτὸς χωρῇ, κἄπειτα τοῖς δακτύλοις αὐτὸ κατὰ μέρος ἐξέλκειν.

2 ὁ δὲ Σωρανὸς οὐδὲ ζῷον τὴν ἀρχὴν ἀλλὰ νευρίου τινὸς σύστασιν οἴεται τὸ δρακόντιον δόκησιν μόνον ἐμποιοῦντος τοῦ κινεῖσθαι. εἴτε δὲ τοῦτο εἴτε τὸ πρότερον, καὶ τῷ Σωρανῷ καὶ τῷ Λεωνίδῃ καὶ ἑτέροις ἔδοξε προσαντλήσει θερμῇ καὶ καταπλάσμασι πεπτικοῖς ἐπὶ τούτων κεχρῆσθαι τοῖς διὰ μελικράτου καὶ ἀλεύρου πυρίνου ἢ κριθίνου· καὶ ἐμπλάστρου δὲ χρῆσιν ἔσθ' ὅτε δοκιμάζουσιν τῆς ὁμοίας δυνάμεως. ἁρμόσοι δ' ἂν καὶ ἡ διὰ δαφνίδων καὶ ἡ διὰ μέλιτος· νεκρούμενα γὰρ ἐκ τῆς τούτων χρήσεως τὰ δρακόντια ἤγουν τὸ περιεχόμενον σωμάτιον ἐκπίπτει. διαπυήσεως δὲ γενομένης, εἰ μὴ ἐκπέσοι, διαιρείσθω τὸ δέρμα, καὶ γυμνωθὲν ἀφαιρείσθω τὸ περιεχόμενον, καὶ διαμοτούσθω τὸ δέρμα, καὶ ἡ ἀκόλουθος πυοποιὸς ἐπιμέλεια δοκιμαζέσθω.

3 κατά τι πέρας] κατ' ἀντιπέρας D 6 ἀπορραγεῖ F τοῦ] CDF: μὲν τοῦ ABEHKMN 7 ἀλλὰ *om.* K 10 καθεῖναι] *in* κα- *des.* G *fol. 206ᵛ* 11 ἵνα] CFK, *in ras.* B: καὶ AEHMN: οὕτω γὰρ D τὸ ἐκτὸς] BCD: τὸ οἶκτος K: τοὐκτὸς AEFHMN χωρῇ] BHM: χωρεῖ ACEN, *in ras.* K, *mrg.* D³: χωρεῖν D 13 νεύρου FK 14 μόνην DN ἐμποιοῦντος] -τος *eras.* B τοῦ *om.* C 15 ἕτερα K 16 καὶ] CDF: *postea add.* B: *om.* AEHKMN πεπτικοῖς] ἐφεκτικοῖς F 16. 17 χρῆσθαι F 17 μελικράτοις K 18 δὲ] δεῖ K τοῖς K ὁμοίως K: -ας *e corr.* E ἁρμόζοι D: ἁρμόσειε CK 19 καὶ *(pr.)* *om.* DF 20 ἤγουν . . . σωμάτιον *om.* F 21 διαπυήσεως] ἡ διαπυήσεως CK διαιρεῖσθαι M 22 καὶ *(pr.)* . . . δέρμα *(23)* *om.* D μοτούσθω F: διατομούσθω M, *mrg.* μοτου: ἀποτομούσθω N 23 καὶ *om.* CK

τέλος τοῦ δ̄ βιβλίου ABDEKN